B I B L I O T H E C A
S C R I P T O R V M G R A E C O R V M E T R O M A N O R V M
T E V B N E R I A N A

HOMERI ILIAS

RECENSVIT / TESTIMONIA CONGESSIT

MARTIN L. WEST

VOLVMEN ALTERVM

RHAPSODIAS XIII–XXIV

ET INDICEM NOMINVM

CONTINENS



MONACHII ET LIPSIAE

IN AEDIBVS K · G · SAUR MM

Die Deutsche Bibliothek – CIP-Einheitsaufnahme

Homerus:
(Ilias)
Homeri Ilias / rec. Martin L. West. –
Monachii ; Lipsiae : Saur
[Bibliotheca scriptorum Graecorum et Romanorum Teubneriana)

Vol. 2. Rhapsodias XIII–XXIV continens. – 2000
ISBN 3-598-71435-1 (kart.)
ISBN 3-598-71434-3 (Gewebe)

Printed in Germany

Gesamtherstellung: Druckhaus „Thomas Müntzer“ GmbH, Bad Langensalza

CORRIGENDA ET ADDENDA AD VOL. I

AD PRAEFATIONEM

p. ix n. 13, adde: K. Luchner (1310), R. May (1480), J. Lundon (h142).

p. x in linea infima, lege 'asservati'. Plura de hoc libro (**X**) promulgavit M. J. Apthorp, ZPE 127 (1999), 141–8. Sinaiticus est S. Catherinae inv. MΓ26. Folia supersunt xii vel xiii, quae continent: A 319–38, 477–96, 608–B 15, B 115–42, Δ 50–69, 111–29, 345–90, 458–78, E 105–27, 169–89, 626–50.

p. xii, **Y**: omittuntur versus Ω 107–11, 148–51, 167–8, 206, 449–52 (sed inest 453); finguntur alii ne inter 207 et 216 neve inter 448 et 453 hiet sensus; et alia mutantur continuitatis causa. **W**: pro 'Ω 304–804' lege 'Ω 303–804'.

p. xxiii, §4 in linea quinta lege 'transgrederetur'.

p. xxvii in linea ab ima pagina quinta lege 'Chantr. I 479'.

p. xxx (ἀΐσσω) 'formam ... nusquam traditam': at nunc eam in papyro inveni, v. ad X 142.

p. xxxii (λείπω, λέλιμμαι) adde Ψ 523 λελιπ[το pap.

AD SIGLA ET BREVIATA

(p. lxiv) liber 257 = P. Univ. Lips. 253; continet Ψ 21–50, 78–100, 423–47

(p. xlv) liber 311 continet Ψ 135–48, 178–91

(p. xlix) adde: 480a P. Sorb. inv. 2302 (s. iii–ii a. C.): Z 280–92.

(p. liii) exime libros 649 (v. p. xliv ad 239), 653, 669 (Odysseae hi sunt, non Iliadis)

(p. liv) pro '705–ca. 1500' lege '705–1544'; adde:

1545 Inscr. in pariete Romana Viae S. Basilii ed. V. de Marco, Notizie degli Scavi 1938 (xvi) 422–4 (s. iii): Ω 171–5.

(p. lvii) adde:

h140 P. Berol. 1970 ed. W. Luppe APF 44 (1998), 209–13 (s. ii–iii): de deorum ap. Hom. epithetis.

h141 P. Berol. 17151 ed. W. Luppe APF 44 (1998), 215–18 (s. ii): comm. ad K 561 sqq.

h142 P. Oxy. inv. 12 1B 133/B(a) transcr. J. Lundon (s. ii/iii): sch. ad Ψ 2–141.

(p. lviii) adde:

w46 P. Oxy. inv. 30 4B 41/D(2–3)b (s. i): Z 68–70 (prosa).

w47 P. Oxy. inv. 106/11(c): X 319–20, 447–51(–52?) (prosa?)

(p. lix, Fontes alii antiquiores) adde:

t^{vl} varia lectio in testimonii auctoris libris

(Codices minusculi) adde:

r, rr liber recentior unus vel plures (cf. p. xiii)

(p. lx, Sigla cetera) adde:

A^{uv} A ut videtur

(pp. lxi sq., Opera compendiosius laudata) adde:

Apthorp = M. J. Apthorp, The Manuscript Evidence for Interpolation in Homer (Heidelbergae 1980)

Hentze Anhang = C. Hentze, Anhang zu Homers Ilias (Schulausgabe von K. F. Ameis), 2. Aufl. (Lipsiae 1877–9)

KG = R. Kühner, Ausführliche Grammatik der griechischen Sprache, II. Satzlehre, 3. Aufl. von B. Gerth (Hannoveri 1898–1904)

Reitz. Gesch. = R. Reitzenstein, Geschichte der griechischen Etymologika (Lipsiae 1897)

AD TEXTVM

A 86 lege οὒ **182** lege ὢς **Γ 206** lege ἕνεκ' **E 5** lege ὀπωρινῶι **157** lege ἒκ **H 425** lege βρότον **Θ 410** lege βῆ δὲ κατ'

AD TESTIMONIA

A 3 Aristid. Quint. 3.26 p.131.14 W.-I. **4** (αὐτοὺς–) sch^{D} A 52 **50** (–ἐπώιχ.) Erot. p.64.17 N. **106** Erot. p.56.7 N. **180a** sch^{D} Γ 16 **252b** sch H 9b **275 + 277a** Euboeus Supp. Hell. 412 (parod.) **288** (πάντεσσι δ' ἀν.) sch^{D} Γ 16; '(κὴρ–) [Alex.]' etc. ad v. 228 transfer **302** lege H. ι 649 **317** Charito 6.2.4 **362b** EtG s.v. πένθος **477** Aristid. Quint. 2.9 p.70.6 W.-I. **566–7** (–ἰόντε) sch^{D} I 182 **608** H. η 987 **B 9–10** (–ἀγορ.) Erot. p.11.12 N. **22a** sch^{D} A 299 **42a** sch Σ 246a **107a** sch^{D} A 175 **135** (σπ. λ.) sch^{D} H 102 **196** sch^{D} A 173 **218** (–συν.) Erot. p.79.3 N. **258** (–κιχ.) sch^{D} B 264 **265** (σκ.–)–**6** (πλ.) sch^{D} B 264 **266a** Erot. p.46.18 N. **354–5** sch^{D} A 31 **362** (κρῖν' ἄ.) Sel ap. Reitz. Gesch. 163.25 **414** Erot. p.110.17 N. **478** Ach. Tat. 1.8.7 **530** sch^{D} I 395 **677** (νήσ.–) Sel ap. Reitz. Gesch. 161.29 **681** (Πελ. Ἄργ.) sch^{D} Γ 75 **765** Matro Supp. Hell. 538.3 (parod.) **783** (ὅθι–) sch^{D} A 436 **809** Erot. p.95.13 N. **811** (αἰπ.–) sch^{D} B 592 **827** sch^{D} Δ 93 **828** ('Aπ.) sch^{D} E 612 **Γ 2** (ὄρν.–) sch^{D} A 162 **24** (ἄγριον αἶγα) sch^{D} Θ 338 **59** (–ἐνείκ.) Aristid. Quint. 3.26 p.132.16 W.-I. **103** (οἴ. δ' ἄρνα λευκόν) sch^{D} N 168 **146 + 149** (δημογ.) Charito 5.5.9 **184a** Sel ap. Reitz. Gesch. 158.12 **271** (= T 252) sch Arat. 131 **331b** (al.) ApS 41.31, 74.20 **446** Erot. p.45.17 N. **454** sch^{D} Δ 93, Z 326 **Δ 1** Charito 5.4.6 **10** (τῶι–)–**11** sch^{D} E 131 **47b** sch^{D} B 461 ex Ori Orthogr. **155a** sch^{DT} X 379b **174b** sch^{D} B 519 **194a** sch^{D} B 565 **275** Aristid. Quint. 2.9 p.71.9 W.-I. **282** Aristid. Quint. 2.9 p.70.9 W.-I. **300** sch^{D} Δ 297 **320** sch^{D} B 565 **366** al. (κολλ.) sch Ξ 9 **370–1** sch^{D} I 34 **386b** Aristid. Quint. 2.9 p.72.21 W.-I. **404** Porph. Il. 331.13 Schr. **461** (σκότος–) H. σ 1134 **467a** Erot. p.35.6 N. **508a** sch^{D} E 446 **E 5–6a** sch^{D} E 7 **87** Erot. p.45.5 N.; **87a** sch^{D} Z 132 **97b** Erot. p.39.12 N. **122a** Erot. p.30.20 N. **127** Erot. p.13.12 N. **128** (–θεόν) sch^{D} Z 208 **182** sch^{D} Γ 170 **193** sch^{D} B 565 **204** (εἰλήλ.) H. ε 879 **289** sch^{D} B 381 **299** (λέων ὥς) sch^{D} A 162 **330** (ὃ δὲ–) sch^{D} E 422 (ex Apollod. 244 F 353) **352** (–ἀπεβ.) Erot. p.10.3 N. **387** sch^{D} E 385 **424b** [Arist.] Mirab. 840b16 **469** al. (σαώσ.) H. σ 304 **534a** sch^{D} B 461 ex Ori Orthogr. **586** Sel ap. Reitz. Gesch. 163.30 **597a** sch^{D} Γ 128 **708–10a** lege 'Strab. 9.2.20' **722** (†ἀγκύλα κύκλα) sch^{D} B 205 **734** sch^{D} E 194 **907–9** sch^{D} Z 1 **Z 6b** sch^{D} B 565 **24b** sch^{D} Δ 499 **39** (ἀγκύλον ἅρμα) sch^{D} B 205 **40** al. (πρ. ῥυμ.) ApS 136.28; H. π 4176 **99** (–ἐδείδ.) + **100** (–ἐξ.) + **101** (οὐδέ–) sch^{D} arg. E **123a** sch^{D} E 127 **129** sch^{D} Z 208 **160** (–ἐπεμ.) Aristid. Quint. 3.25 p.129.17 W.-I. **234–5** Dig. 18.1.1.1 **271** sch^{D} E 194 **463** (χήτει) H. χ 423 **488** Aristid. Quint. 3.26 p.131.9 W.-

I. **506** Apsin. Rh. i. 373.1 Sp. **H 79** (σῶμα δὲ οἶκαδε) sch^{D} A 115 **215** Eudoc. 2014 **216** (πάτασσε) H. π 1098 **219a** ApD Pron. 67.1 **221b** sch^{D} B 499 **238–9** (βῶν ἀζ.) sch^{D} M 105 **312a** sch A 423a **379** (al.) Eudoc. 1205 **421** Aristid. Quint. 2.9 p.69.15 W.-I. **455** (Ἐνν.) H. (Cyr.) ε 3214 **472–5a** Dig. 18.1.1.1; Iustinian. Inst. 3.23.2 **Θ 1** Aristid. Quint. 2.9 p.70.4 W.-I. **22** (ὑπ. μήστ.) H. υ 258 **41** (–πτ.) sch^{D} Γ 80 **48** sch^{D} Γ 320; (Γάργ.) H. (Cyr.) γ 173 **66** sch^{D} Θ 1 **69** (= X 209) Poll. 9.52; Macr. Sat. 5.13.39; (ἐτίτ.) Apio 238.19 **104** Erot. p.54.20 N. **173** Strab. 13.1.24; **173a** Epm. τ 16 **174a** (al.) ApS 77.30 **191** (ἐφορμ.) H. ε 7523 **203** sch^{D} E 422 **367–8** sch^{D} E 397 **402** Erot. p.102.11 N. **411** (πολυπτ.) Phot. Lex. s.v. **423** (κύον ἀδ.) Ath. 697e **555 + 560a** sch^{D} B 469 **I 48** (–μαχ.) + **49b** Charito 7.3.5 **133–4** Aristid. Quint. 2.9 p.71.4 W.-I. **311** Erot. p.84.1 N. **316** (οὐκ–) sch Hes. Op. 190a **328–9** Strab. 13.1.7 **404–5** sch^{D} E 422 (ex Apollod. 244 F 353) **469** al. (τοῖο γέροντος) EtG s.v. **478** sch^{D} I 395 **517** al. (κελ.) H. (Cyr.) κ 2177 **547** sch^{D} Π 183 **618a** sch^{D} A 436 **653b** EtG s.v. θυμίαμα **698** sch^{D} Π 86 **K 135** (ἀκαχ.) Apio 215.8 **209** (ἠε πόλινδε)–**10a** Strab. 13.1.36 **252b–3** resp. Metrod. 61 A 5; **252b** Arist. Poet. 1461a 26; Epm. π 174 **315a** Epict. 3.22.31 **354** (ἐπιδρ.) H. ε 4742 **495b** sch^{D} A 173 **522** (al.) Eudoc. 1272 **540** (–ἔπος) Charito 3.4.4, 7.1.11 **Λ 1a** sch^{D} Θ 1 **27** (ἴρ.–)–**8** sch^{D} Γ 121 **54** (–αἰθ.) sch^{D} Π 365 **103a + 102b** sch^{D} Δ 499 **155a** sch^{D} E 880 **180b** (= Π 699) Hdn ad Π 669a (Philox. fr. 409 Th.) **256** (ἀνεμοτρ.) sch^{D} O 625 **348** (= X 231) sch O 297a; **348a** EtG s.v. στῶ **364** (ἐς δοῦπ.–) Hdn ii.733.11 **388** (–ποδός) Erot. p.75.5 N.; **388a** sch^{D} Z 169 **493** sch^{D} E 334 **562** Erot. p.80.2 N. **579** al. (πραπ.) H. π 3210 **596** al. (–πυρός) sch^{D} E 2 **613–14a** sch^{D} A 299 **640b** Erot. p.74.2 N. **680b** Aret. 4.13.2 (CMG ii.85.26) **800** (ἀναπν.–)–**1** (= Π 42–3) EtG α 796; **801b** id. α 1017 **814a** Eudoc. 947 **M 137–8** Aristid. Quint. 2.9 p.71.27 W.-I. **254** (ἰθὺς ν.) sch^{D} Z 3 **255** (Τρωσὶν–) cf. sch^{D} E 334 **385b** cf. Sel ap. Reitz. Gesch. 164.6 (κυβιστητῆρι–) **423** EtG s.v. ἔραν (Sel fr. 214 Duke) **470** (ποι.) sch^{D} Z 248

AD APPARATVM CRITICVM

A 58 προδέφη Zen? **59** ante 'Z rr' insere 'Hdn' **129** Τρωίην A$^{\lambda}$ **148–360** passim, pro h17 lege h15 **170** adde 'aut οὐδὲ σοὶ aut οὐδέ τ(οι) legendum videtur' **349** ἄπ' ἄρ' Thiersch **447** lege 'Zen Ar^{ab}' **487** δε σκιδναντο X **489** πηλεως et X **490** ούτε X **491** ἐς X **492** πόλεμόν sch-Σ, πολεμον X **495** εφετμέων X **496** ανε δυσετο X pro sch^{bT} lege sch^{A} **567** ἰόντε sch^{D} I 182 **B 115** δυσκλεῖ' Naber Qu. Hom. 85 **291** ἀνίη τ' ἐνθάδε ἧσθαι nescioquis quem laudat Wecklein SBAW 1908(2).28 **314** πιπίζοντας Zen (vel τεττ– teste Eust. 490.41) **558** ἀγῶν' Bothe (contra Matronem) **Γ 35** τ et παρειας 230 in versu post P 729 repetito **Δ 55** pro '556' lege '566' **205** ἴδη(ι)ς adde '(nov. Did)' **368** νέικεσσεν ἰδὼν X **375** περι X **467** γ' αὖ t **E 28** ἀλευόμενον Arn (ex Ar?) **330** δὲ t **424** βαθυκόλπων etiam [Arist.], quod tamen non agn. Ar, cf. Arn ad B 484, Σ 339, Ω 215b **808** in mg. habuit codicis A exemplar, cf. van Leeuwen Mn. n.s. 32 (1904) 447–50 **909** παύσασαι et Ἄρη t **Z 244** πεντήκοντα ἔσαν T$^{\lambda}$ **H 474** αὐτῆισι et Dig. Iustinian. **Θ 48** δὲ t **69** επιτηνε Macr. **84** κρηνίωι Bechtel Lexil. 204 **I 57** μὴν et Nic **58** ὁπλότερος et Nic **134** pro '1126 Ω' lege '1126 tt Ω' **458–61** Plutarcho auctorem fuisse opinor Sel (cf. ad Σ 604/5), eum autem versus in 𝔓 vel in una τῶν κατὰ πόλιν invenisse **632** φονῆος et T$^{\lambda}$ **K 161** lege 'δ' ἀπὸ χῶρος ἐέργει nov. Did' **253** dele 'non resp. Aristot.,'; cf. etiam Nickau Unt. 55 **281–2** εὔκλεῖ' εἰσαφικέσθαι | ῥέξαντα μέγα Naber Qu. Hom. 85 **Λ 27** εἴρεσσιν et ἴρισιν t^{vl} **640** pro 't Z' lege 'tt Z' **821** fort. φθήσονται (φθάνω), cf. Π 861, Ψ 444.

ΙΛΙΑΔΟΣ

Ν–Ω

N Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσεν,
τοὺς μὲν ἔα παρὰ τῇσι πόνον τ' ἐχέμεν καὶ ὀϊζύν
νωλεμέως, αὐτὸς δὲ πάλιν τρέπεν ὄσσε φαεινώ
νόσφιν, ἐφ' ἱπποπόλων Θρῃκῶν καθορώμενος αἶαν
5 Μυσῶν τ' ἀγχεμάχων καὶ ἀγαυῶν Ἱππημολγῶν
γλακτοφάγων Ἀβίων τε δικαιοτάτων ἀνθρώπων.
ἐς Τροίην δ' οὐ πάμπαν ἔτι τρέπεν ὄσσε φαεινώ·
οὐ γὰρ ὅ γ' ἀθανάτων τιν' ἐέλπετο ὃν κατὰ θυμόν
ἐλθόντ' ἢ Τρώεσσιν ἀρηξέμεν ἢ Δαναοῖσιν.
10 οὐδ' ἀλαοσκοπιὴν εἶχε κρείων Ἐνοσίχθων·
καὶ γὰρ ὃ θαυμάζων ἧστο πτόλεμόν τε μάχην τε,
ὑψοῦ ἐπ' ἀκροτάτης κορυφῆς Σάμου ὑληέσσης

N 1 ApD Synt. 134.3; 'Hdn.' Fig. 51; 'Trypho ii' Trop. 25 (CQ 15.247); sch[h141] K 563/sch[D] K 561; sch Ar. Pl. 1h; Choer. in Ps. 72.21; (–Ἕκτ.) Arn ad B 641, Φ 203a; Hdn i.10.4; sch Ar. Th. 365; **1a** Hdn ad Λ 51b; Choer. in Thd. i.248.9; (–οὖν) Epm. ο 14; (Τρ.–) Strab. 1.2.33; (Τρ.–Ἕκτ.) sch A 17 **3** (αὐτὸς–)–**5a** Strab. 7.3.2 (Posid. 277a E.–K.); **3** (αὐτὸς–) ApS 126.26; ApD Synt. 134.4, 135.8; Sophron. 377.14; **4–5a** Them. Or. 8.117a; **4** Herm. in Pl. Phdr. 143.10 C.; (ἱπποπ.–καθ.) + **5** (Μυσ.) Luc. Dial. 24.11, 59.49; **4** (καθ.–) [Plut.] Hom. 2.55.1; **5–6** Nicol. Dam. 90 F 104; Strab. 7.3.7; Philo De vita contempl. 17 (vi.50.15 C.–W.); **5** Nicol. Dam. 90 F 71; sch [Eur.] *Rhes.* 5; Const. Porph. De them. 1.3; **5b–6a** Strab. 1.1.6; (ἱππ.–γλ.) ApS 92.19; **5b** id. 7.4; H. α 364; (ἱππ.) id. ι 800; **6** Ephorus 70 F 42 (Strab. 7.3.9); ApS 3.16; Amm. Marc. 23.6.62; St. Byz. 6.17; (–ἀβ.) H. (Cyr.) γ 79; (γλ.) Aristid. Or. 46.19; Clem. Paed. 1.36.1; Orig. c.Cels. 1.16; (ἀβ.) Philostr. Her. 3.29; H. α 125; EtG α 6; Phot. Lex. α 37 **10** ApS 21.33 **11–12** (–κορ.) Epm. ι 3; **11** ApS 86.16; **12–13** (Θρ.) Strab. 10.2.16; (Σάμ.–Θρ.) cf. ApS 140.6; H. σ 152; Polyb. Fig. iii.106.3 Sp.; **12** al. (ὑλη.) H. υ 155

N 2 παρὰ Ar 60 Z Ω: περὶ Zen Arph (teste A: τινὲς "πρὸς τῇσι" T) ἐχέμεν Ar 60 Ω: ὀχέμεν Zen (T: ὀχέειν Ribbeck) **3** τρέπεν 10 60 tt Z Ω: τράπεν rr.—cf. ad 7 **4** ἐφιπποπόλων quidam ap. sch[T] Θρεΐκων Nauck post Payne Knight **5** Μοισῶν ci. Posid., contra dicit Strab. ἀγαυῶν Ἱππημολγῶν Ixio: Ἀγ- ἱππ- ApS Hsch sch[AbT], cf. Call. Hymn. 3.252 sq.; Dion. Per. 308 sq.; Rengakos 146: ἀγ- ἱππ- Posid. **6** γ(α)λακτοφάγων Ar Posid. sch[D] οἱ πλείους τῶν ὑπομνηματιστῶν teste St. Byz.: Γλακτ- Ammianus (cf. [Hes.] fr. 151; Nicol. F 104) τ' add. Philo[vl] D Ἀβίων Ar Did Alex. Polyhistor (273 F 14) Hsch. St. Byz.: ἀβίων Posid. Strab. Nicol. Apio ap. ApS Philostr. οἱ πλείους τῶν ὑπομνηματιστῶν teste St. Byz. EtG: ἀβιῶν quidam ap. ApS (sc. τῶν βιοῖς μὴ χρωμένων): iidem Γάβιοι audiunt ap. [Aesch.] Prom. Sol. fr. 196.3, Philosteph. fr. 5 Mü. (FHG iii 29) δικαιοτάτων Ar 60 tt Ω*: -των τ' quidam ante Did W **7** τρέπεν 10 60 Ω: τράπεν r **8** ὅ γ' Ar 60 Ω: ἔτ' (cf. 7) Arph τιν' ἐέλπετο 10 60 Ω*: τιν' ἔλπ- W, τίνα ἔλπ- r (Eust.) **9** ἀρηξέμεν A F W G: ἀρήξειν A[yp]: ἀρηγέμεν 10 60 Ω* (ex Θ 11?) **10** ἀλαοσκοπιὴν t Z Ω (-íην Z A[λ]): ἀλαὸς σκ- (Ar) 60 A[c].—cf. ad K 515 **11** καὶ γὰρ 60 t* Ω: αὐτὰρ Epm. **12** ἀκροτάτης κορυφῆς Ar tt Z Ω*: -τῃς -φῇς Arph: -τῃ -φῇ *b* T: -του -φῆς 60.—cf. ad Ξ 157 Σάμου Ar tt Ω, Σαμμου 60: Σάου nov. Did

Θρηϊκίης· ἔνθεν γὰρ ἐφαίνετο πᾶσα μὲν Ἴδη,
φαίνετο δὲ Πριάμοιο πόλις καὶ νῆες Ἀχαιῶν.
15 ἔνθ' ἄρ' ὅ γ' ἐξ ἁλὸς ἕζετ' ἰών, ἐλέαιρε δ' Ἀχαιοὺς
Τρωσὶν δαμναμένους, Διὶ δὲ κρατερῶς ἐνεμέσσα.
αὐτίκα δ' ἐξ ὄρεος κατεβήσετο παιπαλόεντος
κραιπνὰ ποσὶ προβιβάς· τρέμε δ' οὔρεα μακρὰ καὶ ὕλη
ποσσὶν ὕπ' ἀθανάτοισι Ποσειδάωνος ἰόντος.
20 τρὶς μὲν ὀρέξατ' ἰών, τὸ δὲ τέτρατον ἵκετο τέκμωρ,
Αἰγάς· ἔνθα δέ οἱ κλυτὰ δώματα βένθεσι λίμνης
χρύσεα μαρμαίροντα τετεύχαται, ἄφθιτα αἰεί.
ἔνθ' ἐλθὼν ὑπ' ὄχεσφι τιτύσκετο χαλκόποδ' ἵππω
ὠκυπέτα, χρυσέῃσιν ἐθείρῃσιν κομόωντε,
25 χρυσὸν δ' αὐτὸς ἔδυνε περὶ χροΐ, γέντο δ' ἱμάσθλην
χρυσείην εὔτυκτον, ἑοῦ δ' ἐπεβήσετο δίφρου.
βῆ δ' ἐλάαν ἐπὶ κύματ'· ἄταλλε δὲ κήτε' ὑπ' αὐτοῦ
πάντοθεν ἐκ κευθμῶν, οὐδ' ἠγνοίησεν ἄνακτα,
γηθοσύνηι δὲ θάλασσα διΐστατο· τοὶ δ' ἐπέτοντο
30 ῥίμφα μάλ', οὐδ' ὑπένερθε διαίνετο χάλκεος ἄξων·
τὸν δ' ἐς Ἀχαιῶν νῆας ἐΰσκαρθμοι φέρον ἵπποι.
ἔστι δέ τι σπέος εὐρὺ βαθείης βένθεσι λίμνης,
μεσσηγὺς Τενέδοιο καὶ Ἴμβρου παιπαλοέσσης·
ἔνθ' ἵππους ἔστησε Ποσειδάων ἐνοσίχθων
35 λύσας ἐξ ὀχέων, παρὰ δ' ἀμβρόσιον βάλεν εἶδαρ
ἔδμεναι· ἀμφὶ δὲ ποσσὶ πέδας ἔβαλε χρυσείας

13 (ἔνθεν–)–**14** Strab. 10.2.17 **15** al. (ἐξ ἁλός) ApS 70.1 **16**b sch N 58; (ἐνεμ.) H. (Cyr.) ε 2899 **17** Eudoc. 2265; **17**b ApS 126.12; (παιπ.) H. π 98, [1429] **18** (προβ.) id. π 3345; **18**b–**19** + **27–9** Auct. π. ὕψ. 9.8; **18**b Hclt. Alleg. 2.2, 38.7; **20–1** (Αἰγ.) Iul. Or. 2.55d; **20**a sch Υ 292; sch Pind. Pyth. 3.75; (–ὀρ.) sch N 18a; (ὀρ.) ApS 122.23; H. o 1153; **21** Strab. 8.7.4; (Αἰγ.) cf. St. Byz. 39.3; **23** (τιτ.) H. τ 998; **27** Max. Tyr. 26.7; (βῆ δ' ἐλ.) sch Λ 519b; (ἐλ.–κύμ.) sch Ξ 229a; **27**b sch Ξ 296a; Hermog. Id. 392.16 R.; (ἄταλλε) ApS 46.35; cf. H. α 8002, 8357; **28** Eudoc. 1983; **28**a ApS 98.21; Hdn ad Π 515b; (πάντ.) H. π 412; (ἐκ κ.) id. ε 1435; **29–30** Iul. Or. 2.56a; **29** (–διίστ.) ApS 54.27; Hermog. Id. 335.1 R. **31** (ἐΰσκ.) ApS 79.25; H. ε 7187 **34** (–Ποσ.) Strab. 8.7.4

13 γὰρ 60 t Ω: μὲν O rr **17** κατεβήσετο t Ω*: -σατο 60 A^{s} R W **18*a*** (= Υ 60) add. Auct. π. ὕψ. **19** ὕπ' van Leeuwen: ὑπ' Ω **20** τέτρατον t Z A^{a} B^{c} C^{s} E: τέταρτον 60 Ω* **21** δέ 60 t Z Ω: τε Strab.$^{epit.}$—cf. ad Θ 48 **26** ἐΰτυκτον W ἐπεβήσατο 60$^{?}$ rr **27** ἐπὶ 85 tt Ω: κατα 60 κύματ' 85 t* Ω: κῦμα 60 Max. αὐτοῦ (cf. 140) 60 tt Ω: -τῶι A^{γρ} T^{γρ} rr **28** ἠγνοίησεν (nov. Ar) Ω: -σαν Ar t A^{s} rr **29** γηθοσύνηι Arph Hdn sch^{D} A D^{c} B E F W (cf. Φ 390): -νη Ar ApS Ω* (cf. λ 540^{vl}; A.R. 1.784; Rengakos 92): γηθόσυν', ἡ Herodicus **36** ἔβαλε fere Ω (ἔμβ- C^{c} T R): -λεν 60

ἀρρήκτους ἀλύτους, ὄφρ' ἔμπεδον αὖθι μένοιεν
νοστήσαντα ἄνακτα· ὃ δ' ἐς στρατὸν ᾤχετ' Ἀχαιῶν.
Τρῶες δὲ φλογὶ ἶσοι ἀολλέες ἠὲ θυέλληι
40 Ἕκτορι Πριαμίδηι ἄμοτον μεμαῶτες ἕποντο,
ἄβρομοι αὐίαχοι· ἔλποντο δὲ νῆας Ἀχαιῶν
αἱρήσειν, κτενέειν δὲ παρ' αὐτόθι πάντας ἀρίστους.
ἀλλὰ Ποσειδάων γαιήοχος ἐννοσίγαιος
Ἀργείους ὤτρυνε, βαθείης ἐξ ἁλὸς ἐλθών,
45 εἰσάμενος Κάλχαντι δέμας καὶ ἀτειρέα φωνήν.
Αἴαντε πρώτω προσέφη, μεμαῶτε καὶ αὐτώ·
"Αἴαντε, σφὼ μέν τε σαώσετε λαὸν Ἀχαιῶν
ἀλκῆς μνησαμένω, μηδὲ κρυεροῖο φόβοιο.
ἄλληι μὲν γὰρ ἐγώ γ' οὐ δείδια χεῖρας ἀάπτους
50 Τρώων, οἳ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλωι·
ἕξουσιν γὰρ πάντας ἐϋκνήμιδες Ἀχαιοί·
τῆι δὲ δὴ αἰνότατον περιδείδια μή τι πάθωμεν,
ἧι ῥ' ὅ γ' ὁ λυσσώδης φλογὶ εἴκελος ἡγεμονεύει,
Ἕκτωρ, ὃς Διὸς εὔχετ' ἐρισθενέος πάϊς εἶναι.
55 σφῶϊν δ' ὧδε θεῶν τις ἐνὶ φρεσὶ ποιήσειεν
αὐτώ θ' ἑστάμεναι κρατερῶς καὶ ἀνωγέμεν ἄλλους.
τώ κε καὶ ἐσσύμενόν περ ἐρωήσαιτ' ἀπὸ νηῶν
ὠκυπόρων, εἰ καί μιν Ὀλύμπιος αὐτὸς ἐγείρει."
ἦ, καὶ σκηπανίωι γαιήοχος Ἐννοσίγαιος

38a sch Β 155c; **38**b sch Ν 39a **41–2** (αἱρ.) ApS 3.6; **41**a sch ζ 268; Gell. 15.3.8; Porph. Hom. 120.3 Sod.; Macr. Exc. GL v.637.26; H. α 200 + 8275, 222; EtG α 1393; Epm. α 334, ι 43; (αὐί.) Chrysipp. SVF iii.192.24; ApS 47.23 **43** al. (γαιή.) ApS 54.1; H. γ 50 **45** (–δέμας) Porph. Od. 54.12 Schr.; (εἰσ.) H. (Cyr.) ε 1088; **45**b sch Ν 216 **47** (–σαώσ.) ApS 147.13; (σφὼ–σαώσ.) sch Ν 95–6b **49**a ApD Adv. 175.10 **51** (ἕξ.) H. (Cyr.) ε 3965 **53** Eudoc. 1465; **53**a Hdn ad Μ 430 **54** (ἐρισθ.) ApS 76.20; H. ε 5892 **59** (σκηπ. Γαιή. ὦρσεν Ἀχαιούς, cf. 83) ApS 142.16; (σκηπ.) H. σ 951; cf. Phot. Lex. s.v.

39 ἠὲ Ω (ἢ G): ἦδε 85, ἠδὲ *b* H O.—cf. ad Θ 349 **41** αὐίαχοι Chrysipp. DThr (et ἄβρομοι Christ) **42** κτενέειν 85 1245 Ω: κταν- V αὐτόθι 85 Ω*: -όφι Z D W.—cf. ad Μ 302 ἀρίστους A^{γρ} Ω*: Ἀχαιούς 10 60 A D T R **44** ὤτρυνε 85 Ω: ὄτρ- rr **46** om. 10 (homoearchon): hab. 60 85 1247 Ω **47** τε A *b* F G: κε 85 tt Ω* **49** ἐγώ γ' Bekker: ἔγωγ' Ω **51** ἕξουσι(ν) (cf. Υ 27) Ar 1248 sch^{D} t Ω: σχήσουσιν (cf. 151, Λ 820) Arph πάντας Ω* (ἄπ- rr): -ες 60 D T **52** πέρι δείδια (contra Hdn) W πάθωμεν 10 Ω: -ωσιν 60 **53** ῥ' om. Z T^{γρ} V ὅ γ' tt Z Ω: ὅδ' 1248 A^{s} A^{λ} M O V **56** α]υτώ[[ς]] (ss. θ') 1248 **57** τώ F^{c} R^{a}, τῴ W: τῶ(ι) 1248 Ω* κε 1248 Ω: δε 60 **58** καί 60 Ω*: κέ(ν) A^{s} *b* F ἐγείρει Ω*: -ρη(ι) A^{s} C T^{s}: αγειρει 60

60 ἀμφοτέρω κεκόπων πλῆσεν μένεος κρατεροῖο,
γυῖα δ' ἔθηκεν ἐλαφρά, πόδας καὶ χεῖρας ὕπερθεν.
αὐτὸς δ', ὥς τ' ἴρηξ ὠκύπτερος ὦρτο πέτεσθαι,
ὅς ῥά τ' ἀπ' αἰγίλιπος πέτρης περιμήκεος ἀρθείς
ὁρμήσηι πεδίοιο διώκειν ὄρνεον ἄλλο·
65 ὣς ἀπὸ τῶν ἤϊξε Ποσειδάων ἐνοσίχθων.
τοῖιν δ' ἔγνω πρόσθεν Ὀϊλῆος ταχὺς Αἴας,
αἶψα δ' ἄρ' Αἴαντα προσέφη Τελαμώνιον υἱόν·
"Αἶαν, ἐπεί τις νῶϊ θεῶν οἳ Ὄλυμπον ἔχουσιν
μάντι εἰδόμενος κέλεται παρὰ νηυσὶ μάχεσθαι—
70 οὐδ' ὅ γε Κάλχας ἐστί, θεοπρόπος οἰωνιστής·
ἴχματα γὰρ μετόπισθε ποδῶν ἠδὲ κνημάων
ῥεῖ' ἔγνων ἀπιόντος· ἀρίγνωτοι δὲ θεοί περ·
καὶ δ' ἐμοὶ αὐτῶι θυμὸς ἐνὶ στήθεσσι φίλοισιν
μάλλον ἐφορμᾶται πολεμίζειν ἠδὲ μάχεσθαι,
75 μαιμώωσι δ' ἔνερθε πόδες καὶ χεῖρες ὕπερθεν."
τὸν δ' ἀπαμειβόμενος προσέφη Τελαμώνιος Αἴας·
"οὕτω νῦν καὶ ἐμοὶ περὶ δούρατι χεῖρες ἄαπτοι
μαιμῶσιν, καί μοι μένος ὤρορε, νέρθε δὲ ποσσίν
ἔσσυμαι ἀμφοτέροισι· μενοινώω δὲ καὶ οἶος
80 Ἕκτορι Πριαμίδηι ἄμοτον μεμαῶτι μάχεσθαι."
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον

60a ApD Synt. 297.8; Macr. Exc. GL v.628.14; **60**b sch N 61b; (μέν. κρ.) Synes. De regno 13c (Opusc. 27.12 T.) **61** Eudoc. 715 **62** ead. 689; **62**a sch N 71–2; (ὥς τ'–ὠκ.) Epm. ι 44; (ἴρηξ) H. (Cyr.) ι 883; (ὠκ.) H. ω 141 **63** (περιμ.) id. π 1759; (ἀρθ.) H. (Cyr.) α 7181 **64**a ApD Synt. 413.15; **64**b sch Lond. Call. fr. 1.45 (i.7 Pf.); (ὄρν. ἄλλο) sch I 312–13 **66** (τοῖιν) H. τ 1064 **71–2** Heliod. Aeth. 3.12.2; **71** (ἴχματα) H. ι 1151; **72**b EtG α 1170; (ἀρίγν.) ApS 42.31; H. (Cyr.) α 7195 **73–4** Chrysipp. (SVF ii.253.23) ap. Gal. Plac. Hipp. et Plat. 3.2.14; **73**a Nic ad N 68a/69b; **74–5** Synes. De regno 13c (Opusc. 27.14 T.); **75** (μαιμ.) ApS 109.31; H. μ 83 **79**b Epm. A 1a^{1} **80**b EtG α 671 (Philox. fr. 436 Th.)

60 κεκοπων Antim ✗ (parox. Monro HG^{2} 30, oxyt. sch^{AT}; cf. Wack. KS 1157, Chantr. I 397): -πὼς Ar^{a} 60 t Z Ω* G^{γρ}: -φὼς Ar^{b} G V (cf. Wack. Unt. 29) **62** ὦρτο 60 t Ω: αλτ'ο[1250 **63** ἀπ' Ω: επ 60 περίμηκες ἀερθείς Menrad (contra 1249) **64** ὁρμήση(ι) 481 Ω*: -σει 60 t D C F^{a} R: οἰμήσηι Agar JPh 25 (1897) 32 (cl. X 140^{vl}, 308) **66** δὲ γνῶ Christ ὁ Ἰλῆος D^{c}, cf. ad B 527 **67–8** Αἶαν(?) om. 22 **69** μάντι 60 D T^{λ}: -τει 1251 sch^{T} T, -τεϊ Ω*.—cf. Schwyzer 572 n.2; Chantr. I 217 **71** ἴχματα Zen Arph Hsch.: ἴθματα (cf. E 778) Did^{γρ}: ἴχνια Ar Hdn 60 t* Z Ω **72** περ 1249 t Ω: τε 60 **73** δέ μοι D *h* V; cf. Bekker Hom. Bl. I 84 **74** μάλλον Blass: μᾶ- Ω **75** ὕπερθε(ν) t Ω: αaπτοι (ex 77) 60 **77** νῦν καὶ ἐμοὶ 60$^{?}$ Ω, κ]αι εμοι 22 1250: δη και μοι 10 **78** δὲ ποσσὶν 60 1249 A^{s} A^{m} Ω*: πόδεσσιν A **79** οἶος 1250 1252 t Ω: αὐτός *h*

χάρμηι γηθόσυνοι, τήν σφιν θεὸς ἔμβαλε θυμῶι.
τόφρα δὲ τοὺς ὄπιθεν Γαιήοχος ὦρσεν Ἀχαιούς,
οἳ παρὰ νηυσὶ θοῆισιν ἀνέψυχον φίλον ἦτορ.
85 τῶν ῥ' ἅμα τ' ἀργαλέωι καμάτωι φίλα γυῖα λέλυντο,
καί σφιν ἄχος κατὰ θυμὸν ἐγίνετο δερκομένοισιν
Τρῶας, τοὶ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλωι·
τοὺς οἵ γ' εἰσορόωντες ὑπ' ὀφρύσι δάκρυα λεῖβον·
οὐ γὰρ ἔφαν φεύξεσθαι ὕπεκ κακοῦ· ἀλλ' Ἐνοσίχθων
90 ῥεῖα μετεισάμενος κρατερὰς ὤτρυνε φάλαγγας.
Τεῦκρον ἔπι πρῶτον καὶ Λήϊτον ἦλθε κελεύων
Πηνέλεών θ' ἥρωα Θόαντά τε Δηΐπυρόν τε
Μηριόνην τε καὶ Ἀντίλοχον, μήστωρας ἀϋτῆς.
τοὺς ὅ γ' ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα·
95 "αἰδώς, Ἀργεῖοι, κοῦροι νέοι· ὔμμιν ἐγώ γε
μαρναμένοισι πέποιθα σαωσέμεναι νέας ἀμάς.
εἰ δ' ὑμεῖς πολέμοιο μεθήσετε λευγαλέοιο,
νῦν δὴ εἴδεται ἦμαρ ὑπὸ Τρώεσσι δαμῆναι.
ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι,
100 δεινόν, ὃ οὔ ποτ' ἐγώ γε τελευτήσεσθαι ἔφασκον,
Τρῶας ἐφ' ἡμετέρας ἰέναι νέας, οἳ τὸ πάρος περ
φυζακινῆις ἐλάφοισιν ἐοίκεσαν, αἵ τε καθ' ὕλην
θώων παρδαλίων τε λύκων τ' ἤϊα πέλονται

82 Eudoc. 514 **83**b cf. ad 59 **84** (παρὰ–) EtG α 789; (ἀνέψ.) H. (Cyr.) α 5027 **86** Eudoc. 1449 **88**a sch N 86–7; (δάκρ.–) Epm. ε 193 **90** (μετεισ.) H. μ 1058 **91–2**a sch P 597a **93** al. (μήστ.–) Choer. in Thd. i.301.1 **95** (ὔμμιν–)–**6** EtG α 605; **96**b ApS 27.18; ApD Pron. 100.21, 111.26; (ἀμάς) H. α 3475 **97** (λευγ.) id. λ 709 **99–102** (–ἐώικ.) Them. Or. 15.198c; **99–100** Eudoc. 2235–6; **99** (al.) Homerocento in A. et É. Bernand Inscr. du Colosse de Memnon (1960) 112 no. 37.1; Eudoc. 1288; (ὀφθ. ὁρ.) Polyb. Soloec. 288.10 Nauck **101** (–νέας) sch N 123–4 **102**a Arn ad I 2b; [Plut.] Hom. 2.133.3; (αἵ τε–)–**103** sch ε 368; **103** ApS 82.33, 134.5; sch β 289; H. η 247; Phot. Lex. η 81; (θώων) H. θ 1032; Phot. Lex. θ 307; (ἤϊα) Apio 240.8; Orio 69.13

82 γηθόσυνοι 1250 t Z Ω:]συνη 22 **84** ἀνέψυχον t Ω: -χθεν 60 1250 Z (cf. K 575) **85** υπο γυια λελυνται (ex H 6) 60 **87** ὑπερκατέβησαν Ω: υπεκκ[(ex 89) 22 **88** εἰσόρ- A **89** φεύξεσθαι 22 60 Ω*: -ασθαι R[a] W.—cf. ad O 700 ὕπεκ dedi (cf. Praef. xix): ὑπεκ vel ὑπ' ἐκ Ω: υπερ 22 (cf. ad 87) **91** ἔπι W: ἐπὶ vel ἐπι Ω* **92** Πηνέλεών Ar 60 Ω: -λεόν Arph.—cf. ad Ξ 489 (B 494) Δηΐπυλόν T[a] **94** πτερόεν–τα προσηύδα fere Ω (μετηῦδα W): -εντ' αγορευεν 60 **95** ὔμμιν A B C F: ὔμμιν Ω* ἐγώ γε D: ἔγωγε Ω* **96** ἀμάς Ω*: ἁ- Z D B F G **99** ὢ A T G: ὢ Ω* **102** φυζα–κινῆ(ι)ς 219 1253[t] Arn [Plut.][vl] Z Ω: -νοῖς 1253[s] tt* P ἐοίκεσαν 219 1253 Ω*: ἐώικ- t (cf. ad B 58): ἐοικότες 60 W **103** θώων Ar Cassius Hdn Ω: θωῶν Pamph Diocles DThr παρδαλίων Ar 219 tt* Ω*: πορδ- (nov. Did) 60 1253 sch-ε[vl] ApS Hsch. Z A *b*.—cf. Praef. xxxiv ἤϊα 60 219 tt Z Ω: ἤεια Fröhde; cf. Bechtel Lexil. 152

αὔτως ἠλάσκουσαι ἀνάλκιδες, οὐδ' ἔπι χάρμη.
105 ὣς Τρῶες τὸ πρίν γε μένος καὶ χεῖρας Ἀχαιῶν
μίμνειν οὐκ ἐθέλεσκον ἐναντίον, οὐδ' ἠβαιόν·
νῦν δὲ ἑκὰς πόλιος κοίλῃς ἐπὶ νηυσὶ μάχονται,
ἡγεμόνος κακότητι μεθημοσύνῃσί τε λαῶν,
οἳ κείνῳ ἐρίσαντες ἀμυνέμεν οὐκ ἐθέλουσιν
110 νηῶν ὠκυπόρων, ἀλλὰ κτείνονται ἀν' αὐτάς.
ἀλλ' εἰ δὴ καὶ πάμπαν ἐτήτυμον αἴτιός ἐστιν
ἥρως Ἀτρεΐδης, εὐρὺ κρείων Ἀγαμέμνων,
οὕνεκ' ἀπητίμησε ποδώκεα Πηλεΐωνα,
{ἡμέας γ' οὔ πώς ἐστι μεθιέμεναι πολέμοιο.
115 ἀλλ' ἀκεώμεθα θᾶσσον· ἀκεσταί τοι φρένες ἐσθλῶν.}
ὑμεῖς δ' οὐκέτι καλὰ μεθίετε θούριδος ἀλκῆς,
πάντες ἄριστοι ἐόντες ἀνὰ στρατόν· οὐδ' ἂν ἐγώ γε
ἀνδρὶ μαχεσσαίμην ὅς τις πολέμοιο μεθείη
λυγρὸς ἐών, ὑμῖν δὲ νεμεσσῶμαι περὶ κῆρι.
120 ὦ πέπονες, τάχα δή τι κακὸν ποιήσετε μέζον
τῇδε μεθημοσύνῃ. ἀλλ' ἐν φρεσὶ θέσθε ἕκαστος
αἰδῶ καὶ νέμεσιν, δὴ γὰρ μέγα νεῖκος ὄρωρεν·
Ἕκτωρ δὴ παρὰ νηυσὶ βοὴν ἀγαθὸς πολεμίζει
καρτερός, ἔρρηξεν δὲ πύλας καὶ μακρὸν ὀχῆα."
125 ὣς ῥα κελευτιόων Γαιήοχος ὦρσεν Ἀχαιούς.
ἀμφὶ δ' ἄρ' Αἴαντας δοιοὺς ἵσταντο φάλαγγες

104a EtG s.v. ἠλάσκ. (Philox. fr. 500 Th.); (ἠλ.) ApS 83.16; Orio 69.25 **109** sch T 85–6 **110** Apio 219.19 **113** (ἀπητ.) sch Ψ 4 **115** ApS 20.28; Epm. α 281; **115**a EtG α 873; **115**b ApS 18.25; Hdn ad O 394a; cf. Aristid. Or. 24.58; H. α 2350; Epm. α 315; (ἀκεσταί) EtG α 310 **116–19** Plut. Mor. 72c; **119** (ὑμῖν–) Epm. η 19 **121**a sch N 108b; (μεθημ.) Hdn ad X 261b; H. (Cyr.) μ 542; Phot. Lex. μ 187; **121**b–**2** Plut. Mor. 32c **123**a sch N 101b **124** Eudoc. 1935; (ἔρρ.–) sch Σ 275 **125** (κελ.) H. κ 2157, 2162 **126–33** Cert. Hom. et Hes. 12; **126** sch Heph. 265.19; (φάλ.–)–**127** (καρτ.) cf. Philostr. Her. 19.3; **127** (ἇς–Ἄρης) sch A 168c; (οὔτ'–) sch μ 88; (οὔτ'–Ἄρης) sch H 5c; (ὀνόσ.) H. (Cyr.) ο 914; **128** ApS 107.3; (λαοσσ.) H. (Cyr.) λ 295; Phot. Lex. s.v.; EtG λ 31; **130** sch Ar. Pac. 1210c; **130**b sch I 541b; **131–3** Polyb. 18.29.6; cf. ad Π 215–17;

104 ἔπι sch^T rr: ἐπὶ vel ἐπι Ω χάρμη D R: -ῃι 219 Ω* **107** δὲ ἑκὰς Zen Arph 60: δ' ἕκαθεν Ar 1253 Z Ω.—cf. ad E 791 κοίλῃς ἐπὶ νηυσὶ μάχονται 60 219 1253 Ω: απα]ν[ευ]θε μα[85 **109** ἀμυνέμεν 60 t Ω: -ειν 219 **114–15** del. Bekker Hom. Bl. I 275 **115** θάσσον Z: θᾶ- Ω τοι Ar 60 219 tt Ω: τε "ἔν τισι τῶν ὑπομνημάτων", item H.—cf. ad O 203 **117** ἐγώ γε Bekker: ἔγωγε Ω **118** μαχεσ(σ)αίμην t Ω*: μαχησ- 60 G μεθείη 219 t D C^a: -εις 60: -είει A C^c E T R G: -ίει F T^s W, -ί||ει B **120** μέζον Blass: μεῖ- 60 Ω **125** κελευτιόων 60 1254 Z Ω: κελευθ- quidam ap. sch^T: utrumque Hsch. **126** Αἴαντας 60 1254 tt Ω: -ντε *h*

καρτεραί, ἃς οὔτ' ἄν κεν Ἄρης ὀνόσαιτο μετελθών
οὔτέ κ' Ἀθηναίη λαοσσόος· οἳ γὰρ ἄριστοι
κρινθέντες Τρῶάς τε καὶ Ἕκτορα δῖον ἔμιμνον,
130 φράξαντες δόρυ δουρί, σάκος σάκεϊ προθελύμνωι.
{ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ.}
ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισιν
νευόντων· ὣς πυκνοὶ ἐφέστασαν ἀλλήλοισιν·
ἔγχεα δ' †ἐπτύσσοντο† θρασειάων ἀπὸ χειρῶν
135 σειόμεν'· οἳ δ' ἰθὺς φρόνεον, μέμασαν δὲ μάχεσθαι.
Τρῶες δὲ προύτυψαν ἀολλέες, ἦρχε δ' ἄρ' Ἕκτωρ
ἀντικρὺ μεμαώς, ὀλοοίτροχος ὣς ἀπὸ πέτρης,
ὅν τε κατὰ στεφάνης ποταμὸς χειμάρροος ὤσηι,
ῥήξας ἀσπέτωι ὄμβρωι ἀναιδέος ἔχματα πέτρης,
140 ὕψι δ' ἀναθρώισκων πέτεται, κτυπέει δέ θ' ὑπ' αὐτοῦ
ὕλη· ὃ δ' ἀσφαλέως θέει ἔμπεδον, ἕως ἵκηται
ἰσόπεδον· τότε δ' οὔ τι κυλίνδεται, ἐσσύμενός περ.
ὣς Ἕκτωρ εἵως μὲν ἀπείλει μέχρι θαλάσσης
ῥέα διελεύσεσθαι κλισίας καὶ νῆας Ἀχαιῶν
145 κτείνων· ἀλλ' ὅτε δὴ πυκινῆις ἐνέκυρσε φάλαγξιν,
στῆ ῥα μάλ' ἐγχριμφθείς. οἳ δ' ἀντίοι υἷες Ἀχαιῶν

131 Charito 7.4.3; Philostr. Vit. Soph. 1.20.4; Numen. fr. 2 Leem. ap. Eus. PE 14.6.7; Macr. Sat. 6.3.5; (–κόρυν) Plut. Mor. 761b; Choer. in Thd. i.331.18; **131**a sch Θ 63; **132–3** (–ἐφέστ.) sch K 258b. **134**a ApS 75.13; sch N 558; (ἐπτ.) H. ε 5572 **136** imit. Nonn. D. 22.139; (–ἀολλ.) [Plut.] Hom. 2.12.2; **136**a ApS 136.17; (προύτ.) H. π 4048, cf. 3437; Phot. Lex. s.v. **137**b**–8** Porph. Hom. 21.14 Sod.; (ὀλοοίτρ.) ApS 120.11; Hdn ii.271.8; H. ο 620; Philop. in Meteor. CAG xiv(1).124.22; Phot. Lex. s.v.; **138** (–ποτ.) ApS 97.15, 144.22, 25; (κατὰ στ.) H. κ 1435 **139** (ἀναιδ.) id. α 4320 **140** (–πέτ.) Porph. Hom. 41.12 Sod.; (ἀναθρ.) H. α 4312 **141** (ὃ δ'–) Porph. Hom. 24.23 Sod.; (θέει) H. (Cyr.) θ 169 **142** (ἰσόπ.) id. ι 976 **143–4**a Anon. Fig. iii.158.24 Sp. **145** (ἐνέκ.) H. ε 2889

127 ἄν κεν (cf. Λ 187 al., ι 334) 60 1254 tt Ω: ἄρ κεν Brandreth **128** οὔτέ sic Ω praeter D οἳ rr **129** κρινθέντες 60 Z Ω* E^{γρ}: κριθ- t D *b* T **130** προθελύμνωι 60 tt Ω: -θέλυμνοι Z rr **131** (= Π 215) om. 1255 κόρυν tt Ω: κορυδ' (sc. -υθ'?) 60 **133** ὣς Ω*: ὡς A E F^{a} G **134** δ' ἐπτύσσοντο 9 tt* Ω*: δὲ πτύσσ- sch-N Z A, δεπτυσσ- 60: δ' ἐπτήσσ- *h*: an δ' ἐπλίσσ-? **135** σειόμεν' οἳ δ' 9 Ω: -όμενοι δ' quidam ap. sch^{T} **136** προύτυψαν 9 60 tt* Z Ω: et προύτ- et προέτ- Hsch. **137** ὀλοοίτροχος Z Ω* (ὀλοότρ- C), ολοοιτρ- 9 60: parox. Comanus Ptol: ὁλοοίτρ- Demetrius ὁ Γονύπεσος Hermapias Nicias Aristeas Arn A B E R W: ὀλοότρ- Philop. rr **139** ἀσπέτω(ι) 9 60 Z Ω* G^{γρ}: ἀσχ- G **140** ὕψι Ptol Hdn 9 Z Ω: ὑψὶ quidam ante Hdn δ' 9 60 481 D T W: τ' t Z Ω* **141** ἕως ἵκηται A *b* (εἵως C) (cf. ο 109, τ 367): ὄφρ' ἂν ἵκ- 9 60 Ω* (cf. K 325, O 23, Φ 558): εἰς ὅ κεν ἔλθηι t.—vv.ll. eaedem ψ 151 **144** ῥέα διελεύσεσθαι Ar t, ῥεῖα διελ- T: ῥεῖα δ' ἐλ- (nov. Did) 9 60 Ω*, ρειαδ[481: ῥεῖα ἐλ- W.—cf. ad Υ 263

νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν
ὦσαν ἀπὸ σφείων, ὃ δὲ χασσάμενος πελεμίχθη.
ἤϋσεν δὲ διαπρύσιον Τρώεσσι γεγωνώς·
150 "Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
παρμένετ'· οὔ τοι δηρὸν ἐμὲ σχήσουσιν Ἀχαιοί,
καὶ μάλα πυργηδὸν σφέας αὐτοὺς ἀρτύναντες,
ἀλλ', οΐω, χάσσονται ὑπ' ἔγχεος, εἰ ἐτεόν με
ὦρσε θεῶν ὥριστος, ἐρίγδουπος πόσις Ἥρης."
155 ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.
Δηΐφοβος δ' ἐν τοῖσι μέγα φρονέων ἐβεβήκει
Πριαμίδης, πρόσθεν δ' ἔχεν ἀσπίδα πάντοσ' ἐΐσην,
κοῦφα ποσὶ προβιβὰς καὶ ὑπασπίδια προποδίζων.
Μηριόνης δ' αὐτοῖο τιτύσκετο δουρὶ φαεινῶι,
160 καὶ βάλεν, οὐδ' ἀφάμαρτε, κατ' ἀσπίδα πάντοσ' ἐΐσην
ταυρείην· τῆς δ' οὔ τι διήλασεν, ἀλλὰ πολὺ πρίν
ἐν καυλῶι ἐάγη δολιχὸν δόρυ· Δηΐφοβος δέ
ἀσπίδα ταυρείην σχέθ' ἀπὸ ἕο, δεῖσε δὲ θυμῶι
ἔγχος Μηριόναο δαΐφρονος. αὐτὰρ ὅ γ' ἥρως
165 ἂψ ἑτάρων εἰς ἔθνος ἐχάζετο, χώσατο δ' αἰνῶς
ἀμφότερον, νίκης τε καὶ ἔγχεος ὃ ξυνέαξεν·
βῆ δ' ἰέναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν
οἰσόμενος δόρυ μακρόν, ὅ οἱ κλισίηφι λέλειπτο.
οἱ δ' ἄλλοι μάρναντο, βοὴ δ' ἄσβεστος ὀρώρει.

147 Lib. Ep. 1265.2 (xi.343.3 F.); (ἔγχ. ἀμφιγ.) H. ε 343, cf. α 8668; EtG α 716; (ἀμφιγ.) H. (Cyr.) α 3968; Phot. Lex. α 1311 **151** Did ad N 51a^{1} **152**b ApD Synt. 254.3 **158**b ApS 158.1; H. (Cyr.) υ 252; (ὑπασπ.) Hdn ii.235.11; EtG α 1293; (προποδ.) H. π [3616], 3638 **159** ApS 153.10 **162** (δολ.) H. (Cyr.) δ 2148; (Δηΐφ.–)–**163** (–ἕο) Hdn i.557.7, 558.4 **165** Eudoc. 1812 **168** (οἰσ.) H. ο 401; Phot. Lex. s.v.; **168**b sch N 256a

148 χασσάμενος πελεμίχθη Ar 9 60 1257 Ω: χάσσατο πολλὸν ὀπίσσω Zen **150** ἀγχιμαχηταί 9 60$^{?}$ 1257 Ω: αμφιμα[85 **153** οΐω 9 85 1257 A B E F^{a}, ὀΐω 1259 D C R G: οΐωι sch^{bT} F^{c} T W **155** ὤτρυνε 9 1257 1259 Ω: ὄτρ- r **157** om. D (rest. D^{2}): hab. 9 10 60 85 1255 1257 1261 Ω* πρόσθεν 9 60 85 1257 1261 Ω: πρὸ ἕθεν van Leeuwen.—cf. ad 803 πάντοσ' ἐΐσην B E F: -οσε ἴσην Ω* **158** ὑπασπίδια 9 60 1257 tt* Ω*, ὑπ' ἀσπ- Z D W G^{a}: ὑπ' ἀσπίδα ApS R: ϋποσπιδια 85 **159** αὐτοῖο 9 60 1257 1261 Z Ω: αὖ τοῖο (Doederlein) 85:]ο 1255: ἐν τοῖσι (ex 156) t **160** πάντοσ' ἐΐσην B E F: -οσε ἴσην Ω* **163** σχέθ' 9 60 85 1257 t Ω*: σχέτ' A D *b* W ἀπὸ 9 60 85 1257 Ω*: ἀπαὶ W V **165** ἂψ 85 Ω: ἂψ δ' (cf. Γ 32 al.) 9 60 (t) r **166** ξυνέαξε Ar 9 60 Ω: -έηξε Zen (cf. ad H 270): ?προ]εηκε 10 (suppl. Blass) **168** ὅ 9 60 1257 Ω: ἅ quidam ap. sch^{T} cl. μ 97

170 Τεῦκρος δὲ πρῶτος Τελαμώνιος ἄνδρα κατέκτα,
Ἴμβριον αἰχμητήν, πολυΐππου Μέντορος υἱόν·
ναῖε δὲ Πήδαιον, πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν,
κούρην δὲ Πριάμοιο νόθην ἔχε Μηδεσικάστην.
αὐτὰρ ἐπεὶ Δαναῶν νέες ἤλυθον ἀμφιέλισσαι,
175 ἂψ εἰς Ἴλιον ἦλθε, μετέπρεπε δὲ Τρώεσσιν,
ναῖε δὲ πὰρ Πριάμωι· ὃ δέ μιν τίεν ἶσα τέκεσσιν.
τόν ῥ' υἱὸς Τελαμῶνος ὑπ' οὔατος ἔγχεϊ μακρῶι
νύξ', ἐκ δ' ἔσπασεν ἔγχος· ὃ δ' αὖτ' ἔπεσεν μελίη ὥς,
ἥ τ' ὄρεος κορυφῆι ἕκαθεν περιφαινομένοιο
180 χαλκῶι ταμνομένη τέρενα χθονὶ φύλλα πελάσσηι.
ὣς πέσεν, ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῶι.
Τεῦκρος δ' ὡρμήθη μεμαὼς ἀπὸ τεύχεα δῦσαι·
Ἕκτωρ δ' ὁρμηθέντος ἀκόντισε δουρὶ φαεινῶι,
ἀλλ' ὃ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος
185 τυτθόν, ὃ δ' Ἀμφίμαχον, Κτεάτου υἷ' Ἀκτορίωνος,
νισόμενον πόλεμόνδε κατὰ στῆθος βάλε δουρί·
δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῶι.
Ἕκτωρ δ' ὡρμήθη κόρυθα κροτάφοις ἀραρυῖαν
κρατὸς ἀφαρπάξαι μεγαλήτορος Ἀμφιμάχοιο·
190 Αἴας δ' ὁρμηθέντος ὀρέξατο δουρὶ φαεινῶι
Ἕκτορος· ἀλλ' οὔ πηι χροὸς εἴσατο, πᾶς δ' ἄρα χαλκῶι
σμερδαλέωι κεκάλυφθ'· ὃ δ' ἄρ' ἀσπίδος ὀμφαλὸν οὖτα,
ὦσε δέ μιν σθένεϊ μεγάλωι· ὃ δὲ χάσσατ' ὀπίσσω
νεκρῶν ἀμφοτέρων, τοὺς δ' ἐξείρυσσαν Ἀχαιοί.

172 (Πήδ.) H. π 2153 **178** (μελίη ὥς) H. (Cyr.) μ 708 **181** (ἀμφὶ–βράχε) EtG β 251 **184** al. (ἠλεύ.) H. η 344 **186** (νισ.) H. (Cyr.) ν 588 **191** (χρ. εἴσ.) sch Ξ 255b; H. χ 761 **192** (οὖτα) id. ο 1886

171 Κέντορος lusit sch[T] (ἔδει· οἰκεῖον γὰρ τῶι πολυΐππωι τὸ κεντεῖν) **172** ναῖε δὲ Ar 9 60 85 Ω*: δὲ om. B rr: ὃς νάε (vel potius ναῖε) Zen, ὃς ναῖε C rr.—cf. ad Z 34 **177** ῥ' 60 Ω: δ' 9 rr **178** αὖτ' 9 Ω: αὖθ' Grashof: αἶψ' A[γρ] **179** ἥ τ' 9 Ω: ευτ 60 κορυφῆ(ι) Ar A *b* R: -ῆ(ι)ς (nov. Did) 9 60 Z Ω* **180** ταμνομένη Ω*: τεμν- 9 60 R **183** Αιας δ' ορμηθεντος ορεξατο (ex 190) 60 **185** υἷ' 9 60 1261 Ω*: υἱὸν T.—cf. ad E 612, N 792 **186** νισόμενον 47 60 1261 t Ω*: νεισ- 9 1260 Z D F[s], νεισσ- R[c] κατὰ στῆθος βάλε δουρί 9 10 1261 Ω: παρα στηθος ̣π̣α̣ρ̣α ̣μ̣α̣ζ̣ο̣ν 60 **187** ἀράβησε 9 10 60 1261 Ω: ἀράδησε quidam ap. sch[T] **188** ορμηθη 1260[a] **189** Ἀντιμάχοιο *b* **190** ὀρέξατο 10 47 60 Ω*: ἀκόντισε (ex 183) F T[γρ] R G **191** χροὸς Ar (teste Alexione) sch[D] Ω: χρόος Ar[ab] (teste Tyr Did) 10 tt, agn. sch[D]: χροο[ς 47: χρὼς Zen.—v. Wack. KS 1120 **194** ἐξείρυσσαν Ω*: -υσαν 60 A[a] R W G

195 Ἀμφίμαχον μὲν ἄρα Στιχίος δῖός τε Μενεσθεὺς
ἀρχοὶ Ἀθηναίων κόμισαν μετὰ λαὸν Ἀχαιῶν,
Ἴμβριον αὖτ' Αἴαντε, μεμαότε θούριδος ἀλκῆς·
ὥς τε δύ' αἶγα λέοντε κυνῶν ὕπο καρχαροδόντων
ἁρπάξαντε φέρητον ἀνὰ ῥωπήϊα πυκνά
200 ὑψοῦ ὑπὲρ γαίης μετὰ γαμφηλῇσιν ἔχοντε,
ὥς ῥα τὸν ὑψοῦ ἔχοντε δύω Αἴαντε κορυστά
τεύχεα συλήτην. κεφαλὴν δ' ἁπαλῆς ἀπὸ δειρῆς
κόψεν Ὀϊλιάδης, κεχολωμένος Ἀμφιμάχοιο,
ἧκε δέ μιν σφαιρηδὸν ἑλιξάμενος δι' ὁμίλου·
205 Ἕκτορι δὲ προπάροιθε ποδῶν πέσεν ἐν κονίῃσιν.
καὶ τότε δὴ περὶ κῆρι Ποσειδάων ἐχολώθη
υἱωνοῖο πεσόντος ἐν αἰνῇ δηϊοτῆτι,
βῆ δ' ἰέναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν
ὀτρυνέων Δαναούς, Τρώεσσι δὲ κήδε' ἔτευχεν.
210 Ἰδομενεὺς δ' ἄρα οἱ δουρικλυτὸς ἀντεβόλησεν
ἐρχόμενος παρ' ἑταίρου, ὅ οἱ νέον ἐκ πολέμοιο
ἦλθε, κατ' ἰγνύην βεβλημένος ὀξέϊ χαλκῶι.
τὸν μὲν ἑταῖροι ἔνεικαν, ὃ δ' ἰητροῖς ἐπιτείλας
ἤϊεν ἐς κλισίην· ἔτι γὰρ πολέμοιο μενοίνα
215 ἀντιάαν. τὸν δὲ προσέφη κρείων Ἐνοσίχθων,
εἰσάμενος φθογγὴν Ἀνδραίμονος υἷι Θόαντι,
ὃς πάσηι Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι

195b–6a sch N 690–1, O 328a **198a** sch Π 756 **199b** ApS 139.25; (ῥωπ.) H. ρ 576 **200** al. (γαμφ.) ApS 53.34 **201** Porph. Hom. 84.9 Sod. **202a** Epm. η 23 (bis) **203** cf. H. ι 550 (Ἰλιάδης) **205** (–πέσε) 'Hdn.' Fig. 4; (δὲ–) Eudoc. 823, cf. 646 **206** sch N 219–329 **209** al. (ἔτευχεν) H. (Cyr.) ε 6599 **212** (–βεβλ.) Hdn ad Φ 242 = i.284.1; (ἰγνύη) Orio 75.8 **213b** sch Π 28a **215** (ἀντ.) H. α 5375 **217** (Πλ.–; vel Ξ 116) w32

195 Στιχίος 9 60 tt Ω: Σχεδίος quidam ap. sch[T] **196** λαὸν 10 60 Ω: ἔθνος A[γρ] **198** τε 9 t Ω: δε (Bekker) 60 αἶγα Ar 9 10 t Ω, αργα 60: αἶγε Zen ὕπο A[c] C E: ὑπὸ vel ὑπο 9 60 Ω*: ἀπὸ W rr **200** ἔχοντε 10 60 Ω*: -ες 9 *h* R **203** Ὀϊλιάδης Ar 9 10 60 Ω (ὁ ἰλ- D), Οειλ- 47: ἄρ' Ἰλ- Zen, cf. Hsch.—v. ad B 527 **206** περὶ 9 Ω: πέρι r **207** ἐν αἰνῇ δηϊοτῆτι 10 60 (-δητι) Ω: ἐνὶ κρατερῇι ὑσμίνηι 9 V **209** ὀτρυνέων 9 10 47[c] Ω*: -νων 47[a] 60 (ωτρ-) D.—cf. ad K 38, O 270, Φ 530 κήδε' ἔτευχεν 9 60 Ω: κ[η]δεα τ- 10 **210** δουρὶ κλυτὸς A B[a] E W ἀντεβόλησεν 9 10 60 h78 Ω: cf. ad Λ 809 **211** Ἑταίρου quidam ap. sch[T] **212** ἰγνύην Hdn 9 Z Ω* A[m], -υὴν A D[a], -υην 10 47 60 h78: -υίην W: ἴγνυαν Ar? (Theognost. 106.21) **214** ἤϊεν 9 10 47 60 Ω: ἦν ἴεν quidam ap. sch[T] ἐς κλισίην 9 10 47 60 sch[T] Ω*: ἐκ κλισίης D R W **216** φθογγὴν 9 10 47 60 Ω* (cf. B 791): φωνὴν C rr **217** πάσηι 9 10 47 60 Ω: πᾶσι H M O

Αἰτωλοῖσιν ἄνασσε, θεὸς δ' ὣς τίετο δήμωι·
"Ἰδομενεῦ, Κρητῶν βουληφόρε, ποῦ τοι ἀπειλαί
220 οἴχονται, τὰς Τρωσὶν ἀπείλεον υἷες Ἀχαιῶν;"
τὸν δ' αὖτ' Ἰδομενεὺς Κρητῶν ἀγὸς ἀντίον ηὔδα·
"ὦ Θόαν, οὔ τις ἀνὴρ νῦν αἴτιος, ὅσσον ἐγώ γε
γινώσκω· πάντες γὰρ ἐπιστάμεθα πτολεμίζειν.
οὔτέ τινα δέος ἴσχει ἀκήριον, οὔτέ τις ὄκνωι
225 εἴκων ἀνδύεται πόλεμον κακόν· ἀλλά που οὕτω
μέλλει δὴ φίλον εἶναι ὑπερμενέϊ Κρονίωνι,
νωνύμνους ἀπολέσθαι ἀπ' Ἄργεος ἐνθάδ' Ἀχαιούς.
ἀλλὰ Θόαν, καὶ γὰρ τὸ πάρος μενεδήϊος ἦσθα,
ὀτρύνεις δὲ καὶ ἄλλον, ὅθι μεθιέντα ἴδηαι·
230 τὼ νῦν μήτ' ἀπόληγε κέλευέ τε φωτὶ ἑκάστωι."
τὸν δ' ἠμείβετ' ἔπειτα Ποσειδάων ἐνοσίχθων·
"Ἰδομενεῦ, μὴ κεῖνος ἀνὴρ ἔτι νοστήσειεν
ἐκ Τροίης, ἀλλ' αὖθι κυνῶν μέλπηθρα γένοιτο,
ὅς τις ἐπ' ἤματι τῶιδε ἑκὼν μεθιῆσι μάχεσθαι.
235 ἀλλ' ἄγε τεύχεα δεῦρο λαβὼν ἴθι· ταῦτα δ' ἅμα χρή
σπεύδειν, αἴ κ' ὄφελός τι γενώμεθα καὶ δύ' ἐόντε.
συμφερτὴ δ' ἀρετὴ πέλει ἀνδρῶν καὶ μάλα λυγρῶν·

222 (Θόαν) Arn ad A 86 **223** (ἐπιστ.) H. (Cyr.) ε 5226 **233** (κυν. μέλπ.) Arn ad δ 19; sch A 472b, X 70; Epm. α 329; (μέλπ.) ApS 110.26; H. (Cyr.) μ 763; Phot. Lex. μ 253 **236** (ὄφ.–) Epm. ad A 131a **237** ApS 146.16; sch Soph. Ai. 161; Philop. De opif. mundi 4.16; (–ἀνδρῶν) Aristid. Or. 2.406; **237a** sch Λ 314b; EtG α 1459 (Philox. fr. 647 Th.); Epm. β 4; (συμφ.) H. σ 2352

218*a* τῶι μιν ἐεισάμενος προσέφη κρείων Ἐνοσίχθων add. D[m] T H, item sed ἔπεα πτερόεντα προσηύδα M rr: deest in 9 10 47 60 Ω*.—cf. ad Γ 389 **219** ποῦ 9 47 Z Ω (= Υ 83): "ἀντὶ τοῦ πῆι" sch[T], cf. Θ 229: πọịι 60 **222** Θόαν Ar 9 10 47 60 Ω*: πέπον D (cf. I 252 al. et ad O 467, P 171) νῦν 9 60 Ω: νῦν γ' Ar 47 *b* V: νῦν δ' (δὴ?) Arph ἐγώ γε D: ἔγωγε Z Ω* **223** γινώσκω 9 10 47 60 481 Z Ω*: γιγν- T R[c] πτολεμίζειν 9 47 A T W: πολ- 60 Ω* **224** οὔτέ (τινα) 9 (ουτέ) 10 47 60 481 Ω: οὐδέ Did[γρ] rr ὄκνωι 9 47 Ω: ὄκνος (ex E 817) 60 rr **225** ἀνδύεται Ar[ab] (διὰ τοῦ ῡ) 9 10 47 60 Z Ω (ἀναδ- D W): ἀδδύ- alii teste sch[T] (αὖ δύ- Heyne): ἐνδύ- rr **226** δὴ 9 10 47 60 Ω: Δὶι O V P (cf. B 116, I 23, Ξ 69): an Δὶ? **227** νωνύμνους 9 10 47 60 (νυν-) A B T R[c] G[γρ]: -ύμους Ω* ἐνθάδ' Ἀχαιούς (= M 70) 9 10 47 60 A[γρ] Ω*: υἷας Ἀχαιῶν A rr **229** ὀτρύνεις 9 10 Ω: ωτρ- 47 (ex -νες) 60 ὅθι (= Δ 516) 9 10 60 A[γρ] Ω*, ὅ οἱ T: οθεν 47: ὅτε A *b* T[γρ]: ὅτις μεθίη(ι)σι πόνοιο Zen (cf. ad 234) ἴδηαι 9 10 (-ηιαι) 47 Ω*: ἴδοιο 60 T **230** τὼ Ludwich: τῶ(ι) Ω τε 47 Ω: δὲ 9 10 H **233** μέλπηθρα 9 10 47 1263 tt sch[D] Ω (cf. P 255, Σ 179): λ̣ε̣κτρησι 60: ἕλκηθρα Nauck Mél. II 428 cl. X 336, Eur. H.F. 568, Maneth. 4.200 **234** τις 9 47 60 435 481 Ω: κεν 10 Eust. rr.—cf. ad Ξ 416, Υ 363, Φ 103 μεθιῆσι dedi (-ιῆισι Bekker): -ίηισι A, -ίησι 1263 Ω*: -ιηισι 10, -ιησι 47 60: μεθεηισι 9, -έησι W[uv] (prob. van Leeuwen) μάχεσθαι 9 10 47 60 1263 Ω: πόνοιο Ar (teste T, cf. ad 229) **237** συμφερτη δ' ἀρετὴ

νῶϊ δὲ καί κ' ἀγαθοῖσιν ἐπισταίμεσθα μάχεσθαι."
ὣς εἰπὼν ὃ μὲν αὖτις ἔβη θεὸς ἂμ πόνον ἀνδρῶν·
240 Ἰδομενεὺς δ' ὅτε δὴ κλισίην εὔτυκτον ἵκανεν,
δύσετο τεύχεα καλὰ περὶ χροΐ, γέντο δὲ δοῦρε.
βῆ δ' ἴμεν ἀστεροπῆι ἐναλίγκιος, ἥν τε Κρονίων
χειρὶ λαβὼν ἐτίναξεν ἀπ' αἰγλήεντος Ὀλύμπου
δεικνὺς σῆμα βροτοῖσιν, ἀρίζηλοι δέ οἱ αὐγαί·
245 ὣς τοῦ χαλκὸς ἔλαμπε περὶ στήθεσσι θέοντος.
Μηριόνης δ' ἄρα οἱ θεράπων ἐῢς ἀντεβόλησεν
ἐγγὺς ἔτι κλισίης· μετὰ γὰρ δόρυ χάλκεον ἤιει
οἰσόμενος. τὸν δὲ προσέφη σθένος Ἰδομενῆος·
"Μηριόνη, Μόλου υἱὲ πόδας ταχύ, φίλταθ' ἑταίρων,
250 τίπτ' ἦλθες πόλεμόν τε λιπὼν καὶ δηϊοτῆτα;
ἠέ τι βέβληαι, βέλεος δέ σε τείρει ἀκωκή,
ἦέ τε' ἀγγελίης μετ' ἔμ' ἤλυθες; οὐδέ τοι αὐτός
ἧσθαι ἐνὶ κλισίηισι λιλαίομαι, ἀλλὰ μάχεσθαι."
254 τὸν δ' αὖ Μηριόνης πεπνυμένος ἀντίον ηὔδα·
256 "ἔρχομαι, εἴ τί τοι ἔγχος ἐνὶ κλισίηισι λέλειπται,
οἰσόμενος· τό νυ γὰρ κατεάξαμεν, ὃ πρὶν ἔχεσκον,

239 (ὃ μὲν–) EtG α 681 **242–4** Porph. Il. 43.25 Schr.; **242–3**a sch Λ 184b; **242** (ἐναλ.) H. (Cyr.) ε 2629; **243** (ἐτίν.) id. ε 6615; **244** Eudoc. 287 **246** (θερ.) cf. Luc. Dial. 33.47 **249**a Choer. in Thd. i.164.11; Epm. κ 144 **251**b sch O 4c; Choer. in Thd. i.358.17; Epm. ο 90 **252** (ἠέ τευ) H. η 206; (μετ' ἐμέ) H. (Cyr.) μ 1065; Phot. Lex. μ 347 **256–7** 'Hdn.' Fig. 5; Anon. Fig. iii.159.4 Sp.; **256** (–κλισ.) Epm. ε 87; **257** (τὸ–κατ.) H. τ 1130

Ar 9 10 47 60 435 tt sch[D] Ω: -τὸς(?) δὲ βίῃ Zen Arph **238** ἐπισταίμεσθα μάχεσθαι 9 (-στί-) 10 60 1263 Ω (-στάμ- A D F T G, -εθα F): -άμεθα πτολεμίζειν (ex 223) Z Eust. 929.22 (contra 929.37) **239** αὖτις 9 10 60 t Ω*: αὖθις C R W ἀμ vel ἂμ 9 t Z Ω*: ἀν vel ἂν 10 E: εν 60 **240** εὔτυκτον A C W[?] **241** om. 60 W[a]: hab. 9 10 47 1263 Ω δύσετο 9 10 47 Ω: -ατο V P **242** δ' 9 10 47 60 Porph. Ω: ῥ' t* H **245** ἔλαμπε περὶ Ar 9 60 Ω: -εν ἐνὶ Zen Arph 10.—cf. ad X 32 στήθεσσι 9 10 60 Ω: -εσφι rr.—cf. ad B 388 **246** θεράπων ἐῢς Ar Hdn Ω: -ωνεὺς quidam ante Ptol: -ωνευς 9 10 60: δουρικλυτὸς Zen Arph (cf. 210 et ad 254) ἀντεβόλησεν 9 10 Ω: cf. ad Λ 809 **251** ἠέ τι Z D[a] F[c] T R G: ἦέ,τι A[c]: ἦ ἔτι vel ἢ ἔτι Ω* **252** ἦέ A: ἢέ D B T, ἠέ 9 Z Ω* τε' Fick: τευ 9 10 47 t Z Ω: τεμ' 60 ἀγγελίης (Ar.) 9 10 Z Ω: -ίην Bentley (cum τιν'), Buttmann Lexil. II 202.—cf. ad Γ 206 τοι 9 Ω: τω 10: σοι 60 **254** πεπνυμένος 9 10 Ω (= 266): δουρικλυτὸς 60 *h* (= Π 619; cf. ad 246) **255** Ἰδομενεῦ Κρητῶν βουληφόρε χαλκοχιτώνων add. D[m] C[m] F T[m] (sch[Typ]) R W G: deest in 9 10 47 60 Ω* **256** κλισίη(ι)σι 9 10 tt Ω: -ηφι 60 *h* (cf. 168) **257** νυ γὰρ (inauditum) 9 10 47 tt Z Ω (τόνυ ex τόν A): νυ περ 60: νυ μὲν rr κατεάξαμεν 9 10 tt Ω: -ξομενοι 60: -εήξαμεν Zen (cf. ad H 270): κατέαξα μέν quidam ap. sch[AbT] F[c] O: κατέαξ' ἐμόν Naber

ἀσπίδα Δηϊφόβοιο βαλὼν ὑπερηνορέοντος."
  τὸν δ' αὖτ' Ἰδομενεὺς Κρητῶν ἀγὸς ἀντίον ηὔδα·
260 "δούρατα δ', αἴ κ' ἐθέληισθα, καὶ ἓν καὶ εἴκοσι δήεις
ἑσταότ' ἐν κλισίηι πρὸς ἐνώπια παμφανόωντα,
Τρώϊα, τὰ κταμένων ἀποαίνυμαι· οὐ γὰρ ὀΐω
ἀνδρῶν δυσμενέων ἑκὰς ἱστάμενος πολεμίζειν.
τώ μοι δούρατά τ' ἔστι καὶ ἀσπίδες ὀμφαλόεσσαι
265 καὶ κόρυθες καὶ θώρηκες λαμπρὸν γανόωντες."
  τὸν δ' αὖ Μηριόνης πεπνυμένος ἀντίον ηὔδα·
"καί τοι ἐμοὶ παρά τε κλισίηι καὶ νηῒ μελαίνηι
πόλλ' ἔναρα Τρώων· ἀλλ' οὐ σχεδόν ἐστιν ἑλέσθαι.
οὐδὲ γὰρ οὐδ' ἐμέ φημι λελασμένον ἔμμεναι ἀλκῆς,
270 ἀλλὰ μετὰ πρώτοισι μάχην ἀνὰ κυδιάνειραν
ἵσταμαι, ὁππότε νεῖκος ὀρώρηται πολέμοιο.
ἄλλόν πού τινα μάλλον Ἀχαιῶν χαλκοχιτώνων
λήθω μαρνάμενος, σὲ δὲ ἴδμεναι αὐτὸν ὀΐω."
  τὸν δ' αὖτ' Ἰδομενεὺς Κρητῶν ἀγὸς ἀντίον ηὔδα·
275 "οἶδ' ἀρετὴν οἷός ἐσσι· τί σε χρὴ ταῦτα λέγεσθαι;
εἰ γὰρ νῦν παρὰ νηυσὶ λεγοίμεθα πάντες ἄριστοι
ἐς λόχον, ἔνθα μάλιστ' ἀρετὴ διαείδεται ἀνδρῶν,
ἔνθ' ὅ τε δειλὸς ἀνὴρ ὅς τ' ἄλκιμος ἐξεφαάνθη—
τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼς ἄλλυδις ἄλληι,
280 οὐδέ οἱ ἀτρέμας ἧσθαι ἐρητύετ' ἐν φρεσὶ θυμός,
ἀλλὰ μετοκλάζει καὶ ἐπ' ἀμφοτέρους πόδας ἵζει,
ἐν δέ τέ οἱ κραδίη μεγάλα στέρνοισι πατάσσει

260 Epm. δ 77; (δήεις) ApS 58.4; H. δ 764 **262** (ἀποαίν.) H. (Cyr.) α 6248 **265** (κόρ.–) Porph. Hom. 51.5 Sod.; (θώρ.) H. θ 1015 **268** (οὐ σχ.) id. ο 1798 **269** (–λελ.) ApD Synt. 193.15; (οὐδ'–λελ.) id. Pron. 41.28, 47.5; (ἐμέ φ.) id. Synt. 208.5 **273** (ἴδμ.) H. (Cyr.) ι 216 **275** Heph. p.5.1 C. **276–7** (ἐς λ.) Epm. λ 42; **276** (–λεγ.) H. λ 498; (λεγ.) ApS 107.28; **277** sch A 227; (ἔνθα–) sch Z 188c; Dam. Vit. Isid. p.50 Z.; cf. Clem. Paed. 3.20.2; (διαείδ.) H. δ 1010; **278** w41 (mutila); ApS 56.31; Aristid. Or. 3.226; Eudoc. 497; Choer. in Ps. 136.19; Epm. ο 101; (δειλός) Apio 230.1; **278b** sch Ψ 319b **279–80** + **282–5** (ταρβ.) [Plut.] Hom. 2.135.2; Stob. 4.10.27; **279** ApS 94.12; (–χρώς) Plut. Mor. 916b; Choer. in Ps. 133.16; **281** sch Pind. Nem. 3.72c; Philox. fr. 221 Th.; (μετ.–) sch H 213a; Epict. 2.13.13; (μετ.) H. (Cyr.) μ 1109; Phot. Lex. μ 359; (ἵζει) H. (Cyr.) ε 788, ι 346; Phot. Lex. ι 70; **282** (οἱ–) Lib. Or. 1.27 (i.96.20 F.); (πατ.) H. π 1099;

260 δ' 10 47 t Ω*: τ' 9: γ' *b* F[c] R: ι 60[uv] **261** ἐνώπια, Nic (cl. Θ 435) A F G **263** ιστ]αμενοι πτολεμιζειν 10 **264** τώ D[a]: τῶ(ι) Ω* ἐστι 9 10 60 Ω, sed in 10 α super σ m. al.: fort. δούρατ' ἔασι voluit **265** om. 481 **266*a*** (= 255) add. D[m] **271** πολέμοιο 10 60 Ω: π[τ]ολ- 435 **272** ἄλλόν sic F G μάλλον Blass: μᾶ- Ω **278** del. Koeppen τε 10 435 tt* Ω: γε 60? ApS **281** om. [Plut.] Stob.

κῆρας ὀϊομένωι, πάταγος δέ τε γίνετ' ὀδόντων·
τοῦ δ' ἀγαθοῦ οὔτ' ἂρ τρέπεται χρὼς οὔτέ τι λίην
285 ταρβεῖ, ἐπειδὰν πρῶτον ἐσίζηται λόχον ἀνδρῶν,
ἀρᾶται δὲ τάχιστα μιγήμεναι ἐν δαῒ λυγρῆι—
οὐδέ κεν ἔνθα τεόν γε μένος καὶ χεῖρας ὄνοιτο.
εἴ περ γάρ κε βλεῖο πονεόμενος ἠὲ τυπείης,
οὐκ ἂν ἐν αὐχέν' ὄπισθε πέσοι βέλος οὐδ' ἐνὶ νώτωι,
290 ἀλλά κεν ἢ στέρνων ἢ νηδύος ἀντιάσειεν
πρόσσω ἱεμένοιο μετὰ προμάχων ὀαριστύν.
ἀλλ' ἄγε, μηκέτι ταῦτα λεγώμεθα νηπύτιοι ὥς
ἑσταότες, μή πού τις ὑπερφιάλως νεμεσήσηι,
ἀλλὰ σύ γε κλισίηνδε κιὼν ἕλε' ὄβριμον ἔγχος."
295 ὣς φάτο· Μηριόνης δὲ θοῶι ἀτάλαντος Ἄρηϊ
καρπαλίμως κλισίηθεν ἀνείλετο χάλκεον ἔγχος,
βῆ δὲ μετ' Ἰδομενῆα, μέγα πτολέμοιο μεμηλώς.
οἷος δὲ βροτολοιγὸς Ἄρης πόλεμόνδε μέτεισιν,
τῶι δὲ Φόβος φίλος υἱὸς ἅμα κρατερὸς καὶ ἀταρβής
300 ἕσπετο, ὅς τ' ἐφόβησε ταλάφρονά περ πολεμιστήν·
τὼ μὲν ἄρ' ἐκ Θρήικης Ἐφύρους μέτα θωρήσσεσθον

Phot. Lex. s.v.; **283** (πάτ.–) sch Ar. Nub. 378a; (πάτ.) H. π 1091; Phot. Lex. s.v.; **284–5** (ταρβ.) Plut. Mor. 452a; **285** (ταρβ.) H. (Cyr.) τ 183; Phot. Lex. s.v. **286** al. (ἐν δαῒ λ.) ApS 56.19; Epm. δ 57; (δαΐ) H. (Cyr.) δ 82 **287** (–μένος) sch[D] N 276; (ὄνοιτο) H. (Cyr.) ο 903 **288–91** [Plut.] Hom. 2.198.2; Stob. 3.7.13; **288** (–πον.) EtG β 135 e Choer.; Epm. β 30, ε 182; **288a** sch Ar. Ach. 236a; (βλεῖο) H. β 60; **290** (νηδ.) H. (Cyr.) ν 442; **291** (ὀαρ.) H. ο 13 **292** (–λεγ.) sch Thuc. 8.89.2; (νηπ.) ApS 116.25 **295** (ἀταλ.–) Luc. Dial. 33.47 **299a** Arn ad O 119 **300** (ταλάφρ.) ApS 148.28; H. τ 77 **301–2** (–μεγ.) Strab. 9.5.21; Paus. 9.36.3; **301** ApS 80.12; sch Soph. Ant. 970; **301a** Strab. 7 fr. 14; (Ἐφ., Φλ.) ibid.; St. Byz. 382.8; (Ἐφ.) H. ε 7557; **302** (–μεγ.) Hdn i.53.3;

284 οὔτέ 10 435 1264 tt* Ω (cum accentu duplici A D F R W G, οὐτέ B E T): οὐδέ 60 Plut. **285** ἐπειδὰν (Attice) 10 60 435 (επιδ'αν) Z Ω (-δ'ἂν Z B[a] E R W, ἐπεὶ ἂν T): ἐπεί τ' ἂν Wack. Unt. 35: ἐπὴν δὴ Thiersch: ἐπεὶ δὴ Brandreth: ἐπεί κεν Bekker ἐσίζηται 10 60 435 Z Ω: ἐσέζ- Monro **287** γε Ar[ab] 435 Z Ω: et alteram lect. nov. Did, fort. τε (*b* H V) **288** κε tt* Ω*, κεν 435 C (cf. B 123): καὶ (Thiersch) 10 60 [Plut.] *b* V βλεῖο 10 60 435 tt* sch[A] Z Ω*: βλῆ(ι)ο fere Epm[βa]? Epm[ε] (βλῆς) C R V, fort. melius; cf. Schwyzer 795 πονεόμενος dedi: πονεύ- 10 60 435 tt Z Ω **289** οὐκ ἂν Ar 10 60 tt Ω: οὔ κεν "αἱ κοιναί" 47 H.—cf. ad M 465, P 489, Ω 439 ἐν 10 60 Ω: ἐπ' tt **290** στέρνων 10 60 435 tt Z Ω*: -οιο W rr **294** γε 47 60 Ω*: δε 435: γ' ἐς R ἕλε' Fick, ἕλε r: ἕλευ 10 47 60 435 Ω **300** ἕσπετο Ω (sine spir. 10 A) τ' ἐφόβησε 435 Ω: τε φ- M ταλάφρονα 10 60 tt Ω: ταλαίφρονα (Nauck) 47 Z.—cf. Schwyzer 448 **301** ἐκ Θρήικης Ἐφύρους fere 10 47 60 318 435 tt* sch Ω (Θρεΐκης Nauck): εἰς Ἐφύρους πόλεμον Paus. θωρήσσεσθον 10 47 (-εσ[θ) 435 623 tt* Ω (ad formam cf. KB II 69; Chantr. I 477 sq.; -έσθην Christ): -οντο Strab.—cf. ad Π 218

ἠὲ μετὰ Φλεγύας μεγαλήτορας· οὐδ' ἄρα τώ γε
ἔκλυον ἀμφοτέρων, ἑτέροισι δὲ κῦδος ἔδωκαν·
τοῖοι Μηριόνης τε καὶ Ἰδομενεὺς ἀγοὶ ἀνδρῶν
305 ἤϊσαν ἐς πόλεμον κεκορυθμένοι αἴθοπι χαλκῶι.
τὸν καὶ Μηριόνης πρότερος πρὸς μῦθον ἔειπεν·
"Δευκαλίδη, πῆι ταρ μέμονας καταδῦναι ὅμιλον;
ἠ' ἐπὶ δεξιόφιν παντὸς στρατοῦ, ἦ' ἀνὰ μέσσους,
ἦ' ἐπ' ἀριστερόφιν; ἐπεὶ οὔ ποθι ἔλπομαι οὕτω
310 δεύεσθαι πολέμοιο κάρη κομόωντας Ἀχαιούς."
τὸν δ' αὖτ' Ἰδομενεὺς Κρητῶν ἀγὸς ἀντίον ηὔδα·
"νηυσὶ μὲν ἐν μέσσηισιν ἀμύνειν εἰσὶ καὶ ἄλλοι,
Αἴαντές τε δύω Τεῦκρός θ', ὃς ἄριστος Ἀχαιῶν
τοξοσύνηι, ἀγαθὸς δὲ καὶ ἐν σταδίηι ὑσμίνηι·
315 οἵ μιν ἅδην ἐλόωσι καὶ ἐσσύμενον πολέμοιο
{Ἕκτορα Πριαμίδην, εἰ καὶ μάλα καρτερός ἐστιν}.
αἰπύ οἱ ἐσσεῖται, μάλα περ μεμαῶτι μάχεσθαι,
κείνων νικήσαντι μένος καὶ χεῖρας ἀάπτους
νῆας ἐνιπρῆσαι, ὅτε μὴ αὐτός γε Κρονίων
320 ἐμβάλοι αἰθόμενον δαλὸν νήεσσι θοῆισιν.
ἀνδρὶ δέ κ' οὐκ εἴξειε μέγας Τελαμώνιος Αἴας,
ὃς θνητός τ' εἴη καὶ ἔδοι Δημήτερος ἀκτήν,
χαλκῶι τε ῥηκτὸς μεγάλοισί τε χερμαδίοισιν·
οὐδ' ἂν Ἀχιλλῆϊ ῥηξήνορι χωρήσειεν

Choer. in Thd. i.142.27; (Φλ.) H. φ 587 **306** (–πρότ.) ApD Synt. 380.3 **308** (–στρ.) Epm. ν 6; **308a** sch N 588a; (ἐπὶ δεξ.) ApD Adv. 206.27 **309b–10a** ApS 58.1; (ἐπεὶ οὔ ποθι) Charax in AB 1154; (οὔ π.) H. (Cyr.) ο 1806 **315** (ἅδην ἐλ.) H. α 1096; (ἐλ.) id. ε 2174 **317** (αἰπύ) H. (Cyr.) α 2055 **320** (δαλόν) Apio 229.5 **321** Aristid. Or. 3.471; sch Lyc. 462; Choer. in Thd. ii.300.26; **321a** sch Λ 544 **322** Porph. Od. 66.7 Schr.; Eudoc. 323; (Δημ. ἀκτή) H. δ 855; EtG α 379; Epm. α 240; Lex. αἱμ α 109

303 ἑτέροισι 10 47 435 Ω: εταροισι 60 **307** ταρ 10 47 60 435^{s}, τὰρ D F^{c}: τ' ἂρ Ω*: γὰρ 435^{t} **308** ἠ' (ἐπὶ) Fick: ἠ A, ἢ Ω*: ἦ B E F W ἦ' (ἀνὰ) dedi: ἦ quidam ap. sch^{T} W: ἠ A, ἢ Ω* **309** ἦ' dedi: ἦ quidam ap. sch^{T}: ἢ Ω ποθι 36 47 435 tt Ω (ποθ' W), πωθι 10, ποτι 60: πού τε T^{γρ} οὕτω 47 60 435 t Ω*: -ως 10 *b* V **310** πολέμοιο 10 60 Ω: πτο- 435 **312** ἀμύνειν 10 47 60 219 435 1265 Ω: -έμεν Bekker **315** ἅδην (Ar) Z A C E W: ἄ- Ω* ἐλόωσι (cf. Τ 423) Ar 10 60 435 tt sch^{D} Ω*, ἐλ- Z A *b* R W: ἀάσουσι (? ἐάσουσι A, ἀάσωσι T, ἄσουσι La Roche) "κατ' ἔνια τῶν ὑπομνημάτων" (cf. ad Φ 221) πολέμοιο Ar 10 Ω: -μίζειν Zen **316** deest in 10 36 60 481 1254 1265 Ω*: hab. 435 D^{2} F T^{m} R W G.—cf. Apthorp 146 sq. εἰ καὶ 435 D^{2}: καὶ εἰ F T^{m} R W G **317** ἐσσεῖται Ω: de accentu ambigit sch^{T}; cf. ad B 393 **318** κείνων Ar^{ab} 435 Ω*: -νω(ι) (nov. Did) 10 60 481 D G^{a} ἀάπτους Ar(?) 10 60 Ω: ἀέ- Arph(?).—cf. ad A 567 **320** ἐμβάλοι 10 Ω, -λλοι 60: -ηι 435 r

325 ἕν γ' αὐτοσταδίηι· ποσὶ δ' οὔ πώς ἐστιν ἐρίζειν.
νῶϊν δ' ὧδ' ἐπ' ἀριστέρ' ἔχε στρατοῦ, ὄφρα τάχιστα
εἴδομεν, ἠέ τωι εὖχος ὀρέξομεν, ἦέ τις ἡμῖν."
ὣς φάτο· Μηριόνης δὲ θοῶι ἀτάλαντος Ἄρηϊ
ἦρχ' ἴμεν, ὄφρ' ἀφίκοντο κατὰ στρατόν, ἧι μιν ἀνώγει.
330 οἳ δ' ὡς Ἰδομενῆα ἴδον φλογὶ εἴκελον ἀλκήν,
αὐτὸν καὶ θεράποντα, σὺν ἔντεσι δαιδαλέοισιν,
κεκλόμενοι καθ' ὅμιλον ἐπ' αὐτῶι πάντες ἔβησαν.
τῶν δ' ὁμὸν ἵστατο νεῖκος ἐπὶ πρυμνῆισι νέεσσιν·
ὡς δ' ὅθ' ὑπὸ λιγέων ἀνέμων σπέρχωσιν ἄελλαι
335 ἤματι τῶι, ὅτε τε πλείστη κόνις ἀμφὶ κελεύθους,
οἵ τ' ἄμυδις κονίης μεγάλην ἱστᾶσιν ὀμίχλην,
ὣς ἄρα τῶν ὁμόσ' ἦλθε μάχη, μέμασαν δ' ἐνὶ θυμῶι
ἀλλήλους καθ' ὅμιλον ἐναιρέμεν ὀξέϊ χαλκῶι.
ἔφριξεν δὲ μάχη φθεισίμβροτος ἐγχείηισιν
340 μακρῆις, ἃς εἶχον ταμεσίχροας· ὄσσε δ' ἄμερδεν
αὐγὴ χαλκείη κορύθων ἄπο λαμπομενάων
θωρήκων τε νεοσμήκτων σακέων τε φαεινῶν,
ἐρχομένων ἄμυδις. μάλα κεν θρασυκάρδιος εἴη,
ὃς τότε γηθήσειεν ἰδὼν πόνον οὐδ' ἀκάχοιτο.

327 (ἠέ τωι) H. η 207 **330** al. (εἴκ.) H. (Cyr.) ε 822 **336** Hdn ad Υ 114c[1]; **336**a id. ad δ 659 **339–44** Cert. Hom. et Hes. 12; **339** Porph. Hom. 46.7 Sod.; sch Pind. Isth. 6.58a; sch Eur. Pho. 1105; Macr. Sat. 6.4.6; **339**a + ἐγχ. sch Β 148c; **339**a Demetr. Eloc. 82; sch Δ 282b; (ἔφρ.) H. ε 7541; (φθ.) id. φ 414; Phot. Lex. s.v.; **340** (ταμ.) ApS 150.4; (ὄσσε–)–**342** Porph. Hom. 47.15 Sod.; (ὄσσε–)–**342**a Hclt. Alleg. 31.9; (ὄσσε–)–**341** sch Ar. Ach. 1128a; (ὄσσε–)–**341**a ApS 28.29; (ὄσσε–) sch Ν 341; (ἄμερδεν) H. (Cyr.) α 3591; **341** Macr. Sat. 5.12.2; **342**a id. 5.14.7; (νεοσμ.) H. ν 350; **343–4** Eudoc. 1625–6

327 ἠέ τω(ι) 10 60 t Ω: et hoc et εἴ κέ τωι lemmata in sch[D].—cf. ad Μ 328 ἦέ τις Bekker: ἠέ τις Ω: ηε και 10 **329** βῆ ῥ' ἴμεν G[γρ] ἀφίκοντο 10 Ω: -οιτο 60 *h* **331** δαιδαλέοισι(ν) 10 47 60 1266 Ω: μαρμαίροντας A[γρ] H (= Π 279) **332** αυτωι 10 60, αυτω`ι 1266, αὐτῶ(ι) Ω: αὐτῷ Bentley **333** ὁμὸν 9 10 60 sch[bTD] Ω: ὁμόσ' (ex 337) sch[Tγρ] πρυμνῆισι C[c]: proparox. Ω*.—cf. Praef. xxi **334** ὑπὸ 9 10 Ω*: ὑπαὶ W H[c] V **335/6** pro duplici recensione hab. L. Friedländer Jb. f. Phil. Supp. 3 (1859) 473 **335** κελεύθους 9 10 (-σθ-) 47 1266 Ω: βεβηκει 60 **336** τ' 9 10 tt Ω: δ' (Heyne) 60 fort. rectius ἵστασιν, cf. KB II 192, 207; Chantr. I 471 **337** ἦλθε 9 10 60 Ω*: ἦρχε R W **339** φθεισιμβροτος 10: φθισ- 9 60 tt (φεισ- Macr.) Ω.—v. Praef. xxxvi **340** ἄμερδεν 9 10 47 (αμαρδεν, ss. ε m[2]) 60 1266 tt* Z Ω: -σεν Porph. **341** ἄπο (vel ἀπὸ, ἀπο) 9 60 tt Ω: υπο 10 **343** κε(ν) 9 10 60 tt Ω: τις κεν V, τις rr (ex Κ 41) θρασυκάρδιος 9 10 tt Ω: πολυκερδιος 60 (voluitne ταλακάρδιος?) **344** γηθήσειεν ἰδὼν 9 10 36[s] 60 tt Ω: -σ]ειελ.[36[t], sc. λάων? (Allen; cf. Russo ad τ 229–30)

345 τὼ δ' ἀμφὶς φρονέοντε δύω Κρόνου υἷε κραταιὼ
ἀνδράσιν ἡρώεσσι τετεύχατον ἄλγεα λυγρά·
Ζεὺς μὲν ἄρα Τρώεσσι καὶ Ἕκτορι βούλετο νίκην,
κυδαίνων Ἀχιλῆα πόδας ταχύν (οὐδ' ὅ γε πάμπαν
ἤθελε λαὸν ὀλέσθαι Ἀχαϊκὸν Ἰλιόθι πρό,
350 ἀλλὰ Θέτιν κύδαινε καὶ υἱέα καρτερόθυμον)·
Ἀργείους δὲ Ποσειδάων ὀρόθυνε μετελθών,
λάθρηι ὑπεξαναδὺς πολιῆς ἁλός· ἤχθετο γάρ ῥα
Τρωσὶν δαμναμένους, Διὶ δὲ κρατερῶς ἐνεμέσσα.
ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος ἠδ' ἴα πάτρη,
355 ἀλλὰ Ζεὺς πρότερος γεγόνει καὶ πλείονα εἴδη·
τώ ῥα καὶ ἀμφαδίην μὲν ἀλεξέμεναι ἀλέεινεν,
λάθρηι δ' αἰὲν ἔγειρε κατὰ στρατόν, ἀνδρὶ ἐοικώς.
τὼ δ' ἔριδος κρατερῆς καὶ ὁμοιΐοο πτολέμοιο
πεῖραρ ἐπαλλάξαντες ἐπ' ἀμφοτέροισι τάνυσσαν
360 ἄρρηκτόν τ' ἄλυτόν τε, τὸ πολλῶν γούνατ' ἔλυσεν.
ἔνθα μεσαιπόλιός περ ἐὼν Δαναοῖσι κελεύσας
Ἰδομενεὺς Τρώεσσι μετάλμενος ἐν φόβον ὦρσεν·

345–6 Epm. τ 55; **345** Apio 218.22; **345a** sch Φ 162c; (ἀμφὶς φρ.) sch Ξ 274c **347** sch A 5c **348** (–ταχύν) Arn ad N 530; (οὐδ'–)–**349** Gal. in Hipp. Nat. hom. 1.1; (οὐδ'–)–**349a** + **350a** sch Θ 35–6 **352** (ὑπεξαναδ.) sch B 267b; (ἤχθ.–)–**353a** Nic ad Z 479–80a; (ἤχθ.) H. η 1015 **354–5** Plut. Mor. 32a, 351d; [Plut.] Hom. 2.114.5; **354** sch Pind. Pyth. 8.53a; sch Ar. Eq. 255a; (–γένος) Hdn ad O 209c[1]; (–ὁμόν) H. ο 778; (ἦ μάν) H. (Cyr.) η 422; **355** Iul. Or. 6.184b; Procl. in Crat. 86.14; id. in Tim. ii.115.19, iii.310.14; (–γεγ.) Aristid. Or. 28.28; sch ν 142; Procl. in Tim. iii.47.9; (πρότ.–) cf. Synes. Somn. 1 (Opusc. 144.18 T.) **358–60** Porph. Il. 184.11 Schr.; **359a** ApS 75.17, 129.16; Hdn ii.936.3; (ἐπαλλάξ.) ApS 70.26; H. (Cyr.) ε 4131; Phot. Lex. ε 1335; (τάν.) H. τ 154 **361–2** Porph. Hom. 66.6 Sod.; **361** (–ἐών) ApS 152.24; (μεσαιπ.) [Plut.] Hom. 2.199; sch N 516–17; H. μ 893; cf. Phot. Lex. μ 290

346 τετεύχατον 10 A^{λ} A^{m} Ω*: -ετον tt A D^{a}: -εται 60: ἐτεύχατον Z: -ετ(ον) A^{vp} **347** ἄρα (nov. Did) 9 10 321 t Ω*: ῥα Ar A B C **348** οὐδ' ὅ γε Arph 9 60 tt* Ω* (cf. M 406): οὐδέ τι Ar A *h*: οὐδ' ὅθι Gal. **349** ὀλέσθαι (cf. T 274) 9 t* Ω*, οπισθεν 60: ὀλέσσαι 10 Gal. *b* R.—vv.ll. sim. α 377 = β 142 Ἀχαϊκὸν 9 10 60 Ω*: -αϊκὸν F R G **350** ath. Ar **351** ὀρόθυνε Ar 10 60 Z Ω: ὤτρυνε (cf. E 461) Zen Arph **355** εἴδη Christ: ἤ(ι)δη 9 60 Plut.[32a] [Plut.][vl] Ω*: ἤ(ι)δει 10 tt* C F^{c} W.—v. Praef. xxxiii **356** τώ V: τῶ(ι) 9 Ω ἀμφαδίην 10^{a} D W: -ίη(ι) 10^{c} 60 221 1271 Z (ἀμφιδίη) Ω* **358** τὼ Ar *b*, τῶι Z: τοὶ Arph Porph. Ω*: οἳ Did^{vp} 10 47 1272 D W: ου 60: ει 9 ὁμοιΐοο Ahrens: -ΐου 9 10 60 274 tt Z Ω.—v. Praef. xxxiii sq. πτολέμοιο 10 60 tt Z Ω*: πολ- 9 D^{a} F R W **359** πεῖραρ 9 10 47 60 tt Ω*: -αν A^{a} D^{a}?: utrumque Z ἐπαλλάξαντες 10 60 221 274 tt Z Ω: -τε (Leaf) r ἀμφοτέροισι Ar^{a} 10 60 221 274 1270 t Z Ω: ἀλλήλοισι Ar^{b} **360** τ' 9 1273 t Ω*: om. 10 60 E V **362** Τρώεσσι μετάλμενος 9 60 t Ω*: -ιν ἐπάλμενος 10 221 274 1270 A^{vp} D R.—cf. ad Λ 421

πέφνε γὰρ Ὀθρυονῆα Καβησόθεν ἔνδον ἐόντα,
ὅς ῥα νέον πολέμοιο μετὰ κλέος εἰληλούθει,
365 ἤιτεε δὲ Πριάμοιο θυγατρῶν εἶδος ἀρίστην
Κασσάνδρην, ἀνάεδνον, ὑπέσχετο δὲ μέγα ἔργον,
ἐκ Τροίης ἀέκοντας ἀπωσέμεν υἷας Ἀχαιῶν.
τῶι δ' ὁ γέρων Πρίαμος ὑπό τ' ἔσχετο καὶ κατένευσεν
δωσέμεναι· ὃ δὲ μάρναθ' ὑποσχεσίηισι πιθήσας.
370 Ἰδομενεὺς δ' αὐτοῖο τιτύσκετο δουρὶ φαεινῶι
καὶ βάλεν ὕψι βιβάντα τυχών· οὐδ' ἤρκεσε θώρηξ
χάλκεος, ὃν φορέεσκε, μέσηι δ' ἐν γαστέρι πῆξεν,
δούπησεν δὲ πεσών. ὃ δ' ἐπηύξατο φώνησέν τε·
"Ὀθρυονεῦ, περὶ δή σε βροτῶν αἰνίζομ' ἁπάντων,
375 εἰ ἐτεὸν δὴ πάντα τελευτήσεις ὅσ' ὑπέστης
Δαρδανίδηι Πριάμωι· ὃ δ' ὑπέσχετο θυγατέρα ἥν.
καί κέ τοι ἡμεῖς ταῦτά γ' ὑποσχόμενοι τελέσαιμεν,
δοῖμεν δ' Ἀτρείδαο θυγατρῶν εἶδος ἀρίστην
Ἄργεος ἐξαγαγόντες ὀπυιέμεν, εἴ κε σὺν ἄμμιν
380 Ἰλίου ἐκπέρσηις εὖ ναιόμενον πτολίεθρον.
ἀλλ' ἕπε', ὄφρ' ἐπὶ νηυσὶ συνώμεθα ποντοπόροισιν

363–9 Macr. Sat. 5.4.8; **363–6a** Strab. 13.1.40; **363a** Hdn ad Π 827; **363b** St. Byz. 344.13; **365–6** (Κασσ.) Porph. Od. 104.4 Schr.; (Πρι.–Κασσ.) sch Γ 124 **371** (ὕψι β.) Did ad N 367a[1], O 307a[3]; (οὐδ'–)–**372a** EtG α 1195 **374–6a** 'Hdn.' Fig. 20; **374** ApS 14.29; sch Pind. Pyth. 8.57a; EtG α 214; (αἰν.) H. α 1990; **375** Eudoc. 1903 **377** ead. 1906 **378** Theodos. 68.21; Choer. in Thd. ii.264.16; **378a** Epm. ε 31 **381** (–συν.) ApS 147.8; (ὄφρ'–συν.) sch X 373–4; (συν.) H. σ 2746

363 ita Ar 9 10 60 221 274 1274 tt Z Ω (ἐνδονέοντα quidam ap. sch[T]): Ὀθρυονῆ' Ἑκάβης νόθον υἱὸν ἐόντα 𝔄 **364** πολέμοιο 9 10 60 1273 t* Ω*: πτο- Strab. G μετὰ Ar 9 10 221 274 1270 tt Z Ω (cf. Λ 227): μεγα 60: κατὰ Arph (cf. Pind. Pyth. 4.125) **365** ἤ(ι)τεε 9 10 47 60 1272 tt Ω: -ει Bekker **366** Κασσάνδρην 9 10 47 60 tt* Ω*: Κασά- sch-Γ (cod. T) Porph. *b* R.—cf. ad Ω 699 ἀνάεδνον 9 10 60 221 1273 tt Z (-ενδον) Ω: ἀνέεδνον (Bentley) r.—cf. ad I 146 ὑπέσχετο 9 10 60 221 274 1270 Ω: ὑπίσχ- M **367** ἀπωσέμεν Zenod. Mallota 9 10 60 274 1270 1273 t Ω: ἀν- Ar[ab] **367a** φοίτων ἔνθα καὶ ἔνθα θοὰς ἐπὶ νῆας Ἀχαιῶν add. quidam ap. sch[T] **369** δὲ μάρναθ' 9 Ω: δ' ἐμ- Bekker **371** βιβάντα Ar 9 10 221 tt Z Ω: -ῶντα (nov. Did sive Hdn) rr **372** ἐν 9 10 60 274 1274 Ω: ἐνὶ rr.—cf. ad 398 πῆξε(ν) (= 398) 9 10 60 76 Ω*: τύψεν D **373** δ' ἐπεύξατο φώνησέν τε 9 10 60 76 274 1274 Ω (ἐπηύξ- Fick): δὲ κερτομέων ἔπος ηὔδα quidam ap. sch[T] **374** πέρι R αἰνίζομ' (= Θ 487) Ar 9 10 60 (-ζωμ) 274 1274 tt Z Ω: -ίξομ' quidam ante Did 76[m]: -ίσσομ' Zen Comanus (fr. 10 Dyck) **375** πάντα 9 10 60 t* Ω: ταῦτα 'Hdn' r **377** ταῦτά γ' Hdn Ω, ταῦτ 9, ταυτα 60: ταὐτά γ' quidam ante Hdn **379** εἴ κε 9 274 Ω (εἰσόκε D): αι κε 10 ἄμμιν 9 10 60 Ω*: ἄμμι D *b* R, ἄμμι W **380** Ἰλίου 9 60 Ω: Ιλιον 10.—cf. ad B 133 **381** ἕπε' (Ar) Payne Knight: -ευ 9 10 60 t Ω.—cf. ad K 146 συνώμεθα Ar Hdn A (συνῶ- quidam an-

ἀμφὶ γάμωι, ἐπεὶ οὔ τοι ἐεδνωταὶ κακοί εἰμεν."
ὣς εἰπὼν ποδὸς εἷλκε κατὰ κρατερὴν ὑσμίνην
ἥρως Ἰδομενεύς. τῶι δ' Ἄσιος ἦλθεν ἀμύντωρ
385 πεζὸς πρόσθ' ἵππων· τὼ δὲ πνείοντε κατ' ὤμων
αἰὲν ἔχ' ἡνίοχος θεράπων· ὃ δὲ ἵετο θυμῶι
Ἰδομενῆα βαλεῖν. ὃ δέ μιν φθάμενος βάλε δουρί
λαιμὸν ὑπ' ἀνθερεῶνα, διάπρο δὲ χαλκὸν ἔλασσεν·
ἤριπε δ' ὡς ὅτε τις δρῦς ἤριπεν ἢ' ἀχερωΐς
390 ἠὲ πίτυς βλωθρή, τήν τ' οὔρεσι τέκτονες ἄνδρες
ἐξέταμον πελέκεσσι νεήκεσι νήϊον εἶναι·
ὣς ὃ πρόσθ' ἵππων καὶ δίφρου κεῖτο τανυσθείς,
βεβρυχώς, κόνιος δεδραγμένος αἱματοέσσης.
ἐκ δέ οἱ ἡνίοχος πλήγη φρένας, ἃς πάρος εἶχεν,
395 οὐδ' ὅ γ' ἐτόλμησεν δηίων ὑπὸ χεῖρας ἀλύξας
ἂψ ἵππους στρέψαι· τὸν δ' Ἀντίλοχος μενεχάρμης
δουρὶ μέσον περόνησε τυχών· οὐδ' ἤρκεσε θώρηξ
χάλκεος, ὃν φορέεσκε, μέσηι δ' ἐν γαστέρι πῆξεν.
αὐτὰρ ὅ γ' ἀσθμαίνων εὐεργέος ἔκπεσε δίφρου,
400 ἵππους δ' Ἀντίλοχος μεγαθύμου Νέστορος υἱός
ἐξέλασε Τρώων μετ' ἐϋκνήμιδας Ἀχαιούς.
Δηΐφοβος δὲ μάλα σχεδὸν ἤλυθεν Ἰδομενῆος
Ἀσίου ἀχνύμενος, καὶ ἀκόντισε δουρὶ φαεινῶι.
ἀλλ' ὃ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος
405 Ἰδομενεύς· κρύφθη γὰρ ὑπ' ἀσπίδι πάντοσ' ἐΐσηι,

382 (ἐεδν.) H. (Cyr.) ε 555 **384** (ἀμύντωρ) id. α 3859; EtG α 692 **388**b sch Π 188c **389–91** Macr. Sat. 5.11.9; **389–90**a Harpocr. λ 11; **389** sch[D] Ξ 15; (ἀχερ.) cf. Paus. 5.14.2; Serv. auct. Ecl. 7.61; H. α 8846; EtG α 1507; **390** (πίτυς) H. π 2396; (βλ.) H. (Cyr.) β 759; Orio 35.15; EtG β 151; **391** (νεήκ.) H. ν 203 **392–3** D.H. Comp. 23; Hermog. Id. 252.16 R.; **393** (βεβρ.) ApS 51.12 **394** (πλήγη) H. π 2542 **396**b sch Ξ 376–7b; (μενεχ.) H. μ 846

te Hdn) **382** ἐεδνωταὶ Hdn ("οὕτως πάντες") 9 Ω: -ῶται Tyr **383** εἷλκε (nov. Did) 10 Ω: ἕλκε Ar 60 rr κατὰ (= P 289) 9 10 60 1275 A[γρ] Ω*: διὰ A *b*.—cf. ad B 40 κρατερὴν ὑσμίνην 9 60 Ω: (κατὰ) -ῆς -ης T[γρ] **384** ἦλθεν ἀμύντωρ (nov. Did) 60 1275 Ω* (cf. Ξ 449), ἀμυαντωρ Z: ἦλθ' ἐπαμ- Ar F T G.—cf. ad O 540 **385** δεν–πνειο[ντε 1275 **388** διάπρο dedi (v. Praef. xix): διὰ πρὸ Z D E R W G, διαπρὸ Ω* χαλκὸν 9 60 Z Ω: -ὸς r **390** οὐρεσιτέκτονες Nicias, contradixit Hdn **391** νεή-κεσι Alexio "ἡ παράδοσις" Hdn Ω: parox. Ptol Z (νεϊκ-) **393** βεβρυχώς 1 9 10 60 1276 tt* Z Ω: -κώς ApS.—cf. ad Π 486 **395** γε τόλμ- 9 1276 T δηΐων 1 Ω **398** ἐν 1 9 10 60 Ω: ἐνὶ rr.—cf. ad 372 **399** ὅ γ' (nov. Did) 1 10 60 481 1276 Ω: ὃ Ar *b*.—cf. ad A 333, B 107, E 585, Z 474, Θ 271, Λ 257, Ψ 42 **405** ἀσπίδι πάντοσ' ἐΐσηι fere 1 10 *b*, -οσε ἴσηι Ω*: ἀσπίδα … -σην 60 rr, ἀσπίδα et D[a]

τὴν ἄρ' ὅ γε ῥινοῖσι βοῶν καὶ νώροπι χαλκῶι
δινωτὴν φορέεσκε, δύω κανόνεσσ' ἀραρυῖαν·
τῆι ὕπο πᾶς ἐάλη, τὸ δ' ὑπέρπτατο χάλκεον ἔγχος,
καρφαλέον δέ οἱ ἀσπὶς ἐπιθρέξαντος ἄϋσεν
410 ἔγχεος. οὐδ' ἅλιόν ῥα βαρείης χειρὸς ἀφῆκεν,
ἀλλ' ἔβαλ' Ἱππασίδην Ὑψήνορα ποιμένα λαῶν
ἧπαρ ὑπὸ πραπίδων, εἶθαρ δ' ὑπὸ γούνατ' ἔλυσεν.
Δηΐφοβος δ' ἔκπαγλον ἐπηύξατο μακρὸν ἀΰσας·
"οὐ μὰν αὖτ' ἄτιτος κεῖτ' Ἄσιος, ἀλλά ἕ φημι
415 εἰς Ἄϊδός περ ἰόντα πυλάρταο κρατεροῖο
γηθήσειν κατὰ θυμόν, ἐπεί ῥά οἱ ὤπασα πομπόν."
ὣς ἔφατ'· Ἀργείοισι δ' ἄχος γένετ' εὐξαμένοιο,
Ἀντιλόχωι δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινεν.
ἀλλ' οὐδ' ἀχνύμενός περ ἑοῦ ἀμέλησεν ἑταίρου,
420 ἀλλὰ θέων περίβη καί οἱ σάκος ἀμφεκάλυψεν.
τὸν μὲν ἔπειθ' ὑποδύντε δύω ἐρίηρες ἑταῖροι,
Μηκιστεὺς Ἐχίοιο πάϊς καὶ δῖος Ἀλάστωρ,
νῆας ἔπι γλαφυρὰς φερέτην βαρέα στενάχοντα.
Ἰδομενεὺς δ' οὐ λῆγε μένος μέγα, ἵετο δ' αἰεί
425 ἠέ τινα Τρώων ἐρεβεννῆι νυκτὶ καλύψαι
ἤ' αὐτὸς δουπῆσαι ἀμύνων λοιγὸν Ἀχαιοῖς.
ἔνθ' Αἰσυιήταο διοτρεφέος φίλον υἱόν,

407 Did ad Υ 259; (δυν.) ApS 59.4; H. (Cyr.) δ 1855; Orio 44.δ1 **408**a Hdn ad Λ 192a^{1}, Φ 536c; (ἐάλη) ApS 61.25; Hdn ad N 543a^{1}, Σ 76a^{1}; H. (Cyr.) ε 16; Orio 64.33; (ὑπέρπτ.) ApS 161.7 **409** (καρφ.) Phot. Lex. κ 213; (ἐπιθρ.) ApS 73.15; H. (Cyr.) ε 4810 **411** (Ἱππ. Ὑψ.) Arn ad E 76b **413** al. (ἔκπ. ἐπεύξ.) H. ε 1571; (ἔκπ.) ApS 65.25 **414** (–Ἄσ.) ApS 46.8; (ἄτ.) Hdn ad Ω 213a; H. (Cyr.) α 8107 **415** Eudoc. 1232; **415**b ApS 137.25; sch Θ 15; H. π 4347 **419** (–ἑοῦ) ApD Pron. 106.19; **419**a Epm. π 118 **424** sch Φ 305; (–μέγα) Choer. in Thd. i.172.25, 215.15, 226.4, 312.17, 387.8, 390.37; (Ἰδομ. μένος) Sophron. 390.23 **426** (δουπ.) Apio 232.6; H. δ 2260

406 γε D *b*: γ' ἐν 1 60 76 Ω*.—cf. ad M 263 **407** κανόνεσσι (scriptio plena) Ar^{ab} **408** τῇ(ι) 76 tt Ω*: τη(ι) ρ 10 60: τὴν D ὕπο 76 *b* W: ὑπο A F^{c}, ὑπὸ Ω* **410** εγχεος ενθα δ επειτ αφιει μενον οβριμον εγχος (cf. 444) 60 **411** ἀλλ' ἔβαλ' 10 60 76 Ω*: ἀλλὰ βάλ' D **412** γούνατ' ἔλυσε(ν) 60 Ω: γουνατα λυσεν 10 **413** ἐπηύξατο Fick: ἐπεύ- 10 60 624 1278 t Ω **414** αλλα⟦μ⟧ε 1278 **415** ἰόντα Ar^{ab} 60 Ω* R^{s}: ἐόν–τα (nov. Did) t T R G^{a} κρατεροῖο 10 60 tt Ω: κρυεροῖο O **418–23** del. Payne Knight; cf. Wilamowitz Il. u. H. 48 n.1 **422** (= Θ 333) om. A, 422–3 in una linea scr. W: hab. 10 60 A^{m} Ω* **423** ἔπι Wolf: ἐπὶ vel ἐπι Ω στενάχοντα Zen D C E (= Θ 334, cf. N 538, Ξ 432): -χοντε Ar^{ab} 60 E^{s} Ω*: -χον[W: -ζοντε R **424** Ἰδομενεὺς sch^{TG} sch-Φ Ω*: -νεῦς (ut sit genitivus, at cf. Φ 305) quidam ap. sch^{TG} tt* A^{c} F^{a} G^{c} μένο(υ)ς, μέγα ἵετο δ' alii ap. sch^{T} **426** ἤ' Fick: ἠ A, ἢ Ω* **427** Αἰσυιήταο W: -συή- 60

ἥρω' Ἀλκάθοον—γαμβρὸς δ' ἦν Ἀγχίσαο,
πρεσβυτάτην δ' ὤπυιε θυγατρῶν Ἱπποδάμειαν,
430 τὴν περὶ κῆρι φίλησε πατὴρ καὶ πότνια μήτηρ
ἐν μεγάρωι· πᾶσαν γὰρ ὁμηλικίην ἐκέκαστο
κάλλεϊ καὶ ἔργοισιν ἰδὲ φρεσί· τούνεκα καί μιν
γῆμεν ἀνὴρ ὤριστος ἐνὶ Τροίηι εὐρείηι—
τὸν τόθ' ὑπ' Ἰδομενῆϊ Ποσειδάων ἐδάμασσεν
435 θέλξας ὄσσε φαεινά, πέδησε δὲ φαίδιμα γυῖα.
οὔτε γὰρ ἐξοπίσω φυγέειν δύνατ' οὔτ' ἀλέασθαι,
ἀλλ' ὥς τε στήλην ἢ δένδρεον ὑψιπέτηλον
ἀτρέμας ἑσταότα στῆθος μέσον οὔτασε δουρί
ἥρως Ἰδομενεύς, ῥῆξεν δέ οἱ ἀμφὶ χιτῶνα
440 χάλκεον, ὅς οἱ πρόσθεν ἀπὸ χροὸς ἤρκει ὄλεθρον.
δὴ τότε γ' αὗον ἄϋσεν ἐρεικόμενος περὶ δουρί,
δούπησεν δὲ πεσών, δόρυ δ' ἐν κραδίηι ἐπεπήγει,
ἥ ῥά οἱ ἀσπαίρουσα καὶ οὐρίαχον πελέμιζεν
ἔγχεος· ἔνθα δ' ἔπειτ' ἀφίει μένος ὄβριμος Ἄρης.
445 Ἰδομενεὺς δ' ἔκπαγλον ἐπηύξατο μακρὸν ἀΰσας·
"Δηΐφοβ', ἦ ἄρα δή τι ἐΐσκομεν ἄξιον εἶναι,
τρῖς ἑνὸς ἀντὶ πεφάσθαι; ἐπεὶ σύ περ εὔχεαι οὕτως.
δαιμόνι', ἀλλὰ καὶ αὐτὸς ἐναντίος ἵστα' ἐμεῖο,

429 (ὤπ.) H. (Cyr.) ω 277 430 sch Π 1a; Eudoc. 754 432 (–φρεσὶ πευκαλίμησιν) sch A 115 436 al. (ἀλ.) H. α 2815 437 (–δένδρ.) sch Ar. Av. 1473; (δένδρ.–) Arn ad Γ 152a[1]; (ὑψιπ.) cf. ApS 130.33; H. υ 939 441b sch Ar. Vesp. 649; (ἐρεικ.) ApS 76.12; H. (Cyr.) ε 5709 442b Epm. δ 77 443–4 (ἔγχ.) sch[T] N 571 a = Porph. Il. 185.9 Schr.; 443 Epm. σ 27; 443a sch (Porph.) Σ 572; (οὐρ.) ApS 125.1; H. (Cyr.) ο 1852; 444 (ἔνθα–) sch[D] B 381; 'Trypho ii' Trop. 9 (CQ 15.241); 'Choer.' Trop. iii.250.30 Sp. 447a sch Ω 213b; Anon. π. ἀκυρολ. 13 (145.12 N.); (ἀντὶ πεφ.) H. (Cyr.) α 5454

Ω*.—cf. ad B 793 428 ἥρω' 60 Ω: ἥρων quidam ap. sch[T] 429 ὤπυιε [625] Ω*, οπυϊε 60: ὤπυε Cyr. (-εν) Z (-αι) D T R: ὤπυιον Hsch.[cod] 430 πέρι rr 432 κάλλεϊ sic 60 Ω 433*a–d* πρὶν Ἀντηνορίδας τραφέμεν καὶ Πανθόου υἷας | Πριαμίδας θ', οἳ Τρωσὶ μετέπρεπον ἱπποδάμοισιν | ‹αὐτόν τ' Αἰνείαν ἐπιείκελον ἀθανάτοισιν suppl. Bekker› | ἕως ἔθ' ἥβην εἶχεν, ὄφελλε δὲ κούριον ἄνθος add. quidam ap. sch[T]/Eust.: desunt in 10 60 625 Ω 435 φαεινὰ 625 sch[T] A F W: -νε 60: -νῶ B[a], -νὼ Ω* 436 φυγέειν 10 60 625 Ω: φυγέμεν r 441 αὖον Hdn A A[λ] T[a?]: αὗον Ω* 442 ἐπεπήγει 60 481 t Ω*, επεπ[1280: -γη O: πεπήγει A C[a] 443–4 damn. Heyne 443 πελέμιζεν Arph Ar 60 1280 A F[a]: -ιξεν "ἄλλοι" (Zen?) 481 tt Z Ω*: -ιχθη (ex Π 612, P 528) 481[2] 444 ἀφίει tt* Z Ω, αφïι 60[uv]: ἀφίη 'Choer.' r 445 ἐπηύξατο Fick: ἐπεύ- 60 Ω 446 τι Ar 60 Ω*: τί σ' (nov. Did: Zen?) Z T H V: τοι G[s] 447 τρῖς dedi (Praef. xxxvi): τρεῖς 60 1279 1281 t Ω ἄντι rr (ἀντι 1281) οὕτως Ar Ω: αὔτως Zen 60 *h* (cf. Λ 388).—cf. ad 810, Φ 106 448 ἐναντίος 60 A[γρ] Ω* (cf. E 497 al.,

ὄφρα ἴδη' οἷος Ζηνὸς γόνος ἐνθάδ' ἱκάνω,
450 ὃς πρῶτον Μίνωα τέκε Κρήτηι ἐπίουρον,
Μίνως αὖ τέκεθ' υἱὸν ἀμύμονα Δευκαλίωνα,
Δευκαλίων δ' ἐμὲ τίκτε πολέσσ' ἄνδρεσσιν ἄνακτα
Κρήτηι ἐν εὐρείηι· νῦν δ' ἐνθάδε νῆες ἔνεικαν
σοί τε κακὸν καὶ πατρὶ καὶ ἄλλοισι Τρώεσσιν."
455 ὣς φάτο· Δηΐφοβος δὲ διάνδιχα μερμήριξεν,
ἤ τινά που Τρώων ἑταρίσσαιτο μεγαθύμων
ἂψ ἀναχωρήσας, ἦ πειρήσαιτο καὶ οἷος.
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
βῆναι ἐπ' Αἰνείαν· τὸν δ' ὕστατον ηὗρεν ὁμίλου
460 ἑσταότ'· αἰεὶ γὰρ Πριάμωι ἐπεμήνιε δίωι,
οὕνεκ' ἄρ' ἐσθλὸν ἐόντα μετ' ἀνδράσιν οὔ τι τίεσκεν.
ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
"Αἰνεία, Τρώων βουληφόρε, νῦν σε μάλα χρὴ
γαμβρῶι ἀμυνέμεναι, εἴ πέρ τί σε κῆδος ἱκάνει.
465 ἀλλ' ἕπε', Ἀλκαθόωι ἐπαμύνομεν, ὅς σε πάρος γε
γαμβρὸς ἐὼν ἔθρεψε δόμοις ἔνι τυτθὸν ἐόντα·
τὸν δέ τοι Ἰδομενεὺς δουρικλυτὸς ἐξενάριξεν."
ὣς φάτο· τῶι δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινεν,
βῆ δὲ μετ' Ἰδομενῆα μέγα πτολέμοιο μεμηλώς.
470 ἀλλ' οὐκ Ἰδομενῆα φόβος λάβε τηλύγετον ὥς,
ἀλλ' ἔμεν', ὡς ὅτε τις σῦς οὔρεσιν ἀλκὶ πεποιθώς,

449 (–γόνος) ApS 55.16; (γόνος) Apio 228.8; H. γ 819 **450** sch Theoc. 8.6b; (πρῶτον–) Strab. 10.4.9; (Κρ.–) Apio 236.17; ApS 104.7; (ἐπίουρον) Orio 66.11 **452** (–ἄνδρ.) sch Heph. 321.7 **456** (ἑταρ.) Arn ad K 242a; H. ε 6488, 6511 **458** EtG α 827; (δοάσσ.) H. δ 2087 **460** (αἰεὶ–)–**1** sch Λ 58; Strab. 13.1.53; (αἰεὶ–ἐπεμ.) sch M 99; **460b** sch T 62c; (ἐπεμ.) H. ε 4400 **463** (Αἰν. νῦν–)–**4a** Choer. in Ps. 178.22; **464a** Apio 218.6 **470** ApS 152.19; Porph. Hom. 65.12 Sod. **471** (–σῦς) sch N 470a

P 31 = Υ 197): -ον A G ἴστα' dedi: ἴστασ' 1280 Ω, ειστασ 60.—cf. ad K 291, Λ 314 **449** ἴδηι Ar M O, ἴδη'(αι) Platt: ἴδηις Zen t Ω, ειδης 60 1281.—cf. ad A 203 **450–3** del. Koechly **450** πρῶτον 60 1281 tt Ω*: -ος D ἐπίουρον Zen Ar Trypho tt Z Ω (-κουρον E): ἐπιοῦρον Ptol, ε]πιοῦρον 1280: ἔπι οὖρον alii ante Hdn **451** αὖ 60 D W V: δ' αὖ Ω* **452** δ' ἐμὲ τίκτε Hdn Ω*: δέ μ' ἔτ- D[c].—cf. ad Z 206 πολέσσ' A T: -έεσσ' 60 t Ω* **456** ἤ Ar 60 Ω* T[s], ἦ B[c]: εἴ (nov. Did) C E T.—cf. ad B 300 **457** ἦ Bekker: ἢ Ω **459** ηὗρεν Fick (fere): εὗρεν 10 60 h79 Ω **460–1** del. van Leeuwen **465** ἕπε' (Ar?) Payne Knight: -ευ 9 60 [625] Ω.—cf. ad K 146 ἐπαμύνομεν Ar 'fere omnes' Didymi 9 10 60 Ω: -νέμεν (nov. Did) *h* V γε 9 10 Ω* (cf. P 270): περ R.—cf. ad O 256, P 587, X 302, Ω 201 **467** δουρὶ κλυτὸς A B[a] E F W

ὅς τε μένει κολοσυρτὸν ἐπερχόμενον πολὺν ἀνδρῶν
χώρωι ἐν οἰοπόλωι, φρίσσει δέ τε νῶτον ὕπερθεν,
ὀφθαλμὼ δ' ἄρα οἱ πυρὶ λάμπετον· αὐτὰρ ὀδόντας
475 θήγει, ἀλέξασθαι μεμαὼς κύνας ἠδὲ καὶ ἄνδρας·
ὣς μένεν Ἰδομενεὺς δουρικλυτός, οὐδ' ὑπεχώρει,
Αἰνείαν ἐπιόντα βοηθόον. αὖε δ' ἑταίρους,
Ἀσκάλαφόν τ' ἐσορῶν Ἀφαρῆά τε Δηΐπυρόν τε
Μηριόνην τε καὶ Ἀντίλοχον, μήστωρας ἀΰτης·
480 {τοὺς ὅ γ' ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα·}
"δεῦτε, φίλοι, καί μ' οἴωι ἀμύνετε· δείδια δ' αἰνῶς
Αἰνείαν ἐπιόντα πόδας ταχύν, ὅς μοι ἔπεισιν,
ὃς μάλα καρτερός ἐστι μάχηι ἔνι φῶτας ἐναίρειν·
καὶ δ' ἔχει ἥβης ἄνθος, ὅ τε κράτος ἐστὶ μέγιστον.
485 εἰ γὰρ ὁμηλικίη γε γενοίμεθα τῶιδ' ἐπὶ θυμῶι,
αἶψά κεν ἠὲ φέροιτο μέγα κράτος ἠὲ φεροίμην."
ὣς ἔφαθ'· οἳ δ' ἄρα πάντες ἕνα φρεσὶ θυμὸν ἔχοντες
πλησίοι ἔστησαν, σάκε' ὤμοισι κλίναντες.
Αἰνείας δ' ἑτέρωθεν ἐκέκλετο οἷς ἑτάροισιν,
490 Δηΐφοβόν τε Πάριν τ' ἐσορῶν καὶ Ἀγήνορα δῖον,
οἵ οἱ ἅμ' ἡγεμόνες Τρώων ἔσαν· αὐτὰρ ἔπειτα
λαοὶ ἕπονθ', ὡς εἴ τε μετὰ κτίλον ἕσπετο μῆλα
πιόμεν' ἐκ βοτάνης· γάνυται δ' ἄρα τε φρένα ποιμήν·
ὣς Αἰνείαι θυμὸς ἐνὶ στήθεσσι γεγήθει,
495 ὡς ἴδε λαῶν ἔθνος ἐπισπόμενον ἑοῖ αὐτῶι.
οἳ δ' ἀμφ' Ἀλκαθόωι αὐτοσχεδὸν ὡρμήθησαν

473 (οἰοπ.) ApS 119.25; H. ο 377; (φρίσσει νῶτον) id. φ 896 475 (θήγει) H. (Cyr.) θ 461 477 (βοηθ.) ApS 52.20; H. (Cyr.) β 776 481 Porph. Hom. 66.12 Sod.; (δείδ.–)–482a sch N 470a; 482 (πόδας τ.) sch N 477b; (ἔπεισιν) H. (Cyr.) ε 4356, [5161] 483 (ἐναίρειν) id. ε 2614 484–6 Porph. Hom. 66.16 Sod.; 484a H. η 14; 486 al. (αἶψά κεν) id. α 2209 487b id. ε 3452 492 Eudoc. 518 493a sch μ 284; sch Theoc. 3.4a; Ath. 446d; Epm. τ 6; (πιόμ.) H. π 2328; 493b sch Ar. Ach. 7a; (γάν.) ApS 53.28; H. γ 157 494 Chrysipp. (SVF ii.253.18) ap. Gal. Plac. Hipp. et Plat. 3.2.13

476 δουρὶ κλυτὸς A B[a] E W 477 βοηθόον Ω*: -θοόν 9 quidam ap. sch[T]: βοῆ(ι) θοόν Z A[m] D B[c] F[c] G[c]: βοὴν θοὸν R.—cf. ad P 481 480 (= 94) deest in 10 497, "ἐν πολλοῖς οὐ φέρεται" sch[T]: hab. 9 60 481 Ω.—cf. ad Δ 337 481 ἀμύνετε 9 10 60 Ω: -νατε t 484 ὅ τε cf. I 39; utrum hoc an ὅτε ambigit sch[bT] ἐστὶ 9 60 t Ω: ανδρι 10 485 ὁμηλικίη 9 10[t] t sch[D] quidam ap. sch[T] C F R G[a]: -ίηι Ar[?] 10[s] A B E T W: -ίην Zen 60 (ομιλ-) D G[c].—vv.ll. eaedem γ 364 ἐπὶ Ar[ab] 'omnes' Didymi 9 A F[γρ] O: ἐνὶ (nov. Did) 10 60 t A[m] Ω* (cf. π 99[vl], ω 511) 486 κράτος 9 10 60 t Ω*: κλέος *b* F[c] ἠὲ (φεροίμην) t Ω: ἤ κε 9 10 *h* O (cf. Σ 308): η γε 60.—cf. ad I 619 490 ἐσόρῶν A D 491 οἵ οἱ 60 Ω: τόι οι 9 492 ἑσπετο A, ἕσπ- Ω* 495 ἑοὶ B[a] F[a]? T[a]

μακροῖσι ξυστοῖσι· περὶ στήθεσσι δὲ χαλκός
σμερδαλέον κονάβιζε τιτυσκομένων καθ' ὅμιλον
ἀλλήλων. δύο δ' ἄνδρες ἀρήϊοι ἔξοχον ἄλλων,
500 Αἰνείας τε καὶ Ἰδομενεύς, ἀτάλαντοι Ἄρηϊ,
ἵεντ' ἀλλήλων ταμέειν χρόα νηλέϊ χαλκῶι.
Αἰνείας δὲ πρῶτος ἀκόντισεν Ἰδομενῆος·
ἀλλ' ὃ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος,
αἰχμὴ δ' Αἰνείαο κραδαινομένη κατὰ γαίης
505 ὤιχετ', ἐπεί ῥ' ἅλιον στιβαρῆς ἀπὸ χειρὸς ὄρουσεν.
Ἰδομενεὺς δ' ἄρα Οἰνόμαον βάλε γαστέρα μέσσην,
ῥῆξε δὲ θώρηκος γύαλον· διὰ δ' ἔντερα χαλκός
ἤφυσ', ὃ δ' ἐν κονίηισι πεσὼν ἕλε γαῖαν ἀγοστῶι.
Ἰδομενεὺς δ' ἐκ μὲν νέκυος δολιχόσκιον ἔγχος
510 ἐσπάσατ', οὐδ' ἄρ' ἔτ' ἄλλα δυνήσατο τεύχεα καλά
ὤμοιιν ἀφελέσθαι· ἐπείγετο γὰρ βελέεσσιν.
οὐ γὰρ ἔτ' ἔμπεδα γυῖα ποδῶν ἦν ὁρμηθέντι,
οὔτ' ἄρ' ἐπαΐξαι μεθ' ἑὸν βέλος οὔτ' ἀλέασθαι·
τώ ῥα καὶ ἐν σταδίηι μὲν ἀμύνετο νηλεὲς ἦμαρ,
515 τρέσσαι δ' οὐκέτι ῥίμφα πόδες φέρον ἐκ πολέμοιο.
τοῦ δὲ βάδην ἀπιόντος ἀκόντισε δουρὶ φαεινῶι
Δηΐφοβος· δὴ γάρ οἱ ἔχεν κότον ἐμμενὲς αἰεί.
ἀλλ' ὅ γε καὶ τόθ' ἅμαρτεν, ὃ δ' Ἀσκάλαφον βάλε δουρί,
υἱὸν Ἐνυαλίοιο· δι' ὤμου δ' ὄβριμον ἔγχος
520 ἔσχεν· ὃ δ' ἐν κονίηισι πεσὼν ἕλε γαῖαν ἀγοστῶι.
οὐδ' ἄρα πώ τι πέπυστο βριήπυος ὄβριμος Ἄρης

497a (al.) Epm. ξ 11 **501** (ταμ.) H. τ 91 **502**a Epm. π 116; **502**b Porph. Il. 180.7 Schr. **505**b w14 **507** (–γύ.) ApS 55.28; (γύ.) H. γ 969 **508** (ἤφ.) ApS 85.14; H. η 999 **512** sch P 608–18a[1]; Eudoc. 699 **513** (μεθ' ἑὸν β.) ApD Pron. 106.31 **515** (–φέρον) Arn ad Ξ 522a; (τρ.) H. τ 1305 **516** (–ἀκ.) sch Thuc. 3.101.3; **516**a Epm. π 99; (βάδην ἀπ.) EtG β 4; (βάδην) sch N 513 **517**b sch Soph. O.C. 1584 **521** (πέπ.) H. π 1525; **521**b sch A.R. 3.861; (βρι.) ApS 53.9, 84.25; sch A 420d; H. β 1142; EtG β 258

498 κονάβιζε 9 Ω: -βησε 60 O.—cf. ad B 466 **499** ἔξοχον 'omnes' Didymi 9 10 Ω*: -οι (nov. Did) 60 D[c] C **501** om. 60 **502** πρῶτος (= Ξ 402, al.) Ar 9 60 t Ω: πρόσθεν Arph **505** ὄρουσεν 9 10 60 436 Ω: ολισθε̣[ν t **510** ἄρ' ἔτ' ἄλλα Hdn 9 10 60 Ω: ἄρα τἄλλα quidam ante Hdn **512** ὁρμηθέντι 9 10 60 (ωρ-) 222 481 t* Ω: -θῆναι Eudoc. rr **513** (damn. Düntzer) om. 222 E[a]: hab. 9 10 60 308 481 1282 E[m] Ω* μεθεὸν ('missum'!) quidam ap. sch[T] **514** τώ rr: τῶ(ι) 9 Ω **516** δὲ βάδην 9 10 60 308 tt* sch[D] Ω: μὲν ἔπειτ' sch-Thuc. **520** ἕλε 9 60 222 481 Ω: εχε 10 **520*a*** δολι]χοσκιον εγχος (= 509) add. 481: deest in 9 10 60 222 Ω

υἷος ἑοῖο πεσόντος ἐνὶ κρατερῆι ὑσμίνηι,
ἀλλ' ὅ γ' ἄρ' ἄκρωι Ὀλύμπωι ὑπὸ χρυσέοισι νέφεσσιν
ἧστο, Διὸς βουλῆισιν ἐελμένος, ἔνθά περ ἄλλοι
525 ἀθάνατοι θεοὶ ἦσαν, ἐεργόμενοι πολέμοιο.
οἳ δ' ἀμφ' Ἀσκαλάφωι αὐτοσχεδὸν ὡρμήθησαν.
Δηΐφοβος μὲν ἀπ' Ἀσκαλάφου πήληκα φαεινὴν
ἥρπασε· Μηριόνης δὲ θοῶι ἀτάλαντος Ἄρηϊ
δουρὶ βραχίονα τύψεν ἐπάλμενος, ἐκ δ' ἄρα χειρὸς
530 αὐλῶπις τρυφάλεια χαμαὶ βόμβησε πεσοῦσα.
Μηριόνης δ' ἐξαῦτις ἐπάλμενος αἰγυπιὸς ὣς
ἐξέρυσε πρυμνοῖο βραχίονος ὄβριμον ἔγχος,
ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο. τὸν δὲ Πολίτης
αὐτοκασίγνητος, περὶ μέσσωι χεῖρε τιτήνας,
535 ἐξῆγεν πολέμοιο δυσηχέος, ὄφρ' ἵκεθ' ἵππους
ὠκέας, οἵ οἱ ὄπισθε μάχης ἠδὲ πτολέμοιο
ἕστασαν ἡνίοχόν τε καὶ ἅρματα ποικίλ' ἔχοντες·
οἳ τόν γε προτὶ ἄστυ φέρον βαρέα στενάχοντα,
τειρόμενον· κατὰ δ' αἷμα νεουτάτου ἔρρεε χειρός.
540 οἱ δ' ἄλλοι μάρναντο, βοὴ δ' ἄσβεστος ὀρώρει.
ἔνθ' Αἰνέας Ἀφαρῆα Καλητορίδην ἐπορούσας
λαιμὸν τύψ' ἐπὶ οἷ τετραμμένον ὀξέϊ δουρί·
ἐκλίνθη δ' ἑτέρωσε κάρη, ἐπὶ δ' ἀσπὶς ἑάφθη
καὶ κόρυς· ἀμφὶ δέ οἱ θάνατος χύτο θυμοραϊστής.
545 Ἀντίλοχος δὲ Θόωνα μεταστρεφθέντα δοκεύσας
οὔτασ' ἐπαΐξας, ἀπὸ δὲ φλέβα πᾶσαν ἔκερσεν,

523 Porph. Od. 127.12 Schr. **529**a sch Ν 782b **530** 'Trypho ii' Trop. 8 (CQ 15.241); 'Choer.' Trop. iii.249.22 Sp.; **530**a ApS 47.25; EtG α 1404 **531** EtG α 250 **543** (ἑάφθη) ApS 61.30; H. ε 49; Orio 64.15; Epm. ε 185 **544** al. (θυμορ.) ApS 88.31 **545** (–μεταστρ.) sch Ν 643a; **545**a sch Λ 422a **546**b–7 Arist. Hist. anim. 513b27; Gal. in Hipp. Nat. hom. 2.6; id. in Pl. Tim. 3.5 (CMG Suppl. i.14.29); **546** (ἔκερσεν) H. (Cyr.) ε 1371; **547**a sch Σ 488b

523 γ' ἄρ C R: γὰρ 9 60 Ω* ὑπὸ 10 60 222 308 t Ω (= Hymn. Ap. 98): ενὶ 9 **524** ἔνθά sic A D *b* W G: ἔνθα 9 **526** Ἀσκαλάφωι 10 60 308 Ω: Αλκαθόωι (ex 496) 9 ὡρμήθησαν 9 10[a] 222 308 Ω: ὁρμ- 10[2] r: ωρμηθηναι 60 **535** ἐξῆγεν 10 60 222 Ω*: -γε *b* (et πτολ- C) **537** ποικίλ' ἔχοντες 10 60 222 1283 Ω* D[γρ]: ποικίλα χαλκῶ D **541** ἔνθ' Αἰνέας Ar A *b* F: ἔνθ' Αἰνείας 10 60 A[m] C[c] E[s] Ω*: εν[222: Αἰνείας δ' (nov. Did) R **543** ἐκλίνθη Ω (cf. χ 17): εκλινεν 10 60 ἑάφθη Ar Tyr Hdn A *b* F T: ἐάφθη Ammon Z Ω*: ααφ ... 60.—vox obscura **544** οἱ 10 60 Ω: μιν Vossius (cl. Π 414, 580) θυμοραϊστής 10 222 1283 Z Ω (cf. Chantr. DEG s.v. ῥαίω): θυμορραίστης Glaucus (sch Π 414).—cf. Bekker Hom. Bl. I 157; Bechtel Lexil. 169 **546** ἀπὸ Ar 10 60 222 308 tt Z Ω: διὰ Zen

ἥ τ' ἀνὰ νῶτα θέουσα διαμπερὲς αὐχέν' ἱκάνει·
τὴν ἀπὸ πᾶσαν ἔκερσεν, ὃ δ' ὕπτιος ἐν κονίῃσιν
κάππεσεν, ἄμφω χεῖρε φίλοις ἑτάροισι πετάσσας.
550 Ἀντίλοχος δ' ἐπόρουσε, καὶ αἴνυτο τεύχε' ἀπ' ὤμων
παπταίνων· Τρῶες δὲ περισταδὸν ἄλλοθεν ἄλλος
οὔταζον σάκος εὐρὺ παναίολον· οὐδ' ἐδύναντο
εἴσω ἐπιγράψαι τέρενα χρόα νηλέϊ χαλκῶι
Ἀντιλόχου, περὶ γάρ ῥα Ποσειδάων ἐνοσίχθων
555 Νέστορος υἱὸν ἔρυτο καὶ ἐν πολλοῖσι βέλεσσιν.
οὐ μὲν γάρ ποτ' ἄνευ δηίων ἦν, ἀλλὰ κατ' αὐτούς
στρωφᾶτ'· οὐδέ οἱ ἔγχος ἔχ' ἀτρέμας, ἀλλὰ μάλ' αἰεί
σειόμενον ἐλέλικτο, τιτύσκετο δὲ φρεσὶν ἧισιν
ἤ τε' ἀκοντίσσαι ἠὲ σχεδὸν ὁρμηθῆναι.
560 ἀλλ' οὐ λῆθ' Ἀδάμαντα τιτυσκόμενος καθ' ὅμιλον
Ἀσιάδην, ὅ οἱ οὖτα μέσον σάκος ὀξέϊ χαλκῶι
ἐγγύθεν ὁρμηθείς· ἀμενήνωσεν δέ οἱ αἰχμήν
κυανοχαῖτα Ποσειδάων, βιότοιο μεγήρας.
καὶ τὸ μὲν αὐτοῦ μεῖν' ὥς τε σκῶλος πυρίκαυτος
565 ἐν σάκει Ἀντιλόχοιο, τὸ δ' ἥμισυ κεῖτ' ἐπὶ γαίῃι·
ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ' ἀλεείνων.
Μηριόνης δ' ἀπιόντα μετασπόμενος βάλε δουρί
αἰδοίων τε μεσηγὺ καὶ ὀμφαλοῦ, ἔνθα μάλιστα
γίνετ' ἄρης ἀλεγεινὸς ὀϊζυροῖσι βροτοῖσιν.

551 (περιστ.) H. π 1867; Phot. Lex. s.v. **553** (ἐπιγρ.) H. ε 4689 **558** (ἐλέλ.) id. ε 1981; **558b–9** ApS 153.12; **558b** sch[D] Γ 80 **562b–3** Plut. Mor. 22e; **562b** ApS 27.4; EtG α 629; (ἀμεν.) H. α 3582, [3719]; **563** (κυανοχ.) Arn ad Π 185b; cf. Luc. Dial. 30.11; (μεγ.) H. (Cyr.) μ 499 **564b** ApS 143.3; H. (Cyr.) σ 1212; Orio 150.12; (σκ.) Apio 100.14; Phot. Lex. s.v.; (πυρίκ.) H. π 4424 **567** (μετασπ.) ApS 112.10; Phot. Lex. μ 333; (βάλε δ.) sch N 573 **568** (ἔνθα–)–**9** Aret. 6.9.1 (CMG ii.138.25); **568** (ἔνθα–)–**9a** Apio 224.4; ApS 41.12; sch[D] B 381; sch Δ 460–1a; EtG α 1160; Epm. α 321; **569** sch Soph. Ai. 253; (ἀλεγ.) H. α 2827; EtG α 417, 437

548 ἄπο W **551** περισταδὸν Ar 10 60 (-τον) 222 308 tt sch[D] Ω (cf. A.R. 3.416; Rengakos 71 sq.): παραστ- Zen Arph rr **552** οὐδ' ἐδύναντο D *b* F[a] W: οὐδὲ δ- Ω* **554** Ἀντιλόχου 10 60 308 435 481 Ω: -ωι 222 πέρι rr **555** πολλοῖσι βέλεσσιν 10 60 222 Ω*: -οῖσ βελέεσσιν T **559** τε' Fick: τευ 10 60 222 308 435 481 Z Ω **560** τιτυσκόμενος 10 60 308 Ω: -ον *h* **561** ὅ οἱ 435 (οο[), Bentley: ὅς οἱ 10 60 481 Ω: ὅς Ϝ' Platt.—cf. ad Z 90; La Roche Unt. I 268 χαλκῶι 10 Ω: δουρί 60 A[s] O.—cf. ad Δ 490 **564** σκῶλος πυρίκαυτος 60 (περι-?) Z A, -καυστος 10 Hsch. Ω*: -λον -στον ApS **565** γαίη(ι) 10 *b* R: -ης 60 Ω* **566*a*** (= 649) add. D[m] W: deest in 10 60 481 Ω* **569** γίνετ' 10 60 tt Z Ω: γειν- 481: γίγν- r

570 ἔνθά οἱ ἔγχος ἔπηξεν· ὃ δὲ σχόμενος περὶ δουρί
ἤσπαιρ', ὡς ὅτε βοῦς, τόν τ' οὔρεσι βουκόλοι ἄνδρες
ἰλλάσιν οὐκ ἐθέλοντα βίηι δήσαντες ἄγωσιν·
ὣς ὃ τυπεὶς ἤσπαιρε, μίνυνθά περ, οὔ τι μάλα δήν,
ὄφρα οἱ ἐκ χροὸς ἔγχος ἀνεσπάσατ' ἐγγύθεν ἐλθών
575 ἥρως Μηριόνης· τὸν δὲ σκότος ὄσσ' ἐκάλυψεν.
Δηΐπυρον δ' Ἕλενος ξίφεϊ σχεδὸν ἤλασε κόρσην
Θρηϊκίωι μεγάλωι, ἀπὸ δὲ τρυφάλειαν ἄραξεν.
ἣ μὲν ἀποπλαγχθεῖσα χαμαὶ πέσε, καί τις Ἀχαιῶν
μαρναμένων μετὰ ποσσὶ κυλινδομένην ἐκόμισσεν·
580 τὸν δὲ κατ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν.
Ἀτρείδην δ' ἄχος εἷλε βοὴν ἀγαθὸν Μενέλαον,
βῆ δ' ἐπαπειλήσας Ἑλένωι ἥρωϊ ἄνακτι,
ὀξὺ δόρυ κραδάων· ὃ δὲ τόξου πῆχυν ἀνεῖλκεν.
τὼ δ' ἄρ' ἁμαρτήδην ὃ μὲν ἔγχεϊ ὀξυόεντι
585 ἵετ' ἀκοντίσσαι, ὃ δ' ἀπὸ νευρῆφιν ὀϊστῶι.
Πριαμίδης μὲν ἔπειτα κατὰ στῆθος βάλεν ἰῶι
θώρηκος γύαλον· ἀπὸ δ' ἔπτατο πικρὸς ὀϊστός·
ὡς δ' ὅτ' ἀπὸ πλατέος πτυόφιν μεγάλην κατ' ἀλωήν
θρώισκωσιν κύαμοι μελανόχροες ἠ' ἐρέβινθοι
590 πνοιῆι ὕπο λιγυρῆι καὶ λικμητῆρος ἐρωῆι,

570b–1 (ἤσπ.) Epm. σ 27; **570b** Hdn ad K 246a[1]; (σχόμενος–) ApS 148.13; **571a** Porph. Il. 185.10 Schr. et ad Σ 572; (οὔρεσι βουκ.) Hdn ad N 390c; (βουκ.) EtG β 210 **572** Philox. fr. 32 Th.; Gal. in Hipp. Epid. iii 3.33; Simpl. in De caelo CAG vii.517.20; **572a** Sel ap. Reitz. Gesch. 161.11; sch Theoc. 1.1f; Epm. ι 17, ψ 5; (ἰλλ.) sch Ar. Nub. 761; cf. Paus. Att. ι 6, Porph. Hom. 60.10 Sod., H. ι [25], 572, Procl. in Tim. iii.137.15 **577b** EtG α 1105 **578** (ἀποπλ.) H. (Cyr.) α 6540 **584** (ἁμαρτ.) H. α 3458 **586a** Arn ad N 584a **587** (592, E 99) (ἔπτατ' ὀϊστός) Arist. Rh. 1411b34 **588–9** sch λ 128; **588** Poll. 10.128; (πτυ.) ApS 137.2; H. π 4253; (ἀλω.) EtG α 569; **589** Ath. 54e; **589a** Epm. θ 33; (κύαμοι κυανόχρ.) Macr. Sat. 5.14.7 **590** (λικμ.) cf. H. λ 1010

570 ἔνθά sic Ω δὲ σχόμενος ApS Hsch. sch[AbTγρ] Z G[r] (prob. Wack. KS 1590 sq.): δὲ σπόμενος (ex 567?) Ptol: δ' ἑσπ- Hdn Epm Ω (cf. Praef. xvii): δεσπ- 10 60 **571** τ' 10 Ω: γ 60 **572** ἄγωσιν 10 60 R G: -ουσιν tt Ω* **574** ὄφρά Ω χροὸς 10 60 Ω*: χειρὸς D W, χερὸς rr **575** ὄσσ' ἐκάλυψε(ν) F G: ὄσσε κ- Ω* **580** ὀφθαλμῶν 10 60 Ω (-ὸν G): -ὼ van Leeuwen, cf. ad E 659 νὺξ ἐκάλυψε(ν) 10 435 Ω: νυκτι καλυ[60 **582** ἔπ' ἀπειλήσας Doederlein (ἐπ' ἀπ- O) **583** ἀνεῖλκε(ν) 10 60 435 Ω (cf. Λ 375): ἀνέλκε *h* (ἄνελκε Bekker).—cf. ad Ξ 477 **584** ἁμαρτήδην Ar[?] (Lehrs: ὁμ- sch[T]) Hsch. quidam ap. Eust.: ἁμαρτήτην (nov. Did) 10 A[a]? B[t] F[s]: ὁμαρτήτην 60 Z B[s] Ω*.—de ἁμ-/ὁμ- cf. Praef. xxx **585** ἀπὸ 10 60 Ω: ἀπαὶ r **587** ἀπὸ 10 435 Ω*: διὰ (cf. E 99) 60 *h* **588** ἀλωιὴν A W **589** θρώ(ι)σκωσιν 10 60 Ω*: -ουσι(ν) tt Z C T R μελανό-χροες 10 60 tt* Ω: κυανό- Macr. ἠ' Fick: ἢ Ω **590** ὕπο O: ὑπὸ vel ὑπο 60 Ω: ὑπαὶ W

ὣς ἀπὸ θώρηκος Μενελάου κυδαλίμοιο
πολλὸν ἀποπλαγχθεὶς ἑκὰς ἔπτατο πικρὸς ὀϊστός.
Ἀτρείδης δ' ἄρα χεῖρα βοὴν ἀγαθὸς Μενέλαος
τὴν βάλεν, ἧι ῥ' ἔχε τόξον ἐΰξοον· ἐν δ' ἄρα τόξωι
595 ἀντικρὺ διὰ χειρὸς ἐλήλατο χάλκεον ἔγχος.
ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ' ἀλεείνων,
χεῖρα παρακρεμάσας· τὸ δ' ἐφείλκετο μείλινον ἔγχος.
καὶ τὸ μὲν ἐκ χειρὸς ἔρυσεν μεγάθυμος Ἀγήνωρ,
αὐτὴν δὲ ξυνέδησεν ἐϋστρόφωι οἰὸς ἀώτωι
600 σφενδόνηι, ἣν ἄρα οἱ θεράπων ἔχε ποιμένι λαῶν.
Πείσανδρος δ' ἰθὺς Μενελάου κυδαλίμοιο
ἤϊε· τὸν δ' ἄγε μοῖρα κακὴ θανάτοιο τέλοσδε,
σοί, Μενέλαε, δαμῆναι ἐν αἰνῆι δηϊοτῆτι.
οἳ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
605 Ἀτρείδης μὲν ἅμαρτε, παραὶ δέ οἱ ἐτράπετ' ἔγχος,
Πείσανδρος δὲ σάκος Μενελάου κυδαλίμοιο
οὔτασεν· οὐδὲ διάπρο δυνήσατο χαλκὸν ἐλάσσαι,
ἔσχεθε γὰρ σάκος εὐρύ, κατεκλάσθη δ' ἐνὶ καυλῶι
ἔγχος. ὃ δὲ φρεσὶν ἧισι χάρη καὶ ἐέλπετο νίκην
610 Ἀτρείδης, καὶ ἐρυσσάμενος ξίφος ἀργυρόηλον
ἆλτ' ἐπὶ Πεισάνδρωι· ὃ δ' ὑπ' ἀσπίδος εἵλετο καλήν
ἀξίνην εὔχαλκον, ἐλαΐνωι ἀμφὶ πελέκκωι
μακρῶι ἐϋξέστωι· ἅμα δ' ἀλλήλων ἐφίκοντο.
ἤτοι ὃ μὲν κόρυθος φάλον ἤλασεν ἱπποδασείης

592 (ἀποπλ.) H. (Cyr.) α 6542 **594a** sch N 782b **598** (ἔρυσεν) H. ε 6109 **599** (ἐϋστρ.) id. ε 7218; (οἰὸς ἀώτωι) ApS 119.18 **602b** EtG α 124 **607** (οὐδὲ–δυν.) sch B 382a **608** (ἐνὶ κ.) H. (Cyr.) ε 3106 **611** (καλήν) + **612b** ApS 26.21; **612a** cf. Paus. 3.3.8; (ἀμφὶ πελ.) ApS 131.3; (πελ.) Poll. 10.146; H. π 1311 **613** (ἐφίκ.) Phot. Lex. ε 2449

594 ἧι Ar[ab] 10 Ω*: ἥ (nov. Did) B[s] C F R G[yp] ἐν δ' ἄρα τόξωι 60 1264 Ω: εκ δ αρα τοξου 10 **597** ἐφείλκετο r: ἐφέλκ- 10 498 1264 Ω μείλινον 10 1264 Ω*: χάλκεον (ex 595) R.—cf. ad Υ 272 **599** ἐϋστρόφωι (nov. Did) 10 498 h139[e198] t Ω (cf. 716), -φος 60: -στρεφεῖ Ar, -στρεφεφεῖ (ex -φῆ) Z **600** susp. Leaf **602–6** om. 10 (homoearch. et homoeotel.) **607** διάπρο dedi: διὰ πρὸ F[a] R G, διαπρὸ Ω* **608** ἔσχεθε 60 Ω*, σχέθε Z: ἔσχετο 10 A[yp] F T R G[a].—cf. ad Φ 67 **609** καὶ ἐέλπετο Ar 10 60 (-δο) Ω*: καὶ ἔλπ- D C T[A] R W: μέγα δ' ἤλπ- Zen **610** και 10: δὲ 60 Ω ξίφος ἀργυρόηλον Ar 10 60 Ω: χείρεσσι μάχαιραν Zen **611** ἄλτ' B[a]: ἆλτ' 498 A, ἆλτ' C R W, ἆλτ' Ω* καλήν 10 60 t Ω: -ῆς Lehrs De Aristarchi stud. hom.[3] 446 **612** ἐλαΐνωι Barnes: -αΐνω(ι) sch[bT] 10 60 t Ω, -αϊνεω Z **613** ἐφίκοντο Ar "ἡ κοινή" 10 t Z Ω*: ἀφ- 60 F[a] H: ἐφικέσθην Arph (T: ἀφ- A): ἀφίκεσθον (ἐφ-?) alii ap. Did.—cf. ad 301 et I 185

615 ἄκρον ὑπὸ λόφον αὐτόν, ὃ δὲ προσιόντα μέτωπον
ῥινὸς ὕπερ πυμάτης· λάκε δ' ὀστέα, τὼ δέ οἱ ὄσσε
πὰρ ποσὶν αἱματόεντα χαμαὶ πέσον ἐν κονίηισιν,
ἰδνώθη δὲ πεσών. ὃ δὲ λὰξ ἐν στήθεσι βαίνων
τεύχεά τ' ἐξενάριξε καὶ εὐχόμενος ἔπος ηὔδα·
620 "λείψετέ θην οὕτω γε νέας Δαναῶν ταχυπώλων,
Τρῶες ὑπερφίαλοι, δεινῆς ἀκόρητοι ἀϋτῆς.
ἄλλης μὲν λώβης τε καὶ αἴσχεος οὐκ ἐπιδευεῖς,
ἣν ἐμὲ λωβήσασθε, κακαὶ κύνες, οὐδέ τι θυμῶι
Ζηνὸς ἐριβρεμέτεω χαλεπὴν ἐδδείσατε μῆνιν
625 ξεινίου, ὅς τέ ποτ' ὔμμι διαφθέρσει πόλιν αἰπήν·
οἵ μεο κουριδίην ἄλοχον καὶ κτήματα πολλά
μὰψ οἴχεσθ' ἀνάγοντες, ἐπεὶ φιλέεσθε παρ' αὐτῆι·
νῦν αὖτ' ἐν νηυσὶν μενεαίνετε ποντοπόροισιν
πῦρ ὀλοὸν βαλέειν, κτεῖναι δ' ἥρωας Ἀχαιούς.
630 ἀλλά ποθι σχήσεσθε καὶ ἐσσύμενοί περ ἄρηος.
Ζεῦ πάτερ, ἦ τέ σέ φασι περὶ φρένας ἔμμεναι ἄλλων
ἀνδρῶν ἠδὲ θεῶν· σέο δ' ἐκ τάδε πάντα πέλονται,
οἷον δὴ ἄνδρεσσι χαρίζεαι ὑβριστῆισιν,
Τρωσίν, τῶν μένος αἰὲν ἀτάσθαλον, οὐδὲ δύνανται
635 φυλόπιδος κορέσασθαι ὁμοιΐοο πτολέμοιο.
πάντων μὲν κόρος ἐστί, καὶ ὕπνου καὶ φιλότητος
μολπῆς τε γλυκερῆς καὶ ἀμύμονος ὀρχηθμοῖο·

615a ApS 109.5 **616**a ApS 139.2; sch Ψ 165; (ῥινός) Apio 100.3; (λάκε δ' ὀ.) Epm. μ 72; (λάκε) ApS 106.30; H. (Cyr.) λ 184; (τὼ–)–**617** (–πέσον) Porph. Il. 7.1 Schr.; (τὼ–)–**617**a sch N 435b **622** Eudoc. 1928 **624** (ἐριβρ.) cf. sch A 498; H. ε 5801 **625** (διαφθ.) H. δ 1431 **626** (κουρ. ἄλ.) sch Γ 144c^{1} **627**a Phot. Lex. ε 1095 **630** (σχήσ.) ApS 148.10 **633** Eudoc. 1581 **636–7** (μολπῆς τε) sch Ar. Pl. 188–9b; imit. Nonn. D. 42.178–9; **636**a + **639** (Τρ.–) sch N 638–9a; **636**a sch B 212d; sch Pind. Nem. 7.76; sch A.R. 1.870; **636**b–**7** cf. Luc. Dial. 45.23; cf. Lib. Or. 64.15 (iv.430.2 F.)

615 ὑπὸ 10 60 Ω*: ὑπαὶ W V: ὑπὲρ t **616** ὕπερ Wolf: ὑπερ A, ὑπὲρ Z Ω* **617** αἱματόεντα 60 t* Z Ω (cf. Γ 18): -εντε Porph. quidam ap. sch^{bT} B^{c} πέσον Ar^{ab} t Ω: -εν (nov. Did) 60 r.—cf. ad E 583, M 159, O 714 **622–39** secl. Fick **623** λωβή-σασθε 10 Ω: -σεσθε 60 *h* κακαὶ 10 Ω, κακε 60: -οὶ H V **625** ποθ' ὔμμι 60 D T R (ὔμμι et E R W G) αἰπὴν 60 Ω*: αὐτὴν *b*: αἰπὺν (Nauck) rr **626** μεο Fick: μευ 10 Ω: μεν 60: fort. olim μοι κτήματα πολλά 10 60 Ω: κτήμαθ' ἅμ' αὐτῆι (= Γ 458) A^{γρ} **627** οἴχεσθ' ἀνάγοντες Ar 10 Ω (ᾤιχ- Barnes): -εσθον ἄγ- Zen: -εσθ' ελαχοντες 60 παρ' Ar^{a} 10 60 Ω: περ Ar^{b} A^{s} A^{λ} αὐτῆι 10 60 Ω*: -ῆσ D **630** ἀλλ' ἄποθι Z (qui et ποῖθι) A^{a} W: ποτι 60 **633** ὑβριστῆισι 60 t Ω: -ῆρσι V **634–9** damn. Hentze **635** ὁμοιΐοο Ahrens: -ΐου 60 Ω πτολέμοιο 60 Z Ω*: πολ- F **636** μὲν 60 498 tt* Ω: γὰρ sch-B **637** (= ψ 145) "περισσὸν εἶναί φασι" quidam ap. sch^{bT}

τῶν πέρ τις καὶ μᾶλλον ἐέλδεται ἐξ ἔρον εἶναι
ἢ πολέμου. Τρῶες δὲ μάχης ἀκόρητοι ἔασιν."
640 ὣς εἰπὼν τὰ μὲν ἔντε' ἀπὸ χροὸς αἱματόεντα
συλήσας ἑτάροισι δίδου Μενέλαος ἀμύμων,
αὐτὸς δ' αὖτ' ἐξαῦτις ἰὼν προμάχοισιν ἐμίχθη.
  ἔνθά οἱ υἱὸς ἔπαλτο Πυλαιμένεος βασιλῆος,
Ἁρπαλίων, ὅ ῥα πατρὶ φίλωι ἕπετο πτολεμίξων
645 ἐς Τροίην, οὐδ' αὖτις ἀφίκετο πατρίδα γαῖαν·
ὅς ῥα τότ' Ἀτρεΐδαο μέσον σάκος οὔτασε δουρί
ἐγγύθεν· οὐδὲ διάπρο δυνήσατο χαλκὸν ἐλάσσαι,
ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ' ἀλεείνων,
πάντοσε παπταίνων, μή τις χρόα χαλκῶι ἐπαύρηι.
650 Μηριόνης δ' ἀπιόντος ἵει χαλκήρε' ὀϊστόν,
καί ῥ' ἔβαλε γλουτὸν κάτα δεξιόν· αὐτὰρ ὀϊστός
ἀντικρὺ κατὰ κύστιν ὑπ' ὀστέον ἐξεπέρησεν.
ἑζόμενος δὲ κάτ' αὖθι, φίλων ἐν χερσὶν ἑταίρων
θυμὸν ἀποπνείων, ὥς τε σκώληξ ἐπὶ γαίηι
655 κεῖτο ταθείς· ἐκ δ' αἷμα μέλαν ῥέε, δεῦε δὲ γαῖαν.
τὸν μὲν Παφλαγόνες μεγαλήτορες ἀμφεπένοντο,
ἐς δίφρον δ' ἀνέσαντες ἄγον προτὶ Ἴλιον ἱρήν
ἀχνύμενοι. μετὰ δέ σφι πατὴρ κίε δάκρυα λείβων·
ποινὴ δ' οὔ τις παιδὸς ἐγίνετο τεθνηῶτος.

638 (ἐέλδ.) H. (Cyr.) ε 568 **643** sch E 576; Porph. Il. 84.18 Schr.; (ἔπαλτο) H. ε 4150; (Πυλ./Κυλ.) cf. proleg. in cod. A (I lxv.5 Erbse) **644–5** [Ammon.] Diff. 242 + Eren. (p.63 N.); **644** (Ἁρπ.) EtG α 1218; (ὅ ῥα–ἕπ.) Arn ad N 658–9a; **645** (–ἀφίκ.) ibid. **649**b Choer. in Thd. i.237.39; (μή–καλόν) Hdn ad N 191c **650** (χαλκ.–) cf. Paus. 3.3.8 **654–5** Eudoc. 998–9; **655** (ταθείς) H. τ 28 **656** (Παφλ.) id. π 1158 **657** (ἀνέσ.) H. (Cyr.) α 4962; Phot. Lex. α 1873 **658** Eudoc. 790; (παρὰ δέ–) Porph.

638 πέρ 10 60 481 498 Ω*: κέν *b* μάλλον Blass: μᾶ- Ω **641** ἑτάροισι δίδου 60 Ω*: -οις ἐδίδου C **643** ἔνθά sic Ω ἔπαλτο Hsch.^{cod} rr: ἐπάλτο B^{a} O, ἐπᾶλτο Ω* Πυλαιμένεος (Hdn) Ω*: parox. D B^{c} T R G: Πυλαι[10: Κυλαι- Zen **644** ὅ 10 Ω*: ὅς 481 tt D R: ον 60 πτολεμίξων V: -ίζων Ω*: πολεμίζων 60 t E T R.—cf. ad O 179 **647** διάπρο dedi (Praef. xix): διὰ πρὸ R G, διαπρο D C, διαπρὸ Ω* **649** χαλκῶι 60 Choer. Ω*: -ὸς R^{r}: καλὸν t* *h*.—cf. ad Λ 573, O 316 ἐπαύρηι t Ω: -ρω 60: -ροι Hermann Opusc. I 288 **650** δ' om. 10 60 **651** ῥ' ἔβαλε(ν) 60 481 Ω: ρα βαλε 10 κά–τα Wolf: κατὰ vel κατα Ω **652** κατὰ 10 60 481 Ω* A^{m} (cf. E 67): διὰ A **653** κάτ' dedi: κατ' Ω: κατ- P **657** ath. aliquis (Ar?) ἀνέσαντες Ar 60 1285 (ανέσ-) tt Z Ω (cf. ξ 280): ἀναθέντες (= sch^{Dgl}) Ap. Rhod. **658–9** ath. Arph (propter E 576 sqq.), haesitabat Ar (ἢ ἀθετεῖν φησι δεῖν ἢ ὁμωνυμίαν νομίζειν; cf. ad Γ 144) **658** δέ 60 1285 tt sch^{D} Ω: δ' οὔ (!) quidam ap. sch^{AD} (cf. ad I 453) **659** ἐγίνετο Z Ω: εδεξατο (ex I 633) 60: an ἐτίνετο? τεθνηῶτος B^{a} E^{t} F^{a} T R: -θνει- 60 Z E^{s} Ω* (ηι A^{s})

660 τοῦ δὲ Πάρις μάλα θυμὸν ἀποκταμένοιο χολώθη·
ξεῖνος γάρ οἱ ἔην πολέσιν μετὰ Παφλαγόνεσσιν·
τοῦ ὅ γε χωόμενος προΐει χαλκήρε' ὀϊστόν.
ἦν δέ τις Εὐχήνωρ, Πολυΐδου μάντιος υἱός,
ἀφνειός τ' ἀγαθός τε, Κορινθόθι οἰκία ναίων,
665 ὅς ῥ' εὖ εἰδὼς κῆρ' ὀλοὴν ἐπὶ νηὸς ἔβαινεν·
πολλάκι γάρ οἱ ἔειπε γέρων ἀγαθὸς Πολύϊδος,
νούσωι ὕπ' ἀργαλέηι φθίσθαι οἷς ἐν μεγάροισιν,
ἢ μετ' Ἀχαιῶν νηυσὶν ὑπὸ Τρώεσσι δαμῆναι.
τώ ῥ' ἅμα τ' ἀργαλέην θωιὴν ἀλέεινεν Ἀχαιῶν
670 νοῦσόν τε στυγερήν, ἵνα μὴ πάθοι ἄλγεα θυμῶι.
τὸν βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατος· ὦκα δὲ θυμός
ὤιχετ' ἀπὸ μελέων, στυγερὸς δ' ἄρα μιν σκότος εἷλεν.
ὣς οἳ μὲν μάρναντο δέμας πυρὸς αἰθομένοιο.
Ἕκτωρ δ' οὐκ ἐπέπυστο διίφιλος, οὐδέ τι εἴδη
675 ὅττί ῥά οἱ νηῶν ἐπ' ἀριστερὰ δηϊόωντο
λαοὶ ὑπ' Ἀργείων—τάχα δ' ἂν καὶ κῦδος Ἀχαιῶν
ἔπλετο· τοῖος γὰρ γαιήοχος Ἐννοσίγαιος
ὤτρυν' Ἀργείους, πρὸς δὲ σθένει αὐτὸς ἄμυνεν—
ἀλλ' ἔχεν, ἧι τὰ πρῶτα πύλας καὶ τεῖχος ἔσαλτο
680 ῥηξάμενος Δαναῶν πυκινὰς στίχας ἀσπιστάων.
ἔνθ' ἔσαν Αἴαντός τε νέες καὶ Πρωτεσιλάου
θίν' ἔφ' ἁλὸς πολιῆς εἰρυμέναι· αὐτὰρ ὕπερθεν
τεῖχος ἐδέδμητο χθαμαλώτατον· ἔνθα μάλιστα
ζαχρηεῖς γίνοντο μάχηι αὐτοί τε καὶ ἵπποι.
685 ἔνθα δὲ Βοιωτοὶ καὶ Ἰάονες ἑλκεχίτωνες,

Il. 84.8 Schr. **663–4** sch Pind. Ol. 13.82a **665–8** [Luc.] Dial. 82.15; **666–8a** sch I 410–16; **667** cf. Eudoc. 757 **669** (θω.) ApS 89.11 **671** (–οὔ.) Epm. γ 26; **671b–2a** sch Δ 460–1 **673** sch Δ 342 **681** Strab. 9.1.10; sch O 705d; Porph. Il. 208.6 Schr. **682** (εἰρ.) H. ε 1057 **683** (ἐδέδ.) H. (Cyr.) ε 416 **685–6** Strab. 9.5.7; **685b**

663 Πολυΐδου t Ω: -είδου 9 60 rr.—cf. ad E 148 **665** εὖ sic Ω, εὗ 1285, ευ 9 10 **666** Πολύϊδος 60 tt Ω: -ειδος 9 rr **667** ὕπ' van Leeuwen: ὑπ' Ω φθίσθαι 9 60 tt* Ω*: φθῖ- A B^{t} W G^{a}: φθεῖ- Luc.^{vl} A^{m} B^{s} C E^{s} G^{c}.—cf. ad I 246 **668** νηυσὶν 9 60 tt Ω: χερσιν 10 **669** τώ Ludwich: τῶ 9 Ω (τῶι D W) θωιὴν A B C F^{c} W G: θωὴν 9 10 Z Ω*: θον 60^{uv} **670** πάθοι 9 10 1268 Ω*: -η(ι) W O **672** ἀπὸ 9 60 t Ω*: ἀπαὶ W O V **674** Διὶ φίλος 9 Ω εἴδη Christ: ἤ(ι)δη 9 60 Ω*: -ει C R **675** ὅττί La Roche: ὅττι 9 Ω δηϊόωντο 9 60 Ω: -όοντο Payne Knight (δαϝι-), Christ.—cf. ad Λ 153 **676–8** damn. Düntzer **679** ἔσαλτο r: ἐσάλτο B^{a}: ἐσᾶ- Ω*: ἐπᾶ- W: εσαλτο 9: εταλτο 60 **682** θίν' dedi (dat., cf. Δ 248): θῖν' Ω.—cf. ad Ξ 31 ἔφ' r: ἐφ' Ω **683** ἐδέδμητο 9 60 t Ω*: δέδ- T **684** μάχηι 60 Ω: -ης 9 **685** ἑλκεχίτωνες 9 60 h139^{ε308}

Λοκροὶ καὶ Φθῖοι καὶ φαιδιμόεντες Ἐπειοί
σπουδῆι ἐπαΐσσοντα νεῶν ἔχον—οὐδ' ἐδύναντο
ὦσαι ἀπὸ σφείων φλογὶ εἴκελον Ἕκτορα δῖον—
οἳ μὲν Ἀθηναίων προλελεγμένοι· ἐν δ' ἄρα τοῖσιν
690 ἦρχ' υἱὸς Πετεῶιο Μενεσθεύς, οἳ δ' ἅμ' ἕποντο
Φείδας τε Στιχίος τε Βίας τ' ἐΰς· αὐτὰρ Ἐπειῶν
Φυλείδης τε Μέγης Ἀμφίων τε Δρακίος τε·
πρὸ Φθίων δὲ Μέδων τε μενεπτόλεμος τε Ποδάρκης.
ἤτοι ὃ μὲν νόθος υἱὸς Ὀϊλῆος θείοιο
695 ἔσκε Μέδων, Αἴαντος ἀδελφεός, αὐτὰρ ἔναιεν
ἐν Φυλάκηι, γαίης ἄπο πατρίδος, ἄνδρα κατακτάς,
γνωτὸν μητρυιῆς Ἐριώπιδος, ἣν ἔχ' Ὀϊλεύς·
αὐτὰρ ὃ Ἰφίκλοιο πάϊς τοῦ Φυλακίδαο.
οἳ μὲν πρὸ Φθίων μεγαθύμων θωρηχθέντες
700 ναῦφιν ἀμυνόμενοι μετὰ Βοιωτῶν ἐμάχοντο.
Αἴας δ' οὐκέτι πάμπαν, Ὀϊλῆος ταχὺς υἱός,
ἵστατ' ἀπ' Αἴαντος Τελαμωνίου, οὐδ' ἠβαιόν,
ἀλλ' ὥς τ' ἐν νειῶι βόε οἴνοπε πηκτὸν ἄροτρον
ἶσον θυμὸν ἔχοντε τιταίνετον, ἀμφὶ δ' ἄρά σφι
705 πρυμνοῖσιν κεράεσσι πολὺς ἀνακηκίει ἱδρώς—
τὼ μέν τε ζυγὸν οἶον ἐΰξοον ἀμφὶς ἐέργει
ἱεμένω κατὰ ὦλκα, τέμει δέ τε τέλσον ἀρούρης—

ApS 89.31; sch Ar. Ach. 106; sch Call. fr. 7.29 (i.19.16 Pf.); (Ἰά.) H. ι 64; (ἑλκ.) Clem. Paed. 2.105.4; H. (Cyr.) ε 2133; **686**a Hdn ad N 693; (Λοκ.) sch N 681b; (Φθ.) H. φ 406; (φαιδ.–) sch H 11; (φαιδ.) Phot. Lex. s.v. **688** (ὦσαι) H. ω 393 **689 + 691** (–ἐΰς) sch Φ 140; **689** (–προλ.) sch Pind. Nem. 2.28a; (**691** (–ἐΰς) Porph. Il. 249.8 Schr. **693 + 699–700** Strab. 9.5.7; **693**a [Ammon.] Diff. 498; **696**b Hdn ad Σ 64b; **700**a Choer. in Thd. i.181.12, ii.60.7, 331.28; Epm. ν 34 **701–4** (–τιτ.) sch[D] B 529; **704**a sch B 405–9, H 164; (τιτ.) H. τ 968 **705**b Herm. in Pl. Phdr. 183.15 C.; (ἀνακ.) H. α 4352 **706** (ζυγὸν–) sch Φ 162c **707** ApS 170.31; **707**a sch A.R. 2.396b; Orio 171.1; (ὦλκα) id. 120.15; (τέλσον ἀρ.) EtG s.v.; (τέλσον) ApS 150.32; H. τ 447

tt* Ω: ἑλκεσίπεπλοι sch-Call. **687** οὐδ' ἐδύναντο D R: οὐδὲ δ- 9 60 Ω* **690** Πε–τεῶιο (Ar) dedi: -ῶο 9 60 Ω.—cf. ad B 552 **692** Μέγης Ar 9 Ω: -ης τ' Zen? 60 W.—cf. ad T 239 Δράκιός *h* W **694–700** fort. additicii; **695–7** (= O 334–6) del. Erhardt **696** ἄπο D[c] B F T R W G: ἀπὸ 9 Ω* **700** Βοιωτῶν 9 60 t Ω (cf. Chantr. II 119): -τοῖσ' van Leeuwen **702** ἵστατ' Ar 9 60 t Ω: χάζετ' Zen **703** πηκτὸν 9 Ω: πᾰκτὸν Wack. Unt. 11 sq. **704** ἄρά Ludwich (cf. Praef. xviii): ἄρα 9 Ω σφι 9 60 1285 Ω*: σφιν D **705** ἀνακηκίει Ar 1285 A[s] Ω*: ἀνεκ- A[t]: δ' ἀνακ- T[λ]: ἀνεκήκιεν 9 Z: δ' ἀνεκ- 60 t R H V (cf. H 262, Ψ 507): et δ' et -ιεν nov. Did **707** κατὰ ὦλκα Z Ω (cf. σ 375): κατ' ἄωλκα Janko (ἄϝολκα Payne Knight) τέμει Ar Ω*: τέμνει 9 t Z D R G[c]: ταμεῖν ἐπὶ J.H. Voss cl. Σ 547, A.R. 3.412

ὣς τὼ παρβεβαῶτε μάλ' ἕστασαν ἀλλήλοιιν.
ἀλλ' ἤτοι Τελαμωνιάδηι πολλοί τε καὶ ἐσθλοί
710 λαοὶ ἕπονθ' ἕταροι, οἵ οἱ σάκος ἐξεδέχοντο,
ὁππότε μιν κάματός τε καὶ ἱδρὼς γούναθ' ἵκοιτο·
οὐδ' ἄρ' Ὀϊλιάδηι μεγαλήτορι Λοκροὶ ἕποντο·
οὐ γάρ σφι σταδίηι ὑσμίνηι μίμνε φίλον κῆρ.
οὐ γὰρ ἔχον κόρυθας χαλκήρεας ἱπποδασείας,
715 οὐδ' ἔχον ἀσπίδας εὐκύκλους καὶ μείλινα δοῦρα,
ἀλλ' ἄρα τόξοισιν καὶ ἐϋστρόφωι οἰὸς ἀώτωι
Ἴλιον εἰς ἅμ' ἕποντο πεποιθότες, οἷσιν ἔπειτα
ταρφέα βάλλοντες Τρώων ῥήγνυντο φάλαγγας.
δή ῥα τόθ' οἳ μὲν πρόσθε σὺν ἔντεσι δαιδαλέοισιν
720 μάρναντο Τρωσίν τε καὶ Ἕκτορι χαλκοκορυστῆι,
οἳ δ' ὄπιθεν βάλλοντες ἐλάνθανον· οὐδ' ἔτι χάρμης
Τρῶες μιμνήσκοντο, συνεκλόνεον γὰρ ὀϊστοί.
ἔνθά κε λευγαλέως νηῶν ἄπο καὶ κλισιάων
Τρῶες ἐχώρησαν προτὶ Ἴλιον ἠνεμόεσσαν,
725 εἰ μὴ Πουλυδάμας θρασὺν Ἕκτορα εἶπε παραστάς·
"Ἕκτορ, ἀμήχανός ἐσσι παραρρητοῖσι πιθέσθαι.
οὕνεκά τοι περὶ δῶκε θεὸς πολεμήϊα ἔργα,
τούνεκα καὶ βουλῆι ἐθέλεις περιίδμεναι ἄλλων;
ἀλλ' οὔ πως ἅμα πάντα δυνήσεαι αὐτὸς ἑλέσθαι·
730 ἄλλωι μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα,

708 (παρβ.) H. π 456; 708b cf. Eudoc. 2320 710b–11 (-ἱδρώς) sch Π 107–11 712 sch O 336d; 712a Arn ad N 694a 713 + 716–17a Strab. 10.1.13; 713 sch [Hes.] Sc. 25; 714 (-χαλκ.) Arn ad O 480b; (χαλκ.) ApS 166.23; H. χ 79; 716b–17 (-πεπ.) sch Δ 90; (-17a) sch N 599b 723 (λευγ.) ApS 107.23; 723b Epm ad A 30a[1] 726 (παραρρ.) ApS 128.24; H. π 648; Phot. Lex. s.v. 728 (περιίδμ.) H. π 1713 729–32a Arn ad Δ 320a; 730–4 [Plut.] Hom. 2.156.1; 730–2 (-νόον) sch Pind. Ol. 9.158c; 730–1 Clem. Strom. 4.133.2; Luc. Dial. 45.23; 730 sch Pind. Nem. 1.36

708 ἀλλήλοιϊν 1285 t Ω*: -οισιν 9 60 F G.—cf. ad K 65, X 128 709 ἤτοι Ω: ἦτοι 9 710 λαοὶ 9 60 Ω: ἄλλοι *h* H V.—cf. ad X 205 ἐξεδέχοντο 9 Ω: -δέκ- Wack. Unt. 29 712 οὐδ' ἄρ' Ὀϊλιάδηι Ar t Ω (ἄρα νηληϊάδηι D): αυταρ Οιλ- 60: ἀλλ' οὐκ Ἰλ- Zen.—cf. ad B 527 713 σφι Ar 9 Ω*: σφιν Arph 60 tt Z *b* F[c] W.—cf. ad Δ 166, I 236 σταδίηι ὑσμίνηι μίμνε φίλον κῆρ fere 9 (φίλον ητορ) 60 (μιμνον) t* Z (σταδίην) Ω: -ίης -ης ἔργα μέμηλεν Strab.: ἔργ' ἐμεμήλει T[yp] 716 ἐϋστρόφωι 9 60 (-στρω-) tt Ω: cf. ad 599 717 οἷσιν ἔπειτα 9 60 Ω: οἷσι μάλιστα *h* 721 ουδ'ετι 9: οὐδέ τι Ω 723 ἔνθά sic Ω (ἐνθά E) 726–8 ut supra interpunxit Nic: ... πιθέσθαι, ... ἔργα· ... ἄλλων. Lehrs 727 περὶ δῶκε Hdn (ne περίδωκε) 9 Ω*: πέρι δ- R W 729 δυνήσεαι αὐτὸς ἑλέσθαι 60 Ω: θεοὶ δόσαν ἀνθρώποισιν (= Δ 320) Arn ad illum locum 730 ἔδωκε 60 481 1288 tt Ω: δῶκε *h* (cf. ad B 102, H 288, I 37–9, K 255, 268, Λ 23, Π 250, Σ 436)

{ἄλλωι δ' ὀρχηστύν, ἑτέρωι κίθαριν καὶ ἀοιδήν,}
ἄλλωι δ' ἐν στήθεσσι τιθεῖ νόον εὐρύοπα Ζεύς
ἐσθλόν, τοῦ δέ τε πολλοὶ ἐπαυρίσκοντ' ἄνθρωποι,
καί τε πολῦς ἐσάωσε, μάλιστα δὲ καὐτὸς ἀνέγνω.
735 αὐτὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἄριστα.
πάντηι γάρ σε περὶ στέφανος πολέμοιο δέδηεν·
Τρῶες δὲ μεγάθυμοι, ἐπεὶ κατὰ τεῖχος ἔβησαν,
οἳ μὲν ἀφεστᾶσιν σὺν τεύχεσιν, οἳ δὲ μάχονται
παυρότεροι πλεόνεσσι, κεδασθέντες κατὰ νῆας.
740 ἀλλ' ἀναχασσάμενος κάλει ἐνθάδε πάντας ἀρίστους·
ἔνθεν δ' ἂν μάλα πᾶσαν ἐπιφρασσαίμεθα βουλήν,
ἤέ κεν ἐν νήεσσι πολυκλήϊσι πέσωμεν,
αἴ κ' ἐθέλησι θεὸς δόμεναι κράτος, ἦ κεν ἔπειτα
πὰρ νηῶν ἔλθοιμεν ἀπήμονες. ἦ γὰρ ἐγώ γε
745 δείδω, μὴ τὸ χθιζὸν ἀποστήσωνται Ἀχαιοί
χρεῖος, ἐπεὶ παρὰ νηυσὶν ἀνὴρ ἆτος πολέμοιο
μίμνει, ὃν οὐκέτι πάγχυ μάχης σχήσεσθαι ὀΐω."
ὣς φάτο Πουλυδάμας, ἅδε δ' Ἕκτορι μῦθος ἀπήμων,
{αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε}
750 καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
"Πουλυδάμα, σὺ μὲν αὐτοῦ ἐρύκακε πάντας ἀρίστους,

733 (τοῦ–ἐπαυρ.) sch N 734a; (ἐπαυρ.) H. (Cyr.) ε 4267 **734**a sch Λ 327b; **734**b Arn ad Υ 311a^{1} **736** ApS 144.29; Ath. 18f; **736**b Epm. δ 2; (στέφ. πολ.) H. σ 1793 **738** (ἀφ.) EtG α 1454 **741** (ἐπιφρ.) H. (Cyr.) ε 5396 **745–6** (χρ.) ApS 39.11; [Ammon.] Diff. 318; Porph. Hom. 118.15 Sod.; EtG s.v. στατήρ; Epm. δ 69; (χθιζ.) Apio 102.30; (ἀποστ.) H. α 6663

731 deest in 60 1288 tt* Ω*: hab. Zenod. Mallota Clem. Luc. 435 481 A^{m} D^{2} F R^{m} G, fort. nov. Call. Hymn. 1.70–3; cf. Rengakos 125 sq. ὀρχηστύν τε καὶ ἱμερόεσσαν ἀοιδήν Luc. **732** τιθεῖ νόον D R^{c}: τίθει νόον Ω*: alterutrum Ar 60 tt: νόον τίθει sive τιθεῖ Arph T (τίθει T^{a}, -θεῖ T^{c}) **733** πολλοὶ Ar 60 1288 t Ω: -ὸν Arph **734** πολῦς Christ (-ὺς dedi; cf. Praef. xxxiv): -εῖς Hdn t* Ω*: -έας T^{λ}: πόλεις quidam ante Hdn [Plut.] D F^{γρ} R^{a}: πολεις 60 481 δὲ καὐτὸς sch^{D} D: δέ κ' αὐτὸς Ar sch^{bT} t Ω*: δ'αυτος 60: δέ τ' αὐτὸς Hermann Opusc. IV 21 cl. ζ 185 **735** αὐτὰρ ἐγὼν 481 (εχων) Ω: νυν δ αυτ εξ 60 (cf. M 215) ἄριστα (= M 215) Ω: -αι 60: -ον rr **736** πέρι W V **737** δὲ 60 481 Ω: δὴ *b* **738** δ'εμάχοντο 435: δε μαχεσθαι 60 **741** ἐπιφρασ(σ)αίμεθα 60$^{?}$ 435 t Ω: -ώμεθα Z O **742** ηε κεν εν 60 (coniecerat Ahrens Rh. Mus. 2 [1843] 170): ἤ κεν ἐνὶ Ω (ἐν G), η κεν[10, ἤ κ[εν 1285 **743** αἴ 60 t Ω: ει 10 1285 (ss. η) ἦ Bekker: ἤ Ω **744** ἔλθοιμεν 60 Ω*: -ωμεν 435 A ἐγώ γε D: ἔγωγε Ω* **745** ἀποστήσωνται Ar 60 tt* Ω*: ὑποστ- [Ammon.]: ἀποστήσονται Epm. Z R^{a}: ἀποτίσωνται *b* G^{c}, -σονται D R^{c} **746** ἆτος 60 Ω: ἄατος Payne Knight (cf. ad E 388, 863) **749** (= M 81) deest in 60 A H O V: hab. A^{m} H^{m} Ω* ἄλτο (vel ἅ-) B^{a}: ἆ- *b* C W, ἆ- Ω* **750** προσηύδα 60 Ω*: μετηῦδα W ut solet **751** Πουλυδάμα Ω: -δαμαν Bekker.—cf. ad M 231

αὐτὰρ ἐγὼ κεῖσ' εἶμι καὶ ἀντιόω πολέμοιο·
αἶψα δ' ἐλεύσομαι αὖτις, ἐπὴν εὖ τοῖς ἐπιτείλω."
ἦ ῥα, καὶ ὡρμήθη ὄρεϊ νιφόεντι ἐοικώς,
755 κεκληγώς, διὰ δὲ Τρώων πέτετ' ἠδ' ἐπικούρων.
οἳ δ' ἐς Πανθοΐδην ἀγαπήνορα Πουλυδάμαντα
πάντες ἐπεσσεύοντ', ἐπεὶ Ἕκτορος ἔκλυον αὐδήν.
αὐτὰρ ὃ Δηΐφοβόν τε βίην θ' Ἑλένοιο ἄνακτος
Ἀσιάδην τ' Ἀδάμαντα καὶ Ἄσιον Ὑρτάκου υἱόν
760 φοίτα ἀνὰ προμάχους διζήμενος, εἴ που ἐφεύροι.
τοὺς δ' ηὗρ' οὐκέτι πάμπαν ἀπήμονας οὐδ' ἀνολέθρους,
ἀλλ' οἳ μὲν δὴ νηυσὶν ἔπι πρυμνῇσιν Ἀχαιῶν
χερσὶν ὕπ' Ἀργείων κέατο ψυχὰς ὀλέσαντες,
οἳ δ' ἐν τείχει ἔσαν βεβλημένοι οὐτάμενοί τε.
765 τὸν δὲ τάχ' ηὗρε μάχης ἐπ' ἀριστερὰ δακρυοέσσης
δῖον Ἀλέξανδρον, Ἑλένης πόσιν ἠϋκόμοιο,
θαρσύνονθ' ἑτάρους καὶ ἐποτρύνοντα μάχεσθαι.
ἀγχοῦ δ' ἱστάμενος προσέφη αἰσχροῖς ἐπέεσσιν·
"Δύσπαρι, εἶδος ἄριστε, γυναιμανὲς ἠπεροπευτά,
770 ποῦ τοι Δηΐφοβός τε βίη θ' Ἑλένοιο ἄνακτος
Ἀσιάδης τ' Ἀδάμας ἠδ' Ἄσιος Ὑρτάκου υἱός,
ποῦ δέ τοι Ὀθρυονεύς; νῦν ὤλετο πᾶσα κατ' ἄκρης
Ἴλιος αἰπεινή· νῦν τοι σῶς αἰπὺς ὄλεθρος."
τὸν δ' αὖτε προσέειπεν Ἀλέξανδρος θεοειδής·
775 "Ἕκτορ, ἐπεί τοι θυμὸς ἀναίτιον αἰτιάασθαι,
ἄλλοτε δή ποτε μᾶλλον ἐρωῆσαι πολέμοιο
μέλλω, ἐπεὶ οὐδ' ἐμὲ πάμπαν ἀνάλκιδα γείνατο μήτηρ.
ἐξ οὗ γὰρ παρὰ νηυσὶ μάχην ἤγειρας ἑταίρων,
ἐκ τοῦ δ' ἐνθάδ' ἐόντες ὁμιλέομεν Δαναοῖσιν

759b Hdn ad υ 39; EtG α 1269 **761** (οὐδ' ἀνολ.) Arn ad N 763 **762** (ἐπὶ πρ.) H. ε 5102 **763**b Choer. in Thd. ii.197.8, 198.13; EtG s.v. κέαται; Epm. κ 168 **772**b sch B 12b, ε 313; Epm. ν 4 **773**b Did ad A 117b²; Choer. in Thd. i.247.14 **775** sch N 768–73 **776**b sch X 185a; (ἐρω.) H. ε 6137

753 ἐπιτείλω 96 Ω: επαμυνω 60.—cf. ad M 369 **755** κεκληγώς 60? Ω: κεκλήγων Allen **761** ηὗρ' fere Fick: εὗρ' 60 Z (-ρεν) Ω **762** ἔπι Wolf: ἐπὶ Ω πρύμνῇσιν (sic) T: proparox. Hsch.[cod] Ω **763** ὕπ' Barnes: ὑπ' Ω **765** ηὗρε fere Fick: εὗρε 60 Z Ω δακρυοέσσης 96 Ω: -εντος 60 **772** κατὰ κρῆς quidam ap. sch[AT]: πέρι χθών sch-B[vl] Epm. (ex T 362) **773** σῶς (= ε 305, χ 28) 60 96 tt Z Ω: σόος Bekker: σάος Payne Knight: σοὸς 'urgens' Schulze Kl. Schr. 378 n.2.—cf. ad A 117, Π 252 **776** μάλλον Blass: μᾶ- Ω **777** οὐδ' ἐμὲ 96 D W: οὐδέ με Ω* **778** ἑταί–ρων Ω*: Ἀχαιῶν 60 481 W **779** δ' 60 96 Ω: δὴ Düntzer

780 νωλεμέως. ἕταροι δὲ κατέκταθεν, οὓς σὺ μεταλλᾶις·
οἴω Δηΐφοβός τε βίη θ' Ἑλένοιο ἄνακτος
οἴχεσθον, μακρῆισι τετυμμένω ἐγχείηισιν
ἀμφοτέρω κατὰ χεῖρα· φόνον δ' ἤμυνε Κρονίων.
νῦν δ' ἄρχ', ὅππηι σε κραδίη θυμός τε κελεύει.
785 ἡμεῖς δ' ἐμμεμαῶτες ἅμ' ἑψόμεθ', οὐδέ τί φημι
ἀλκῆς δευήσεσθαι, ὅση δύναμίς γε πάρεστιν·
πὰρ δύναμιν δ' οὐκ ἔστι καὶ ἐσσύμενον πολεμίζειν."
ὣς εἰπὼν παρέπεισεν ἀδελφεόο φρένας ἥρως·
βὰν δ' ἴμεν, ἔνθα μάλιστα μάχη καὶ φύλοπις ἦεν,
790 ἀμφί τε Κεβριόνην καὶ ἀμύμονα Πουλυδάμαντα,
Φάλκην Ὀρθαῖόν τε καὶ ἀντίθεον Πολυφήτην
Πάλμύν τ' Ἀσκάνιόν τε Μόρυν θ', υἷ' Ἱπποτίωνος,
οἵ ῥ' ἐξ Ἀσκανίης ἐριβώλακος ἦλθον ἀμοιβοί
ἠοῖ τῆι προτέρηι, τότε δὲ Ζεὺς ὦρσε μάχεσθαι.
795 οἳ δ' ἴσαν ἀργαλέων ἀνέμων ἀτάλαντοι ἀέλληι,
ἥ ῥά θ' ὑπὸ βροντῆς πατρὸς Διὸς εἶσι πέδονδε,
θεσπεσίωι δ' ὁμάδωι ἁλὶ μίσγεται, ἐν δέ τε πολλὰ
κύματα παφλάζοντα πολυφλοίσβοιο θαλάσσης
κυρτὰ φαληριόωντα, πρὸ μέν τ' ἄλλ', αὐτὰρ ἔπ' ἄλλα·
800 ὣς Τρῶες πρὸ μὲν ἄλλοι ἀρηρότες, αὐτὰρ ἔπ' ἄλλοι,
χαλκῶι μαρμαίροντες ἅμ' ἡγεμόνεσσιν ἕποντο.
Ἕκτωρ δ' ἡγεῖτο βροτολοιγῶι ἶσος Ἄρηϊ

782 (μακρ.) id. μ 130 **784** (ὅππηι) id. ο 1051 **792–3** Strab. 12.4.5; **793–4** Porph. Od. 25.11 Schr.; **793–4a** ApS 27.28; **793** St. Byz. 132.17; EtG α 675 **798** (immo γ 290)–**9a** Dio Prus. 74.7; **798a** Epm. λ 45; (παφλ.) ApS 129.8; H. π 1160; Phot. Lex. s.v.; **799** Arist. Rh. 1412a7; **799a** Demetr. Eloc. 64, 81; Philod. Poem. 2 fr. 13.27 (p.141 Sb.); sch Φ 249b; sch Theoc. 8.27a; (φαλ.) ApS 161.12; sch Theoc. 5.102/3i; H. φ 102; **799b** sch Aesch. Sept. 758g

782 τετυμμένω Z Ω*: τετυγμ- 60 D T[a] **783** χεῖρα 60 Ω: -ρε *h* H **784** θυμός τε κελεύει 60 1291 Ω: και θ]υμος ανωγ[ει 481 **785** δ' ἐμμεμαῶτες Ar 627 A R W: δὲ μεμ- (nov. Did) 60 Ω* οὐδέ τι 60 Ω: οὐδ' ἔτι r: ουδ'εμε 435[a], ουδέ με 435[c] (cf. θ 221, Hes. Op. 656) **788** ἀδελφεόο Ahrens post Payne Knight: -φειοῦ 60 Ω **789** ἦεν Ω: αἰνή 435 r[a] **791** Φάλκην [627] Ω: -ην τ' (Bentley) 96 Πολυφήτην Ω*: -φοίτην R O: -φοντην 435: Περιφήτην Barnes cl. Ξ 515 **792** Πάλμύν sic A G τ' 96 Ω: om. t υἷ' Ω* (υἷε rr): υἱὸν t R τε καὶ Ἱπποτίωνα Barnes cl. Ξ 514 **792*a*** Μυσῶν ἀγχεμάχων ἡγήτορα ‹καρτεροθύμων van Leeuwen› add. t (cf. Ξ 512) **793** ἀμοιβοί Ar h139[α438] tt* Z Ω: -βῆι Porph.: ἀμορβοί Nauck Mél. II 430 **797** δ' Ar 9 96 Ω: om. (nov. Did) sch[Dλ] ἐνθάδε G[γρ] (voluit ἔνθά τε = rr) **798** ut supra 9 60 tt* Z Ω: κύματα τροφόεντα πελώρια, ἶσα ὄρεσσι Dio (ex γ 290) **799** φαληριόωντα 9 60 96 tt Z Ω*: -όεντα A[λ] W ἔπ' D[c] B[a] T: ἐπ' Z Ω* **800** ἔπ' D[c] B[a] W: ἐπ' Ω*

Πριαμίδης· πρόσθεν δ' ἔχεν ἀσπίδα πάντοσ' ἐΐσην,
ῥινοῖσιν πυκινήν, πολλὸς δ' ἐπελήλατο χαλκός·
805 ἀμφὶ δέ οἱ κροτάφοισι φαεινὴ σείετο πήληξ.
πάντηι δ' ἀμφὶ φάλαγγας ἐπειρᾶτο προποδίζων,
εἴ πώς οἱ εἴξειαν ὑπασπίδια προβιβάντι·
ἀλλ' οὐ σύγχει θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν.
Αἴας δὲ πρῶτος προκαλέσσατο, μακρὰ βιβάσθων·
810 "δαιμόνιε, σχεδὸν ἐλθέ· τίη δειδίσσεαι αὔτως
Ἀργείους; οὔ τοί τι μάχης ἀδαήμονές εἰμεν,
ἀλλὰ Διὸς μάστιγι κακῆι ἐδάμημεν Ἀχαιοί.
ἦ θήν πού τοι θυμὸς ἐέλπεται ἐξαλαπάξειν
νῆας· ἄφαρ δέ τε χεῖρες ἀμύνειν εἰσὶ καὶ ἡμῖν.
815 ἦ κε πολὺ φθαίη εὖ ναιομένη πόλις ὑμή
χερσὶν ὕφ' ἡμετέρηισιν ἁλοῦσά τε περθομένη τε·
σοὶ δ' αὐτῶι φημι σχεδὸν ἔμμεναι, ὁππότε φεύγων
ἀρήσεαι Διὶ πατρὶ καὶ ἄλλοις ἀθανάτοισιν
θάσσονας ἰρήκων ἔμεναι καλλίτριχας ἵππους
820 οἵ σε πόλινδ' οἴσουσι κονίοντες πεδίοιο."
ὣς ἄρα οἱ εἰπόντι ἐπέπτατο δεξιὸς ὄρνις,
αἰετὸς ὑψιπέτης· ἐπὶ δ' ἴαχε λαὸς Ἀχαιῶν
θάρσυνος οἰωνῶι. ὃ δ' ἀμείβετο φαίδιμος Ἕκτωρ·
"Αἶαν ἁμαρτοεπές, βουγάϊε, ποῖον ἔειπες;

804a sch ζ 134 **805** al. (πήληξ) ApS 131.18 **807**b Diom. GL i.475.18 **809** (βιβ.) Hdn ad Π 468a **810–11** (Ἀργ.) Plut. Mor. 361a; **810** Eudoc. 950; **811** al. (ἀδαήμ.) EtG α 61 **812** (Διὸς μ. κ.) sch M 37a[1] **814** (ἄφαρ–) ApS 48.19; sch N 257b; Porph. Il. 332.16 Schr. **816**a sch N 824c **818** (ἀρ.) H. (Cyr.) α 7172 **819** Hdn i.524.1, ii.942.26; (θάσσ.) H. (Cyr.) θ 125 **820**b (al.) sch Arat. 253 **823** (θάρσ.) H. (Cyr.) θ 116; Phot. Lex. θ 29 **824** Choer. in Thd. i. 115.6; (–βουγ.) Plut. Mor. 35c; Porph. Od. 124.20 Schr.; Choer. in Thd. i.384.14; **824**a sch H 284; (ἁμαρτ.) ApS 25.28; H. α 3461; EtG α 595; (βουγ.) ApS 52.11; Plut. Mor. 299b; H. (Cyr.) β 880; EtG β 200

803 πρόσθεν (cf. 157) 60 435 Ω*: πρὸ ἔθεν Hdn 9 A D^{a} *b*.—cf. ad E 96 πάντοσ' ἐΐσην 9 *b* F: -σε ἴσην Ω* **807** ὑπασπίδια 9 60 96 C F^{c} (-ίδα F^{a}): ὑπ' ἀσπ- Ω* (-ίδα D) προβιβάντι r: -βῶντι 9 t Ω.—cf. ad Γ 22 **808** σύγχει 9 Z Ω: -χιυ 60: -χεε Nauck **808*a*** λίην γάρ σφι‹ν› πᾶσιν ἐκέκριτο θάρσεϊ πολλῶι add. Zen, quod quid sibi velit non intelligo **809** προκαλέσσατο 9 96 Ω: -λίζετο H μακρὰ βιβάσθων Hdn Z Ω (βιβασθῶν Tyr, -σθών agn. Ar): φωνησεν τε 9 **810** τίη Ω* B^{c}: τί ἡ A *b* F, τί ἦ O, τιὴ T δειδίσσεαι 9 tt Ω: διδείσσεο Z αὔτως Ar A (ex αὔ-) *b* V: οὕτως (nov. Did) 9 60 tt Ω* (cf. A.R. 2.1219; Rengakos 109).—cf. ad 447 **811** οὔ τοί τι 9 96 t Ω: οι τ'ου τι 435 **813** ἐέλπεται 9 60 96 Ω*: ἐέλδ- R ἐξαλαπάξειν 9 Ω: -ζειν 96 rr: -ξαι H: -ξ . . 60 **816** ὕφ' Barnes: ὑφ' Ω **818** ἀρήσεαι dedi (cf. B 367 et ad Ω 434; Chantr. I 57): -ση(ι) 9 481 t Ω **819** ἱρήκων D C R **824** βουγάϊε Ar 9 60 (-γαῖε) tt Z Ω: -γήϊε Zen: -κάϊε alii ap. sch^{AbT} ποῖον 9 60 t Ω: οἷον *h* ἔειπες 9 t Ω*: -ας *h* C

825 αἲ γὰρ ἐγὼν οὕτω γε Διὸς πάϊς αἰγιόχοιο
εἴην ἤματα πάντα, τέκοι δέ με πότνια Ἥρη,
τιοίμην δ' ὡς τίετ' Ἀθηναίη καὶ Ἀπόλλων,
ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοισιν
πᾶσι μάλ', ἐν δὲ σὺ τοῖσι πεφήσεαι, αἴ κε ταλάσσηις
830 μεῖναι ἐμὸν δόρυ μακρόν, ὅ τοι χρόα λειριόεντα
δάψει, ἀτὰρ Τρώων κορέεις κύνας ἠδ' οἰωνούς
{δημῶι καὶ σάρκεσσι, πεσὼν ἐπὶ νηυσὶν Ἀχαιῶν}."
ὣς ἄρα φωνήσας ἡγήσατο, τοὶ δ' ἅμ' ἕποντο
ἠχῆι θεσπεσίηι, ἐπὶ δ' ἴαχε λαὸς ὄπισθεν·
835 Ἀργεῖοι δ' ἑτέρωθεν ἐπίαχον, οὐδ' ἐλάθοντο
ἀλκῆς, ἀλλ' ἔμενον Τρώων ἐπιόντας ἀρίστους·
ἠχὴ δ' ἀμφοτέρων ἵκετ' αἰθέρα καὶ Διὸς αὐγάς.

Ξ Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης,
ἀλλ' Ἀσκληπιάδην ἔπεα πτερόεντα προσηύδα·
"φράζεο, δῖε Μαχᾶον, ὅπως ἔσται τάδε ἔργα·
μέζων δὴ παρὰ νηυσὶ βοὴ θαλερῶν αἰζηῶν.
5 ἀλλὰ σὺ μὲν νῦν πῖνε καθήμενος αἴθοπα οἶνον,
εἰς ὅ κε θερμὰ λοετρὰ ἐϋπλόκαμος Ἑκαμήδη
θερμήνηι καὶ λούσηι ἄπο βρότον αἱματόεντα,
αὐτὰρ ἐγὼν ἐλθὼν τάχα εἴσομαι ἐς περιωπήν."
ὣς εἰπὼν σάκος εἷλε τετυγμένον υἷος ἑοῖο

829 (πεφ.) Philox. fr. 160 Th. (EtG s.v.); H. π 2110; (ταλ.) ApS 149.3; H. (Cyr.) τ 74; Phot. Lex. s.v. **830** (χρόα λ.) H. λ 547; (λ.) ApS 107.24 **831** (δάψει) ApS 56.5 **833–4** Eudoc. 512–13; **834**a Hdn ad E 302a **837** sch Ξ 147a; sch Arat. 1 (p.42.14 Mart.); Porph. Il. 188.26 Schr.; (–αἰθ.) sch Φ 388b; (ἠχή et Διὸς αὐ.) imit. Nonn. D. 28.329; (αἰθ.–) cf. GVI 1325.4; (Διὸς αὐ.) H. δ 1921 **Ξ 1** DThr Ars p.22.1; Heph. p.8.1 C.; Ath. 433c; Prisc. Inst. 1.53; Choer. Orthogr. AO ii.247.29; id. in Thd. i.127.1; id. in Heph. 204.9; sch Heph. 327.12, 341.23; (–ἰαχή) ApD Synt. 424.6; Luc. Dial. 55.31; Diomed. GL i.429.27; Choer. in Heph. 248.22; (πίν.–)–**2**a Nic ad Ξ 1a **3** (Μαχ.) Hdn ad B 182b **5** (σὺ–καθ.) Ath. 10b **6–7** (θερμ.) sch O 393a; **6**a Hdn ii.943.3; **7** (θερμ.) sch Π 583, Φ 347b **8** (περιωπήν) ApS 130.23; Ael. Dion. π 41; H. π 1964; Phot. Lex. s.v.

825 αἲ 9 60 Ω*: εἰ G M πάϊς sic 9 1291 Ω **827** δ' 9 Ω: om. 60 481 **828** ἡμέρη Ω ἧδε A D^{a} E F^{a}? T^{a} **829** πεφήσεαι 9 627 tt Z Ω (item χ 217): πεφείσ- G^{s} rr (flagit. Wack. KS 590, 639): πεφάσσ- Fick (ap. Robert 318).—cf. ad O 140 **831** κορέεις 60 Ω: -έσεις (O^{gl}) rr.—cf. ad Θ 379, P 241 **832** (= Θ 380) seclusi; cf. P 241 ἐπὶ Ω: παρὰ 60 A^{γρ} T^{γρ} V **833** ως αρα οι ειποντι επεπτατο τοι δ 60 (ex 821) `τ´οι 1292 **835** οὐδ' ἐλάθοντο Ω*: οὐδὲ λ- F^{c} T V **837** αὐγάς 9 tt* sch^{D} Ω: αὐλάς 60 quidam ap. sch^{T} (cl. δ 74), item epigramma et Nonn. **Ξ 3** Μαχᾶον Hdn Ω*: proparox. D^{c} **4** μέζων Blass: μεί- 60 Ω **5** ut supra 60 1285 t Ω: μίμνε καθήμενος ἐν κλισίηισιν quidam ap. sch^{T} **7** ἄπο Hdn Z A E F^{a} T R W$^{c?}$ G: ἀπὸ Ω* **9** ἑοῖο 9 1285 Ω*: ἑῆοσ W.—cf. ad A 393

10 κείμενον ἐν κλισίηι, Θρασυμήδεος ἱπποδάμοιο,
χαλκῶι παμφαῖνον· ὃ δ' ἔχ' ἀσπίδα πατρὸς ἑοῖο·
εἵλετο δ' ἄλκιμον ἔγχος ἀκαχμένον ὀξέϊ χαλκῶι.
στῆ δ' ἐκτὸς κλισίης, τάχα δ' εἴσιδεν ἔργον ἀεικές,
τοὺς μὲν ὀρινομένους, τοὺς δὲ κλονέοντας ὄπισθεν
15 Τρῶας ὑπερθύμους· ἐρέριπτο δὲ τεῖχος Ἀχαιῶν.
ὡς δ' ὅτε πορφύρηι πέλαγος μέγα κύματι κωφῶι
ὀσσόμενον λιγέων ἀνέμων λαιψηρὰ κέλευθα
αὔτως, οὐδ' ἄρα τε προκυλίνδεται οὐδ' ἑτέρωσε
πρίν τινα κεκριμένον καταβήμεναι ἐκ Διὸς οὖρον,
20 ὣς ὁ γέρων ὥρμαινε, δαϊζόμενος κατὰ θυμόν
διχθάδι', ἢ μεθ' ὅμιλον ἴοι Δαναῶν ταχυπώλων,
ἦε μετ' Ἀτρεΐδην Ἀγαμέμνονα ποιμένα λαῶν.
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
βῆναι ἐπ' Ἀτρεΐδην. οἳ δ' ἀλλήλους ἐνάριζον
25 μαρνάμενοι· λάκε δέ σφι περὶ χροῒ χαλκὸς ἀτειρὴς
νυσσομένων ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν.
Νέστορι δὲ ξύμβληντο διοτρεφέες βασιλῆες
πὰρ νηῶν ἀνιόντες, ὅσοι βεβλήατο χαλκῶι,
Τυδεΐδης Ὀδυσεύς τε καὶ Ἀτρεΐδης Ἀγαμέμνων·
30 πολλὸν γάρ ῥ' ἀπάνευθε μάχης εἰρύατο νῆες
θίν' ἔφ' ἁλὸς πολιῆς· τὰς γὰρ πρώτας πεδίονδε
εἴρυσαν, αὐτὰρ τεῖχος ἐπὶ πρύμνηισιν ἔδειμαν.

12 (ἀκαχμ. ἔγχος) H. α 2308 **13** Eudoc. 1765 **14** (κλον.) cf. H. (Cyr.) κ 511 **15**b ApD Synt. 401.6 **16–19** Porph. Hom. 22.4 Sod.; **16** (–μέγα) sch Pind. Pyth. 4.373a; EtG s.v. πορφύρηι; (–πέλ.) ApS 133.32; (πορφ.) H. (Cyr.) π (3081), 3086; Phot. Lex. s.v.; (μέγα–) ApS 106.12; (κύματι κ.) sch Λ 390b, Ω 54c; sch Ar. Ach. 681a; sch Arat. 922; [Ammon.] Diff. 290; H. κ 4529; **19** sch Pind. Pyth. 3.128; (κεκρ.) ApS 97.24 **21**a sch Φ 279b; (διχθ.) Hdn ad A 542a; (ἢ–)–**22** (–'Αγ.) Porph. Hom. 21.25 Sod.; (ἢ–Δαν.) sch Ξ 24b; **22** cf. [Plut.] Hom. 2.20.1 **27** (ξύμβλ.) H. (Cyr.) ξ 109 **28**a [Ammon.] Diff. 64; **28**b sch I 5–6b **30** Apio 222.14; sch^{T} Ξ 30–8; (εἰρ.) H. (Cyr.) ε 1056 **31**b–**2** (εἴρ.) Hdn ad Ξ 32a

11 ἑοῖο 9 60 1285 Z Ω **12** (= K 135) om. 60: hab. 9 1285 1294 Ω **14** κλονεον–τας αναγ(κη(ι) 1285 **15** ἐρέριπτο 9 t Z Ω* C^{s}: -ρειπτο 60 C^{t} **16** πορφύρηι Ar 9 tt* Z Ω*: -ρει Zen sch-Pind. Phot. C: -ρεη 60 κωφῶι Ar 9 60 1285 tt Z Ω: πηγῶι (ε 388, ψ 235) sch^{Tγρ} **18** τε Ar^{ab} 9 t Ω (cf. N 493): et alteram lect. nov. Did: τι 60: τῆ (cum gl. ἐκεῖσε) rr πρὸ κυλίνδεται (Bentley) V **20** ὥρμαινε 9 60 Z Ω*: ὅρμ- D, ὅρμ- O **21** διχθάδι' ἢ Ar Hdn Ω*: διχθαδί'(ηι) ἢ R, alii teste Hdn, vel potius -δίηι omisso ἢ **22** ἦε Hdn B^{a} E F^{c}: ἥε D: ἠὲ Ω* **30** γάρ ῥ' Apio Ω*: γὰρ 60 T O: καὶ γὰρ πολλὸν t*.—cf. ad P 403; Praef. xxx **31** θιν' A D^{a}, θίν' rr: θῖν' Ω* ἔφ' Barnes: ἐφ' Ω **32** πρύμνηισιν Heracleo Hdn Ω: properisp. Crates

οὐδὲ γὰρ οὐδ' εὐρύς περ ἐὼν ἐδυνήσατο πάσας
αἰγιαλὸς νῆας χαδέειν, στείνοντο δὲ λαοί·
35 τώ ῥα προκρόσσας ἔρυσαν, καὶ πλῆσαν ἁπάσης
ἠϊόνος στόμα μακρόν, ὅσον συνεέργαθον ἄκραι.
τώ ῥ' οἵ γ' ὄψ' ἀϊόντες ἀϋτῆς καὶ πολέμοιο
ἔγχει ἐρειδόμενοι κίον ἁθρόοι, ἄχνυτο δέ σφι
θυμὸς ἐνὶ στήθεσσιν· ὃ δὲ ξύμβλητο γεραιός
40 {Νέστωρ, πτῆξε δὲ θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν}.
τὸν καὶ φωνήσας προσέφη κρείων Ἀγαμέμνων·
"ὦ Νέστορ Νηληϊάδη, μέγα κῦδος Ἀχαιῶν,
τίπτε λιπὼν πόλεμον φθεισήνορα δεῦρ' ἀφικάνεις;
δείδω μὴ δή μοι τελέσηι ἔπος ὄβριμος Ἕκτωρ,
45 ὥς ποτ' ἐπηπείλησεν ἐνὶ Τρώεσσ' ἀγορεύων,
μὴ πρὶν πὰρ νηῶν προτὶ Ἴλιον ἀπονέεσθαι,
πρὶν πυρὶ νῆας ἐνιπρῆσαι, κτεῖναι δὲ καὶ αὐτούς.
κεῖνος τὼς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται.
{ὢ πόποι, ἦ ῥα καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοί
50 ἐν θυμῶι βάλλονται ἐμοὶ χόλον, ὥς περ Ἀχιλλεύς,
οὐδ' ἐθέλουσι μάχεσθαι ἐπὶ πρυμνῆισι νέεσσιν.}"
τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
"ἦ δὴ ταῦτά γ' ἑτοῖμα τετεύχαται, οὐδέ κεν ἄλλως
Ζεὺς ὑψιβρεμέτης αὐτὸς παρατεκτήναιτο.

34 (χαδ.) H. χ 3; (στείν.) ApS 145.1; H. σ 1706 **35** (–ἔρ.) ApS 135.26; Porph. Il. 179.21 Schr.; (προκρ.) Philox. fr. 294 Th.; sch B 92a^{1}; H. π 3555 **36**b Epm. α 234; (συνεέργ.) H. σ 2467 **37** Ael. Dion. π 47; Gal. in Hipp. De artic. xviii(1).309 K.; Epm. β 33; Phot. Lex. s.v. πολεμησείειν; (ὀψεί.) + **38** (κίον) sch Ξ 30–8; (ὀψεί.) ApS 125.32; H. ο 2073; Phot. Lex. s.v. **39** (ξύμβλ.) ApS 117.33 **40** (πῆξε θυμόν) H. π 2218 **44** (–ἔπος) sch Ξ 53–4 **53** w5 **54** (παρατεκτ.) H. π 703

35 τώ r: τῶ(ι) Ω ἔρυσαν 60 Ω: ἔρυον tt V **36** μακρόν Ar^{b} 60 Ω: πολλόν Zen Arph Ar^{a} **37** τώ D rr: τῶ(ι) Ω* ὄψ' ἀϊόντες Zen (sive ὀψὰ ἰ-, teste Ar, sed οὐ ψαύοντες teste Ptol. Epitheta): ὀψείοντες Ar tt sch^{D} Ω πολέμοιο 60 Ω*: πτολ- A F G **38** ἁθρόοι Ar Hdn A: ἀ- alii ante Hdn Ω* σφι 60 Ω*: σφιν G **40** ath. Ar πτῆξε Arph Ar^{ab} sch^{D} Ω* (cf. Soph. O.C. 1466): πῆξε (Zen?) DSid Hdn 60 1285 t sch$^{D\gamma\rho}$ C^{c} G$^{\gamma\rho}$ (cf. Antiph. fr. 164.7, Men. Sam. 515, et quae notavi ad Hes. Op. 360): πλῆξε sch$^{T\gamma\rho}$ rr θυμὸν 60 sch^{D} Ω: -ὸς Brandreth Ἀχαιῶν Ar 60 Ω: ἑταίρων Zen **43** φθεισή–νορα A: φθισ- 60 A^{m} Ω*.—cf. Praef. xxxvi **44** δείδω Ar 60 t Ω: δείδια Arph *h* **45** ὥς Ar 60 Ω*: ὅς Arph C E^{s} R^{s} W.—cf. ad X 236, Ω 388 **48** τὼς Ptol Hdn A (τὼσ') E^{a} F^{a} T: θ' ὣς vel θ' ὡς (nov. Ptol Hdn) Ω*: γ' ὣς A$^{\gamma\rho}$ r: δ'ος 60.—cf. ad B 330; vv.ll. sim. σ 271 **49–51** damn. Hentze **49** ὦ A D^{a} T G: ὢ Ω* **51** πρυμνῆισι Bekker: pro-parox. Ω **53** ἦ δὴ 60 Ω: ητοι w5

55 τεῖχος μὲν γὰρ δὴ κατερήριπεν, ὧι ἐπέπιθμεν
ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι,
οἳ δ' ἐπὶ νηυσὶ θοῆισι μάχην ἀλίαστον ἔχουσιν
νωλεμές· οὐδ' ἂν ἔτι γνοίης, μάλα περ σκοπιάζων,
ὁπποτέρωθεν Ἀχαιοὶ ὀρινόμενοι κλονέονται·
60 ὣς ἐπιμὶξ κτείνονται, ἀϋτὴ δ' οὐρανὸν ἵκει.
ἡμεῖς δὲ φραζώμεθ', ὅπως ἔσται τάδε ἔργα,
εἴ τι νόος ῥέξει. πόλεμον δ' οὐκ ἄμμε κελεύω
δύμεναι· οὐ γάρ πως βεβλημένον ἐστὶ μάχεσθαι."
τὸν δ' αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
65 "Νέστορ, ἐπεὶ δὴ νηυσὶν ἔπι πρυμνῆισι μάχονται,
τεῖχος δ' οὐκ ἔχραισμε τετυγμένον, οὐδέ τι τάφρος,
ἧι ἔπι πόλλ' ἔπαθον Δαναοί, ἔλποντο δὲ θυμῶι
ἄρρηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι,
69 οὕτω που Διὶ μέλλει ὑπερμενέϊ φίλον εἶναι.
71 εἴδεα μὲν γάρ, ὅτε πρόφρων Δαναοῖσιν ἄμυνεν,
οἶδα δὲ νῦν, ὅτε τοὺς μὲν ὁμῶς μακάρεσσι θεοῖσιν
κυδάνει, ἡμέτερον δὲ μένος καὶ χεῖρας ἔδησεν.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες·
75 νῆες ὅσαι πρῶται εἰρύαται ἄγχι θαλάσσης,
ἕλκωμεν, πάσας δὲ ἐρύσσομεν εἰς ἅλα δῖαν,
ὕψι δ' ἐπ' εὐνάων ὁρμίσσομεν, εἰς ὅ κεν ἔλθηι
νὺξ ἀβρότη, ἣν καὶ τῆι ἀπόσχωνται πολέμοιο
Τρῶες· ἔπειτα δέ κεν ἐρυσαίμεθα νῆας ἁπάσας.

55–7 Porph. Il. 172.8 Schr.; **56** (–εἶλαρ, = 68) Iul. Or. 2.67c **57** EtG α 481 **58** (σκοπ.) H. σ 1094; Phot. Lex. s.v. **59** (ὀριν.) H. (Cyr.) ο 1219; (κλον.) id. κ 3033 **61–2a** sch Ξ 20–2; **62–3** sch Ξ 129–31a^{1}; **62** (ῥέξαι) H. ρ 213; **63** (οὐ–) Choric. 213.10 **66** w19.9 (lacerum) **67** (–Δαν.) ApS 82.6 **71** (–πρόφρ.) Did ad 72a^{1} **75** sch Ξ 31–2 (bis); **75a** sch^{D} Ξ 78; Porph. Il. 187.17 Schr. **77** (–ὁρμ.) sch A.R. 2.1282a; H. υ 933; (ἐπ' εὐν.) H. ε [4405], 4496 **78** ApS 2.29; (νὺξ ἀβρ.) Philox. fr. 7, 435; sch Ω 460; (ἀβρ.) H. α 208

56 (= 68) damn. Bentley: post 57(?) fert 1296 ἄρρηκτον 60 t Z Ω, αρρηκτ]ων 1295: ἄρρατον sch^{γρ} **58** γνοίης Ar 60 Ω (cf. E 85): -η Arph **60** ὣς Ω*: ὡς A E W **62** ῥέξει Ar^{ab} 60 1297 tt Ω: γ' ἔρξοι quidam ante Did (teste A, qui et δ' ἔρξει): γ' ἔρξει *b* ἄμμε 60 Ω* (ἄμμε R W): ἄμμι *b* F^{s}: alterutrum Ar (cf. Arn ad 63a): ὔμμε r **65** ἔπι T: ἐπὶ Ω* πρυμνῆισι Bekker: proparox. Ω **66** τεῖχος 60 Ω: πυ]ρ̣γος t **67** ἧι Ar^{a} 60 1285 t Ω: οἷς Ar^{b} πόλλ' ἔπαθον 60 1297 t Ω: πολλὰ πάθον *b* **70** (= M 70, N 227) deest in 60 Ω*: hab. A^{m} C^{m} T W G **71** εἴδεα Christ: ἤ(ι)δεα 60 Ω **72** ὅτε Ar^{ab} *b* F^{a} T: ὅτι (nov. Did) 60 Ω* **75** νῆες 60 tt A *b* R^{a} G: -ας sch^{D} B^{c} C^{s} Ω* **77** ἔλθη(ι) 60 Ω*: -οι C **78** ἣν καὶ 60 t Z (ἵν) Ω: εἴ κεν rr: αἴ κεν van Leeuwen

80 οὐ γάρ τις νέμεσις φυγέειν κακόν, οὐδ' ἀνὰ νύκτα·
βέλτερον, ὃς φεύγων προφύγηι κακὸν ἠὲ ἁλώηι."
τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
"Ἀτρείδη, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;
οὐλόμεν', αἴθ' ὤφελλες ἀεικελίου στρατοῦ ἄλλου
85 σημαίνειν, μηδ' ἄμμιν ἀνασσέμεν, οἷσιν ἄρα Ζεύς
ἐκ νεότητος ἔδωκε καὶ ἐς γῆρας τολυπεύειν
ἀργαλέους πολέμους, ὄφρα φθιόμεσθα ἕκαστος.
οὕτω δὴ μέμονας Τρώων πόλιν εὐρυάγυιαν
καλλείψειν, ἧς εἵνεκ' ὀϊζύομεν κακὰ πολλά;
90 σίγα, μή τίς τ' ἄλλος Ἀχαιῶν τοῦτον ἀκούσηι
μῦθον, ὃν οὔ κεν ἀνήρ γε διὰ στόμα πάμπαν ἄγοιτο,
ὅς τις ἐπίσταιτο ἧισι φρεσὶν ἄρτια βάζειν
σκηπτοῦχός τ' εἴη, καί οἱ πειθοίατο λαοί
τοσσοίδ' ὅσσοισιν σὺ μετ' Ἀργείοισιν ἀνάσσεις.
95 νῦν δέ σε' ὠνοσάμην πάγχυ φρένας, οἷον ἔειπες,
ὃς κέλεαι πολέμοιο συνεσταότος καὶ ἀϋτῆς
νῆας ἐϋσσέλμους ἅλαδ' ἑλκέμεν, ὄφρ' ἔτι μάλλον
Τρωσὶ μὲν εὐκτὰ γένηται, ἐπικρατέουσί περ ἔμπης,
ἡμῖν δ' αἰπὺς ὄλεθρος ἐπιρρέπηι· οὐ γὰρ Ἀχαιοί
100 σχήσουσιν πόλεμον νηῶν ἅλαδ' ἑλκομενάων,
ἀλλ' ἀποπαπτανέουσιν, ἐρωήσουσι δὲ χάρμης.
ἔνθά κε σὴ βουλὴ δηλήσεται, ὄρχαμε λαῶν."

80 Max. Tyr. 41.3; w5 (lacerum); (–φυγ.) sch Ξ 83b **81** w5 (lacerum); (–κακόν) sch Θ 139b **83** Olymp. in Gorg. 217.9 **84–5** (σημ.) Plut. Mor. 66f; **84** (–στρ.) sch M 215a; (ἀεικ.) Apio 213.1; H. (Cyr.) α 1912 **86–7a** Plut. Marc. 1.4; **86** (τολ.) H. τ 1099; **87** (ἀργ.) H. (Cyr.) α 7009; **87b** Epm. φ 44 **89** (καλλ.) H. κ 497; (ὀϊζ.) H. (Cyr.) ι 355, ο 214 **92** Erot. 39.18 N.; Eudoc. 370; (βάζ.) ApS 50.20 **93** Eudoc. 394 **94a** Did ad Ξ 400c **95** (ὠνοσ.) H. ω 248 **96–102** Pl. Leg. 706e; **98a** EtG s.v. εὐκτά; **99** (ἐπιρρ.) H. ε 5114; **100** (ἅλ.–) ApD Adv. 177.30; Hdn ad Π $697b^{1}$; **101** (ἀποπτ.) EtG α 1060; H. α 6526; **102** al. (ὄρχ. λ.) H. (Cyr.) ο 1364

80 ἀνὰ νύκτα 60 w5 Ω: ὑπαλύξαι t* **81** ὃς 9^{c} 60 Ω: ως 9^{a} w5 **85** ἄμμιν 60 Ω* (ἅ- R W): ἡμῖν *b* **87** ἕκαστος t Ω: -ον 60: -οι rr **89** καλλείψειν Ar 60 t Z (-λί-) Ω: ἐκπέρσειν Zen **90** τ' sch^{T} Ω* (cf. τ 486): ἔτ' 60 rr (cf. P 586): om. T: γ' rr **92** ἐπί–σταιτο (= θ 240) Ar 60 Erot. Ω*: -ηται (nov. Did?) G: -αται t* T **94** τοσσοῖδ' A B^{a} E F^{a}, τοσσοὶ δ' D, τόσσοι δ' T R G **95** (= P 173) ath. Arph Ar σε (sc. σε') Zen, σεο Bolling: σευ Ar 60 1298 Ω (σεῦ A *b* T G, sed δέ σευ A^{m}).—cf. ad P 173 **97** ἑλκέμεν 60 1297 Ω: -ειν t μάλλον Blass: μᾶ- Ω **98** γένηται 60 tt Ω*: -οιτο C ἐπικρατέουσί 60 1297 Ω: ἐελδομένοισί t **99** ἐπιρρέπηι 60 t* Z Ω*: -οι C: -ει Hsch. **100** πόλεμον 60 Ω: -ου t **101** ἀποπαπτανέουσιν Pl. Hsch. (fere) 60 sch^{bT} R H: ἀποπταν- tt* Z Ω* **102** ἔνθά sic Ω ὄρχαμε λαῶν 60 1297 Ω: οἷ' ἀγορεύεις Pl.

τὸν δ' ἠμείβετ' ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
"ὦ Ὀδυσεῦ, μάλα πώς με καθίκεο θυμὸν ἐνιπῆι
105 ἀργαλέηι· ἀτὰρ οὐ μὲν ἐγὼν ἀέκοντας ἄνωγα
νῆας ἐϋσσέλμους ἅλαδ' ἑλκέμεν υἷας Ἀχαιῶν.
νῦν δ' εἴη ὃς τῆσδέ γ' ἀμείνονα μῆτιν ἐνίσποι,
ἢ νέος ἠὲ παλαιός· ἐμοὶ δέ κεν ἀσμένωι εἴη."
τοῖσι δὲ καὶ μετέειπε βοὴν ἀγαθὸς Διομήδης·
110 "ἐγγὺς ἀνήρ, οὐ δηθὰ ματεύσομεν, αἴ κ' ἐθέλητε
πείθεσθαι, καὶ μή τι κότωι ἀγάσησθε ἕκαστος,
οὕνεκα δὴ γενεῆφι νεώτατός εἰμι μεθ' ὑμῖν.
πατρὸς δ' ἐξ ἀγαθοῦ καὶ ἐγὼ γένος εὔχομαι εἶναι,
Τυδέος, ὃν Θήβηισι χυτὴ κατὰ γαῖα κάλυψεν.
115 Πορθεῖ γὰρ τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο,
οἴκεον δ' ἐν Πλευρῶνι καὶ αἰπεινῆι Καλυδῶνι,
Ἄγριος ἠδὲ Μέλας, τρίτατος δ' ἦν ἱππότα Οἰνεύς,
πατρὸς ἐμοῖο πατήρ· ἀρετῆι δ' ἦν ἔξοχος αὐτῶν.
ἀλλ' ὃ μὲν αὐτόθι μεῖνε, πατὴρ δ' ἐμὸς Ἄργεϊ νάσθη

104–5 (ἀργ.) Arn ad Ξ 84a; **104** (–καθίκ.) Greg. Naz. Epist. 190.1; (καθίκ.) H. (Cyr.) κ 104; (ἐνιπῆι) id. ε 3118 **106** (μὴ ναῦς ἅλαδ' ἑλκ.) Olymp. in Gorg. 217.10 **107** sch A.R. 1.665; (ὃς–) sch Ξ 110a[1] **108**a ApD Synt. 14.11; Hdn i.517.6; Ammon. in De interpr. CAG iv(5).207.22; Simpl. in Ph. CAG ix.565.30; sch Thuc. 1.122.4; Choer. in Thd. i.106.18, 32; id. in Ps. 30.25; Epm. η 20 (bis); (ἀσμ.) H. (Cyr.) α 7730 **110–13** 'Hdn.' Fig. 33; **110** w5; Eudoc. 432; (δηθὰ ματ.) H. (Cyr.) δ 769; **111** ApS 4.33; (καὶ μή–)–**112** [Plut.] Hom. 2.180; (καὶ μή–) Eudoc. 2331; (ἀγάσ.) H. (Cyr.) α 355; **113** Clem. Paed. 1.50.1; cf. Olymp. in Gorg. 27.24 **114** Paus. 9.18.2; (Θήβ.) EtG α 1368 **115** Lib. Progymn. 8.4.2 (viii.244.8 F.) **117** + **116** Strab. 10.3.1; **116** id. 10.3.6; [Hdn] AO iii.260.18; (ὤικ.) H. ω 114; **117** ApS 6.18; **117**a Nic ad Ξ 116a; Simpl. in Cat. CAG viii.35.23; Epm. ad A 79 **118**a ApD Pron. 108.15, Synt. 217.13, 223.18 **119**b H. (Cyr.) ν 98; (νάσθη) ApS 114.33

105 ἐγὼν 60 1297 Ω*: ἐγὼ *b* R **106** υἷας Ἀχαιῶν Ω: ἀμφιελίσσας 60 t **107** ἐνίσ–ποι 60 sch-Ξ Ω*: -σπη(ι) t* R **110** οὐ A^{m} Ω*: οὗ A κ' ἐθέλητε w5 A F R W G: κε θ- 435 437 Ω* **111** πείθεσθαι 60 435 437 t* Ω: ἐξείπω ApS (cf. I 61) **112** νεώτατός 'omnes' Didymi 437 tt Ω*: -τερός 60 *b* R ὑμῖν 437 Ω*: ὕμιν D: ὔμμι R **113** ἀγαθοῦ καὶ ἐγὼ γένος 60 435 437 (καιγω) 1299 'Hdn' Ω (-θοῖο D): ἀγαθοῖο καὶ αἵματος Clem. **114** ath. Zen (et Ar?), om. Arph: post **115** fert 435 κάλυψε(ν) Ar 60 435 437 Z $A^{\gamma\rho}$ Ω*: καλύπτει t A *b* **115–27** (vel –**25**) susp. Nitzsch Beitr. z. Gesch. d. ep. Poesie d. Gr. (1862) 373 n.84 **115** Πορθεῖ sic (disyll.) 437 sch^{T} Ω: an rectius -ῆι? cf. ad Ψ 792, Ω 61 **116–17** hoc ordine Nic 435 1299 1300 Ω: inverso Strab. **116** οἴκεον 'Hdn' disertim: ὤ(ι)κ- 60 435 437 tt* Ω **118** ἐμοῖο Ar ApD 60 435^{c} (ex εμιο) Ω*: ἐμεῖο Zen F T W.—cf. ad Ω 486; vv.ll. sim. α 413, ζ 256, 290, λ 458, τ 181, υ 339 αὐτῶν 437 Ω: ἄλλων 60 435 H **119** αὐτόθι 60 435 Z Ω: et αὐτοῦ nov. Did.—cf. ad T 403 μεῖνε 60 437 Ω*, -αι Z: μίμνε 435 $A^{\gamma\rho}$ T W.—cf. ad 286, O 656; vv.ll. sim. δ 508

120 πλαγχθείς· ὣς γάρ που Ζεὺς ἤθελε καὶ θεοὶ ἄλλοι.
Ἀδρήστοιο δ' ἔγημε θυγατρῶν, ναῖε δὲ δῶμα
ἀφνειὸν βιότοιο, ἅλις δέ οἱ ἦσαν ἄρουραι
πυροφόροι, πολλοὶ δὲ φυτῶν ἔσαν ὄρχατοι ἀμφίς,
πολλὰ δέ οἱ πρόβατ' ἔσκε· κέκαστο δὲ πάντας Ἀχαιούς
125 ἐγχείηι. τὰ δὲ μέλλετ' ἀκουέμεν, εἰ ἐτεόν περ·
τὼ οὐκ ἄν με γένος γε κακὸν καὶ ἀνάλκιδα φάντες
μῦθον ἀτιμήσαιτε πεφασμένον, ὅν κ' εὖ εἴπω.
δεῦτ' ἴομεν πόλεμόνδε, καὶ οὐτάμενοί περ, ἀνάγκηι·
ἔνθα δ' ἔπειτ' αὐτοὶ μὲν ἐχώμεθα δηϊοτῆτος
130 ἐκ βελέων, μή πού τις ἐφ' ἕλκεϊ ἕλκος ἄρηται,
ἄλλους δ' ὀτρύνοντες ἐνήσομεν, οἳ τὸ πάρος περ
θυμῶι ἦρα φέροντες ἀφεστᾶσ' οὐδὲ μάχονται."
ὣς ἔφαθ'· οἳ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο,
βὰν δ' ἴμεν, ἦρχε δ' ἄρά σφιν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
135 οὐδ' ἀλαοσκοπιὴν εἶχε κλυτὸς Ἐννοσίγαιος,
ἀλλὰ μετ' αὐτοὺς ἦλθε παλαιῶι φωτὶ ἐοικώς,
δεξιτερὴν δ' ἕλε χεῖρ' Ἀγαμέμνονος Ἀτρείδαο,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
"Ἀτρείδη, νῦν δή που Ἀχιλλῆος ὀλοὸν κῆρ
140 γηθεῖ ἐνὶ στήθεσσι, φόνον καὶ φύζαν Ἀχαιῶν
δερκομένωι, ἐπεὶ οὔ οἱ ἔνι φρένες, οὐδ' ἠβαιαί.
ἀλλ' ὃ μὲν ὣς ἀπόλοιτο, θεὸς δέ ἑ σιφλώσειεν.

122 Erot. 20.6 N. **124**a ApS 133.24, cf. 136.11; Gal. De humero xviii(1).356 K. **125** (μέλλ.) ApS 110.28; H. μ 745 **126** Porph. Il. 170.9 Schr. **127** (πεφ.) H. π 2099 **128** (οὐτ.–) sch Ξ 28c **129** sch Λ 271; (ἐχώμ.) ApS 80.24; H. ε 7688 **131** (οἳ–)–**2** (–ἀφεστ.) sch Ξ 382b; Porph. Il. 144.31 Schr. **134** (ἦρχε–) Hdn ad Z 367b **136**b Choric. 347.5; (παλ. φωτί) H. π 144 **137**a sch A.R. 2.263a **139**b + **141** (δερκ.) sch Π 516a^{1}; **141** (δερκ.) H. (Cyr.) δ 675/6; (ἐπεὶ–φρ.) Epm. ε 87, π 142, cf. τ 75 **142** Eudoc. 1647; **142**a sch Ξ 136c^{1}; (σιφλ.) ApS 142.3; H. σ 781; Phot. Lex. s.v.; EtG s.v.

122 ἀφνειὸν 60 435 437 Ω*: -ὸς t W H (cf. Z 14) **124** δέ (οἱ) 60 435 437 ApS Ω: τέ t* **125** εἰ Ar^{ab} V: ὡς "αἱ δημώδεις" 60 (ος) 435 sch^{D} Ω **126** τὼ V: τῶ(ι) 435 437 Ω **127** εὖ Ω: ἔϋ Ludwich (ἐῢ Bekker) **131** ἐνήσομεν 60 435 Z Ω (ἐνή- A): ἀν- quidam ap. sch^{AbT} **132** ἀφεστᾶσ' 60 Ω*: ἀφέστασαν 435 tt G **133** ἠδ' ἐπίθοντο 435 Ω: ἠδὲ π- rr **134** δ' 60 435 1300 Ω*: ῥ' D ἄρά Hdn disertim, αρά 435: ἄρα Ω **135** ἀλαοσκοπιὴν 60 Ω* A^{m}, -ίην Z: ἀλαὸς σκ- Ar 435$^{?}$, ἀλαοσσκ- (subest hyphen) A: ἀλαὸν σκ- Zen.—cf. ad K 515 κλυτὸς Ἐννοσίγαιος 10 60 435 sch^{D} Ω*: κρείων Ἐνοσίχθων (cf. 150) D^{2m} G **136***a* ἀντιθέωι Φοίνικι ὀπάονι Πηλείωνος Zen (cf. Ψ 360) **140** γηθεῖ 435 Ω: γήθει O **141** δερκομένωι 60 435 tt sch^{D} Ω: -νου B^{c} G^{s}.—cf. ad I 636 οἱ 60 Ω: τοι vel τι tt **142** ath. Ar(?) ὡς A: ὣς sch^{bT} Ω*

σοὶ δ' οὔ πω μάλα πάγχυ θεοὶ μάκαρες κοτέουσιν,
ἀλλ' ἔτι που Τρώων ἡγήτορες ἠδὲ μέδοντες
145 εὐρὺ κονίσουσιν πεδίον· σὺ δ' ἐπόψεαι αὐτός
φεύγοντας προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων."
ὣς εἰπὼν μέγ' ἄϋσεν ἐπεσσύμενος πεδίοιο,
ὅσσόν τ' ἐννεάχειλοι ἐπίαχον ἢ δεκάχειλοι
ἀνέρες ἐν πολέμωι ἔριδα ξυνάγοντες ἄρηος·
150 τόσσην ἐκ στήθεσφιν ὄπα κρείων Ἐνοσίχθων
ἧκεν, Ἀχαιοῖσιν δὲ μέγα σθένος ἔμβαλ' ἑκάστωι
καρδίηι, ἄλληκτον πολεμίζειν ἠδὲ μάχεσθαι.
Ἥρη δ' εἰσεῖδε χρυσόθρονος ὀφθαλμοῖσιν
στᾶσ' ἐξ Οὐλύμποιο ἀπὸ ῥίου· αὐτίκα δ' ἔγνω
155 τὸν μὲν ποιπνύοντα μάχην ἀνὰ κυδιάνειραν
αὐτοκασίγνητον καὶ δαέρα, χαῖρε δὲ θυμῶι·
Ζῆνα δ' ἐπ' ἀκροτάτης κορυφῆς πολυπίδακος Ἴδης
ἥμενον εἰσεῖδε, στυγερὸς δέ οἱ ἔπλετο θυμῶι.
μερμήριξε δ' ἔπειτα βοῶπις πότνια Ἥρη,
160 ὅππως ἐξαπάφοιτο Διὸς νόον αἰγιόχοιο.
ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή,
ἐλθεῖν εἰς Ἴδην εὖ ἐντύνασαν ἕ' αὐτήν,

143 ApD Coni. 246.16; Epm. ο 9a, b **145** (κον.) H. κ 3524; Phot. Lex. κ 935 **148** cf. [Luc.] Dial. 82.6; **148a** sch E 744c **154** (ῥίου) H. ρ 350 **156** (–δαέρα) sch Heph. 288.4, 319.5 **157** al. (πολυπ.) ApS 131.25 **158a** Hdn ad Z 244; **158b** Hclt. Alleg. 39.3 **160** (ἐξαπάφ.) ApS 70.4 **162** Plut. Ant. 25.3 (parod.); (εὖ–) Them. Or. 18.218c; (εὖ ἐντ.) H. (Cyr.) ε 6789; (ἐντ.) id. ε 3415; (ἕ) Apio 232.12

143 σοὶ δ' οὔ πω Hdn 60 435 1300 tt Ω: †σοῦ δ' οὔποι† sch^{Tγρ} (σοὶ δ' οὔ τοι Nauck) **145** κονίσουσι(ν) 60 435 Z F R: κονίσσ- Ω*: κονίσασθαι Hsch.^{cod} αὐτός 10 60 Ω*: -ούς 435 A^{γρ} T R W **148** ὅσσόν sic A τ' (cf. E 860) Ar 435 t Z Ω*: δ' Arph 60 D R W ἐννεάχειλοι ... δεκάχειλοι Ar^{uv} (ἐννέα χείλη ἔχοντες interpretatus) 60: -χιλοι ... -χιλοι 10 435 tt Z Ω.—cf. ad E 860 **152** ἄλληκτον 60 Z A B E F^{c}: ἄλη- Ω*.—cf. ad I 636, Λ 12 **154** ῥρίου 60 D F^{a} T W **156** δαέρα 9 10 60 h139^{61} tt Z Ω: δαιέρα Wack. KS 587 **157** ἀκροτάτης κορυφῆς 10 60 435 Ω*: -τηι -φῆι W.—cf. ad N 12 πολυπίδακος Ar 10 (-π]ειδ-) Ω* (cf. A.R. 3.883; Rengakos 84); -πιδάκου quidam ante Did 60 t W H.—cf. ad 307, Υ 59, 218, Ψ 117 **158** ("περισσόν" sch^{T}) om. W, mg. add. στυγερὸς 10 sch^{bTD} Ω: -ρον 60 ἔπλετο θυμῶι 10 60 sch^{bT} Ω, -μός tt rr: ἔπλετ' ἰδούσηι "ἄμεινον" sch^{T} **159** μερμήριξε 9 10 60 Ω*: -ζε G: -ξεν (om. δ') 60 βοῶπις πότνια Ἥρη 9 10 435 Ω: κατα φρενα και κατα θυμον 60 **160** ὅπ(π)ως 9 10 60 Ω: εἴ πως quidam ap. sch^{T} (cf. ad 163) **161** ἦδε A E **162** ἐντύνασαν 9 10 60 437 Hsch.^{3415} Ω: -σα (Bentley) sch^{D} Hsch.^{6789} ἑϝ' αὐτήν Payne Knight: ἒ vel ἑ αὐτήν Ar ApD (ἑ enclit.) 9 (ἑαυτην) R^{c}: ἑαυτήν Ω*, εαυτην 10 60 437: ἑωυτήν Zen

εἴ πως ἱμείραιτο παραδραθέειν φιλότητι
ᾗι χροιῇι, τῶι δ' ὕπνον ἀπήμονά τε λιαρόν τε
165 χεύηι ἐπὶ βλεφάροισιν ἰδὲ φρεσὶ πευκαλίμηισιν.
βῆ δ' ἴμεν ἐς θάλαμον, τόν οἱ φίλος υἱὸς ἔτευξεν
Ἥφαιστος, πυκινὰς δὲ θύρας σταθμοῖσιν ἐπῆρσεν
κληῖδι κρυπτῆι· τὴν δ' οὐ θεὸς ἄλλος ἀνῶιγεν·
ἔνθ' ἥ γ' εἰσελθοῦσα θύρας ἐπέθηκε φαεινάς.
170 ἀμβροσίηι μὲν πρῶτον ἀπὸ χροὸς ἱμερόεντος
λύματα πάντα κάθηρεν, ἀλείψατο δὲ λίπ' ἐλαίωι
ἀμβροσίωι ἑδανῶι, τό ῥά οἱ τεθυωμένον ἦεν·
τοῦ καὶ †κινυμένοιο Διὸς κατὰ χαλκοβατὲς δῶ
ἔμπης ἐς γαῖάν τε καὶ οὐρανὸν ἵκετ' ἀϋτμή.
175 τῶι ῥ' ἥ γε χρόα καλὸν ἀλειψαμένη ἰδὲ χαίτας
πεξαμένη χερσὶ πλοκάμους ἔπλεξε φαεινούς
καλοὺς ἀμβροσίους ἐκ κράατος ἀθανάτοιο.
ἀμφὶ δ' ἄρ' ἀμβρόσιον ἑανὸν ἕσαθ', ὅν οἱ Ἀθήνη
ἔξυσ' ἀσκήσασα, τίθει δ' ἔνι δαίδαλα πολλά·

163–4 (ᾗι χρ.) Epm. ad A 2b^{1}; **163** ApS 82.8; (παραδρ.) H. π 497; **164** (ᾗι χρ.) H. η 1024; (ἀπήμ.) H. (Cyr.) α 6156 **165**b ApD Coni. 256.9; (πευκ.) H. π 2088 **167**b Hdn ad Γ 272a^{1}; EtG α 1546; (ἐπῆρσεν) ApS 71.32; H. (Cyr.) ε 4591 **168**b Hdn ad Δ 3a; EtG α 943; Choer. in Thd. ii.55.31; Epm. α 148, 267, ο 104 **170–4** Ath. 688d; **170–1** Plut. Mor. 693b; **171–2** Hclt. Alleg. 39.4; **171**a sch Ar. Ach. 17a; EtG λ 143; Epm. κ 133; (λύμ.) ApS 109.13; **171**b Choer. in Thd. i.338.20; (λίπ' ἐλ.) EtG λ 116; **172** ApS 62.21; **172**a Orio 62.1; (ἑδ.) H. ε 398; (τεθ.) id. τ 349; **173–4** Ath. 17b; ApS 67.25; **174** ApD Coni. 257.17; sch ε 205; (–οὐρ.) sch Ξ 1e; sch Pind. Pyth. 5.74b; (ἔμπης) Apio 235.17 **175** (ἰδὲ–)–**6** Poll. 7.165; (ἰδὲ–πεξ.) Choer. in Ps. 157.6; (χαίτας)–**177**a Synes. Calv. 20 (Opusc. 226.4 T.); **176** Choer. in Thd. ii.152.18; **176**a sch Hes. Op. 775a; (πεξ.) ApS 129.30; H. π 1419; (πλοκ. φαειν.) Procl. in Remp. i.137.23; **177** Hclt. Alleg. 39.6 **178** Apthon. ('Mar. Vict.') GL vi.38.6 **179**a ApS 70.13; H. ε 3981; (ἔξ.) Phot. Lex. ε 1276; (ἀσκ.) H. (Cyr.) α 7702

163 εἴ πως 9 10 60 437 tt Ω: ὅπ‹π›ως A^{γρ} rr (cf. ad 160) **165** χεύηι 9 10 60 437 Ω (-ει W): χεύαι Naber Qu. Hom. 94 **166** δ' 10 60 437 Ω*: ῥ' 9 G **168** τὴν 9 60^{c} 437 Choer. Ω* G^{s} (cf. Ω 455): τὸν 10 60^{a} sch^{bTγρ} tt* D^{a} R W G^{t}: τὰς sch^{bTγρ} δ' om. R ἀνῶ(ι)γεν Hdn 9 10 60 437 sch^{D} Ω, ἄνωγε O: ἀνέωγεν (= sch^{Dgl}) Epm.^{α267} P: ἀνοῖγεν r, ἄν- Nauck: ὄειγε Fick (ὤϊγεν Brandreth) **169** θύρας 9 10 60 437 Ω: πύλας sch^{Tγρ} ἐπέθηκε (= Hymn. Ven. 60) Ar 9 10 60 437 Ω: ἐπιθεῖσα Zen **170** ἱμερόεντος 9 10 60 437 Ath. Z Ω: ἀθανάτοιο t* (cf. 177) **171** λύματα 9 10 60 437 tt* Z Ω: ῥύμματα sch-Ar. λίπ' ἐλαίωι 9 10 60 437 tt* Ω: χρόα λευκόν Ath. **172** ἑδανῶ(ι) 9 437 ApS Hdn Hclt.^{vl} Hsch. sch^{D} Z^{c} Ω (ἐδ- A^{a} D^{a} T^{a} O): ἑανῶ(ι) (= Hymn. Ven. 63 codd.) 10 60 tt* Z^{a} **173** κινυμένοιο fere 9 10 60 (κεινο-) 437 Nic sch^{D} tt Ω: κιδναμένοιο Naber: malim κινυμένης Ζηνὸς κατὰ Ar *h*: ποτὶ (ex A 426?) 9 10 60 437 tt Ω **175** χαίτας utrum ab ἀλειψαμένη an a πεξαμένη regatur ambigit Nic **176** πεξαμένη 9 10 tt* sch^{D} Ω*: πλεξ- 60 Poll.^{vl} W^{c} O **177** ἀμβροσίους Ar 9 10 60 tt Ω: καὶ μεγάλους Zen Arph **179** ἔνι W: ἐνὶ Ω* πολλά 9 10 60 Ω*: πάντα D *h*.—cf. ad E 60, Σ 400

180 χρυσείῃς δ' ἐνετῇσι κατὰ στῆθος περονᾶτο·
ζώσατο δὲ ζώνην ἑκατὸν θυσάνοις ἀραρυῖαν·
ἐν δ' ἄρα ἕρματα ἧκεν ἐϋτρήτοισι λοβοῖσιν
τρίγληνα μορόεντα, χάρις δ' ἀπελάμπετο πολλή·
κρηδέμνωι δ' ἐφύπερθε καλύψατο δῖα θεάων
185 καλῶι νηγατέωι· λευκὸν δ' ἦν ἠέλιος ὥς·
ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα.
αὐτὰρ ἐπεὶ δὴ πάντα περὶ χροῒ θήκατο κόσμον,
βῆ ῥ' ἴμεν ἐκ θαλάμοιο, καλεσσαμένη δ' Ἀφροδίτην
τῶν ἄλλων ἀπάνευθε θεῶν πρὸς μῦθον ἔειπεν·
190 "ἤ ῥά νύ μοί τι πίθοιο, φίλον τέκος, ὅττί κεν εἴπω,
ἦέ κεν ἀρνήσαιο, κοτεσσαμένη τό γε θυμῶι,
οὕνεκ' ἐγὼ Δαναοῖσι, σὺ δὲ Τρώεσσιν ἀρήγεις;"
τὴν δ' ἠμείβετ' ἔπειτα Διὸς θυγάτηρ Ἀφροδίτη·
"Ἥρη, πρέσβα θεά, θύγατερ μεγάλοιο Κρόνοιο,
195 αὔδα ὅ τι φρονέεις· τελέσαι δέ με θυμὸς ἄνωγεν,
εἰ δύναμαι τελέσαι γε καὶ εἰ τετελεσμένον ἐστίν."
τὴν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη·
"δός νύν μοι φιλότητα καὶ ἵμερον, ὧι τε σὺ πάντας
δάμναι ἀθανάτους ἠδὲ θνητοὺς ἀνθρώπους.

180a ApS 69.5; (ἐνετ.) H. (Cyr.) ε 2956; Phot. Lex. ε 900 **181a** ApS 81.14; (ζών.) cf. Apion. 240.3; (θυσ.) Phot. Lex. θ 285 **182** ApS 76.30; Porph. Il. 17.21 Schr.; **182b** EtG λ 159; cf. H. τ 1322; (ἐϋτρ.) H. (Cyr.) ε 7252; (λοβ.) ApS 109.2; H. λ 1188 **183** (τρίγλ.) ApS 154.24; Poll. 5.97; Porph. Hom. 50.7 Sod.; H. τ 1361; Phot. Lex. s.v.; (μορ.) ApS 113.30; H. (Cyr.) μ 1680 **184–5** Porph. Od. 20.19 Schr.; **184** (κρηδ.) ApS 104.4 **188** (καλεσσ.) H. κ 429 **190** Eudoc. 98; (–τέκος) sch Ω 23 **191** Eudoc. 43 **195a + 196** Plut. Mor. 62e; **195a** EtG α 1388; (αὔδα) H. (Cyr.) α 8234

180 ἐνετῇ(ι)σι Ω* (ἐνέτ- A D B E F): ἐνέτησι Hsch.[cod] Z, ἐν ἔτῃσι W **181** ζώνην … ἀραρυῖαν (nov. Did) 9 60 t Ω*: -νηι … -ρυίηι Ar *h* B[s] (ζώνη(ι) et E[s] R[a], -ρυίηι et 10 A[s]).—cf. ad E 857 **182–3** (damn. Heyne) om. 60 **182** δ' ἄρα 10 tt Ω: δέ οἱ 9 ἕρματα ἧκεν 9 tt Ω: -αθ' ἕηκεν fere Payne Knight **183** τρίγληνα μορόεντα Ar Ptol Hdn 9 10 (μμορ-) tt sch[D] Ω: τρίγλην' ἀμορ- quidam ante Hdn, cf. ApS (expl.) **185** λευκὸν 9 10[c] 60 Ω*: κ]αλον 10[a]: λαμπρὸν A[γρ] W (cf. τ 234) **186** ὑπὸ vel ὑπο 9 10 60 Ω*: ὑπαὶ W V λλιπαροῖσιν 10 M **188** ῥ' 9 60 Ω: δ' 10 H **189** πρὸς 9 10 60 1301 Ω*: μετὰ W O **190** ἤ D[c]: ἦ Ω* ῥά νύ 9 60 tt Ω: ρ αν 10.—cf. ad Δ 93, H 48 **191** ἦε Bekker: ἠέ Ω **193** ita 9 10 60 1301 Ω*: τὴν δ' αὖτε προσέειπε φιλομμειδὴς Ἀφροδίτη (ex 211) W **195** ἄνωγεν 9 10 Ω: ἀνώγει A[γρ] rr.—cf. ad O 180, Σ 90 **196** γε 9 60 t Ω: τε 10 **198** νύν μοι Cobet Misc. crit. 393: νῦν μοι 9 Ω*: μοι νῦν A[γρ] D *b*: δή μοι *h* **199** δάμναι Ar A: δαμνᾶ(ι) alii ante Hdn Z A[m] Ω*: -ᾶς D O: δαμνα 9 60: δάμνης Barnes: -ασαι Bentley: an -ααι? cf. Schwyzer 694; Chantr. I 301

200 εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης,
Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν,
οἵ μ' ἐν σφοῖσι δόμοισιν ἔϋ τρέφον ἠδ' ἀτίταλλον
δεξάμενοι Ῥείας, ὅτε τε Κρόνον εὐρύοπα Ζεύς
γαίης νέρθε καθεῖσε καὶ ἀτρυγέτοιο θαλάσσης.
205 τοὺς εἶμ' ὀψομένη, καί σφ' ἄκριτα νείκεα λύσω·
ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται
εὐνῆς καὶ φιλότητος, ἐπεὶ χόλος ἔμπεσε θυμῶι.
εἰ κείνω γ' ἐπέεσσι παραιπεπιθοῦσα φίλον κῆρ
εἰς εὐνὴν ἀνέσαιμι ὁμωθῆναι φιλότητι,
210 αἰεί κέ σφι φίλη τε καὶ αἰδοίη καλεοίμην."
τὴν δ' αὖτε προσέειπε φιλομμειδὴς Ἀφροδίτη·
"οὐκ ἔστ', οὐδὲ ἔοικε, τεὸν ἔπος ἀρνήσασθαι·
Ζηνὸς γὰρ τοῦ ἀρίστου ἐν ἀγκοίνῃσιν ἰαύεις."
ἦ, καὶ ἀπὸ στήθεσφιν ἐλύσατο κεστὸν ἱμάντα
215 ποικίλον· ἔνθα δέ οἱ θελκτήρια πάντα τέτυκτο.
ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος, ἐν δ' ὀαριστύς

200–1 + 205 Anon. ap. Stob. 1.10.11b; **200–1** Diod. 3.56.2; **200–1** (–γέν.) Strab. 1.1.7; **200** Hclt. Alleg. 47.4; **200b** ApS 161.33; (πολυφ.) H. π 2940; (πείρ. γ.) [Plut.] Hom. 2.103.2; **201** Pl. Crat. 402b, Tht. 162e (unde Eus. P.E. 14.4.1); Philod. π. εὐσ. p.77 Sch.; Diod. 1.12.5 (unde Eus. P.E. 3.3.5); Athenag. pro Christ. 18; Theophil. ad Autol. 2.5; Orig. c.Haer. 10.7; Hipp. Ref. 10.7.1; Sext. Pyrrh. 1.150; sch Pind. Ol. 1.1e; sch Arat. 16; Ach. Tat. Isag. Arat. 29.29 M.; Theodoret. Graec. aff. cur. 2.9, 29; [Iustin.] Cohort. ad Gr. 2; Stob. 1.10.4; Lyd. Mens. 4.159; Ascl. in Metaph. CAG vi(2).25.10; Areth. ad Pl. Tht. 179e; (–γέν.) sch Ψ 147a[1]; Aristid. Or. 46.5; (θεῶν γέν.) sch A 423a; Procl. in Tim. iii.179.18; cf. sch [Aesch.] Prom. 393b; (γέν.) H. (Cyr.) γ 338; (Τηθύς) Orio 151.28; **202** (σφ.) H. σ 2914; (δόμ.) H. (Cyr.) δ 2179; (ἀτίτ.) id. α 8099, ε [6620]; **203** (Ῥεί.) H. ρ 198; **203b–4a** Procl. in Remp. i.93.16; (Κρ.–)–**204** Philod. π. εὐσ. p.106 Sch.; **204–4*a*** Sext. Math. 1.289; **205b + 209** Plut. Mor. 143d; **205** (ἄκρ. νείκ.) H. (Cyr.) α 2580; **206–7a** Clem. Str. 5.100.5 (unde Eus. P.E. 13.13.24); **209** ApS 32.13; Choer. in Ps. 176.14; (ἀνέσ.) H. (Cyr.) α 4961; (ὁμωθ.) id. ο 847 **212** w5 (lacerum); Lib. Ep. 1493.5 (xi.521.9 F.); Eudoc. 176; **212a** Epm. ε 103 **213** Procl. in Crat. 93.14; (ἐν ἀγκ.) H. (Cyr.) ε 2589; (ἀγκ.) id. α 554 **214** (ἀπὸ στ. ἐλ.) sch Ξ 219c; (κεστὸν ἱμ.) + **217** Arist. E.N. 1149b16;

201 Τηθύν 9 tt Ω: θηρων (ex 283) 60 **202** μ' ἐν Ar[ab] 9 A[m] Ω*: με (nov. Did) 60 A *b*.—cf. ad 303 **203** Ῥείας Arph Ar D[s] (cf. O 187 et Janko ad loc.): -ης 9 60 Z Ω **204*a*** (= Θ 14) add. Sext. **208** κείνω (praetulit Ar) 9 10 sch[D] Ω (-ωι W): -ων Zen Arph agn. Ar *b*: -ους 60 **209** ἀνέσαιμι A **212** τεὸν (= θ 358) 9 10 60 t* Z Ω: τεόν γ' D[c]: τὸ σὸν Liban. **213** ath. Arph Ar **215** δέ 9 60 Ω: τε (Hermann) r.—cf. ad Θ 48 τέτυκτο 9 10 60 Ω: -κται r.—cf. ad B 448, E 729; Naber Qu. Hom. 108 sq. **216** ἔνθ' 9 10 60 tt* Ω: ὧι Choric.: τῆι Sext. ἐν δ' (ἵμερος) 9 10[a] tt* Ω*: ἔνι δ' 10[c] Sext. Choric. W: ενθ' 60 ἐν δ' (ὀαρ.) 9 10 tt Z Ω (cf. E 740, Σ 483, 535): ενθ' 60: ἠδ' "ἔν τισι τῶν ὑπομνημάτων", rr

πάρφασις, ἥ τ' ἔκλεψε νόον πύκα περ φρονεόντων.
τόν ῥά οἱ ἔμβαλε χερσίν, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
"τῆ νυν, τοῦτον ἱμάντα τεῶι ἐγκάτθεο κόλπωι,
220 ποικίλον, ὧι ἔνι πάντα τετεύχαται· οὐδέ σέ φημι
ἄπρηκτόν γε νέεσθαι, ὅ τι φρεσὶ σῆισι μενοινᾶις."
ὣς φάτο, μείδησεν δὲ βοῶπις πότνια Ἥρη,
μειδήσασα δ' ἔπειτα ἑῶι ἐγκάτθετο κόλπωι.
ἣ μὲν ἔβη πρὸς δῶμα Διὸς θυγάτηρ Ἀφροδίτη·
225 Ἥρη δ' ἀΐξασα λίπε ῥίον Οὐλύμποιο,
Πιερίην δ' ἐπιβᾶσα καὶ Ἠμαθίην ἐρατεινήν
σεύατ' ἐφ' ἱπποπόλων Θρηικῶν ὄρεα νιφόεντα,
ἀκροτάτας κορυφάς, οὐδὲ χθόνα μάρπτε ποδοῖιν·
ἐξ Ἀθόω δ' ἐπὶ πόντον ἐβήσετο κυμαίνοντα,
230 Λῆμνον δ' εἰσαφίκανε, πόλιν θείοιο Θόαντος.
ἔνθ' Ὕπνωι ξύμβλητο, κασιγνήτωι Θανάτοιο,

(κεστὸν ἱμ.) + **216a** Philod. Rh. ii. 289; (κεστὸν ἱμ.) H. (Cyr.) κ 2381; Phot. Lex. κ 622; (κεστ.) ApS 98.17; Phot. Lex. κ 628; **215–17** (πάρφ.) imit. Nonn. D. 8.120–2; **216–17** sch^D E 422 (ex Apollod. 244 F 353); sch θ 288; Plut. Mor. 15c; Sext. Math. 11.54; cf. Aristid. Or. 46.25; **216** Hclt. Alleg. 39.7; (–ἵμ.) Porph. Il. 194.4 Schr.; Choric. 197.9, 477.9; **216a** sch E 740a; Plut. Mor. 967d; Them. Or. 4.51d; Epm. α 264, ε 186, π 142; (ὀαρ. πάρφ.) ApS 118.16; (ὀαρ.) H. ο 14, cf. α 5681; **217** Corn. 46.1 L.; Eudoc. 37; Heliod. in Eth. CAG xix(2).147.1; (πάρφ.) ApS 128.25; H. π 1022; (ἥ τ'–) sch Ξ 298b, 315b **219a** + **220** (ποικ.) Arn ad Γ 371b; **219a** ApS 152.3 **221a** ApS 41.3; **221b** sch Ξ 212; Porph. Il. 193.33 Schr. **225–7** + **229a** Strab. 1.2.20; **226b** EtG s.v. Ἠμαθία; (Ἠμ.) H. η 409; **227a** sch Ξ 229a; (νιφ.) H. ν 600; **228b** sch Ξ 285a¹; (μάρπτε) cf. Apion. 246.15; **229** (–ἐβ.) Hdn ii.234.3, 11 (EtG s.vv. γαλόωι et ἐξ Ἀθόω); **229a** sch Γ 122c; (ἐξ Ἀθ.) Epm. ε 99 **230** sch Ar. Pac. 251a; Plut. Mor. 603c **231** Plut. Mor. 107e; Macr. Sat. 5.7.11

217 φρονεόντων (cf. I 554) 9 60 tt* Ω: -έοντος Aristot. Heliod.^vl V **219** τῆ 9 Ω*: τῆι (deprec. ApS) A^λ D E νυν Cobet Misc. crit. 393: νῦν 9 Ω ἐγκάτθεο 9 Ω, ἐνκ- 10 Z, ενκατατθεο 60: ἐνικ- *h* **220** ἔνι 9 Ω*: ἐνὶ D **221** γε νέεσθαι Ar Hdn Ω*: γενέεσθαι Ixio T φρεσὶ σῆισι 9 10 60 tt Ω*: -σὶν ἧισι D **222** μείδησεν (cf. A 595) 9 Ω*: γήθησεν 60 *b* F T^γρ W βοῶπις πότνια 9 10 Ω*: θεὰ λευκώλενος 60 R.—cf. ad 263, 277, O 78, 92, Φ 377 **223** ἑῶι (nov. Did: Ar teste T) 9 60 Ω* B^s: τεῶ W, τ' ἐῷ O: μέσωι Ar (teste A: Zen teste T) A B^t ἐγκάτθετο 9 10 60 (-κατατθεο) Ω (-θεο G): ἐνικ- *h* **225** λίπε D R: -πεν 9 60 Ω*.—cf. ad T 114 **227** σεύατ' (cf. Z 505, H 208) 9 10 60 h82 tt Z Ω: ἔσσυτ' (cf. 519, P 678) A^γρ ἱπποπόλων (cf. N 4) 9 10 60 tt Ω, -πωλων Z: -νόμων quidam ap. sch^T Θρη(ι)κῶν 9 10 26 60 t Ω: Θρεΐκων fere Payne Knight νιφόεντα 9 10 26 60 t Z Ω*: σκιό- *h* R **228** om. Strab. **229** om. 60 Ἀθόω Hdn 9 (-ωι) Z Ω*: Ἄθοω quidam ante Hdn sch^bG *b* F^c R^c G ἐπὶ Ptol (Epitheta) 9 10 tt Z Ω: ἐς Zen Arph Ar ἐβήσετο 26 Ω*: -σατο 9 10 Z D R **230** Θόαντος 9 10 26 60 tt Z Ω*: ἄνακτος D^a *h* **231a** ἐρχομένωι κατὰ φῦλα βροτῶν ἐπ' ἀπείρονα γαῖαν add. 60 (μετα φυλα) et quidam ap. sch^T

ἔν τ' ἄρα οἱ φῦ χειρὶ ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
"Ὕπνε, ἄναξ πάντων τε θεῶν πάντων τ' ἀνθρώπων,
ἠμὲν δή ποτ' ἐμὸν ἔπος ἔκλυες, ἠδ' ἔτι καὶ νῦν
235 πείθε'· ἐγὼ δέ κέ τοι εἴδω χάριν ἤματα πάντα.
κοίμησόν μοι Ζηνὸς ὑπ' ὀφρύσιν ὄσσε φαεινώ,
αὐτίκ' ἐπεί κεν ἐγὼ παραλέξομαι ἐν φιλότητι.
δῶρα δέ τοι δώσω καλὸν θρόνον, ἄφθιτον αἰεί,
χρύσεον· Ἥφαιστος δέ κ' ἐμὸς πάϊς ἀμφιγυήεις
240 τεύξει ἀσκήσας, ὑπὸ δὲ θρῆνυν ποσὶν ἥσει,
τῶι κεν ἐπίσχοιας λιπαροὺς πόδας εἰλαπινάζων."
τὴν δ' ἀπαμειβόμενος προσεφώνεε νήδυμος Ὕπνος·
"Ἥρη, πρέσβα θεά, θύγατερ μεγάλοιο Κρόνοιο,
ἄλλον μέν κεν ἐγώ γε θεῶν αἰειγενετάων
245 ῥεῖα κατευνήσαιμι, καὶ ἂν ποταμοῖο ῥέεθρα
Ὠκεανοῦ, ὅς περ γένεσις πάντεσσι τέτυκται·
Ζηνὸς δ' οὐκ ἂν ἐγώ γε Κρονίονος ἄσσον ἱκοίμην
οὐδὲ κατευνήσαιμ', ὅτε μὴ αὐτός γε κελεύοι.
ἤδη γάρ με καὶ †ἄλλο τεὴ ἐπίνυσσεν ἐφετμή†,

233 cf. sch ο 8; (–ἄναξ) ApS 161.3; Epm. υ 40 **235** (ἐγὼ–) Eudoc. 2129 **236** sch[AD] N 88 **240**a Epm. τ 67; (θρην.) Apio 241.18 **241**a sch Ξ 240b[1]; (ἐπισχ.) H. (Cyr.) ε 5284; (λιπ. πόδας) sch Ar. Vesp. 606a; (εἰλ.) H. (Cyr.) ε 851; Phot. Lex. ε 207 **244** (ἄλλον μέν κε) H. α 3150 **246–6*a*** Plut. Mor. 938d; **246** Orph. fr. 57; [Plut.] Hom. 2.93.1; [Plut.] Plac. 875f (unde Eus. P.E. 14.14.1); Hclt. Alleg. 22.6; Iul. Or. 4.147d; [Iustin.] Cohort. ad Gr. 5; Stob. 1.10.2; **246**b sch Theoc. 8.33e **247** Choer. in Thd. i.272.10, ii.310.13; (–Κρ.) Epm. κ 14; (Κρ.) Choer. in Thd. ii.397.8 **248** ApS 79.8 **249** [Plut.] Hom. 2.9.1; Orio 26.32; EtG s.v. ἐπίνυσσεν; Epm. α 287, τ 70; (καὶ ἄλλο) ApS 94.11; (ἐπίν.) id. 73.33; H. (Cyr.) ε 5014; (ἐφετμή) ApS 80.1; H. (Cyr.) ε 7422; Orio 54.14

234 ἠμὲν 9 A D B[c] F: ἦ μὲν 315 Ω*: εἰ μὲν G ἐμὸν 9 10 60 315 Ω: ἐμεῦ 26 Eust. rr: om. R **235** πείθε' O, πεῖθε D: πείθεο 10 315 R G: -ευ 9 60 Ω* εἴδω χάριν Brandreth: εἰδέω χάριν "αἱ δημώδεις" Z T: ἰδέω χάριν 9 10 26[?] 60 315 t Ω*: χάριν εἰδέω Ar[ab] rr: χάριν ἰδέω *h*.—cf. ad A 515 **236** ὑπ' Arph Ar 9 10 60 t Ω: ἐπ' Zen 315 rr **240** τεύξει Ar 60 315 t Ω* (-ει ϝ' Brandreth): -ει' D agn. sch[T]: τευχει 9 **241** επίσχοιας 315, επισχοίας 9 (prob. Wack. KS 806 sq., Unt. 14, 16; cf. Schwyzer 660): επεσχοιας 60: ἐπίσχοιες Alexander Cotyaeus Hdn sch[Tγρ] (-οῖες) A *b* F[a] W[a]: -σχοίης 315 h82 (υπ-) tt F[c] T R G: -σχοισ W[c] **241*ab*** αὐτὰρ ἐπὴν δὴ νῶϊ κατευνηθέντε ἴδηαι, | ἀγγεῖλαι τάδε πάντα Ποσειδάωνι ἄνακτι (cf. 354–62) add. quidam ap. sch[T] (Did?), ubi et refelluntur **242** προσεφώνεε νήδυμος sic (non -νεεν ἥδ-) Ar 315 Ω **244** κεν 9 315 t Ω: γαρ 60 ἐγώ γε D: ἔγωγε 9 315 Ω* **246** τέτυκται 9 26 315 438 tt Z Ω: -κτο 60 **246*a*** ἀνδράσιν ἠδὲ θεοῖς, πλείστην ‹δ'› ἐπὶ γαῖαν ἵησιν Crates ap. Plut., qui eum v. in Aristarchi textu (i.e. in vulgato) deesse testatur **247** ἐγώ γε Bekker: ἔγωγε 315 Ω ἄσσον 9 315 A D G: ἆ- Ω* ἱκοίμην 9 60 315 438 t Ω: ιοιμην 26 (pro ἴοιμι? cf. A 567) **249** ἄλλο τεὴ Ar Alexio Hdn tt* Ω*: ἄλλο τεῆι et ἐφετμῆι Zen Ptol. Epithe-

250 ἤματι τῶι, ὅτε κεῖνος ὑπέρθυμος Διὸς υἱός
ἔπλεεν Ἰλιόθεν Τρώων πόλιν ἐξαλαπάξας·
ἤτοι ἐγὼ μὲν ἔλεξα Διὸς νόον αἰγιόχοιο
νήδυμος ἀμφιχυθείς, σὺ δέ οἱ κακὰ μήσαο θυμῶι,
ὄρσασ' ἀργαλέων ἀνέμων ἐπὶ πόντον ἀήτας,
255 καί μιν ἔπειτα Κόωνδ' εὖ ναιομένην ἀπένεικας
νόσφι φίλων πάντων. ὃ δ' ἐπεγρόμενος χαλέπαινεν,
ῥιπτάζων κατὰ δῶμα θεούς, ἐμὲ δ' ἔξοχα πάντων
ζήτει· καί κέ μ' ἄϊστον ἀπ' αἰθέρος ἔμβαλε πόντωι,
εἰ μὴ Νὺξ δμήτειρα θεῶν ἐσάωσε καὶ ἀνδρῶν.
260 τὴν ἱκόμην φεύγων, ὃ δ' ἐπαύσατο χωόμενός περ·
ἅζετο γάρ, μὴ Νυκτὶ θοῆι ἀποθύμια ἔρδοι.
νῦν αὖ τοῦτό μ' ἄνωγας ἀμήχανον ἄλλο τελέσσαι."
τὸν δ' αὖτε προσέειπε βοῶπις πότνια Ἥρη·
"Ὕπνε, τίη δὲ σὺ ταῦτα μετὰ φρεσὶ σῆισι μενοινᾶις;
265 ἦ φῆις ὣς Τρώεσσιν ἀρηξέμεν εὐρύοπα Ζῆν,
ὡς Ἡρακλῆος περιχώσατο παιδὸς ἑοῖο;

252 ApS 66.7 **253**a ApS 27.8; sch B 2b, c[1]; Porph. Il. 22.3 Schr.; EtG α 616 **254** (ἀήτας) H. (Cyr.) α 1518, [5330] **255** sch Pind. Nem. 4.42b, Isth. 6.45a; St. Byz. 403.1; (–ναι.) Epm. κ 147; (ἀπέν.) H. α 5972; EtG α 994 **257** (ῥιπτ.) H. (Cyr.) ρ 364 **258** (ἄϊστον) H. α 2133 **259–61** Herm. in Pl. Phdr. 147.25 C.; **259–60**a + **261** Porph. Il. 113.27 Schr.; **259** Orio 44.δ9; Choer. in Ps. 40.19; imit. Nonn. D. 35.277; (–ἐσά.) H. ν 735; (–θεῶν) ApS 117.8; (δμ.) H. (Cyr.) δ 2067/8; **260**a ApD Synt. 415.7; Hdn ad X 123a[1], c; **261** ApS 11.25; Dam. Princ. 124 (iii.163.5 W.–C.); (–θοῆι) Epm. θ 25; (μὴ–) ib. ε 194; (ἀποθ.) ApS 40.3; H. (Cyr.) α 6352; Phot. Lex. α 2497; EtG α 1073 **262** Hdn ad Ξ 249b **265** sch Ξ 357–8; Porph. Il. 198.10 Schr.

ta 9 sch[D] D (τε.. D[a]) R[a] G: ἄλλοτε ἧι et ἐφετμῆι Parmeniscus Orio T W[a]: ἀλλο[(litt. xiv)]ετμῆ 315: α̣λ̣λοθεη 60: ἄλλοτε σὴ M rr: ἄλλοθ' ἑῆι ἐπίνυσσες ἐφετμῆι Brugman (Ein Problem 64; ἐπίνυσσας Nauck Mél. V 114).—ἄλλοτ(ε) verum videtur, cf. A 590, Υ 90, 187; ἄλλοτε τεὴ intelligant qui haplologias credunt ἐπίνυσσεν Ar 10 tt Z Ω*: ἐπένυσσεν 9 26 D[a] W[a]? (cf. Janko ad loc.): ετανυσεν 60 **250** ὅτ' ἐκεῖνος D C R W **252** ἔλεξα (cf. Ω 635) 9 10 60 t Z Ω: ἔθελξα (cf. M 255) *h* **253** κακὰ μήσαο 9 60 Ω: κάκ' ἐμ- 26[?] 438 Z: κακομ[10.—cf. ad Z 157 **255** Κόωνδ' 9 10 tt* Ω*: Κόων 60 rr: Κόονδ' Callistr C: Κώονδ' fere Epm. Z R.—cf. ad O 28 ἀπένεικας 9 438 tt Z (-νι-) Ω: απ. . .ασσε 60 (voluitne ἀπέλασσας?) **256** χαλέπαινε(ν) 9 438 Z Ω: -πηνε rr **259** δμήτειρα Ar 9 26[a] 60 h82 (δμι-) tt Z Ω: μήτ- Zen Arph 26[c].—cf. Rengakos 82 sq. **261** θοῆι 9 10 26 60 tt sch[D] Ω: φίληι quidam ap. sch[bT] (Did?) ἔρδοι (vel ἕρ-) 9 10 26 h82 tt* Ω: ῥέζοι Herm. Damasc. **263** ὣς φάτο· μείδησεν δὲ θεὰ λευκώλενος Ἥρη | χειρί τέ μιν κατέρεξεν ‹ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν› T[γρ] (suppl. Nauck ex A 361) **264** τίη 9 Ω*: τίὴ A E F T R: τί ἡ G[a] **265** ἦ Hdn Ω*: ἢ Ptol R W G ἀρηξέμεν 9 10 26 Ω*: ἀρηγ- 60 438 tt B[s] T G Ζῆν 10 60 Z, Ζῆν' T W G[c]: Ζῆ|ν' (Arph Ar) sch[D] Ω*, Ζῆι|ν' 9.—cf. ad Θ 206 **266** Ἡρακλῆος 9 10 26 60 Ω*: -κλεῖος T O[a] πέρι χώσατο T[c] P

ἀλλ' ἴθ', ἐγὼ δέ κέ τοι Χαρίτων μίαν ὁπλοτεράων
268 δώσω ὀπυιέμεναι καὶ σὴν κεκλῆσθαι ἄκοιτιν."
270 ὣς φάτο, χήρατο δ' Ὕπνος, ἀμειβόμενος δὲ προσηύδα·
"ἄγρει νύν μοι ὄμοσσον ἀάατον Στυγὸς ὕδωρ,
χειρὶ δὲ τῆι ἑτέρηι μὲν ἕλε χθόνα πουλυβότειραν,
τῆι δ' ἑτέρηι ἅλα μαρμαρέην, ἵνα νῶϊν ἅπαντες
μάρτυροι ὦσ' οἱ ἔνερθε θεοὶ Κρόνον ἀμφὶς ἐόντες,
275 ἦ μὲν ἐμοὶ δώσειν Χαρίτων μίαν ὁπλοτεράων,
Πασιθέην, ἧς τ' αὐτὸς ἐέλδομαι ἤματα πάντα."
ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη,
ὤμνυε δ' ὡς ἐκέλευε, θεοὺς δ' ὀνόμηνεν ἅπαντας
τοὺς ὑποταρταρίους, οἳ Τιτῆνες καλέονται.
280 αὐτὰρ ἐπεί ῥ' ὄμοσέν τε τελεύτησέν τε τὸν ὅρκον,
τὼ βήτην Λήμνου τε καὶ Ἴμβρου ἄστυ λιπόντε,
ἠέρα ἑσσαμένω, ῥίμφα πρήσσοντε κέλευθον.
Ἴδην δ' ἱκέσθην πολυπίδακα, μητέρα θηρῶν,
Λεκτόν, ὅθι πρῶτον λιπέτην ἅλα· τὼ δ' ἐπὶ χέρσου
285 βήτην, ἀκροτάτη δὲ ποδῶν ὕπο σείετο ὕλη.
ἔνθ' Ὕπνος μὲν ἔμεινε πάρος Διὸς ὄσσε ἰδέσθαι,

267–8 Macr. Sat. 5.4.3; **267** (ὀπλ.) H. (Cyr.) ο 1038; **268** (ὀπυι.) id. ο 1072 **270** (χήρ.) H. χ 413 **271** Prisc. Inst. 18.247; (ἀά.) Apio 210.13; H. α 5; (Στ.) ApS 145.25 **272** sch Theoc. 7.39a; (ἕλε) H. ε 1935 **274** (Κρ.–) sch O 709a; Epm. ad A 131a **275–6** (Πασ.) Paus. 9.35.5; **275**a Hdn ad A 77–8a[1] **279** Eudoc. 122; Cosmas in Greg. Naz. PG 38.492; **279**a cf. Procl. in Tim. iii.143.30; Olymp. in Phd. 201.14; (Τιτ.) H. τ 982 **283–4** (–ἅλα) Strab. 13.1.5; **283**a + **284** (Λεκτ.) sch Ξ 230; (Λεκτ.) ApS 108.7

269 Πασιθέην, ἧς αἰὲν ἱμείρεαι (ἐέλδεαι Barnes) ἤματα πάντα (cf. 276) deest in 9 10 26 60 Ω: add. D[m] C[m] H O[m] **271** νύν Cobet Misc. crit. 393: νῦν Ω **274** μάρτυροι Ar 9 10 26 60 499 Ω: -ρες Zen.—cf. ad Γ 280 ὦσ' οἱ 9 10 26 499 Ω (οἳ A D *b* F T G): ὦσιν V: οcοι 60: ὅσσοι rr agn. Eust. (cf. Wack. Unt. 111) **275** ἐμοὶ 9 10 26 60 438 t* Ω: μοι Paus. **276** damn. Heyne ἧς τ' Ar 9 10 60 499 Ω: ἧς Zen Arph 26 V: τῆς τ' *h*.—vv.ll. sim. ε 210 **277** θεὰ λευκώλενος 10 26 60 438 Ω: βοῶπις πότνια 9.—cf. ad 222 **278–9** θεοὺς–καλέονται 9 10 26 60 438 499 tt Ω: θεὸν δ' ὀνόμηνεν ἕκαστον, | ὤμνυε δ' ἐκ πέτρης ‹τὸ› κατειβόμενον Στυγὸς ὕδωρ quidam ap. sch[T]/Eust. (‹τὸ› van Leeuwen, cf. O 37, ε 185; vel κατ‹αλ›ειβ- Bekker, cf. Hes. Th. 786) **279** τοὺς 9 10 60 438 Ω: τούς θ' (Eudoc.) Cosmas **281** Λήμνου τε καὶ Ἴμβρου 9 26 60 (Λιμ-) 499 Ω:]τ̣ε̣ και Ιμβ̣ρ̣ο̣υ̣ 438: Λημ]νον τε κα Ιμβρο[10 (Λῆμνον et O[a] rr; Ἴμβρον rr): Λήμνοιο κατὰ μέγα quidam ap. sch[T] **283** ἱκέσθην 9 26 60 438 499 Ω: ἵκανον (ex Θ 47) Strab.: εἰσαφίκανε (ex 230) t*.—cf. ad O 151 **284** Λεκτόν Hdn Z Ω: Λέκτον 9 χέρσου 9 60 438 Z Ω*: -ον D **285** ὕπο σείετο Zen Arph Ar, υπο[10: ὑπεσείετο 9 60 499 Ω, ὑποσ- O:]ελ̣ε̣ι̣[ε]το 438 ὕλη 9 60 438 499 Ω: Ἴδη H **286** ἔμεινε 9 10 60 438 Ω: ἔμιμνε 499 A[s] rr.—cf. ad 119 ὄσσε ἰδέσθαι 9 60 438 499 Ω O[γρ]: ἄσσον ἱκέσθαι (ex 247) O

εἰς ἐλάτην ἀναβὰς περιμήκετον, ἣ τότ' ἐν Ἴδηι
μακροτάτη πεφυυῖα δι' ἠέρος αἰθέρ' ἵκανεν·
ἔνθ' ἧστ' ὄζοισιν πεπυκασμένος εἰλατίνοισιν,
290 ὄρνιθι λιγυρῆι ἐναλίγκιος, ἥν τ' ἐν ὄρεσσιν
χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ κύμινδιν.
  Ἥρη δὲ κραιπνῶς προσεβήσετο Γάργαρον ἄκρον
Ἴδης ὑψηλῆς· ἴδε δὲ νεφεληγερέτα Ζεύς.
ὡς δ' ἴδεν, ὥς μιν ἔρος πυκινὰς φρένας ἀμφεκάλυψεν,
295 οἷον ὅτε πρώτιστον ἐμισγέσθην φιλότητι
εἰς εὐνὴν φοιτῶντε, φίλους λήθοντε τοκῆας.
στῆ δ' αὐτῆς προπάροιθεν, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
"Ἥρη, πῆι μεμαυῖα κατ' Οὐλύμπου τόδ' ἱκάνεις;
ἵπποι δ' οὐ παρέασι καὶ ἅρματα, τῶν κ' ἐπιβαίης."
300 τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη·
"ἔρχομαι ὀψομένη πολυφόρβου πείρατα γαίης,
Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν,
οἵ μ' ἐν σφοῖσι δόμοισιν ἐῢ τρέφον ἠδ' ἀτίταλλον.
τοὺς εἶμ' ὀψομένη, καί σφ' ἄκριτα νείκεα λύσω·
305 ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται
εὐνῆς καὶ φιλότητος, ἐπεὶ χόλος ἔμπεσε θυμῶι.
ἵπποι δ' ἐν πρυμνωρείηι πολυπίδακος Ἴδης

287–8 ApS 12.9; Gal. in Hipp. Epid. vi 4.20; [Plut.] Hom. 2.95.1; Anon. ap. Stob.1.22.2; **287** (–περιμ.) Apio 233.23; ApS 64.25; H. π 1761; (περιμ.) ApS 131.5; (ἥ–)–**288** Epm. η 14; (ἥ–**288**a) ib. μ 66; **288** ib. η 22; **288**b sch E 776b **290**a Ath. 373b; (ἥν τ'–)–**1** (–θεοί) Hdn ad N 390c; **291** Cratin. fr. 352 (parod.); Pl. Crat. 392a; Arist. Hist. an. 615b10; ApS 105.8, 166.15; sch^{D} A 403; sch Z 4c; sch Ar. Av. 261b; 'Hdn.' Fig. 60; Procl. in Tim. i.274.4; Herm. in Pl. Phdr. 187.27 C.; cf. Dio Prus. 10.23; (κύμ.) H. κ 4548 **292** (Γάργ.–)–**3**a sch Ξ 283–4a^{1}; (Γάργ. ἄκρ.) Strab. 13.1.5 **295**b–**6** Procl. in Remp. i.133.1; **296** ApS 64.26; sch^{D} A 609; sch Theoc. 15.64; Homerocento in A.P. 9.381.11; **296**b Pl. Resp. 390c (unde Eus. P.E. 13.14.9); sch B 140b; Procl. in Remp. i.139.21; Herm. in Pl. Phdr. 41.18 C.; (τοκ.) ApS 153.31 **297** Eudoc. 223 **298** (τόδ' ἱκ.) H. τ 1048 **307–8** Porph. Il. 197.3 Schr.; **307**a sch Ξ 299b; (πρυμν.) ApS 136.22; cf. H. π 4126, Phot. Lex. s.v.; **308**b Favor. Exil. 390.19 B.; (ἐπὶ τρ.) H. ε 5351

288 μακροτάτη 9 (-ηι) 10 60 438 499 tt* sch^{D} Ω: ἀκροτάτηι [Plut.] **292** προσεβήσετο Ω*: -σατο 9 10 315 D R G **294** ὡς δ' 9 499 Ω: ως 60 ἔρος 9 W Eust.: ἔρως 60 315 499 Ω*.—cf. ad Γ 442 πυκινὰς 9 60 315 Ω: πυκνάσ Z **295** οἷον 9 60 315 438 499 Ω: οἷος (cf. χ 227) A^{γρ} *h* πρώτιστον (= κ 462) 'alii' ap. Did 9 60 315 499 Ω*: πρῶτόν περ Ar A *h*: πρῶτον Z **296** λήθοντε 9 60 315 (-ται) tt* Z (λίθω-) Ω: -ντο sch-A sch-Theoc. **299** τῶν κ' (= E 192) Ar 9 60 Ω: τῶν Zen Arph 315 **303** μ' ἐν 9 315 A^{γρ} Ω*: με 60 A D *b*.—cf. ad 202 **304–6** (= 205–7) ath. Zen Ar **306*a–c*** (= 208–10) add. 9 (v. Apthorp ZPE 109 [1995] 174–6) **307** πολυπίδακος 9 315 t A^{m} F T W: -πιδάκου 60 Ω*.—cf. ad 157

ἑστᾶσ', οἵ μ' οἴσουσιν ἐπὶ τραφερήν τε καὶ ὑγρήν.
νῦν δὲ σέ' εἵνεκα δεῦρο κατ' Οὐλύμπου τόδ' ἱκάνω,
310 μή πώς μοι μετέπειτα χολώσεαι, αἴ κε σιωπῇ
οἴχωμαι πρὸς δῶμα βαθυρρόου Ὠκεανοῖο."
τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
"Ἥρη, κεῖσε μέν ἐστι καὶ ὕστερον ὁρμηθῆναι·
νῶϊ δ' ἄγ' ἐν φιλότητι τραπείομεν εὐνηθέντε.
315 οὐ γάρ πώ ποτέ μ' ὧδε θεᾶς ἔρος οὐδὲ γυναικός
θυμὸν ἐνὶ στήθεσσι περιπροχυθεὶς ἐδάμασσεν,
οὐδ' ὁπότ' ἠρασάμην Ἰξιονίης ἀλόχοιο,
ἣ τέκε Πειρίθοον, θεόφιν μήστωρ' ἀτάλαντον·
οὐδ' ὅτε περ Δανάης καλλισφύρου Ἀκρισιώνης,
320 ἣ τέκε Περσῆα, πάντων ἀριδείκετον ἀνδρῶν·
οὐδ' ὅτε Φοίνικος κούρης τηλεκλειτοῖο,
ἣ τέκε μοι Μίνων τε καὶ ἀντίθεον Ῥαδάμανθυν·
οὐδ' ὅτε περ Σεμέλης, οὐδ' Ἀλκμήνης ἐνὶ Θήβῃ,
ἥ ῥ' Ἡρακλῆα κρατερόφρονα γείνατο παῖδα,
325 ἣ δὲ Διώνυσον Σεμέλη τέκε, χάρμα βροτοῖσιν·
οὐδ' ὅτε Δήμητρος καλλιπλοκάμοιο ἀνάσσης,
οὐδ' ὁπότε Λητοῦς ἐρικυδέος, οὐδὲ σέ' αὐτῆς,
ὥς σεο νῦν ἔραμαι καί με γλυκὺς ἵμερος αἱρεῖ."
τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη·

310–11 [Plut.] Hom. 2.187; **310** al. (μετέπ.) H. (Cyr.) μ 1071 **315–17 + 319 + 321 + 323 + 326–7** Athenag. pro Christ. 21; [Iustin.] Cohort. ad Gr. 2; **315–16** Chrysipp. (SVF ii.251.14, 252.5) ap. Gal. Plac. Hipp. et Plat. 3.7.51, 4.1.9, 12; Plut. Mor. 1073c; Procl. in Remp. i.132.28; **317** (ἠρασ.) H. (Cyr.) η 735; Phot. Lex. η 229; **317**b imit. Lucil. 25 M.; **319** (Δαν.–) EtG α 359; **320** (ἀριδ.) H. (Cyr.) α 7199; **324** cf. Eudoc. 275; **327** (–ἐρικ.) Arn ad Ξ 317a; (οὐδὲ–) ApD Synt. 190.4 **328** [Ammon.] Diff. 190; **328**a ApD Synt. 226.6; Hdn i.555.17; id. ad Γ 446a[1]; Procl. in Crat. 93.4; cf. Charax in AB 1152

309 δὲ σέ' fere Payne Knight: δὲ σεῦ Hdn 60 315 Ω: δέ σευ 9: δε σευ 438 **310** μετέπειτα Ar 9 60 (μ'επ-) t Ω*: μετόπισθε Zen Arph 438 D R G **313** μέν ἐστι 9 Ω: μὲν ἔστι Eust. O.—cf. Barrett Eur. Hippolytos 426 n.2 **314** εὐνηθέντε 438 Ω*: -ντες 9 D F R.—cf. ad Γ 441; v.l. sim. θ 292 **316** περιπροχυθεὶς Ar 9 60 438 628 (-χυεις, χ ex κ) tt sch^D Ω: περιπλεχθεὶς Ixio **317–27** ath. Arph Ar **320** τέκε Περσῆα 9 60 438 629 Ω: Περσῆα τέκεν Nauck ἀριδείκετον 9 60 628 Z (-δί-) Ω: πολὺ φίλτατον quidam ap. sch^T **321** τηλεκλειτοῖο 9 60 628 tt Ω*, -κλείτοιο Z: -κλητοῖο F **322** Μίνων τε Ar *h*: Μίνω τε Zen 438 Ω: Μίνωα quidam ap. sch^T 60: Μινωα τε 9 **323** Θήβῃ 9 60 438 tt Ω: -η σ (sc. -ῃς?) Z **327** ὁπότε 9 60 tt* Ω: ὅτε περ (ex 323) Athenag. σέ' van Leeuwen: σεῦ 9 60 438 tt Ω **328** σεο 9 R: σέο ApD Hdn Ω*

330 "αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες;
εἰ νῦν ἐν φιλότητι λιλαίεαι εὐνηθῆναι
Ἴδης ἐν κορυφῆισι, τὰ δὲ προπέφανται ἅπαντα.
πῶς κ' ἔοι, εἴ τις νῶϊ θεῶν αἰειγενετάων
εὕδοντ' ἀθρήσειε, θεοῖσι δὲ πᾶσι μετελθὼν
335 πεφράδοι; οὐκ ἂν ἐγώ γε τεὸν πρὸς δῶμα νεοίμην
ἐξ εὐνῆς ἀνστᾶσα· νεμεσσητὸν δέ κεν εἴη.
ἀλλ' εἰ δή ῥ' ἐθέλεις καί τοι φίλον ἔπλετο θυμῶι,
ἔστιν τοι θάλαμος, τόν τοι φίλος υἱὸς ἔτευξεν
Ἥφαιστος, πυκινὰς δὲ θύρας σταθμοῖσιν ἐπῆρσεν·
340 ἔνθ' ἴομεν κείοντες, ἐπεί νύ τοι εὔαδεν εὐνή."
τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
"Ἥρη, μήτε θεὸν τό γε δείδιθι μήτέ τιν' ἀνδρῶν
ὄψεσθαι· τοῖόν τοι ἐγὼ νέφος ἀμφικαλύψω
χρύσεον· οὐδ' ἂν νῶϊ διαδράκοι Ἠέλιός περ,
345 οὗ τε καὶ ὀξύτατον πέλεται φάος εἰσοράασθαι."
ἦ ῥα, καὶ ἀγκὰς ἔμαρπτε Κρόνου πάϊς ἣν παράκοιτιν.
τοῖσι δ' ὑπὸ χθὼν δῖα φύεν νεοθηλέα ποίην,
λωτόν θ' ἑρσήεντα ἰδὲ κρόκον ἠδ' ὑάκινθον
πυκνὸν καὶ μαλακόν, ὃς ἀπὸ χθονὸς ὑψόσ' ἔεργεν.

331 (εὐν.) H. ε 7012 **332** (προπ.) id. π 3629 **333** (–ἔοι) H. (Cyr.) π 4519; (ἔοι) id. ε 4025 **335** (πεφρ.) ApS 131.6; H. π 2125 **336** (ἐξ εὐνῆς) id. ε 3803 **340** (κεί.) id. κ 2004; (εὔ.) ApS 78.24; H. (Cyr.) ε 6682 **342** (μήτε θεῶν–)–**3** (ὄψ.) sch Ξ 315c; **343** (τοῖόν–)–**4** (χρ.) Did ad Ω 20–1b **344** (οὐδ'–) Hdn ad E 219a; (οὐδ'–Ἠέλ.) EtG s.v. δράκων (Philox. fr. 471 Th.); (διαδρ.) H. (Cyr.) δ 1000 **345** Eudoc. 2005 **346–9** Hclt. Alleg. 39.12–13; **346** ApS 5.9; Hermog. Id. 242.24, 332.9 R.; **347–9** Cosmas in Greg. Naz. PG 38.520; **347–8** Sext. Math. 1.291; Syr. in Hermog. i.14.24; Eudoc. 21–2; **347** Hermog. Id. 332.19 R.; EtG s.v. ποιά; (–φύε) Hermog. Id. 392.14 R.; (νεοθ.–)–**348** sch K 75a; **348** ApS 63.1; (ἑρσ.) H. ε 6062; Phot. Lex. ε 1971; **349b–50** (mutila) w14; **349b** H. ο 1397; **350b–1** Hclt. Alleg. 39.15; **350b** + **351b** sch Ω

330 ἔειπες 9 60 Ω*: -ας 438 C **332** τὰ δὲ 9 Ω*: τάδε A D B^c F T ἅπαντα 9 10 60 438 Ω (πάντα T): ἀπάντηι Christ **335** ἐγώ γε D: ἔγωγε Ω* **336** ἀνστᾶσα 9 60 [438] 1303 A C^c W: ἀναστ- Ω* **340** κείοντες 9 60 1303 t sch^D Ω: -ντε Ahrens εὔάδεν Hdn εὐνή Ar 9 10 60 (ευη) Ω: -ήν Zen Arph **342** θεὸν 9 60 1303 [1304] A B E F T: θεῶν t sch^bT ("ἄμεινον") T^s Ω* μήτέ sic Ω praeter D W, μητέ 9 ἀνδρῶν 1303 t Ω: ἄλλον (ex E 827) 9 60 [438] 1304 r **343** ὄψεσθαι 60 1303 1304 t Ω: αθανατων (ex E 828) 9 438 1305 **346** πάϊς Payne Knight: παῖς Ω **348** θ' ἑρσήεντα 9 60 tt* Z Ω: τ' ἑρσ- Did ap. h116 sch-K: ἑρσ- ApS^cod: ἐερσ- Brandreth (cf. Ω 419) ἰδὲ 9 tt* Ω*: ἠδὲ sch-K D^c G **349** ut supra fere Ar 9 10 60 1304 1306 tt Ω: ἵν' ἀπὸ χθονὸς ἀγκαζέσθην Zen ἔεργε(ν) Ar 9 10 60 1304 1306 tt Z Ω: ἵκανε ⳩: ἄειρε et ἔερπε alii ap. Did: ἄερθε V

350 τῶι ἔνι λεξάσθην, ἐπὶ δὲ νεφέλην ἕσσαντο
καλὴν χρυσείην, στιλπναὶ δ' ἀπέπιπτον ἐέρσαι.
ὣς ὃ μὲν ἀτρέμας ηὗδε πατὴρ ἀνὰ Γαργάρωι ἄκρωι,
ὕπνωι καὶ φιλότητι δαμείς, ἔχε δ' ἀγκὰς ἄκοιτιν.
βῆ δὲ θέειν ἐπὶ νῆας Ἀχαιῶν νήδυμος Ὕπνος,
355 ἀγγελίην ἐρέων γαιηόχωι Ἐννοσιγαίωι.
ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
"πρόφρων νῦν Δαναοῖσι, Ποσείδαον, ἐπάμυνε,
καί σφιν κῦδος ὄπαζε μίνυνθά περ, ὄφρ' ἔτι εὕδει
Ζεύς, ἐπεὶ αὐτῶι ἐγὼ μαλακὸν περὶ κῶμα κάλυψα·
360 Ἥρη δ' ἐν φιλότητι παρήπαφεν εὐνηθῆναι."
ὣς εἰπὼν ὃ μὲν ὤιχετ' ἐπὶ κλυτὰ φῦλ' ἀνθρώπων,
τὸν δ' ἔτι μάλλον ἀνῆκεν ἀμυνέμεναι Δαναοῖσιν.
αὐτίκα δ' ἐν πρώτοισι μέγα προθορὼν ἐκέλευσεν·
"Ἀργεῖοι, καὶ δὴ αὖτε μεθίεμεν Ἕκτορι νίκην
365 Πριαμίδηι, ἵνα νῆας ἕληι καὶ κῦδος ἄρηται;
ἀλλ' ὃ μὲν οὕτω φησὶ καὶ εὔχεται, οὕνεκ' Ἀχιλλεύς
νηυσὶν ἔπι γλαφυρῆισι μένει κεχολωμένος ἦτορ.
κείνου δ' οὔ τι λίην ποθὴ ἔσσεται, εἴ κεν οἱ ἄλλοι
ἡμεῖς ὀτρυνώμεθ' ἀμυνέμεν ἀλλήλοισιν.
370 ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες·
ἀσπίδες, ὅσσαι ἄρισται ἐνὶ στρατῶι ἠδὲ μέγισται,

419a; **351**b sch Pind. Ol. 6.92c; (στιλπ.) H. σ 1864; Orio 147.31; (ἕερσαι) id. 54.16 **352** ApS 30.17; Macr. Sat. 5.20.5; (ἀνὰ–) H. (Cyr.) α 4215 **353**a ApS 161.4 **357** sch Ξ 266; Choer. in Thd. i.266.10; Epm. ε 71; **357**a ib. φ 9 **358** (ὄφρ'–)–9 Porph. Il. 22.4 Schr.; **359** (ἐπεὶ–) Gal. De comate sec. Hipp. 1.2; (μαλ.–κῶμα) H. (Cyr.) μ 152; (περὶ κ.) id. π 1744; (κῶμα) ApS 106.10; H. κ 4825; Phot. Lex. κ 1305 **360** (παρήπ.) ApS 128.21; H. π [843], 912 **363** (προθ.) id. π 3479

350 ἔνι Ω*: ἐνὶ vel ἐνι 9 60 438 D T R: επι w14 **351** ἀπέπιπτον Ar 9 60 1304 (-πει-) tt Ω*: ἀν- Zen: ἐπ- W ἐέρσαι Ptol O: proparox. Hdn 9 Z Ω (ἕερ- A E), cf. Pind. Nem. 3.78 ἕερσα; at forma Homerica est ἐέρση **351*a*** δή ῥα τότ' ὀφθαλμοῖσι Διὸς χύτο νήδυμος ὕπνος quidam ap. sch^{T} **352** ηὗδε fere Fick: εὗ- 9 60 1306 tt Ω **354** νήδυμος (non ἥδ-) Ar 9 60 Ω **356** ἔπεα πτερόεντα προσηύδα 9 1304 1306 Ω: προσεφη κλυτον Εννοσιγαιον 60 **357** νῦν 9 60 438 tt* Ω*: δὴ Epm. D R W.—cf. ad Υ 89, Ω 635 Ποσείδαον 9 60 Choer. Ω* (parox. D B G): -δάων tt* C T ἐπάμυνε 9 sch-Ξ Ω*: -νον 60 1304 tt* D C R G **359** κῶμα κάλυψα 9 10 60 tt Ω*: κῶμ' ἐκ- 1304 1306 A$^{\gamma\rho}$ D W G (cf. σ 201^{codd}) **362** μάλλον Blass: μᾶ- Ω **363** ἐκέλευσε(ν) 60 1304 1306 Ω: -ευε 9 **364** δὴ Bekker: δ' 9 [10] 438 1306 Z Ω: τ' 60 μεθ(ε)ίεμεν 9 1306 Ω*, -οιεμεν 60: -ίομεν D: -ίετε sch^{D} rr **366** εὔχεται Ar 9 60 438 Ω: ἔλπ- Zen.—cf. ad Θ 526 **367** ἔπι Bekker: ἐπὶ Ω **370** ἐγὼ 9 10 438 Ω: ἐγὼν 1306 H.—cf. ad M 75, O 294, Σ 297 **371** ἀσπίδες 60 438 1306 A *b* T R^{a}: -δας 9 B^{s} Ω*.—cf. ad 75

ἑσσάμενοι, κεφαλὰς δὲ παναίθῃσιν κορύθεσσιν
κρύψαντες, χερσὶν δὲ τὰ μακρότατ' ἔγχε' ἑλόντες,
ἴομεν· αὐτὰρ ἐγὼν ἡγήσομαι, οὐδ' ἔτι φημί
375 Ἕκτορα Πριαμίδην μενέειν μάλα περ μεμαῶτα.
ὃς δέ κ' ἀνὴρ μενέχαρμος, ἔχηι δ' ὀλίγον σάκος ὤμωι,
χείρονι φωτὶ δότω, ὃ δ' ἐν ἀσπίδι μέζονι δύτω."
ὣς ἔφαθ'· οἳ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο.
τοὺς δ' αὐτοὶ βασιλῆες ἐκόσμεον οὐτάμενοί περ,
380 Τυδείδης Ὀδυσεύς τε καὶ Ἀτρείδης Ἀγαμέμνων,
οἰχόμενοι δ' ἐπὶ πάντας ἀρήϊα τεύχε' ἄμειβον·
ἐσθλὰ μὲν ἐσθλὸς ἔδυνε, χέρεια δὲ χείρονι δόσκεν.
αὐτὰρ ἐπεί ῥ' ἕσσαντο περὶ χροῒ νώροπα χαλκόν,
βάν ῥ' ἴμεν· ἦρχε δ' ἄρά σφι Ποσειδάων ἐνοσίχθων,
385 δεινὸν ἄορ τανύηκες ἔχων ἐν χειρὶ παχείηι
εἴκελον ἀστεροπῆι· τῶι δ' οὐ θέμις ἐστὶ μιγῆναι
ἐν δαῒ λευγαλέηι, ἀλλὰ δέος ἰσχάνει ἄνδρας.
Τρῶας δ' αὖθ' ἑτέρωθεν ἐκόσμει φαίδιμος Ἕκτωρ.
δή ῥα τότ' αἰνοτάτην ἔριδα πτολέμοιο τάνυσσαν
390 κυανοχαῖτα Ποσειδάων καὶ φαίδιμος Ἕκτωρ,
ἤτοι ὃ μὲν Τρώεσσιν, ὃ δ' Ἀργείοισιν ἀρήγων.
ἐκλύσθη δὲ θάλασσα ποτὶ κλισίας τε νέας τε
Ἀργείων· οἳ δὲ ξύνισαν μεγάλωι ἀλαλητῶι.
οὔτε θαλάσσης κῦμα τόσον βοάαι ποτὶ χέρσον

376a sch Heph. 319.18 **379** ApS 103.18; (–ἐκόσμ.) sch Π 155 **382** Procl. in Tim. i.51.22; Olymp. in Gorg. 183.10; **382**b Hdn ad Α 80c; Epm. π 23 **385** (ἄορ ταν.) H. (Cyr.) α 5685; (ταν.) H. τ 145; Orio 151.20; Phot. Lex. s.v. **386**a Philox. fr. 226 Th.; (οὐ θέμις) H. (Cyr.) ο 1608 **387**a EtG s.v. δαΐς **389** Eudoc. 304 **393**b ApD Synt. 473.9; (ξύν.) H. ξ 159 **394** Polyb. Fig. iii.109.17 Sp.; (–βοάαι) Plin. Ep. 9.26.6; sch Ρ 265; Epm. α 76; (χέρσον) ApS 167.20

372 παναίθῃσιν Euphranor Hdn Z Ω: properisp. "οἱ πλείους" ante Hdn, 282 **373** δὲ 9 60 438 1304 Ω*: τε A^s T ἑλόντες 9 10 282^s 438 Ω: εχοντες 282^t **374** ἐγὼν 10 60 438 Ω: εγὼ 9 οὐδ' ἔτι 1306 A C G: οὐδέ τι 9 282 Ω*, ουδετι 438: οὐδέ τε 60 R **376–7** om. Zen (teste T: ath. teste A), ath. Arph Ar **376** om. 438^a ἔχηι (nov. Did) 9 10 60 1306 Ω*: -ει Ar T R W G δ' ὀλίγον 9 10^s 60 1304 1306 sch^D Ω: δολιχον 10^t **377** μέζονι Blass: μεί- 9 [10] 60 Ω **382** χέρεια δὲ χείρονι 9 10 60 1304 tt Z Ω: χέρηϊ δὲ χείρονα *h* δόσκεν Ar 9 10 tt Ω*: -ον 60 sch^D A^s T R^c G^c: δῶκεν "ἔνια τῶν ὑπομνημάτων", *h* **384** ῥ' 9 Ω: δ' 10 V ἄρά r: ἄρα Ω **385** τανυηκέσ Z **386** εἴκελον 9 t Ω*: ἴκ- [10] A^m F **387** δαῒ Hdn 9 Ω: parox. Ptol **388** ἐκόσμει 9 Ω, -μι 60: -μεε rr.—cf. ad Δ 118; La Roche Unt. I 97 **389** τάνυσσαν Ar 9 10 60 Ω: -εν (nov. Did) (Eudoc.) rr **394–5** post 399 habuit Zen

395 ποντόθεν ὀρνύμενον πνοιῆι Βορέω ἀλεγεινῆι,
οὔτε πυρὸς τόσσος γε †ποτὶ βρόμος αἰθομένοιο
οὔρεος ἐν βήσσηις, ὅτε τ' ὤρετο καιέμεν ὕλην,
οὔτ' ἄνεμος τόσσον γε περὶ δρυσὶν ὑψικόμοισιν
ἠπύει, ὅς τε μάλιστα μέγα βρέμεται χαλεπαίνων,
400 ὅσση ἄρα Τρώων καὶ Ἀχαιῶν ἔπλετο φωνή
δεινὸν ἀϋσάντων, ὅτ' ἐπ' ἀλλήλοισιν ὄρουσαν.
Αἴαντος δὲ πρῶτος ἀκόντισε φαίδιμος Ἕκτωρ
ἔγχει, ἐπεὶ τέτραπτο πρὸς ἰθύν, οὐδ' ἀφάμαρτεν,
τῆι ῥα δύω τελαμῶνε περὶ στήθεσσι τετάσθην,
405 ἤτοι ὃ μὲν σάκεος, ὃ δὲ φασγάνου ἀργυροήλου·
τώ οἱ ῥυσάσθην τέρενα χρόα. χώσατο δ' Ἕκτωρ,
ὅττί ῥά οἱ βέλος ὠκὺ ἐτώσιον ἔκφυγε χειρός,
ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ' ἀλεείνων.
τὸν μὲν ἔπειτ' ἀπιόντα μέγας Τελαμώνιος Αἴας
410 χερμαδίωι, τά ῥα πολλὰ θοάων ἔχματα νηῶν
πὰρ ποσὶ μαρναμένων ἐκυλίνδετο, τῶν ἓν ἀείρας
στῆθος βεβλήκειν ὑπὲρ ἄντυγος ἀγχόθι δειρῆς·
στρόμβον δ' ὣς ἔσσευε βαλών, περὶ δ' ἔδραμε πάντηι.
ὡς δ' ὅθ' ὑπὸ πληγῆς πατρὸς Διὸς ἐξερίπηι δρῦς

395 (ποντ.) H. π 2995 **396** (–βρ.) sch N 41b; (πυρὸς–) EtG β 268; (τόσσος–βρ.) sch A.R. 3.861 **399** (ἠπύει) ApS 84.24; Orio 68.η18; **399**b EtG β 245 **404–5** sch β 3 **406** (χώσ.–) ApS 169.17 **407** Epm. β 29 **412** sch Λ 26–7 **413**a sch Nic. Al. 393; (στρ.) ApS 145.14; H. σ 2025; Phot. Lex. s.v. **414** (ἐξερ.) sch Ξ 415; H. (Cyr.) ε 3752

395 ποντόθεν 9 1306^{a} t sch^{D} Ω: πάντοθεν 60 1306^{c} 1307 rr Βορέω 9 60 438 1306 Ω* (-ου G): ἀνέμωι B^{t}: -ων B^{s} E: -ου C **396** τόσσος Ar Hdn 9 Ω*: τοσσός Tyr, τόσσός Ptol (sch^{h}) D G, το]σσός ⟦γ⟧ε (ss. δ) 1304 ποτὶ (ex 398?) 9 60 1304 t* Ω: ποθι 438 *h*:]ι 1306: ποτὲ G: περί(βρομος) G$^{\lambda}$: πέλει EtG: πέλεται sch-A.R.: πότι (= πρόσεστι) Janko **397** ὤρετο Ar 9 60 438 1306 sch^{D} Ω (cf. M 279): ὤρορε "ἔν τισι τῶν ὑπομνημάτων" **398** τόσσον Ar 9 Ω (τόσσόν D W G): -ος Zen 60 438 O^{a} rr περὶ 438 A D R G: ποτὶ 9 60 1306 A^{m} Ω* ὑψικόμοισιν 9 10 60 438 Ω: ἰξοφόροισιν Agathocles (FGrH 472 F 10) **399** ὅς τε 9 60 438 1306 Ω: malim εὖτε μέγα 9 438 1306 t Ω: ποτι 60 **400** ὅσση Zen Arph Ar^{ab} A *b* G (cf. P 23): τόσση (nov. Did) Nic 9 60 438 1306 B^{γρ} Ω* **401** om. 60 **402** φαίδιμος Ἕκτωρ 9 10 438 1306 Ω: δουρι φαεινωι 60 **403** ἰθύν 9 (ιθυμ) 60 438 (ẹι-) (cf. Φ 303): ἰθύ οἱ Z Ω (ἰθύει D) **406** ῥυσάσθην 60 1306 1308 Z Ω: ερυσ- 9 438 **407*a*** (= N 166) add. 1306 **410** τά 9 10 60 1306 Ω: το 438 **412** βεβλήκειν Zen Arph W: -κει Ar 9 10 60 1306 t Ω*: ἐβεβλ- (nov. Did) G.—cf. Praef. xxvi **413** damn. Düntzer βαλών, περὶ δ' ἔδραμε πάντηι 9 10 1306 1309 sch^{D} Ω: κυλινδεσθαι δι ομιλου (ex Λ 147) 60 **414** ὑπὸ 1 9 10 60 1306 Ω*: ὑπαὶ C R^{c} W πληγῆς 1 10 1306 sch^{D} A G^{s} H V: ῥιπῆς 9 60 A^{γρ} Ω*, ῥῥ- rr

415 πρόρριζος, δεινὴ δὲ θεείου γίνεται ὀδμὴ
ἐξ αὐτῆς, τὸν δ' οὔ περ ἔχει θράσος ὅς κεν ἴδηται
ἐγγὺς ἐών—χαλεπὸς δὲ Διὸς μεγάλοιο κεραυνός—
ὧς ἔπεσ' Ἕκτορος ὦκα χαμαὶ μένος ἐν κονίῃσιν·
χειρὸς δ' ἔκβαλεν ἔγχος, ἐπ' αὐτῶι δ' ἀσπὶς ἐάφθη
420 {καὶ κόρυς, ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῶι}.
οἱ δὲ μέγα ἰάχοντες ἐπέδραμον υἷες Ἀχαιῶν,
ἐλπόμενοι ἐρύεσθαι, ἀκόντιζον δὲ θαμειάς
αἰχμάς· ἀλλ' οὔ τις ἐδυνήσατο ποιμένα λαῶν
οὐτάσαι οὐδὲ βαλεῖν· πρὶν γὰρ περίβησαν ἄριστοι,
425 Πουλυδάμας τε καὶ Αἰνείας καὶ δῖος Ἀγήνωρ
Σαρπηδών τ' ἀρχὸς Λυκίων καὶ Γλαῦκος ἀμύμων·
τῶν τ' ἄλλων οὔ τίς ἑ' ἀκήδεσεν, ἀλλὰ πάροιθεν
ἀσπίδας εὐκύκλους σχέθον αὐτοῦ. τὸν δ' ἄρ' ἑταῖροι
χερσὶν ἀείραντες φέρον ἐκ πόνου, ὄφρ' ἵκεθ' ἵππους
430 ὠκέας, οἵ οἱ ὄπισθε μάχης ἠδὲ πτολέμοιο
ἕστασαν ἡνίοχόν τε καὶ ἅρματα ποικίλ' ἔχοντες·
οἳ τόν γε προτὶ ἄστυ φέρον βαρέα στενάχοντα.
ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐϋρρεῖος ποταμοῖο
Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς,
435 ἔνθά μιν ἐξ ἵππων πέλασαν χθονί, κὰδ δέ οἱ ὕδωρ
χεῦαν· ὃ δ' ἀμπνύθη καὶ ἀνέδρακεν ὀφθαλμοῖσιν,

415 (δεινὴ–) Choer. in Ps. 120.17 **419b** sch Ξ 413; Epm. ε 185 **421** (–ἐπέδρ.) Heph. p.7.21 C.; **421a** Choer. in Heph. 204.14, 25 **424a** Hdn ad Λ 659c; (οὐτ.) H. ο 1891; (περίβ.) id. π 1589 **427** (–ἀκ.) ApS 20.12; (ἀκ.) H. α 2364; EtG α 321 **433** Demetr. Eloc. 56; Porph. Hom. 4.10 Sod., Od. 30.26 Schr.; Eudoc. 442; Choer. in Ps. 10.27; imit. Nonn. D. 22.1 **434** Dio Prus. 33.20; Anon. π. ἀκυρολ. 4 (141.3 N.); Porph. Il. 198.15 Schr., 129.4 Sod.; id. Od. 47.9 Schr. **436** (ὃ δ'–) EtG s.v. ἔδρακεν; (ὃ δ'–ἀνέδρ.) Epm. α 287

415 γίνεται 1 9 1306 Ω*: γίγν- t rr: γείν- R$^{c?}$ **416–17** damn. Payne Knight **416** οὔ περ ... ὅς κεν Ar 1 9 10 60 1297 1306 Z Ω: οὔ τιν' ... ὅς τις Arph.—cf. ad N 234 **418** ἔπεσ' 9 10 60 1306^{a} Ω (cf. Π 600): πέσεν 1 1306^{2} rr (cf. N 181, P 523) ὦκα (deprec. Ar) 𝔄𝔐 ✗ 1^{c} 9 60 1306 Ω: ὠκὺ Ar 1^{a} *h* μενος χαμαι 1^{a} **419** ἐάφθη A A$^{\lambda}$ B E T R^{c}: ἑ- Z Ω*.—cf. ad N 543 **420** (cf. N 544, M 396) deest in 1 10 60 1297 1304 1306 A W V: hab. A^{m} W^{m} Ω* **422** ἐρύεσθαι 60 1306 Ω: ερύσασθαι 1 **424** ἄριστοι 1 10 60 Ω: ἅπαντες A^{γρ} **426** damn. Lachmann 41 ne temere adsit Glaucus saucius (cf. M 387 sqq., Π 508 sqq.) ἀρχὸς 1 10 Ω: -οι 60 **427** τ' Zen G rr: δ' Ar 1 t Ω*: om. 60 ἑ' fere Payne Knight: εὐ 1 1306 Z Ω (εὖ R W): σεῦ t H ἀκήδεσεν Ar^{a} 1 60 h82 tt Z Ω, -δ[. .]εν 10: -δησεν N, -δησ' rr: -δέσατ' Ar^{b} **429** ἀείραντες 1 10 Ω: -οντες 60 *h* **433** ἷξον C E R W: ἵξον 1 (῞ m.rec.) Ω*, ἴξον Z **434** ἀθάνατος 1 10 60 tt Z Ω*: -ον (Zen? cf. ad B 741, Φ 2) G^{c} **435** ἔνθά sic Ω **436** ἀμπνύθη B, item fere Epm. (ἄπανυ ss. μ et θη): -ύνθη 60 t* Z B^{s} Ω*.—cf. ad E 697

ἑζόμενος δ' ἐπὶ γοῦνα κελαινεφὲς αἷμ' ἀπέμεσσεν.
αὖτις δ' ἐξοπίσω πλῆτο χθονί, κὰδ δέ οἱ ὄσσε
νὺξ ἐκάλυψε μέλαινα· βέλος δ' ἔτι θυμὸν ἐδάμνα.
440 Ἀργεῖοι δ' ὡς οὖν ἴδον Ἕκτορα νόσφι κιόντα,
μάλλον ἐπὶ Τρώεσσι θόρον, μνήσαντο δὲ χάρμης.
ἔνθα πολὺ πρώτιστος Ὀϊλῆος ταχὺς Αἴας
Σάτνιον οὔτασε δουρὶ μετάλμενος ὀξυόεντι
Ἠνοπίδην, ὃν ἄρα νύμφη τέκε νηῒς ἀμύμων
445 Ἤνοπι βουκολέοντι παρ' ὄχθας Σατνιόεντος.
τὸν μὲν Ὀϊλιάδης δουρικλυτὸς ἐγγύθεν ἐλθὼν
οὔτασε κὰλ λαπάρην· ὃ δ' ἀνετράπετ', ἀμφὶ δ' ἄρ' αὐτῶι
Τρῶες καὶ Δαναοὶ σύναγον κρατερὴν ὑσμίνην.
τῶι δ' ἐπὶ Πουλυδάμας ἐγχεσπάλος ἦλθεν ἀμύντωρ
450 Πανθοίδης, βάλε δὲ Προθοήνορα δεξιὸν ὦμον,
υἱὸν Ἀρηϊλύκοιο· δι' ὤμου δ' ὄβριμον ἔγχος
ἔσχεν, ὃ δ' ἐν κονίηισι πεσὼν ἕλε γαῖαν ἀγοστῶι.
Πουλυδάμας δ' ἔκπαγλον ἐπηύξατο μακρὸν ἀΰσας·
"οὐ μὰν αὖτ' οἴω μεγαθύμου Πανθοίδαο
455 χειρὸς ἄπο στιβαρῆς ἅλιον πηδῆσαι ἄκοντα,
ἀλλά τις Ἀργείων κόμισε χροΐ, καί μιν ὀΐω
αὐτῶι σκηπτόμενον κατίμεν δόμον Ἄϊδος εἴσω."

437a Nic ad K 80a 438 (-χθ.) EtG α 1391; Epm. ε 104, π 124, 127; (πλῆτο) H. π 2597 443a + 444–5 Strab. 13.1.50, 3.1; 444 (ὃν–) Epm. α 251 447a (al.) Gal. in Hipp. Fract. xviii(2).520 K. 449 (ἐγχεσπ.) H. ε 344 450 (Πανθ.) Hdn ad Δ 228a 457 (σκηπτ.) ApS 142.17

437 ἀπέμεσσεν Ar[ab] "αἱ πλείους" Nic sch[bTD] A[m] F T R G (cf. O 11): -έμασσεν Zen 10 60 Z A *b*: †-έσεσεν† quidam ap. sch[T] (-έσεισεν Bekker, -έσευεν Janko cl. E 208): -ομόργνυ W (ex E 798) 438 κὰδ (nov. Did) 60 Ω* (cf. Π 325, sed et supra, 435): τὼ Ar A *b* (cf. N 616, al.) 439 ἔτι θυμὸν ἐδάμνα 10 Z Ω (ἐδάμνη Nauck Mél. IV 485, cf. ad Π 103): ἴθυνεν Αθηνη 60 (ex E 290) 440 νόσφι κιόντα A[γρ] Ω*: -ιν ἐόντα A *b* R.—cf. ad Λ 284, O 260 441 μάλλον Blass: μᾶ- Ω 444 Ἠνοπίδην 60 438 Ω: Οἰν- t rr.—cf. ad Π 401, Ψ 634; v.l. sim. φ 144 ἀμύμων 10 tt Ω: Αθηνη 60 445 Ἤνοπι 60 438 Ω: Οἴν- t r ὄχθας Ar? 60 Strab.[13.3.1] Ω: -ῃς Zen N: -η *b*: -αις Strab.[13.1.50] r Σατνιόεντος 10 60 t sch[D] Ω: Σαγγαρίοιο (ex Γ 187) quidam ap. sch[T] r 446 δουρὶ κλυτὸς A E F W 447 οὔτασε καλ 10 (κα) Z Ω: οὖτα κατὰ (= Z 64) 60 438 t rr.—cf. ad 517 449 ἐγχεσπάλος A D[a] B E F[a] T[a] W[a]: proparox. Ω* ἦλθεν 10 60 Ω (cf. N 384): ἦεν quidam ap. sch[T] (ἤιεν? Ribbeck), cf. O 610 450 Πανθοίδης trisyll. Tyr (t) acquiescente Hdn, -οίδ- non -οΐδ- Ω 453 ἔκπαγλον 10 60 Ω: -ος T[γρ] ἐπηύξατο rr: ἐπεύ- 10 60 Ω μακρὸν ἀΰσας (= 478, N 413, 445) 60 A[γρ] Ω*: μακρὰ βιβάσθων (cf. ad N 809) 10 sch[D] A R 454 οἴω A *b* R: ὀΐω Z Ω* 455 ἄπο Wolf: ἀπὸ Ω 456 κόμισε Ar 10 Ω*: -σεν (nov. Did) 60 Z D G

ὣς ἔφατ', Ἀργείοισι δ' ἄχος γένετ' εὐξαμένοιο.
Αἴαντι δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινεν
460 τῶι Τελαμωνιάδηι· τοῦ γὰρ πέσεν ἄγχι μάλιστα·
καρπαλίμως δ' ἀπιόντος ἀκόντισε δουρὶ φαεινῶι.
Πουλυδάμας δ' αὐτὸς μὲν ἀλεύατο κῆρα μέλαιναν
λικριφὶς ἀΐξας, κόμισεν δ' Ἀντήνορος υἱός
Ἀρχέλοχος· τῶι γάρ ῥα θεοὶ βούλευσαν ὄλεθρον.
465 τόν ῥ' ἔβαλεν κεφαλῆς τε καὶ αὐχένος ἐν συνεοχμῶι,
νείατον ἀστράγαλον, ἀπὸ δ' ἄμφω κέρσε τένοντε.
τοῦ δὲ πολὺ προτέρη κεφαλὴ στόμα τε ῥῖνές τε
οὔδεϊ πλῆντ' ἤ περ κνῆμαι καὶ γοῦνα πεσόντος.
Αἴας δ' αὖτ' ἐγέγωνεν ἀμύμονι Πουλυδάμαντι·
470 "φράζεο, Πουλυδάμα, καί μοι νημερτὲς ἐνίσπες·
ἦ ῥ' οὐχ οὗτος ἀνὴρ Προθοήνορος ἀντὶ πεφάσθαι
ἄξιος; οὐ μέν μοι κακὸς εἴδεται οὐδὲ κακῶν ἔξ,
ἀλλὰ κασίγνητος Ἀντήνορος ἱπποδάμοιο
ἢ πάϊς· αὐτῶι γὰρ κεφαλὴν ἄγχιστα ἐώικει."
475 ἦ ῥ' εὖ γινώσκων, Τρῶας δ' ἄχος ἔλλαβε θυμόν.
ἔνθ' Ἀκάμας Πρόμαχον Βοιώτιον οὔτασε δουρί,
ἀμφὶ κασιγνήτωι βεβαώς, ὃ δ' ὑφεῖλκε ποδοῖιν.
τῶι δ' Ἀκάμας ἔκπαγλον ἐπηύξατο μακρὸν ἀΰσας·
"Ἀργεῖοι ἰόμωροι, ἀπειλάων ἀκόρητοι,

459–60a Plut. Mor. 1010d; **459** Choer. in Thd. i.112.21, 126.38, ii.379.4; id. in Heph. 204.12; **459**a Arn ad P 2a; (Αἴ. δαΐφρ.) Choer. in Thd. ii.381.26; **460**a Porph. Il. 275.12 Schr. **462**b EtG α 435 **463** (λικρ.) ApS 108.25; H. (Cyr.) λ 1019; Orio 94.11 **465–6**a EtG s.v. ἐν συνεοχμῶι; **465**b EtG β 244; (συνε.) cf. H. ε [4052]; **466**a ApS 44.34; sch Ξ 465; (ἀστρ.) Apio 225.5; H. (Cyr.) α 7889 **467–8** (–κν.) Epm. ε 104; **468** (οὔδ. πλ.) EtG s.v. οὖας; Epm. ad A 475b; (πλ.) ApS 132.22 **470**b Epm. ν 41 **472** Hdn i.480.21; (ἄξιος) Apio 222.4 **473** (–Ἀντ.) sch Λ 262–3 **477** (βεβ.) H. (Cyr.) β 405

460 damn. Heyne **464** Ἀρχέλοχος Ar 10 60 Ω: Ἀρχί- (deprec. Ar) rr **465** ῥ' ἔβαλεν Ω: ρα βαλεν 60 αὐχένος 10 60 EtG$^{\beta}$ Ω: ὤμων EtG$^{\varepsilon}$ συνεοχμῶι 60 t Z Ω: -εεχμωι 10 **468** οὔδεϊ 60 (fere) 1312^{a} Ω*: -δει 1312^{c} R **469** αὖτ' ἐγέγωνεν 1312 Ω*: αὖτε γέγ- C G ἀμύμονι Πουλυδάμαντι Ar 10 60 Ω: -μονα -ντα Zen **470** Πουλυδάμα Ar 10 1312$^{?}$ Ω: -δαμαν Zen.—cf. Praef. xxxiv sq. ἐνίσπες 10 60 t A B E R: ἔνισπε Ω*.—cf. ad Λ 186 **471** ?μ]η ουδ' 1312 ἀντι 1312 **474** πάϊς 60$^{?}$ *h* O: παῖς Ω κεφαλ̣ην 10 (cf. α 208): γενεὴν Ar$^{?}$ 60 1312 Ω: ῥα φυὴν Arph (cf. B 58) ἐώικει Ar$^{?}$ 10 60 Z Ω (cf. ad B 58): ἔοικεν Arph A$^{\gamma\rho}$ **475** γινώσκων 60 Z Ω: γειν- 1304 1312: γιγν- rr θυμόν 10 60 Ω*: -ῶι T.—cf. ad M 179 **477** ὑφεῖλκε van Leeuwen: ὑφέλκε Ω (-ετο W), ὕφελκε *h*, υφελκε 60 1312 1313.—cf. ad N 583 **478** ἐπηύξατο Fick: ἐπεύ- 60 Ω

480 οὔ θην οἴοισίν γε πόνος τ' ἔσεται καὶ ὀϊζύς
ἡμῖν, ἀλλά ποθ' ὧδε κατακτενέεσθε καὶ ὔμμες.
φράζεσθ', ὡς ὕμιν Πρόμαχος δεδμημένος εὕδει
ἔγχει ἐμῶι, ἵνα μή τι κασιγνήτοιό γε ποινή
δηρὸν ἄτιτος ἔηι· τὼ καί τέ τις εὔχεται ἀνήρ
485 γνωτὸν ἐνὶ μεγάροισιν ἀρῆς ἀλκτῆρα λιπέσθαι."
ὣς ἔφατ', Ἀργείοισι δ' ἄχος γένετ' εὐξαμένοιο.
Πηνέλεωι δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινεν,
ὡρμήθη δ' Ἀκάμαντος· ὃ δ' οὐχ ὑπέμεινεν ἐρωήν
Πηνελέωιο ἄνακτος, ὃ δ' οὔτασεν Ἰλιονῆα,
490 υἱὸν Φόρβαντος πολυμήλου, τόν ῥα μάλιστα
Ἑρμείας Τρώων ἐφίλει καὶ κτῆσιν ὄπασσεν·
τῶι δ' ἄρ' ὑπὸ μήτηρ μοῦνον τέκεν Ἰλιονῆα.
τὸν τόθ' ὑπ' ὀφρύος οὖτα κατ' ὀφθαλμοῖο θέμεθλα,
ἐκ δ' ὦσε γλήνην· δόρυ δ' ὀφθαλμοῖο διάπρο
495 καὶ διὰ ἰνίου ἦλθεν, ὃ δ' ἕζετο χεῖρε πετάσσας
ἄμφω· Πηνέλεως δὲ ἐρυσσάμενος ξίφος ὀξύ
αὐχένα μέσσον ἔλασσεν, ἀπήραξεν δὲ χαμᾶζε
αὐτῆι σὺν πήληκι κάρη· ἔτι δ' ὄβριμον ἔγχος
ἦεν ἐν ὀφθαλμῶι. ὃ δὲ φὴ κώδειαν ἀνασχών
500 πέφραδέ τε Τρώεσσι καὶ εὐχόμενος ἔπος ηὔδα·
"εἰπέμεναί μοι, Τρῶες, ἀγαυοῦ Ἰλιονῆος
πατρὶ φίλωι καὶ μητρὶ γοήμεναι ἐν μεγάροισιν.

480 (οὔ θην) H. ο 1613 **485** Apio 224.5; (γν.) H. γ 755; (ἀλκτ.) H. (Cyr.) α 3098 **488a** sch Δ 335, Ξ 402a, Φ 595; **488b** EtG s.v. ἐρωή (Philox. fr. 4 Th.) **489a** Heph. p.4.9 C.; (Πην.) Choer. in Heph. 193.6 **490–1** Paus. 2.3.4 **493** (θέμ.) H. θ 227; Phot. Lex. θ 70 **494** (ἐκ δ' ὦσε) H. ε 1350; (γλ.) Porph. Hom. 50.6 Sod.; (ὀφθ.–) sch Γ 3c **499b–500** sch Σ 253; **499b** ApS 106.4; sch Nic. Al. 215; EtG s.v. κώδεια; (φη κώδ.) Arn ad Ξ 500; (κώδ.) Poll. 2.38; H. κ 4777; (φη) + **500** Anon. in cod. A f.8^{r} (I lxv Erbse); **500** (–εὐχ.) ApS 165.12; **500a** Choer. in Thd. ii.104.6; (πέφρ.) H. π 2124

481 κατακτενέεσθε Cobet: -κταν- 60 1313 Ω.—v. Praef. xxxii ὔμμες D E T R W G **482** ὕμιν (Thiersch) 1313: ὑμῖν Ω (ὑμμῖν F, ὔμμιν O): υμ\[ν 1310 **483** ἵνα μή 60 1310 1313 Ω: μή τοί A^{γρ} (voluitne μή μοί?) **484** ἄτῑτος ἔηι (60 1310 Z Ω; ϊ in ras. B, ἄτητος R^{a}) mirum: ἄτιμος ἔη r (Leaf cl. π 431): ἔηι ἄτιτος Clarke τὼ Ludwich: τῶ(ι) Ω τέ τις A^{s} H: κέ τις 60 Ω: τίς τ' Monro **485** μεγάροισιν Zen t: -ροις Ω (μμεγ- 1312 1313$^{?}$ B^{a} C E W): -ρω 60 ἀρῆς Zen: ἄρεως 60 t Z Ω (-εος t^{vl} C^{s} W): Ἄρεω Ar (Did ad Σ 100, 213).—cf. ad Σ 100, 213 et adn. meam ad Hes. Th. 657 λιπέσθαι 60 Ω: γενέ–σθαι t G^{γρ} rr **489** Πηνελέωιο Barnes: -εωο r: -έοιο 60 1310 1316$^{?}$ t* Ω: -άοιο Heph. **491** ὄπασσε 10 t Ω*: -ζε R **494** διάπρο dedi (Praef. xix): διαπρὸ fere Z Ω **499** δὲ φὴ Zen, δὲ φη W: δὲ φῆ Ar tt A F R^{a}?: δ' ἔφη Ω*, δ' εφι Z **500** ath. Ar, Zenodoto trib. Anon. (t)

οὐδὲ γὰρ ἡ Προμάχοιο δάμαρ Ἀλεγηνορίδαο
ἀνδρὶ φίλωι ἐλθόντι γανύσσεται, ὁππότε κεν δὴ
505 ἐκ Τροίης σὺν νηυσὶ νεώμεθα κοῦροι Ἀχαιῶν."
ὣς φάτο· τοὺς δ' ἄρα πάντας ὑπὸ τρόμος ἔλλαβε γυῖα,
πάπτηνεν δὲ ἕκαστος, ὅπηι φύγοι αἰπὺν ὄλεθρον.
ἔσπετε νῦν μοι, Μοῦσαι Ὀλύμπια δώματ' ἔχουσαι,
ὅς τις δὴ πρῶτος βροτόεντ' ἀνδράγρι' Ἀχαιῶν
510 ἤρετ', ἐπεί ῥ' ἔκλινε μάχην κλυτὸς Ἐννοσίγαιος.
Αἴας ῥα πρῶτος Τελαμώνιος Ὕρτιον οὖτα
Γυρτιάδην, Μυσῶν ἡγήτορα καρτεροθύμων·
Φάλκην δ' Ἀντίλοχος καὶ Μέρμερον ἐξενάριξεν·
Μηριόνης δὲ Μόρυν τε καὶ Ἱπποτίωνα κατέκτα·
515 Τεῦκρος δὲ Προθόωνά τ' ἐνήρατο καὶ Περιφήτην.
Ἀτρεΐδης δ' ἄρ' ἔπειθ' Ὑπερήνορα ποιμένα λαῶν
οὔτασε κὰλ λαπάρην, διὰ δ' ἔντερα χαλκὸς ἄφυσσεν
δηιώσας· ψυχὴ δὲ κατ' οὐταμένην ὠτειλὴν
ἔσσυτ' ἐπειγομένη, τὸν δὲ σκότος ὄσσ' ἐκάλυψεν.
520 πλείστους δ' Αἴας εἷλεν, Ὀϊλῆος ταχὺς υἱός·
οὐ γάρ οἵ τις ὁμοῖος ἐπισπέσθαι ποσὶν ἦεν
ἀνδρῶν τρεσσάντων, ὅτε τε Ζεὺς ἐν φόβον ὦρσεν.
O αὐτὰρ ἐπεὶ διά τε σκόλοπας καὶ τάφρον ἔβησαν
φεύγοντες, πολλοὶ δὲ δάμεν Δαναῶν ὑπὸ χερσίν,
οἳ μὲν δὴ παρ' ὄχεσφιν ἐρητύοντο μένοντες

503 (δάμαρ) ApS 56.13 **504** (γαν.) H. γ 156 **507** sch O 1a; Choric. 59.12 **509** (ἀνδρ.–)–**10** ApS 33.22; (ἀνδρ.) H. (Cyr.) α 4720; EtG α 817 **511** Anon. Trop. iii.228.20 Sp. **516–17** (οὔτ.) Arn ad P 24a **518** (ψυχὴ–)–**19** sch Eur. Hec. 21; (ψυχὴ–ἔσσ.) sch X 68b **520–2a** sch^D K 110; **521–2** Aristid. Or. 3.469; **521–2a** sch O 570; **521** (ἐπισπ. ποσίν) EtG α 1295 (Philox. fr. 50 Th.); (ἐπισπ.) ApS 74.6; H. ε 5210 **O 1–2** (φεύγ.) Hermog. Meth. 431.8 R. **3** ApD Coni. 251.22; Epm. ρ 14; **3a** ApD Coni. 252.16, Synt. 379.7; Nic ad O 2a

505 σὺν Ar 10 60 1310 Ω: ἐν Zen Arph **506** τρόμος ἔλλαβε γυῖα 10 60 Ω*: χλωρὸν δέος εἷλε(ν) A^{yp} D F T G (cf. Θ 77, χ 42) **509** (508–10?) ath. aliquis (non Ar u.v.) **510** ἤρετ' agn. Eust.: -ατ' 10 60 Z Ω.—cf. Wack. Unt. 61 **511** ῥα 10 Ω*: δὲ 60 t: μὲν C: om. B E **512** καρτεροθύμων 10 60 (κρατ-) Z Ω*, -ρόθυμον R: βαρβαροφώνων quidam ap. sch^T **515** Περιφήτην 10^{2s} 60 Ω: -φοιτην 10: Πολυφήτην M. Schmidt, cf. ad N 791 **517** οὔτασε καλ Ar$^?$ 10 (κα[) t A B^{yp} C E R W: οὖτα κατὰ 60 (ουτε) A^{yp} Ω* (καταὶ rr).—cf. ad 447 **519** ὄσσε κάλυψε(ν) D T R W G **520** Ὀϊλῆος 60 t Ω: -λιαδης 10 **521** ὁμοῖος Hdn Ω*: proparox. *b* T (ex sch^{bT} confuso) **522** τρεσσάντων 10 60 Ω: ἡρώων t τε Ζεὺς 10 60 Ω: δὴ θεὸς quidam ap. sch^T ὦρσεν 10 60 t^{vl} Ω*: ὄρσε A^s W^x: ὄρσηι t^{vl} sch^D A B^s E^s R W^x: ὄρσαι (Thiersch) t^{rec} **O 2** δὲ δάμεν sic Hdn 1319 Ω: δ' εδ- 60

χλωροὶ ὑπαὶ δείους, πεφοβημένοι· ἔγρετο δὲ Ζεύς
5 Ἴδης ἐν κορυφῇσι παρὰ χρυσοθρόνου Ἥρης.
στῆ δ' ἄρ' ἀναΐξας, ἴδε δὲ Τρῶας καὶ Ἀχαιούς,
τοὺς μὲν ὀρινομένους, τοὺς δὲ κλονέοντας ὄπισθεν
Ἀργείους, μετὰ δέ σφι Ποσειδάωνα ἄνακτα·
Ἕκτορα δ' ἐν πεδίωι ἴδε κείμενον, ἀμφὶ δ' ἑταῖροι
10 εἵαθ'· ὃ δ' ἀργαλέωι ἔχετ' ἄσθματι, κῆρ ἀπινύσσων,
αἷμ' ἐμέων, ἐπεὶ οὔ μιν ἀφαυρότατος βάλ' Ἀχαιῶν.
τὸν δὲ ἰδὼν ἐλέησε πατὴρ ἀνδρῶν τε θεῶν τε,
δεινὰ δ' ὑπόδρα ἰδὼν Ἥρην πρὸς μῦθον ἔειπεν·
"ἦ μάλα δὴ κακότεχνος, ἀμήχανε, σὸς δόλος, Ἥρη,
15 Ἕκτορα δῖον ἔπαυσε μάχης, ἐφόβησε δὲ λαούς.
οὐ μὰν οἶδ', εἰ αὖτε κακορραφίης ἀλεγεινῆς
πρώτη ἐπαύρηαι καί σε πληγῆισιν ἱμάσσω.
ἦ οὐ μέμνη', ὅτε τε κρέμα' ὑψόθεν, ἐκ δὲ ποδοῖιν
ἄκμονας ἧκα δύω, περὶ χερσὶ δὲ δεσμὸν ἴηλα
20 χρύσεον ἄρρηκτον; σὺ δ' ἐν αἰθέρι καὶ νεφέληισιν
ἐκρέμα'· ἠλάστεον δὲ θεοὶ κατὰ μακρὸν Ὄλυμπον,

4a [Plut.] Hom. 2.131.3; Them. in De an. CAG v(3).27.22; Choer. in Thd. i.358.21; (πε–φοβ.) H. π 2118 **6**b–**7**a sch O 56c **9** (–κείμ.) sch O 6–7 **10** (ὃ δ'–) ApS 38.28; (ὃ δ'–ἄσθμ.) sch O 6–7; (ἄσθμ.) H. (Cyr.) α 7663; (κῆρ ἀπιν.) sch ζ 258; H. κ 2535; (ἀπιν.) id. α 6209 **11** (αἷμ' ἐμ.) Luc. Dial. 17.45; (ἐπεὶ–) sch Pind. Nem. 3.23; 'Trypho i' Trop. iii.204.8 Sp.; Alex. Fig. iii.38.6 Sp.; Hermog. Meth. 455.20 R.; (ἀφαυρ.) ApS 48.16; H. α 8577 **14** Apio 217.18; (–ἀμήχ.) EtG α 641; **14**b ApS 28.26; (ἀμήχ.) H. α 3650; Phot. Lex. α 1 **16** (–κακορρ.) sch^{h} Θ 111; (κακ.) H. (Cyr.) κ 348; cf. Phot. Lex. κ 94 **17**a Orus ap. EtG s.v. ὄληαι (Erbse I 432); (ἱμ.) H. (Cyr.) ι 620; Phot. Lex. ι 125 **18–24**a Orig. c.Cels. 6.42; **18–21** Sext. Math. 1.290; **18–21** (ἐκρ.) Hclt. Alleg. 40.1–13; **18–20** (χρ.) 'Choer.' Trop. iii.244.23 Sp.; **18–19**a Corn. 26.14 L.; **18** Choer. in Thd. ii.353.2; (–ὑψ.) sch Σ 240b, Φ 396–8; Epm. υ 34; (–ἐκρ.) Hdn ad Λ 441a^{1}; sch O 189c; Porph. Il. 200.12 Schr.; (ἐκρ. ὑψ.) Choer. in Ps. 184.14; (ἐκ δὲ–)–**19**a EtG s.v. ποδοῖιν; (ἴηλα) H. (Cyr.) ι 365; **21** (ἠλ.–) Epm. α 284; (ἠλ. δὲ θεοί) ApS 83.18; (ἠλ.) H. (Cyr.)

4 ὑπαὶ Ar Hdn sch^{D} 60 tt* Ω (cf. ad K 376): ὕπαι Tyr: ὑπὸ Choer. rr δείους sch^{AbT} 60 1319 Z Ω (δδεί- T): cf. ad K 376 **5**a (= B 42) add. quidam ap. sch^{T} **10** εἵαθ' Hdn Ω: εἴαθ' (quasi ἦσαν) Ar κῆρ ἀπινύσσων Ar Ptol Alexio Hdn (καὶ σχεδὸν πάντες) sch^{D} 60 1320 tt Ω (κῆρ' A$^{\lambda}$ E F G): -ύσκων Arph: κῆρα πινύσσων (deprec. Ar) O rr **11** ἀφαυρότατος Ar 60 630 sch^{D} tt Ω*: -τερος F T R **15** δὲ λαούς Ω: δ' Ἀχαιούς (ex P 596) quidam ap. sch^{T} **16** εἰ 60 630 t Ω: εἴ κ' Burney **17** ἐπαύρηαι Ar Hdn h83 (sine accentu) Ω: -αυρῆιαι Tyr (cf. ad Γ 417, Z 229): -αυρειαι 630: -ρη Z **18–31** om. Zen **18** ἦ P: ἡ Z A, ἢ A$^{\lambda}$ Ω* μέμνη' Barnes,]ηαι 630, -εαι Payne Knight: -η(ι) omnes Didymi (διὰ τοῦ η) 60 tt* Z Ω: -ησ' Corn.^{vl} Orig. Choer.—cf. ad Υ 188, Φ 396; ω 115; Praef. xxii τε κρέμα' dedi, τ' ἐκρέμα' Payne Knight: τ' ἐκρέμω tt Z Ω (-μνω 60 A$^{\lambda}$), τε κρ- Bentley, τεκρ- 630 **20** om. 630 **21** ἐκρέμα' Payne Knight:

λῦσαι δ' οὐκ ἐδύναντο παρασταδόν· ὃν δὲ λάβοιμι,
ῥίπτασκον τεταγὼν ἀπὸ βηλοῦ, ὄφρ' ἂν ἵκηται
γῆν ὀλιγηπελέων· ἐμὲ δ' οὐδ' ὧς θυμὸν ἀνίει
25 ἀζηχὴς ὀδύνη Ἡρακλῆος θείοιο,
τὸν σὺ ξὺν Βορέηι ἀνέμωι πεπιθοῦσα θυέλλας
πέμψας ἐπ' ἀτρύγετον πόντον, κακὰ μητιόωσα,
καί μιν ἔπειτα Κόωνδ' εὖ ναιομένην ἀπένεικας.
τὸν μὲν ἐγὼν ἔνθεν ῥυσάμην καὶ ἀνήγαγον αὖτις
30 Ἄργος ἐς ἱππόβοτον, καὶ πολλά περ ἀθλήσαντα.
τῶν σ' αὖτις μνήσω, ἵν' ἀπολλήξηις ἀπατάων,
ὄφρα ἴδη' ἤν τοι χραίσμηι φιλότης τε καὶ εὐνή,
ἣν ἐμίγης ἐλθοῦσα θεῶν ἄπο καί μ' ἀπάτησας."
ὣς φάτο, ῥίγησεν δὲ βοῶπις πότνια Ἥρη,
35 καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
"ἴστω νῦν τόδε Γαῖα καὶ Οὐρανὸς εὐρὺς ὕπερθεν
καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅς τε μέγιστος
ὅρκος δεινότατός τε πέλει μακάρεσσι θεοῖσιν,
σή θ' ἱερὴ κεφαλὴ καὶ νωΐτερον λέχος αὐτῶν

η 322; **22–4a** sch Ξ 257a; **22** (παραστ.) H. π 677; Phot. Lex. s.v.; **23–4a** Alex. in De sensu CAG iii(1).23.23; **24a** Phld. π. εὐσ. p.78 Sch.; (ὀλιγ.) ApS 120.6; H. ο 540; (ἀνίει) id. α 5177? **25** (ἀζ.) H. (Cyr.) α [1461] **26** sch A.R. 1.1300–5a; (πεπ.) H. π 1448 **27** (κακὰ μητ.) sch O 16b; (μητ.) H. (Cyr.) μ 1287 **28** v. ad Ξ 255 **29–30** EtG α 138 **32–3** Plut. Mor. 20b; **32** (ἤν τοι) H. (Cyr.) η 627 **36–8** Hipp. Ref. 5.16.3, 20.10; Cyr. c.Iul. PG 76.1021c; **36–7** (–ὕδωρ) Hclt. Alleg. 41.1; Paus. 8.18.2; **36** (–Οὐρ.) + **37** (–ὕδωρ) + **39** sch Υ 313; **36** Porph. Il. 114.13 Schr.; Lib. Ep. 661.1 (x.603.12 F.); **37–8** Macr. Sat. 5.13.22; (–ὅρκος) sch Pind. Ol. 7.119b; **37** (–ὕδωρ) sch Θ 369; Ascl. in Metaph. CAG vi(2).25.12; Epm. ε 193; (κατ.) H. κ 1579 **39** sch Soph. Ai. 492; **39b** H. ν 777

-μω tt Ω ηλα]στρεον 630 **21*ab*** πρίν γ' ὅτε (τότε T) δή σ' ἀπέλυσα ποδῶν (πεδῶν Heyne, πεδέων Spitzner rectius), μύδρους δ' ἐνὶ Τροίηι | κάββαλον, ὄφρα πέλοιτο (-οιντο Heyne) καὶ ἐσσομένοισι πυθέσθαι scr. vel add. quidam ap. sch[T] (γράφουσι) et Eust. (προσγράφουσι), scil. invicem vv. 22–30 (Leaf)? **23** ῥίπτασκον t* Z Ω: -πτεσκον Alex. O[c]: -ψασκον Fick βηλοῦ Ω: βήλου Crates (cf. ad A 591) ἵκηται 60 630[?] tt* Ω: -οιτο Orig.—cf. Chantr. II 269 **24** ὧς (Hdn) Bekker: ὡς A D, ὣς Ω* θυμὸν Ar 60 A D *b* F: -ὸς (nov. Did) 630 t C[c] Ω* ἀνίει 60 Ω* (ἀνΐει A): -ίη T[a]: -ήῃ G: -ῆκεν t **25** Ἡρακλῆος 60 Ω: -κλειος 630 O[a] **26** ἀνέμωι 60 630 t Ω: -ων rr **28** Κόωνδ' 60 Ω: Κόων 630 rr: Κόονδ' Christ.—cf. ad Ξ 255 **29** ἀνήγαγον 60 630 t Ω: ἀπ- quidam ap. sch[T] **31** ἀπολλήξηις (nov. Did) 60 Ω*: ἀπολή- Ar[ab] Z D F T R **32** ἴδηι Ar ("i.e. ϝίδη'" van Leeuwen), ἴδη' dedi (cf. ad A 203): ἴδη(ι)ς (nov. Did) 60 t Ω*: εἰδῇς R V **33** om. Zen Arph, susp. Ar ἣν t Ω: ἧι μ'(οι) exspectaveris cl. Γ 445, Z 25 **35** φωνήσασ' Ω (-σασα Bentley): αμειβομενη (cf. 48) 60 **36** τόδε 60 tt Ω: τό γε rr **38** τε πέλει 60 tt* Ω: πέλεται Cyr. H

40 κουρίδιον· τὸ μὲν οὐκ ἂν ἐγώ ποτε μὰψ ὀμόσαιμι·
μὴ δι' ἐμὴν ἰότητα Ποσειδάων ἐνοσίχθων
πημαίνει Τρῶάς τε καὶ Ἕκτορα, τοῖσι δ' ἀρήγει,
ἀλλά που αὐτὸν θυμὸς ἐποτρύνει καὶ ἀνώγει,
τειρομένους δ' ἐπὶ νηυσὶν ἰδὼν ἐλέησεν Ἀχαιούς.
45 αὐτάρ τοι καὶ κείνωι ἐγὼ παραμυθησαίμην
τῆι ἴμεν, ἧι κεν δὴ σύ, Κελαινεφές, ἡγεμονεύηις."
ὣς φάτο· μείδησεν δὲ πατὴρ ἀνδρῶν τε θεῶν τε,
καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα·
"εἰ μὲν δὴ σύ γ' ἔπειτα, βοῶπι πότνια Ἥρη,
50 ἶσον ἐμοὶ φρονέουσα μετ' ἀθανάτοισι καθίζοις,
τῶ κε Ποσειδάων γε, καὶ εἰ μάλα βούλεται ἄλληι,
αἶψα μεταστρέψειε νόον μετὰ σὸν καὶ ἐμὸν κῆρ.
ἀλλ' εἰ δή ῥ' ἐτεόν γε καὶ ἀτρεκέως ἀγορεύεις,
ἔρχεο νῦν μετὰ φῦλα θεῶν, καὶ δεῦρο κάλεσσον
55 Ἶρίν τ' ἐλθέμεναι καὶ Ἀπόλλωνα κλυτότοξον,
ὄφρ' ἣ μὲν μετὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων
ἔλθηι καὶ εἴπησι Ποσειδάωνι ἄνακτι
παυσάμενον πολέμοιο τὰ ἃ πρὸς δώμαθ' ἱκέσθαι,
Ἕκτορα δ' ὀτρύνησι μάχην ἐς Φοῖβος Ἀπόλλων,
60 αὖτις δ' ἐμπνεύσησι μένος, λελάθηι δ' ὀδυνάων
αἳ νῦν μιν τείρουσι κατὰ φρένας, αὐτὰρ Ἀχαιούς
αὖτις ἀποστρέψησιν ἀνάλκιδα φύζαν ἐνόρσας,
φεύγοντες δ' ἐν νηυσὶ πολυκληΐσι πέσωσιν.

40 (τὸ μὲν–) sch O 39–40 **41–2** Epm. μ 10; **41** Philox. fr. 401 Th.; Hdn ii.945.25; St. Byz. 66.19; **41a** sch T 261a; sch Aesch. Eum. 592; EtG s.v. ἰότης; Epm. μ 69; **42** (πημ.) H. π 2195; Phot. Lex. s.v.; (ἀρήγει) H. (Cyr.) α 7146 **45–6** (–κελ.) Epm. τ 70; **46** sch Ar. Ach. 204a; (ἧι–) EtG s.v. ἡγεμονεύεις; (–κελ.) sch N 53a **51** (μάλα β.) H. μ 143 **52** w5 (lacerum); Eudoc. 161 **53** cf. eand. 894; (ἤ ῥ' ἐτεόν γε) H. (Cyr.) η 758 **60** (λελ.–) Epm. α 204; (λελ.) H. λ 586 **62** (ἐνόρσας) H. (Cyr.) ε 3256 **63–4a** Arn ad O 56a

43 αὐτὸν Ω (cf. K 389 et ad Z 439): -οῦ possis cl. Z 439 (vulg.), δ 712 **44** τειρομένους Ar 60 Ω: κτειν- Arph 𝔄 𝔐, prob. Did **45** καὶ κείνωι Ar t Ω*: κἀκ- (nov. Did) D R W G **46** ἡγεμονεύη(ι)ς 60? t* A F W G: -εις EtG Ω*: -οις rr **49** βοῶπι Ar A B E F^{a} G^{c} (fort. praestat -ῶπι): -ις Arph A^{m} Ω* (-ῶπις Schulze 425, O^{c}).—v. ad Θ 471 **50** μετ' 60 Ω: ἐν $T^{γρ}$ καθίζοις (Ar) 60 (ex -εζ-) Ω*: -εις T: θεοῖσι "ἐν τοῖς εἰκαιοτέροις" Didymi **51** τῶ(ι) Ω **53** γε Arph Ar 60 t Ω: γὰρ Z: aliud quid nov. Did, nimirum τε (rr) **54** κάλεσσον Ω* (cf. Δ 193): κέλευσον $A^{γρ}$ $T^{γρ}$ R **55** κλυτότοξον Ω: κλυτὸν αὐδήν quidam ap. sch^{T} (Did?) **56–77** ath. Arph Ar: def. sch^{bT} (ApH) **58** παυσάμενον Ω: -μένω(ι) Eust. rr **59** ἐς A P, ἐς Ω*: εἰς Leaf II 637 **60** αὖθις C (item v. 62) ἐμπνεύσει Z μένος 60^{c} Ω: θυμον 60^{a} λελάθηι tt Ω*: -ει 60: -οι F T^{c} **62** φύζαν 60^{s} sch^{D} Ω: θυμον 60^{t} (cf. ad Π 656)

{Πηλείδεω Ἀχιλῆος. ὃ δ' ἀνστήσει ὃν ἑταῖρον
65 Πάτροκλον· τὸν δὲ κτενεῖ ἔγχεϊ φαίδιμος Ἕκτωρ
Ἰλίου προπάροιθε, πολεῖς ὀλέσαντ' αἰζηούς
τοὺς ἄλλους, μετὰ δ' υἱὸν ἐμὸν Σαρπηδόνα δῖον·
τοῦ δὲ χολωσάμενος κτενεῖ Ἕκτορα δῖος Ἀχιλλεύς.
ἐκ τοῦ δ' ἄν τοι ἔπειτα παλίωξιν παρὰ νηῶν
70 αἰὲν ἐγὼ τεύχοιμι διαμπερές, εἰς ὅ κ' Ἀχαιοί
Ἴλιον αἰπὺ ἕλοιεν Ἀθηναίης διὰ βουλάς.}
τὸ πρὶν δ' οὔτ' ἄρ' ἐγὼ παύω χόλον οὔτέ τιν' ἄλλον
ἀθανάτων Δαναοῖσιν ἀμυνέμεν ἐνθάδ' ἐάσω,
πρίν γε τὸ Πηλείδαο τελευτηθῆναι ἐέλδωρ,
75 ὥς οἱ ὑπέστην πρῶτον, ἐμῶι δ' ἐπένευσα κάρητι,
ἤματι τῶι, ὅτ' ἐμεῖο θεὰ Θέτις ἥψατο γούνων,
λισσομένη τιμῆσαι Ἀχιλλῆα πτολίπορθον."
ὣς ἔφατ'· οὐδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη,
βῆ δὲ κατ' Ἰδαίων ὀρέων ἐς μακρὸν Ὄλυμπον.
80 ὡς δ' ὅτ' ἂν ἀΐξηι νόος ἀνέρος, ὅς τ' ἐπὶ πολλήν
γαῖαν ἐληλουθὼς φρεσὶ πευκαλίμηισι νοήσηι,
"ἔνθ' εἴην, ἢ' ἔνθα", μενοινήησί τε πολλά,

66b Hdn ad N 734b; (πολεῖς) H. π 2756 **69–70a** Arn ad M 71; **69** (ἐκ τοῦ δή) H. (Cyr.) ε 1753; (παλί.) Arn ad O 56ab **71** id. ad Δ 46b²; **71a** id. ad M 115, O 56a; (Ἴλ. αἰπύ) St. Byz. 331.2; **71b** sch O 56b **77a** Did ad O 64b(c); Arn ad O 56a (bis); (πτολ.) ibid. **79** id. ad Λ 196 **80–3** Porph. Hom. 22.16 Sod.; **80** (–ἀνέρος) sch Υ 292; sch A.R. 2.541–8a; Iul. Or. 8.247a; **82** ApS 111.15; (ἔνθ' εἴην) Philox. fr. 397 Th.;

64–77 om. Zen (Mallota teste Eust. 1006.3 qui falli vid.): **64–71** damn. Hentze Anhang V 96 sq. (**63–71** iam Bergk Gr. Lit. I 613 sq.); absolutio erat puto τῆς Διὸς ἀπάτης seorsum recitatae **64** ἀνστήσει ὃν Ar^ab Ω (ὃν om. R V): -σειεν quidam ante Did rr **65** ἔγχεϊ sic Ω **66** Ἰλίου et πολεῖς 60 (ex -ις) tt Ω (-έας *b*, -οὺς C): si genuinus esset versus, praestaret Ἰλίοο (Ahrens) ... πολῦς (nol. Christ) ὀλέσοντ' A (-σαντ' A^m) **68** om. 60 **69** δ' ἄν 60 Z Ω*: δ' αὖ W: δή O **70** τεύχοιμι 60 t Ω: -ωμι Cobet Misc. crit. 375 **71** αἰπὺ ἕλοιεν Ar 60 tt Ω (ἕλωσιν *b*): αἰπὺν ἕλοιεν (Bentley) Z rr, prob. Wack. Unt. 63: ἐκπέρσωσιν quidam ap. sch^bT (Ar teste sch^A, quod falsum est) **72** τὸ πρὶν alias 'olim' est: πρόσθεν exspectaveris, cf. ρ 7, ψ 137 ἄρ 60 Ω: ἂν Barnes παύω Ar Hdn 60 Ω*: παύσω (nov. Did) D C^s G N οὔτέ sic Ω praeter D ἄλλον 60 Ω*: -ων D F N.—cf. ad E 827 **78** θεὰ λευκώλενος 60 Ω*: βοῶπις πότνια R rr.—cf. ad 92, Ξ 222 **78*a*** Ζῆν' ὑποταρβήσασα, νόος δέ οἱ ἄλλα μενοίνα add. quidam ap. sch^T (Ζῆν' Heyne: Ζηνόδοτος cod. ex sch 79) **79** δὲ κατ' (= Θ {410}, Λ 196) Zen? 60^a Ω*: δ' ἐξ (Zen teste sch^T, at v. t) Ar R W (cf. ad 169): δ αρ απ 60^c (cf. Θ 170) ἐς 60 Ω: ἐπὶ t **81** ἐληλουθὼς 1322 Ω*: -λυθὼς 60 t E T G **82** εἴην Ar Philox. 1322 A D^a W G^m: εἴη (nov. Did) 60 tt* (ἴηι Porph.) A^m Ω* (ἴη G^t) ἢ' Fick: ἢ 1322 Ω μενοινήησί Ar rr: -νήσειέ (nov. Did) 60 tt Ω: -νήσει Z: -νήσησι Nauck

ὣς κραιπνῶς μεμαυῖα διέπτατο πότνια Ἥρη.
ἵκετο δ' αἰπὺν Ὄλυμπον, ὁμηγερέεσσι δ' ἐπῆλθεν
85 ἀθανάτοισι θεοῖσι Διὸς δόμωι· οἱ δὲ ἰδόντες
πάντες ἀνήϊξαν καὶ δεικανόωντο δέπασσιν.
ἣ δ' ἄλλους μὲν ἔασε, Θέμιστι δὲ καλλιπαρήωι
δέκτο δέπας· πρώτη γὰρ ἐναντίη ἦλθε θέουσα,
καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
90 "Ἥρη, τίπτε βέβηκας; ἀτυζομένηι δὲ ἔοικας.
ἦ μάλα δή σ' ἐφόβησε Κρόνου πάϊς, ὅς τοι ἀκοίτης."
τὴν δ' ἠμείβετ' ἔπειτα θεὰ λευκώλενος Ἥρη·
"μή με, θεὰ Θέμι, ταῦτα διείρεο· οἶσθα καὶ αὐτή,
οἷος ἐκείνου θυμὸς ὑπερφίαλος καὶ ἀπηνής.
95 ἀλλὰ σύ γ' ἄρχε θεοῖσι δόμοις ἔνι δαιτὸς ἐΐσης·
ταῦτα δὲ καὶ μετὰ πᾶσιν ἀκούσεαι ἀθανάτοισιν,
οἷα Ζεὺς κακὰ ἔργα πιφαύσκεται. οὐδέ τί φημι
πᾶσιν ὁμῶς θυμὸν κεχαρησέμεν, οὔτε βροτοῖσιν
οὔτε θεοῖς, εἴ πέρ τις ἔτι νῦν δαίνυται εὔφρων."
100 ἣ μὲν ἄρ' ὣς εἰποῦσα καθέζετο πότνια Ἥρη,
ὄχθησαν δ' ἀνὰ δῶμα Διὸς θεοί. ἣ δ' ἐγέλασσεν
χείλεσιν, οὐδὲ μέτωπον ἐπ' ὀφρύσι κυανέῃσιν
ἰάνθη· πᾶσιν δὲ νεμεσσηθεῖσα μετηύδα·
"νήπιοι, οἳ Ζηνὶ μενεαίνομεν ἀφραδέοντες.

83 (μεμ.–) suppl. in sch[h94] Φ 126 (v.86.26 E.) **84** (ὁμηγ.) H. (Cyr.) ο 698 **85** (–δόμωι) Arn ad Φ 2d **86** (ἀνή.) H. (Cyr.) α 5038, cf. 5558; **86**b sch A 584c; (ἐδεικ.) H. (Cyr.) ε 425, 473 **87–8** (–δέπας) ApD Synt. 55.9; **87**a ib. 53.5; **87**b–**8** (–δέπας) [Plut.] Hom. 2.13.2; Lesb. Fig. 9; Epm. λ 39; **87**b sch Pind. Ol. 10.28c; Hdn ii.646.6; Choer. in Thd. i.197.20; (Θέμ.) H. (Cyr.) θ 245; **88** (–δέπας) Epm. ε 104 **93** (οἶσθα–)–**4**a Nic ad O 97a; **94**a (al.) Olymp. in Phd. 57.6 N.; (ὑπερφ.) H. υ 487 **96** (–ἀκ.) ApS 111.29; **96**a Phot. Lex. μ 306 **97** (πιφ.) H. π 2399 **99** (εὔφρ.) ApS 79.30; H. (Cyr.) ε 7283? **101** (ἣ δ'–)–**3** (ἰάνθη) Paus. Att. σ 5; **102** (οὐδὲ–)–**3** (ἰάνθη) sch Ar. Lys. 7; **103** (ἰάνθη) H. (Cyr.) ι 56; Phot. Lex. ι 7 **104–9** [Plut.] Hom.

84 ὁμηγερέεσσι 60 Ω*: -γυρ- W **86** δεικανόωντο t* Ω*: δικ- Z: ἐδεικ- 60 (εδιεκ-) Hsch. B[m] C: δηκ- Wack. KS 1522 (v. ad Δ 4) δέπασσι(ν) Ar 60 t Ω (-πάεσσιν D R G, -πεσσιν W): ἐπέεσσιν (= σ 111, ω 410) Zen κάλεόν τέ μιν εἰς ἓ ἕκαστος (= Ψ 203) quidam ante Ar **88** ἐναντίη 60 Ω: -ίον P: -ίος rr.—cf. ad Z 394 θέουσα (= Z 394) 60 Ω*: φέρουσα "ἄμεινον" sch[bT] F[c] rr **91** σε φόβησε A T W πάϊς rr: παῖς Ω **92** θεὰ λευκώλενος 60 Ω*: βοῶπις πότνια A[γρ] *h* R.—cf. ad 78 **94** ἐκείνου (nov. Did) 60 t Ω (cf. Λ 653): κείνου Ar.—cf. ad Σ 262; ο 212 **96** ταῦτα δὲ 60 t* Ω: ἐνθάδε Phot. **97** οὐδέ τι Ω (τε R): οὐδ' ἔτι Barnes **99** ἔϋφρων (sic) A: δαίνυτ' ἐΰφρων La Roche **101** ὄχθησαν 60 Ω*: ὤχθ- D B[c] C R.—cf. ad A 570 δὲ γέλασσε Z (-σσαν) A E F R W **103** μετηύδα 60 Ω*: προσ- C T G **104** μενεαίνομεν 60 tt

105 ἦ ἔτι μιν μέμαμεν καταπαυσέμεν ἄσσον ἰόντες
ἢ ἔπει ἠὲ βίηι; ὃ δ' ἀφήμενος οὐκ ἀλεγίζει
οὐδ' ὄθεται· φῆσιν γὰρ ἐν ἀθανάτοισι θεοῖσιν
κάρτεΐ τε σθένεΐ τε διακριδὸν εἶναι ἄριστος.
τὼ ἔχεθ', ὅττί κεν ὔμμι κακὸν πέμπηισιν ἑκάστωι.
110 ἤδη γὰρ νῦν ἔλπομ' Ἄρηΐ γε πῆμα τετύχθαι·
υἱὸς γάρ οἱ ὄλωλε μάχηι ἔνι, φίλτατος ἀνδρῶν,
Ἀσκάλαφος, τόν φησιν ὃν ἔμμεναι ὄβριμος Ἄρης."
ὣς ἔφατ', αὐτὰρ Ἄρης θαλερὼ πεπλήγετο μηρώ
χερσὶ καταπρηνέσσ', ὀλοφυρόμενος δ' ἔπος ηὔδα·
115 "μὴ νῦν μοι νεμεσήσετ', Ὀλύμπια δώματ' ἔχοντες,
τείσασθαι φόνον υἷος ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν,
εἴ πέρ μοι καὶ μοῖρα Διὸς πληγέντι κεραυνῶι
κεῖσθαι ὁμοῦ νεκύεσσι μεθ' αἵματι καὶ κονίηισιν."
ὣς φάτο, καί ῥ' ἵππους κέλετο Δεῖμόν τε Φόβον τε
120 ζευγνύμεν· αὐτὸς δ' ἔντε' ἐδύσετο παμφανόωντα.
ἔνθά κ' ἔτι μέζων τε καὶ ἀργαλεώτερος ἄλλος
πὰρ Διὸς ἀθανάτοισι χόλος καὶ μῆνις ἐτύχθη,
εἰ μὴ Ἀθήνη πᾶσι περιδδείσασα θεοῖσιν
ὦρτο διὲκ προθύρου, λίπε δὲ θρόνον ἔνθα θάασσεν,

2.153.1; **104** Hclt. Alleg. 2.1; (–μεν.) sch^{D} Π 491; **106b–7** (–ὄθ.) Synes. Insomn. 3 (Opusc. 148.12 T.); **106b** sch A 498; EtG α 1464; (ἀφήμ.) ApS 49.5; H. α 8639; **107** (ὄθ.) H. (Cyr.) ο 143; **108** Eudoc. 393; **109** Plut. Mor. 1056b (Chrysipp. SVF ii.292.6) **110** H. η 114 **111** (–ἔνι) Hdn ad O 142b **115** ApS 117.3 **117–8a** Porph. Il. 105.7 Schr. **119–20** (ζευγ.) sch Hes. Th. 934c; (καί ῥ'–ζευγ.) Arn ad N 299ab; **120** (αὐτὸς–) Choer. in Ps. 37.14 **122** Porph. Hom. 82.9 Sod. **123** (περιδ.) H. π 1621

sch^{D} Ω: ἐριδαίν- quidam ap. sch^{T} ἀφραδέοντες (cf. I 32, η 294) A^{s} *b*: ἀφρονέοντες 60 t* Z Ω*: -οντι "κατ' ἔνια τῶν ὑπομνημάτων": ἰσοφαρίζειν Hclt. **105** ἦ Hdn A *b* F T: ἢ Ω*, η 60: ἠδ' Bothe ἄσσον (Hdn) A: ἆ- Ω* **106** ἀφήμενος 60 tt* sch^{D} Ω: -ειμένος Synes. **107** φῆσιν Bekker Hom. Bl. I 87 (cf. ad B 350): φησὶ(ν) Ω **108** κάρτεΐ sic Z Ω (κρά- F) **109** τὼ Ludwich: τῶ(ι) Z Ω ὅττί sic A G ὔμμι F^{a} T R W G: ἄμμι ἢ ὔμμι Eust. **114** καταπρηνέσσ' fere Ω*, -νέσι Z: -νὲς 60 D T δ' ἔπος ηὔδα Ar 'omnes' Didymi A F W (cf. M 163, al.): δὲ προσηύδα (nov. Did) 60 Ω* (cf. Call. Hymn. 4.239; Rengakos 122 sq.): δ' ἐπηύδα T^{γρ}.—cf. ad 398; v.l. ead. ν 199, ο 62 **115** νῦν Ω: νύν Cobet Misc. crit. 393 **116** τείσασθαι Fick: τίσ- 60 Ω (-σεσθαι A^{s}) **117** πληγέντι t Ω: -ντα r **119** κέλετο 60 (καιλ-) t Ω* (κέλλ- R): κέκλ- D W **120** ἐδύσετο A^{s} D F^{c} W (-σσ-) G: -ατο 60 Ω*: (ἔντεα) δύσετο *h* **121** ἔνθά sic A C E F^{a} W κ' ἔτι Ω*: κέ τι B^{c} F^{c} W, καί τι R: κέ τις D G μέζων Blass: μεί- 60 Ω **122** ἀθανάτοισι 60 Ω: αἰγιόχοιο t **123** περιδδείσασα (nov. Did) Ω* W^{s}: περιδεί- Ar^{ab} t Z W **124** δι' ἐκ fere Ω

125 τοῦ δ' ἀπὸ μὲν κεφαλῆς κόρυθ' εἵλετο καὶ σάκος ὤμων,
ἔγχος δ' ἔστησε στιβαρῆς ἐκ χειρὸς ἑλοῦσα
χάλκεον. ἣ δ' ἐπέεσσι καθάπτετο θοῦρον Ἄρηα·
"μαινόμενε, φρένας ἠλέ, διέφθορας. ἦ νύ τοι αὔτως
οὔατ' ἀκουέμεν ἐστί, νόος δ' ἀπόλωλε καὶ αἰδώς.
130 οὐκ ἀΐεις, ἅ τέ φησι θεὰ λευκώλενος Ἥρη,
ἣ δὴ νῦν πὰρ Ζηνὸς Ὀλυμπίου εἰλήλουθεν;
ἦ ἐθέλεις αὐτὸς μὲν ἀναπλήσας κακὰ πολλά
ἂψ ἴμεν Οὔλυμπόνδε καὶ ἀχνύμενός περ ἀνάγκηι,
αὐτὰρ τοῖς ἄλλοισι κακὸν μέγα πᾶσι φυτεῦσαι;
135 αὐτίκα γὰρ Τρῶας μὲν ὑπερθύμους καὶ Ἀχαιούς
λείψει, ὃ δ' ἡμέας εἶσι κυδοιμήσων ἐς Ὄλυμπον,
μάρψει δ' ἑξείης ὅς τ' αἴτιος ὅς τε καὶ οὐκί.
τώ σ' αὖ νῦν κέλομαι μεθέμεν χόλον υἷος ἑῆος·
ἤδη γάρ τις τοῦ γε βίην καὶ χεῖρας ἀμείνων
140 ἢ πέφατ' ἢ καὶ ἔπειτα πεφήσεται. ἀργαλέον δέ
πάντων ἀνθρώπων ῥῦσθαι γενεήν τε τόκον τε."
ὣς εἰποῦσ' ἵδρυσε θρόνωι ἔνι θοῦρον Ἄρηα.
Ἥρη δ' Ἀπόλλωνα καλέσσατο δώματος ἐκτός
Ἶρίν θ', ἥ τε θεοῖσι μετάγγελος ἀθανάτοισιν,
145 καί σφεας φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
"Ζεὺς σφὼ εἰς Ἴδην κέλετ' ἐλθέμεν ὅττι τάχιστα·

128 (–διέφθ.) EtG α 509; **128**a ApS 83.19; Hdn ii.250.15; Porph. Il. 242.4 Schr.; Aristid. Quint. 3.25 p.129.20 W.-I.; Epm. χ 32; (φρ.–διέφθ.) [Ammon.] Diff. 134; (ἦ νύ–)–**129** Porph. ad O 128b[1]; **129** w5 **130** sch O 107 **131** (εἰλ.) H. (Cyr.) ε 880 **136** (λ., κυδ.) + **137** Philod. π. εὐσ. p.96 Sch.; **137** Luc. Dial. 21.44; (μάρψει δ') H. μ 328 **138** (υἷος ἑῆος) Arn ad Ω 528a[1]; Hdn i.409.17 **140** (–πεφήσ.) Epm. ε 179; (ἢ πέφ.) H. (Cyr.) η 683 **141** Hdn ad M 286b, Ω 1a; Eudoc. 134, 196 **146**a sch E 219a; Epm. ν 45

125 κεφαλῆς Ω: κρατος 60 (cf. Z 472, Π 793) **126** ἔστησεν D C G ἐκ 60 A^{s} Ω* (cf. I 344, Π 58 = Σ 445): ἀπὸ A (ex N 505?) **127** ἣ δ' (vel ἡ δ') Ar Hdn Ω*: ἠδ' (agn. Hdn) A^{a} D, ἠδ' W.—cf. ad E 66, 736 καθάπτετο 60 Z Ω: -ήπτ- T^{s} P **128** μαινόμε–νε 60 tt* Ω: δαιμόνιε EtG ἠ Z A, ἤ E F^{a} W, ἦ T$^{\lambda}$: ἢ Ω* **132** ἦ ἐθέλεις A B^{a} E F^{a}: ἢ ἐθ- Ω* (ἠ' Fick): ἠὲ θ- T G πολλά Ω: ερ[γα 60 **134** κακὸν μέγα πᾶσι Arph 60 1323 (μετα 1323^{a}) Ω (πῆμα A$^{\gamma\rho}$ R): θεοῖς μέγα πῆμα Zen **138** τώ Ludwich: τῶ(ι) Ω ἑῆος Ar sch^{D} 60 1324 Ω (ἐ- D T G): ἑοῖο Zen H^{c}.—cf. ad A 393 **139** τοῦ γε Ar 60 Ω*: τοῦ–δε Zen Arph D C F W G **140** πεφήσεται 60 h83 t Z Ω: -φάσ- W^{2m}, -φάσσ- rr: -φείσ- Wack. KS 590.—cf. ad N 829 **141** ἀνθρώπων 60 tt sch^{bT} Ω: ἀθανάτων van Leeuwen cl. Π 449 ῥῦσθαι Hdn Ω*: ῥύ- DThr$^{?}$ Z D B^{c} W G **142** ιδρυνε 60 ἔνι Hdn Ω*: ἐνὶ quidam ap. sch^{T} D T **144** μετ' ἄγγελος Hdn A C F^{c} T R G.—cf. ad Ψ 199 **146** σφὼ Hdn tt Ω*, σφω 60: σφῶϊ Z, σφῶ' R G, σφῶ D, σφῶι Fick.—cf. Chantr. I 266; Erbse Beitr. 396 sq.

αὐτὰρ ἐπὴν ἔλθητε Διός τ' εἰς ὦπα ἴδησθε,
ἔρδειν ὅττί κε κεῖνος ἐποτρύνηι καὶ ἀνώγηι."
ἣ μὲν ἄρ' ὣς εἰποῦσα πάλιν κίε πότνια Ἥρη,
150 ἕζετο δ' εἰνὶ θρόνωι· τὼ δ' ἀΐξαντε πετέσθην.
Ἴδην δ' ἵκανον πολυπίδακα, μητέρα θηρῶν,
ηὗρον δ' εὐρύοπα Κρονίδην ἀνὰ Γαργάρωι ἄκρωι
ἥμενον· ἀμφὶ δέ μιν θυόεν νέφος ἐστεφάνωτο.
τὼ δὲ πάροιθ' ἐλθόντε Διὸς νεφεληγερέταο
155 στήτην· οὐδέ σφωϊν ἰδὼν ἐχολώσατο θυμῶι,
ὅττί οἱ ὦκ' ἐπέεσσι φίλης ἀλόχοιο πιθέσθην.
Ἶριν δὲ προτέρην ἔπεα πτερόεντα προσηύδα·
"βάσκ' ἴθι, Ἶρι ταχεῖα, Ποσειδάωνι ἄνακτι
πάντα τάδ' ἀγγεῖλαι, μηδὲ ψευδάγγελος εἶναι.
160 παυσάμενόν μιν ἄνωχθι μάχης ἠδὲ πτολέμοιο
ἔρχεσθαι μετὰ φῦλα θεῶν, ἤ' εἰς ἅλα δῖαν.
εἰ δέ μοι οὐκ ἐπέεσσ' ἐπιπείσεται, ἀλλ' ἀλογήσει,
φραζέσθω δήπειτα κατὰ φρένα καὶ κατὰ θυμόν,
μή μ' οὐδὲ κρατερός περ ἐὼν ἐπιόντα ταλάσσηι
165 μεῖναι, ἐπεί ἑό φημι βίηι πολὺ φέρτερος εἶναι
καὶ γενεῆι πρότερος. τοῦ δ' οὐκ ὄθεται φίλον ἦτορ
ἶσον ἐμοὶ φάσθαι, τόν τε στυγέουσι καὶ ἄλλοι."
ὣς ἔφατ', οὐδ' ἀπίθησε ποδήνεμος ὠκέα Ἶρις,
βῆ δὲ κατ' Ἰδαίων ὀρέων εἰς Ἴλιον ἱρήν.

148 cf. Eudoc. 1898 **153** (θυόεν ν.) ApD Adv. 189.14; H. (Cyr.) θ 913–14; Epm. δ 72 **155** (ἐχολ.) H. (Cyr.) ε 7656 **159** (ψευδ.) H. ψ 118 **161** sch O 58; (ἤ'–) sch O 15b **162** EtG α 523; (ἀλογ.) H. α 3210; Phot. Lex. α 1024 **164** (ταλ.) H. τ 69 **165** (ἐπεί–φέρτ.) Hdn i.557.13 **166**a Arn ad O 204a; (πρότ.) H. (Cyr.) γ 327; (οὐκ ὄθ.) id. ο 1718 **167**b sch A.R. 2.627–8

147–8 ath. Arph Ar: def. sch^{bT} **147** τ' Ω*: δ' G **148** ὅττί sic A B E F W ἐποτρύνηι καὶ ἀνώγηι Ω*: -ει ... -ει D R W G **150** εἰνὶ θρόνωι 60 Ω: cf. ad Θ 199 **151** ἵκανον Ω: ικεσθην 60.—cf. ad Ξ 283 **152** ηὗρον Fick: εὗ- 60 Ω **155** ουδε τ̣ι̣ μιν προσεφωνεον ουδ ερεοντο (ex A 332) 60 σφωϊν Hdn Ω (σφῶϊν Z D^{c} F T W G): σφωε (Heyne) V rr (cf. Chantr. I 266): οὐδ' ἄρα τώ γε habes A 330 θυμῶι Ω*: -όν D O **156** οττι ρ]α οι 1325 ὅττί sic A F W **159** τάδ' ἀγγεῖλαι Hdn (ne ἄγγ-) 9 60 1325 Z Ω: δ' ἀπαγγ- A$^{\lambda}$ **161** ἔρχεσθαι 9 60 t Ω*: -εσθ' ἢ A$^{\gamma\rho}$ R.—cf. ad 177 ἤ' Fick: η 9, ἢ Ω **162** μοι Hdn 9 60 t Ω: μου Ammon ἀλογήσει 9 Z^{a} Ω: -ση Z N **163** δ' ἤπειτα fere 9 60 Ω: δ' ἔπ-, δὴ ἔπ- rr **164** ταλάσση(ι) 9 631^{c} 632 t Z Ω (cf. N 829): θελήσηι quidam ap. sch^{T}: θαλλε- 631^{a} **165** ἑό Leaf, εο 9 Z, ἕο fere Ω*: εὑ vel εὕ Hdn 60 A F^{a}, εὗ F^{c} W **166–7** ath. Ar tamquam ex 182 sq. illatos: def. sch^{T} **167** (et 183) damn. Doederlein **169** δὲ κατ' Ar 9 60 631 Ω: δ' ἐξ Zen.—cf. ad 79 εἰς Ἴλιον ἱρήν 9 632 Ω: ες φυλοπιν αινην 60

170 ὡς δ' ὅτ' ἂν ἐκ νεφέων πτῆται νιφὰς ἠὲ χάλαζα
ψυχρὴ ὑπὸ ῥιπῆς αἰθρηγενέος Βορέαο,
ὣς κραιπνῶς μεμαυῖα διέπτατο ὠκέα Ἶρις.
ἀγχοῦ δ' ἱσταμένη προσέφη κλυτὸν Ἐννοσίγαιον·
"ἀγγελίην τινά τοι, γαιήοχε Κυανοχαῖτα,
175 ἦλθον δεῦρο φέρουσα παραὶ Διὸς αἰγιόχοιο.
παυσάμενόν σ' ἐκέλευε μάχης ἠδὲ πτολέμοιο
ἔρχεσθαι μετὰ φῦλα θεῶν, ἠ' εἰς ἅλα δῖαν.
εἰ δέ οἱ οὐκ ἐπέεσσ' ἐπιπείσεαι, ἀλλ' ἀλογήσεις,
ἠπείλει καὶ κεῖνος ἐναντίβιον πτολεμίξων
180 ἐνθάδ' ἐλεύσεσθαι· σὲ δ' ὑπεξαλέασθαι ἀνώγει
χεῖρας, ἐπεί σεό φησι βίηι πολὺ φέρτερος εἶναι
καὶ γενεῆι πρότερος. σὸν δ' οὐκ ὄθεται φίλον ἦτορ
ἶσόν οἱ φάσθαι, τόν τε στυγέουσι καὶ ἄλλοι."
τὴν δὲ μέγ' ὀχθήσας προσέφη κλυτὸς Ἐννοσίγαιος·
185 "ὢ πόποι, ἦ ῥ' ἀγαθός περ ἐὼν ὑπέροπλον ἔειπεν,
εἴ μ' ὁμότιμον ἐόντα βίηι ἀέκοντα καθέξει.
τρεῖς γάρ τ' ἐκ Κρόνου εἰμὲν ἀδελφεοί, οὓς τέκετο Ῥέα,
Ζεὺς καὶ ἐγώ, τρίτατος δ' Ἀΐδης ἐνέροισιν ἀνάσσων.
τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ' ἔμμορε τιμῆς·

170 (πτ.) H. π 4225; Phot. Lex. s.v.; (νιφάς) H. ν 593 **171**b sch A 477b; sch Arat. 424 **174–5** ApS 7.10; **174** (–γαι.) sch A 366b **179–80**a sch^{D} Θ 150; **180** (ὑπεξ.) H. υ 319 **182**b sch O 166–7b **185** Syr. in Metaph. CAG vi(1).170.27; Eudoc. 1910; (ὑπέρ.) H. υ 447; Phot. Lex. s.v. **187–91** w10; **187–9** [Plut.] Hom. 2.97.2; Sext. Math. 9.182; **187–8** (–'Αΐδ.) Procl. in Crat. 50.11; **187** (–ἀδελφ.) ib. 83.18; (οὓς–) Syr. in Hermog. i.48.19; **187**a + **192** (–οὐρ.) + **195** Herm. in Pl. Phdr. 138.1 C.; **188** (ἐνέρ.) H. (Cyr.) ε 2936; **189–93** Anon. in Stob. 1.21.4; **189** Plut. Pomp. 53.10; [Plut.] Hom. 2.145.7; Max. Tyr. 40.6; Hipp. Ref. 5.8.3, 20.8; w25 fr. 9.10? (lacerum); **189**a + **190** (ἔλ.–) + **191** ('Αΐδ.–) +

171 ὑπὸ 9 W^{c}: ὑπαὶ 60 Z Ω*: υπε[631.—cf. ad M 462, Ξ 414 ρριπῆς W **176** σ' ἐκέλευε N rr, σε κέλευε 60 A^{γρ} F T, ε]υε 632: σ' ἐκέλευσε D G, σε κέλευσε 9 R W: σε κέλεται A *b*.—cf. ad B 28 **177** ἔρχεσθαι 9 60 631 Ω*: -εσθ' ἢ R.—cf. ad 161 ἠ' Fick: η 9, ἢ Ω **179** καὶ κεῖνος Zen Ar 9 Ω*: κἀκ- 60 631 t D T R G πτολεμίξων t^{vl} A D R G^{c}, πολεμίξων Ar T,]ξων 500: πολεμίζων Zen 9 60 t^{vl} F W, πτολεμίζων *b* G^{a}: πτολεμι̣[632.—cf. ad K 451, Φ 477 **180** ἀνώγει 9 60 500 Ω*: ἄνωγε D (ex -γα) R **181** ἐπεί σεό Hdn (cf. 165): ἐπεὶ σέο Ω βιηφι 9 **183** οἱ Ω: εμοι (ex 167) 9 60 V **185** ὢ A D B^{a} F^{a} T G: ὣ Ω*.—v. Praef. xxii **186** ἀέκοντα A **187** τ' ἐκ Ar (καὶ πολλοὶ τῶν ἀπὸ τῆς σχολῆς) tt* Ω*: τε (nov. Did) 9 60 w10 [Plut.] Sext.^{vl} R G^{γρ}: ἐκ D εἰμὲν 9 60 632 tt* Ω, ἐσμὲν Herm., ενμεν w10: ἦμεν [Plut.]^{vl} Sext. τέκετο Ῥέα Hdn 9 60 632 w10 tt* Ω* (τέτοκε G): τέκε Ῥέα [Plut.]^{vl} F V: τέκε Ῥεία [Plut.]^{vl} rr: τέκε Ῥείη (= Hymn. Hom. 21.1) Sext.^{vl} r.—cf. ad Ξ 203 **188** καὶ ἐγὼ 9 60 tt* Ω: καγω w10 ἀνάσσων 9 60 tt* Ω: -σσει w10 **189** πάντα 9 tt Ω: πάντ' ἃ Stesimbrotus Crates

190 ἤτοι ἐγὼν ἔλαχον πολιὴν ἅλα ναιέμεν αἰεί
παλλομένων, Ἀΐδης δ' ἔλαχε ζόφον ἠερόεντα,
Ζεὺς δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσιν.
γαῖα δ' ἔτι ξυνὴ πάντων καὶ μακρὸς Ὄλυμπος·
τώ ῥα καὶ οὔ τι Διὸς βέομαι φρεσίν, ἀλλὰ ἕκηλος
195 καὶ κρατερός περ ἐὼν μενέτω τριτάτηι ἐνὶ μοίρηι.
χερσὶ δὲ μή τί με πάγχυ κακὸν ὣς δειδισσέσθω·
θυγατέρεσσιν γάρ τε καὶ υἱάσι κέρδιον εἴη
ἐκπάγλοις ἐπέεσσιν ἐνισσέμεν, οὓς τέκεν αὐτός,
οἵ ἑθεν ὀτρύνοντος ἀκούσονται καὶ ἀνάγκηι."
200 τὸν δ' ἠμείβετ' ἔπειτα ποδήνεμος ὠκέα Ἶρις·
"οὕτω γὰρ δή τοι, γαιήοχε Κυανοχαῖτα,
τόνδε φέρω Διὶ μῦθον ἀπηνέα τε κρατερόν τε,
ἦ τι μεταστρέψεις; στρεπταὶ μέν τε φρένες ἐσθλῶν.
οἶσθ' ὡς πρεσβυτέροισιν Ἐρινύες αἰὲν ἕπονται."

192 (Ζεὺς δ' οὐρ.) Max. Tyr. 26.7; **189a** ApS 155.9; Porph. Od. 54.1 Schr.; [Iambl.] Theol. Arithm. 19.12 de F.; Procl. in Crat. 83.26; Lyd. Mens. 2.8; David in Porph. Isag. CAG xviii(2).157.12; Elias in eand. CAG xviii(1).69.24; [Elias] in eand. 9.8; **190–3** Hclt. Alleg. 41.4; **190** + **193** (–πάντων) alludit Nicarchus A.P. 11.328.3/11; **190** (–ἅλα) + **192a** + **191** ('Αΐδ.–) Procl. in Tim. i.136.26; **190** ib. 141.27; **190b** + **192b** + **191** (ζ. ἠερ.) Philod. π. εὐσ. p.92 Sch.; **190** (π. ἅλα) EtG s. v. πολιόν τε σίδηρον; **191** (παλλ.) H. (Cyr.) π 249, [259]; (ζ. ἠερ.) [Plut.] Hom. 2.97.3; H. ζ 182; (ζ.) Apio 239.19; **192** [Arist.] De mundo 400a19; [Plut.] Hom. 2.96.2; sch^D Π 365; [Iustin.] Cohort. ad Gr. 5; Porph. Il. 215.3 Schr.; Procl. in Tim. i.272.24; Olymp. in Meteor. CAG xii(2).46.33, 67.12; Philop. in Meteor. CAG xiv(1).54.28; (–αἰθ.) sch N 837b; (οὐρ.–) Olymp. in Meteor. CAG xii(2).3.18; **193** Arn in Υ 58; sch Ο 58, 189a^1, ε 244; Hclt. Alleg. 41.11; Donat. in Ter. Ad. 790; w25 fr. 14.1? (lacerum); (–πάντων) sch Ο 189c; Plut. Mor. 279a; Aristid. Or. 26.101 **194** (–φρ.) EtG β 96; (οὔ–βέ.) sch Χ 431c^3 **196** (μή–) sch Ο 204b **197** Epm. AO ii.331.11 **198** (–ἐνισσ.) Hdn i.446.18; (ἐνισσ.) H. (Cyr.) ε 3131, [3212] **199a** Hdn ad Α 114a, Γ 128a; sch Ο 258b^1 **201–3** Sext. Math. 1.276; Stob. 3.20.41; **201–3a** [D.H.] Ars 9.3; **201** 'Trypho ii' Trop. 20a (CQ 15.244); (οὕτω) + **202** Luc. Dial. 25.35; **203** w5 (lacerum); **203a** sch Ο 201–2; **203b** sch Ο 206b **204** (ὡς πρ. Ἐρ.) ibid.

191 ἔλαχε 9 60 632 tt Ω*: -χεν G **192** εὐρὺν Ar 9 60 tt Ω: αἰπὺν Zen (cf. ad Γ 364) νεφέλῃσι(ν) 9 60 tt* Ω: νεφέεσσιν Porph. **194** τώ rr: τῶ(ι) 9 Z Ω βέομαι 9 t Ω*, βαί- 60 h139$^{\beta6}$ Z D: βί- rr (cf. ad Π 852, Χ 431; Hymn. Ap. 528; Chantr. I 452 sq.).— locutio obscura **196** δειδισσέσθω t Z Ω: δειδιξ- 9 **197** τε 9 t Ω*: κε 60 V: om. C^a υἱάσι 9 60 632 t Ω: -έσι quidam ap. sch^T castigati κέρδιον "οἱ εἰκαιότεροι" 9 60 632 t Ω*: κάλλιον Arph (cf. ad Χ 103, 108): βέλτερον Ar Z R (cf. Σ 302): φίλτερον rr **199** οἵ ἑθεν Hdn A D^a F: οἳ ἕθεν (vel ἕ-) fere 9 Ω* **201** γὰρ δή τοι 9 60 tt* Ω: δὴ κέλεαι Sext. **203** ἦ τι Bekker, ἤ τι Ω (ἤ τί R), η τι 60 w5: η τε 9 **204** pro interrogativo accipi posse monet sch^{bT} πρεσβυτέροισιν 9 60 t Ω*: -τάτοισιν R ἐρινύες 1328 Z Ω*: ἐριννύ- 9 60 D C F^c G

205 τὴν δ' αὖτε προσέειπε Ποσειδάων ἐνοσίχθων·
"Ἶρι θεά, μάλα τοῦτο ἔπος κατὰ μοῖραν ἔειπες·
ἐσθλὸν καὶ τὸ τέτυκται, ὅτ' ἄγγελος αἴσιμα εἴδηι.
ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει,
ὁππότ' ἂν ἰσόμορον καὶ ὁμῆι πεπρωμένον αἴσηι
210 νεικείειν ἐθέλησι χολωτοῖσιν ἐπέεσσιν.
ἀλλ' ἤτοι νῦν μέν γε νεμεσσηθεὶς ὑποείξω,
ἄλλο δέ τοι ἐρέω, καὶ ἀπειλήσω τό γε θυμῶι·
αἴ κεν ἄνευ ἐμέθεν καὶ Ἀθηναίης ἀγελείης
{Ἥρης Ἑρμείω τε καὶ Ἡφαίστοιο ἄνακτος}
215 Ἰλίου αἰπεινῆς πεφιδήσεται, οὐδ' ἐθελήσει
ἐκπέρσαι, δοῦναι δὲ μέγα κράτος Ἀργείοισιν,
ἴστω τοῦθ', ὅτι νῶϊν ἀνήκεστος χόλος ἔσται."
ὣς εἰπὼν λίπε λαὸν Ἀχαιϊκὸν Ἐννοσίγαιος,
δῦνε δὲ πόντον ἰών· πόθεσαν δ' ἥρωες Ἀχαιοί.
220 καὶ τότ' Ἀπόλλωνα προσέφη νεφεληγερέτα Ζεύς·
"ἔρχεο νῦν, φίλε Φοῖβε, μεθ' Ἕκτορα χαλκοκορυστήν·
ἤδη μὲν γάρ τοι γαιήοχος Ἐννοσίγαιος
οἴχεται εἰς ἅλα δῖαν, ἀλευάμενος χόλον αἰπύν
ἡμέτερον. μάλα γάρ κε μάχης ἐπύθοντο καὶ ἄλλοι,
225 οἵ περ ἐνέρτεροί εἰσι θεοί, Κρόνον ἀμφὶς ἐόντες.
ἀλλὰ τόδ' ἠμὲν ἐμοὶ πολὺ κέρδιον ἠδέ οἱ αὐτῶι
ἔπλετο, ὅττι πάροιθε νεμεσσηθεὶς ὑπόειξεν

207 resp. Pind. Pyth. 4.277; sch ad loc. (4.493); sch A.R. 1.650; Eudoc. 1376; **207a** sch B 24–5 **208–10** Porph. Il. 105.10 Schr.; **208–9** w1 i 15; **209a** Epm. ο 99 **211** Porph. Il. 204.15 Schr.; **211a** sch O 212b; **211b** Arn ad O 212a **213a** Epm. α 230, 286 **214** ib. α 104; **214a** Choer. in Thd. i.375.13 **217** ApS 35.10; sch Pind. Ol. 6.12d; Eudoc. 165; Epm. τ 72; **217a** Arn ad O 212a **219** (δῦνε) H. δ 2493 **223a** ApS 22.10 **224** (μάλα–)–**5** sch^{D} A 399; **225** Hdn ii.951.5; EtG α 727; Epm. α 293 **226–7** (ἔπλ.) ApD Pron. 43.14, Synt. 200.1; **226** Hdn ad E 64a

206 ath. Zen κατὰ μοῖραν 9 60 1328 Ω: νημερτὲς (ex Γ 204) rr, agn. Eust. ἔειπες 9 60 1328 Ω: -ας O **207** εἴδηι (Tyr?) van Leeuwen, εἰδῆι Ar 9 60 tt Ω: εἴπηι Zen **211** ἦτοι 9 γε Ar D: κε (nov. Did) 9 tt Ω*, και 60 **212–17** ath. Ar **213** ἄνευ 9 60 tt Ω: ἄνευθ' Nauck (cf. E 185, Π 89) **214** post Ar damn. Heyne ut ex Υ 33–6 haustum Ἥρης 60 Ω (cf. 302, al.): Ἥρης θ' 9 B^{c} rr Ἑρμείω τε καὶ Ἡφαίστοιο 9 60 500 tt Ω: Ἡφαίστου τε καὶ Ἑρμείαο quidam ap. sch^{AT} (Did?) **218** Ἀχαϊκὸν 9 60 Ω*: -αϊκὸν D F R **223** ἀλευάμενος 9 60 Ω: -όμενος H.—cf. ad E 28 **224** κε 500 t sch^{D} F R G^{c}, και 60: τε Ω* **225** susp. van Leeuwen ἐνέρτεροί 60 Z A^{s} Ω*: νέρτ- tt* A A^{λ} *b* T^{gl} R G: alterutrum Ar, utrumque sch-A^{codd}: νέρτατοί (A) vel ἐνέρ- (T) Zen: ὑπέρτεροι Hdn^{cod}.—cf. ad E 898, Υ 57 **226** κέρδιον ApD^{Synt} 60 Ω*: κάλλιον tt* R (cf. ad 197) ἠδέ οἱ Ptol *b* T R W: ἠδὲ οἷ ApD Hdn Ω* (οἷ D).—cf. La Roche Unt. I 141

χεῖρας ἐμάς, ἐπεὶ οὔ κεν ἀνιδρωτεί γ' ἐτελέσθη.
ἀλλὰ σύ γ' ἐν χείρεσσι λάβ' αἰγίδα θυσανόεσσαν,
230 τῆι μάλ' ἐπισσείων φοβέειν ἥρωας Ἀχαιούς.
σοὶ δ' αὐτῶι μελέτω, Ἑκατηβόλε, φαίδιμος Ἕκτωρ·
τόφρα γὰρ οὖν οἱ ἔγειρε μένος μέγα, ὄφρ' ἂν Ἀχαιοί
φεύγοντες νῆάς τε καὶ Ἑλλήσποντον ἵκωνται.
κεῖθεν δ' αὐτὸς ἐγὼ φράσομαι ἔργόν τε ἔπος τε,
235 ὥς κε καὶ αὖτις Ἀχαιοὶ ἀναπνεύσωσι πόνοιο."
ὣς ἔφατ'· οὐδ' ἄρα πατρὸς ἀνηκούστησεν Ἀπόλλων,
βῆ δὲ κατ' Ἰδαίων ὀρέων, ἴρηκι ἐοικώς
ὠκέϊ φασσοφόνωι, ὅς τ' ὤκιστος πετεηνῶν.
ηὗρ' υἱὸν Πριάμοιο δαΐφρονος, Ἕκτορα δῖον,
240 ἥμενον, οὐδ' ἔτι κεῖτο, νέον δ' ἐσαγείρετο θυμόν,
ἀμφὶ ἓ γινώσκων ἑτάρους, ἀτὰρ ἆσθμα καὶ ἱδρώς
παύετ', ἐπεί μιν ἔγειρε Διὸς νόος αἰγιόχοιο.
ἀγχοῦ δ' ἱστάμενος προσέφη ἑκάεργος Ἀπόλλων·
"Ἕκτορ υἱὲ Πριάμοιο, τίη δὲ σὺ νόσφιν ἀπ' ἄλλων
245 ἧσ' ὀλιγηπελέων; ἦ πού τί σε κῆδος ἱκάνει;"
τὸν δ' ὀλιγοδρανέων προσέφη κορυθαιόλος Ἕκτωρ·
"τίς δὲ σύ ἐσσι, φέριστε, θεῶν, ὅς μ' εἴρεαι ἄντην;
οὐκ ἀΐεις, ὅ με νηυσὶν ἔπι πρυμνῆισιν Ἀχαιῶν

228 (ἀνιδρ.) sch O 226a; H. α 5176; (ἐτελ.) id. ε 6536 **229** sch[h46] Δ 167 (vii.285.16 E.) **230a** sch X 221 **231a** ApD Pron. 45.26, 116.4, Adv. 125.14, Synt. 190.3 **232** (ἔγ. μένος) cf. Arist. E.N. 1116b28 **234** Eudoc. 2264 **235a** Arn ad O 231 **236** (ἀνηκ.) H. (Cyr.) α 5049 **237–8a** Ael. N.A. 10.14; **238a** [Plut.] Hom. 2.86.2; (φασσ.) H. φ 218 **240b** Polyb. Soloec. 286.5 Nauck; (ἐσαγ.) H. (Cyr.) ε 1078 **241** (–ἑτ.) H. α 4005; Epm. α 293; (ἆσθμα) H. (Cyr.) α 7660 **244b** ApD Coni. 255.8, Synt. 440.4 **245a** cf. Arist. Metaph. 1009b30, De an. 404a30 (Democr. 68 A 101) **246a** ApS 60.17; (ὀλιγ.) ApS 120.5; H. ο 547 **248** (οὐκ ἀΐεις) H. (Cyr.) ο 1619

228 damn. Heyne ἀνιδρωτεί Barnes: -τί 60 tt Z Ω γε τελέσθη C **229** θυσανόεσσαν 60 Ω*: θυσσ- t A W **230** τῆι 60 Ω*: τὴν G[c] H[c] O **231–5** ath. Arph Ar **232** ὄφρ' (nov. Did) Z Ω*: τόφρ' Ar[ab] 60 D G (cf. Call. Hymn. 4.39 sq.) **234–5** damn. Düntzer **234** ἔργόν sic A G **235** κε t Ω*, και 60: τε A[s] *b* αὖθις C G **237** ἴρηκι *b* F[c] T G[a]?: ἱ- Z Ω*: ἰ- A **238** ὠκέϊ sic 1297 Ω **239** ηὗρ' Fick: εὗρ' 60 1297 Ω: εὗρε δ' r (cf. ad Λ 197) υἱὸν 60 1297 Ω: υἷα La Roche Unt. I 46 (cf. ad Δ 499) **240** οὐδέ τι 1297 D B[c] F[a] T ἐσαγείρετο Ar A R G: -ατο (nov. Did) 60 h139[ε198] tt Z Ω*.—cf. ad Φ 417 **241** ἀμφὶ ἓ Hdn Z Ω*: -ί ἑ D R W: -ιε (an -ὶς?) Chrysipp. (SVF iii.192.27) quasi ἀμφιγνοῶν interpretatus γινώσκων 60 1297 tt Ω: γιγν- Z ἆσθμα (Hdn) Ω*: ἁ- W.—cf. Wack. KS 1565 **244** υἱὲ Ω: ιε 60.—cf. ad H 47, Λ 200 **245** ἧσ' ὀλιγηπελέων Hdn 60 (-περεων) Ω: κεῖσ' ἀλλοφρονέων Aristot. (Democr.) u.v. ἦ Hdn Ω: ἤ N **246** κορυθαίολος C[c] N **248** ἔπι Wolf: ἐπὶ vel ἐπι Ω πρυμνῆισιν Bekker: proparox. Ω

οὓς ἑτάρους ὀλέκοντα βοὴν ἀγαθὸς βάλεν Αἴας
250 χερμαδίωι πρὸς στῆθος, ἔπαυσε δὲ θούριδος ἀλκῆς;
καὶ δὴ ἐγώ γ' ἐφάμην νέκυας καὶ δῶμ' Ἀΐδαο
ἤματι τῶιδ' ὄψεσθαι, ἐπεὶ φίλον ἄϊον ἦτορ."
τὸν δ' αὖτε προσέειπεν ἄναξ ἑκάεργος Ἀπόλλων·
"θάρσει νῦν· τοῖόν τοι ἀοσσητῆρα Κρονίων
255 ἐξ Ἴδης προέηκε παρεστάμεναι καὶ ἀμύνειν,
Φοῖβον Ἀπόλλωνα χρυσάορον, ὅς σε πάρος περ
ῥύομ', ὁμῶς αὐτόν τε καὶ αἰπεινὸν πτολίεθρον.
ἀλλ' ἄγε νῦν ἱππεῦσιν ἐπότρυνον πολέεσσιν
νηυσὶν ἔπι γλαφυρῆισιν ἐλαυνέμεν ὠκέας ἵππους·
260 αὐτὰρ ἐγὼ προπάροιθε κιὼν ἵπποισι κέλευθον
πᾶσαν λειανέω, τρέψω δ' ἥρωας Ἀχαιούς."
ὣς εἰπὼν ἔμπνευσε μένος μέγα ποιμένι λαῶν·
ὡς δ' ὅτε τις στατὸς ἵππος, ἀκοστήσας ἐπὶ φάτνηι,
δεσμὸν ἀπορρήξας θείηι πεδίοιο κροαίνων,
265 εἰωθὼς λούεσθαι ἐϋρρεῖος ποταμοῖο,
{κυδιόων, ὑψοῦ δὲ κάρη ἔχει, ἀμφὶ δὲ χαῖται
ὤμοις ἀΐσσονται· ὃ δ' ἀγλαΐηφι πεποιθώς,
ῥίμφά ἑ γοῦνα φέρει μετά τ' ἤθεα καὶ νομὸν ἵππων·}
ὣς Ἕκτωρ λαιψηρὰ πόδας καὶ γούνατ' ἐνώμα
270 ὀτρύνων ἱππῆας, ἐπεὶ θεοῦ ἔκλυεν αὐδήν.
οἱ δ' ὥς τ' ἠ' ἔλαφον κεραὸν ἠ' ἄγριον αἶγα

249b sch B 408b **252**b ApS 16.2; H. ε 4363; EtG α 279; (ἄϊον ἦ.) H. (Cyr.) α 2041 **254–6**a sch[h62] H 75 (ii.223.14 E.); **254** (τοῖόν–) sch O 490; (οσσητῆρα) H. ο 1437; **256–7** (ῥύ.) Prisc. Inst. 17.76; (χρυσ.) H. χ 773 **257** (αἰπ.) H. (Cyr.) α 2046 **260–1**a sch[bT] Π 370; **261** (λει.) H. (Cyr.) λ 510, [925]; EtG λ 190; **261**b sch O 593 **262** (al.) Plut. Mor. 452c; [Plut.] Hom. 2.127.2 **263** Eudoc. 850 **265** (εἰω.) sch O 263–4a **268**a Arn ad O 265a **269** cf. Eudoc. 849; (ὣς Ἕκ.) sch O 263–4a

249 ὀλέκοντα 60 Ω: στέλλοντα (ex Δ 294) V **251** ἐγώ γ' Bekker: ἔγωγ' Ω **252** ὄψεσθαι (nov. Did) 60 Ω: ἵξ- Ar (et -εῖσθαι quidam teste T) rr.—v.l. sim. ρ 448 **253** ἑκάεργος (= 243) 60 Ω*: Διὸς υἱὸς *b*.—cf. ad H 23 **254** νῦν Ω: νυν Cobet Misc. crit. 393 **255** παρεστάμεναι 60 t Ω*: παριστ- F T W.—cf. ad P 563 **256** περ t[vl] A[t] T W: γε 60 t[vl] A[s] Ω*.—cf. ad N 465 **259** om. D[a] ἔπι N: ἐπὶ vel ἐπι Ω **260** προπάροιθε κιὼν 60 sch[T]-Π Ω* (κιὼν om. R): -θεν ἰὼν sch[b]-Π *b*.—cf. ad Λ 284 **260–1** κελεύσω | ἐς μόθον διϊέναι C, ubi ἐς μῶλόνδ' ἰέναι ci. Christ: vera C[γρ] **263** φάτνηι t Ω: -ην rr.—cf. ad Z 507 **265–8** (= Z 508–11) ath. Ar, **266–8** om. Zen (cf. Nickau Unt. 118 sq.) **265** ἐϋ(ρ)ρεῖος 60 Ω (-ῆος R); v. ad Z 508 **268** ῥίμφά sic Ω praeter F **269** γούνατ' 60 t Ω: γυῖα quidam ap. sch[T] u.v. (ad 268 γοῦνα rettulit Leaf) **270** ὀτρύνων 60 1329 Ω: -νέων quidam ap. sch[T] (cf. ad N 209) **271** ἠ' bis Fick: ἤ Ω

ἐσσεύοντο κύνες τε καὶ ἀνέρες ἀγροιῶται·
τὸν μέν τ' ἠλίβατος πέτρη καὶ δάσκιος ὕλη
εἰρύσατ', οὐδ' ἄρα τέ σφι κιχήμεναι αἴσιμον ἦεν,
275 τῶν δέ θ' ὑπὸ ἰαχῆς ἐφάνη λὶς ἠϋγένειος
εἰς ὁδόν, αἶψα δὲ πάντας ἀπέτραπε καὶ μεμαῶτας·
ὣς Δαναοὶ εἵως μὲν ὁμιλαδὸν αἰὲν ἕποντο,
νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν,
αὐτὰρ ἐπεὶ ἴδον Ἕκτορ' ἐποιχόμενον στίχας ἀνδρῶν,
280 τάρβησαν, πᾶσιν δὲ παραὶ ποσὶ κάππεσε θυμός.
τοῖσι δ' ἔπειτ' ἀγόρευε Θόας Ἀνδραίμονος υἱός,
Αἰτωλῶν ὄχ' ἄριστος, ἐπιστάμενος μὲν ἄκοντι,
ἐσθλὸς δ' ἐν σταδίηι· ἀγορῆι δέ ἑ παῦροι Ἀχαιῶν
νίκων, ὁππότε κοῦροι ἐρίσσειαν περὶ μύθων·
285 ὅ σφιν ἔϋ φρονέων ἀγορήσατο καὶ μετέειπεν·
"ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι,
οἷον δὴ αὖτ' ἐξαῦτις ἀνέστη κῆρας ἀλύξας
Ἕκτωρ. ἦ θήν μιν μάλα ἔλπετο θυμὸς ἑκάστου
χερσὶν ὕπ' Αἴαντος θανέειν Τελαμωνιάδαο·
290 ἀλλά τις αὖτε θεῶν ἐρρύσατο καὶ ἐσάωσεν
{Ἕκτορ', ὃ δὴ πολλῶν Δαναῶν ὑπὸ γούνατ' ἔλυσεν,
ὡς καὶ νῦν ἔσσεσθαι ὀΐομαι· οὐ γὰρ ἄτερ γε
Ζηνὸς ἐριγδούπου πρόμος ἵσταται ὧδε μενοινῶν}.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες·

273 (–πέτρη) Hdn ad O 619a[1]; EtG s.v. ἠλίβατος; (ἠλίβ.) ApS 83.25; H. (Cyr.) ο 353; Phot. Lex. η 120; (άσκιος ὕ.) H. (Cyr.) α 7706 **275** (λὶς ἠϋγ.) sch Theoc. 13.6a **280** (τάρβ.) H. (Cyr.) τ 184; (πᾶσιν–) Epm. π 183 (Hdn ii.198.18); EtG s.v. κάππεσε; **280b** sch N 617b[1]; H. (Cyr.) π 525, cf. 521; Epm. π 89 **283b–4** (–ἐρίσσ.) sch H 167b; **284** (ὅτε–) sch I 443a **287** Eudoc. 1293, 2237 **288** (ἦ θήν μιν) H. (Cyr.) η 231 **292** (ἄτερ γε) id. α 8060 **293** (ἐριγδ.) ApS 76.8

272 ἐσσεύοντο (nov. Did) 60 Z Ω: -αντο Ar 'omnes' Didymi R[a].—cf. ad Λ 549; Chantr. I 385; Janko ad loc. **274** τέ Ω*: τί 1329 R W: δι 60: †τᾶι quidam ap. sch[T] **275** ὑπὸ 60 1329 Ω*: ὑπαὶ W N V λὶς Ω*: λῖς B[c] C[a] F R W.—cf. ad Λ 239, P 109, Σ 318 **276** ἀπέτραπε 60 Ω*: -τρεπε B E **277** εἵως (= P 730) Ar Nic 60 1329 Ω: τείως Zen **285** ὅ [1329] Ω*: ὅς R W ἔϋ A: εὖ Ω*: ἐϋ- B E F, εὐ- T **286** ὦ A D F[a] T G: ὢ Ω* **287** οἷον [1329] Ω: τοιον 60 δὴ Bekker (cf. N 633, P 587, Φ 57): δ' 60 1329 Ω: ὅδ' t ἐξαῦτις 1329 Ω*: -θις C **288** ἦ Hdn Ω*: ἣ D **289** ὕπ' van Leeuwen: ὑπ' Ω* θανέειν 60 Ω: θανέμεν r **290** καὶ ἐσάωσεν (cf. ξ 279[vl], χ 372) 60 Ω: καί ἑ σά- Gerhard: ἠδὲ σά- Bekker Hom. Bl. II 2 cl. K 44, κ 286 **291–3** uncis saepsit Fick: unum 291 susp. Leaf **292** ὡς Ω*: ὧς D[c] F **294** ἐγὼ Ω: εγων 60 (cf. ad Ξ 370): ἔγωγ' V

295 πληθὺν μὲν ποτὶ νῆας ἀνώξομεν ἀπονέεσθαι,
αὐτοὶ δ', ὅσσοι ἄριστοι ἐνὶ στρατῶι εὐχόμεθ' εἶναι,
στείομεν, εἴ κεν πρῶτον ἐρύξομεν ἀντιάσαντες,
δούρατ' ἀνασχόμενοι. τὸν δ' οἴω καὶ μεμαῶτα
θυμῶι δείσεσθαι Δαναῶν καταδῦναι ὅμιλον."
300 ὣς ἔφαθ'· οἳ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο.
οἳ μὲν ἄρ' ἀμφ' Αἴαντα καὶ Ἰδομενῆα ἄνακτα,
Τεῦκρον Μηριόνην τε Μέγην τ' ἀτάλαντον Ἄρηϊ
ὑσμίνην ἤρτυνον, ἀριστῆας καλέσαντες,
Ἕκτορι καὶ Τρώεσσιν ἐναντίον· αὐτὰρ ὀπίσσω
305 ἡ πληθὺς ἐπὶ νῆας Ἀχαιῶν ἀπονέοντο.
Τρῶες δὲ προύτυψαν ἀολλέες, ἦρχε δ' ἄρ' Ἕκτωρ
μακρὰ βιβάς· πρόσθεν δ' ἔκι' αὐτοῦ Φοῖβος Ἀπόλλων
εἱμένος ὤμοιιν νεφέλην, ἔχε δ' αἰγίδα θοῦριν,
δεινὴν ἀμφιδάσειαν ἀριπρεπέ', ἣν ἄρα χαλκεύς
310 Ἥφαιστος Διὶ δῶκε φορήμεναι ἐς φόβον ἀνδρῶν.
τὴν ἄρ' ὅ γ' ἐν χείρεσσιν ἔχων ἡγήσατο λαῶν·
Ἀργεῖοι δ' ὑπέμειναν ἀολλέες, ὦρτο δ' ἀϋτὴ
ὀξεῖ' ἀμφοτέρωθεν, ἀπὸ νευρῆφι δ' ὀϊστοί
θρῶισκον, πολλὰ δὲ δοῦρα θρασειάων ἀπὸ χειρῶν
315 ἄλλα μὲν ἐν χροῒ πήγνυτ' ἀρηϊθόων αἰζηῶν,
πολλὰ δὲ καὶ μεσσηγύ, πάρος χρόα λευκὸν ἐπαυρεῖν,
ἐν γαίηι ἵσταντο, λιλαιόμενα χροὸς ἆσαι.

295 Epm. α 73 **297** (στεί., ἀντ.) + **298**a Nic ad Ο 298; (στεί.) H. σ 1711 **302**b Choer. in Thd. i.158.16 **304** (αὐτὰρ–)–**5** Anon. Fig. iii.153.23 Sp.; **305** Hdn ad Δ 212a[1]; 'Hdn.' Fig. 5; [Plut.] Hom. 2.46; sch Pind. Ol. 6.122b, Pyth. 2.85b; sch Arat. 130; (ἡ πλ. ἀπον.) Did ad Ρ 392a, γ 304 **307** (πρόσθεν–)–**10** Porph. Il. 41.4 Schr.; **308** (–νεφ.) sch Ο 320b; Choer. in Thd. ii.48.13; EtG α 737; **309–10** (laceros) h140 i 9; **309** (ἀμφιδ.) Poll. 10.38; H. α 3976; (ἣν–)–**310**a sch Σ 131, γ 432; **310** (–φορ.) ApS 165.4

295 ποτὶ 60 1329 t Ω*: προτὶ *b* R ἀνώξομεν t Z Ω: ἀνάξ- 60 H^{s}: ἀνώγ- Wack. Unt. 145 n.2 **297** στείομεν 60 t Z Ω: στή- r^{a} εἴ 60 A^{γρ} A^{m} Ω*: ὥς A rr: fort. αἴ κεν 60 Ω*: κε F N ἀντιάσαντες 60 Ω*: -ντα R **301** Αἴαντα Ar 60 Ω*: -ντε Zen Arph A^{s} T G.—cf. ad Κ 53 **302** Μέγην Ar Hdn t Ω: Μεγῆν Ptol r **305** ἐπὶ 60 319 tt Z Ω: ποτὶ (ex 295) rr **306** προύτυψαν 60 Ω: προέ- r **307** βιβάς (nov. Did) 60 (-βα) Ω* G^{s}: βιβῶν Ar 'omnes' Didymi 93 319 A^{m} F R G: βοῶν Zen.—cf. ad Η 213 δ' ἔκι' A F W G: δὲ κί' Ω* **308** ὤμοιϊν 60 tt* Ω*: -οισι(ν) 93 319 Choer. A *b* R αἰγίδα 60 t Ω: ἀσπίδα Eust.^{γρ} H^{γρ}.—cf. ad 318, Φ 400 **310** Διὶ δῶκε 319 ApS Porph. Ω: Διι θηκε 60: ποίησεν (ex Υ 12) tt* **314** θρῶισκον (Hdn) A B^{a} E, θρώισκων W: θρῶσ–κον 60 93 Ω* **315** πήγνυτ' 60 93 Ω*: πῆχθεν (ex Θ 298) R G **316** λευκὸν 60 Ω*: καλὸν R: χαλκὸν rr.—cf. ad Λ 573

ὄφρα μὲν αἰγίδα χερσὶν ἔχ' ἀτρέμα Φοῖβος Ἀπόλλων,
τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο, πίπτε δὲ λαός·
320 αὐτὰρ ἐπεὶ κατ' ἐνῶπα ἰδὼν Δαναῶν ταχυπώλων
σεῖσ', ἐπὶ δ' αὐτὸς ἄϋσε μάλα μέγα, τοῖσι δὲ θυμόν
ἐν στήθεσσιν ἔθελξε, λάθοντο δὲ θούριδος ἀλκῆς.
οἳ δ' ὥς τ' ἠὲ βοῶν ἀγέλην ἢ πῶϋ μέγ' οἰῶν
θῆρε δύω κλονέωσι μελαίνης νυκτὸς ἀμολγῶι
325 ἐλθόντ' ἐξαπίνης σημάντορος οὐ παρεόντος,
ὣς ἐφόβηθεν Ἀχαιοὶ ἀνάλκιδες· ἐν γὰρ Ἀπόλλων
ἧκε φόβον, Τρωσὶν δὲ καὶ Ἕκτορι κῦδος ὄπαζεν.
ἔνθα δ' ἀνὴρ ἕλεν ἄνδρα κεδασθείσης ὑσμίνης.
Ἕκτωρ μὲν Στιχίον τε καὶ Ἀρκεσίλαον ἔπεφνεν,
330 τὸν μὲν Βοιωτῶν ἡγήτορα χαλκοχιτώνων,
τὸν δὲ Μενεσθῆος μεγαθύμου πιστὸν ἑταῖρον.
Αἰνείας δὲ Μέδοντα καὶ Ἴασον ἐξενάριξεν·
ἤτοι ὃ μὲν νόθος υἱὸς Ὀϊλῆος θείοιο
ἔσκε Μέδων, Αἴαντος ἀδελφεός, αὐτὰρ ἔναιεν
335 ἐν Φυλάκηι γαίης ἄπο πατρίδος, ἄνδρα κατακτάς,
γνωτὸν μητρυιῆς Ἐριώπιδος, ἣν ἔχ' Ὀϊλεύς·
Ἴασος αὖτ' ἀρχὸς μὲν Ἀθηναίων ἐτέτυκτο,
υἱὸς δὲ Σφήλοιο καλέσκετο Βουκολίδαο.
Μηκιστῆ δ' ἕλε Πουλυδάμας, Ἐχίον δὲ Πολίτης
340 πρώτηι ἐν ὑσμίνηι, Κλονίον δ' ἕλε δῖος Ἀγήνωρ.
Δηΐοχον δὲ Πάρις βάλε νείατον ὦμον ὄπισθεν
φεύγοντ' ἐν προμάχοισι, διάπρο δὲ χαλκὸν ἔλασσεν.

318–19 (–ἧπτ.) + **320** + **322** Porph. Il. 42.9 Schr.; **318** EtG α 1364 **320** (κατ' ἐν.) H. (Cyr.) κ 1642, cf. ε 3466 **321–2** Chrysipp. (SVF ii.253.26) ap. Gal. Plac. Hipp. et Plat. 3.2.14; **321** (ἐπὶ–μέγα) Did ad Ο 307a$^{2/3}$ **324** al. (νυκτὸς ἀμ.) Epm. θ 25 **325b** ApS 141.16; sch ρ 21; (σημ.) ApS 45.14 **337a** sch Ε 576 **339a** sch Δ 384c **340a** sch Ο 341a

318 αἰγίδα 60 EtG Ω: ἀσπίδα t* **319** ἀμφοτέρων 60 Ω: -οις t **320** κατ' ἐνῶπα Ar Hsch. D (-ώπα) T^{c} W, κατενῶπα Z A$^{\lambda}$ Ω*: κατένωπα Alexio 'plerique' (prob. Hdn) A^{a} G **322** λάθοντο δὲ θούριδος ἀλκῆς 60 Porph. Ω: φόβου δ' ἐμνήσαθ' ἕκαστος t* **324** κλονέωσι 60 1331 A B E F^{c} G: -ουσι 93 Ω* **330** χαλκοχιτώνων Ω* (cf. Δ 285 = Μ 354): καρτεροθύμων 60 (ex -μον) 1331 A^{vp} F (cf. Ξ 512) **333** Ὀϊλῆος Ar Ω: ὁ Ἰλ- Zen.—cf. ad Β 527 **335** ἄπο D^{c} B^{c} C F^{c} T R W G: ἀπο 1331, ἀπὸ vel ἄπο Ω*.—cf. ad Ν 696 **336** Ὀϊλεὺς Ar Ω: ὁ Ἰλ- Zen **338** hab. 435 1331 Ω: om. 223 **339** Μηκιστῆ Hdn 60 t Z Ω* (-έα La Roche Unt. I 148): -ὴν A^{m} O, -ῆν C^{c} F^{a}, nescio quid R^{a}: μήκιστον R^{s}.—cf. ad Δ 384; Chantr. I 34, 224 Ἐχίον 435 Ω: proparox. O V **341** Δηΐχολον Z **342** προμάχοισι 60 1331 [h84] Ω: πυμάτοισι quidam ap. sch^{bT} διάπρο dedi (Praef. xix): διὰ πρὸ vel διαπρὸ fere Ω

ὄφρ᾽ οἳ τοὺς ἐνάριζον ἄπ᾽ ἔντεα, τόφρα δ᾽ Ἀχαιοί
τάφρωι καὶ σκολόπεσσιν ἐνιπλήξαντες ὀρυκτῆι
345 ἔνθα καὶ ἔνθα φέβοντο, δύοντο δὲ τεῖχος ἀνάγκηι.
Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο μακρὸν ἀΰσας
νηυσὶν ἐπισσεύεσθαι, ἐᾶν δ᾽ ἔναρα βροτόεντα·
"ὃν δ᾽ ἂν ἐγὼν ἀπάνευθε νεῶν ἑτέρωθι νοήσω,
αὐτοῦ οἱ θάνατον μητίσομαι, οὐδέ νυ τόν γε
350 γνωτοί τε γνωταί τε πυρὸς λελάχωσι θανόντα,
ἀλλὰ κύνες ἐρύουσι πρὸ ἄστεος ἡμετέροιο."
ὣς εἰπὼν μάστιγι κατωμαδὸν ἤλασεν ἵππους,
κεκλόμενος Τρώεσσιν ἐπὶ στίχας· οἳ δὲ σὺν αὐτῶι
πάντες ὁμοκλήσαντες ἔχον ἐρυσάρματας ἵππους
355 ἠχῆι θεσπεσίηι· προπάροιθε δὲ Φοῖβος Ἀπόλλων
ῥεῖ᾽ ὄχθας καπέτοιο βαθείης ποσσὶν ἐρείπων
ἐς μέσσον κατέβαλλε, γεφύρωσεν δὲ κέλευθον
μακρὴν ἠδ᾽ εὐρεῖαν, ὅσον τ᾽ ἐπὶ δουρὸς ἐρωή
γίνεται, ὁππότ᾽ ἀνὴρ σθένεος πειρώμενος ἧισιν.
360 τῆι ῥ᾽ οἵ γε προχέοντο φαλαγγηδόν, πρὸ δ᾽ Ἀπόλλων
αἰγίδ᾽ ἔχων ἐρίτιμον· ἔρειπε δὲ τεῖχος Ἀχαιῶν
ῥεῖα μάλ᾽, ὡς ὅτε τις ψάμαθον πάϊς ἄγχι θαλάσσης,
ὅς τ᾽ ἐπεὶ οὖν ποιήσηι ἀθύρματα νηπιέηισιν,

344 (ἐνιπλ.) H. (Cyr.) ε 3120 **346–9** (–μητ.) Auct. π. ὕψ. 27.1; **346–8** [Plut.] Hom. 2.57.2; **347**a Nic ad O 346; (ἐᾶν δ᾽ ἔν.) sch Z 70; **348–9** (–μητ.) [Plut.] Hom. 2.197; **348**a Nic ad O 346; **349** (μητ.) Phot. Lex. μ 422; (οὐδέ νυ τόν) H. (Cyr.) ο 1567 **350**a ApS 55.12 **351**a sch B 391–3 **352**b EtG s.v. κατωμαδόν; (κατωμ.) ApS 96.25; H. (Cyr.) κ 1883 **354** Epm. δ 3 **356** sch Ξ 15a^{2}; Porph. Il. 173.21 Schr.; (καπ.) ApS 95.8; H. (Cyr.) κ 697 **357**b EtG s.v. γεφύρωσεν; (γεφ.) ApS 54.5; H. (Cyr.) γ 471 **358** al. (δουρὸς ἐρ.) id. δ 2275; (ἐρωή) Apio 237.23; H. (Cyr.) ε 6135; Orio 59.20 **360–2** + **363**b–**6**a Porph. Il. 171.33 Schr.; **360** (φαλ.) H. (Cyr.) φ 79; **361**b–**2** + **365–6**a Porph. Il. 173.24 Schr.; **362–4** id. (fr. 275 Sm.) ap. Stob. 3.21.28; **363** ApS 12.33;

343 ἄπ᾽ Bothe: ἀπ᾽ Z Ω **347** pro oratione obliqua acceperunt tt et plerique teste Nic (cf. Σ 343; Δ 303, Ψ 855): pro recta Zen alii (ἀΰσας· "νηυσὶν ...) ἐπισσεύεσθαι Ar (nisi -εσθε) Nic sch^{bTD} 60 tt Ω: -εσθον Zen **348** δ᾽ ἂν 60 tt Ω: δέ κ᾽ Brandreth.—cf. ad B 391 ἑτέρωθι 60 Ω* G^{γρ}: -ωσε (v.l. -ωθε) [Plut.]^{57}: ἐθέλοντα (ex B 391, Θ 10) 223 tt* W G **351** ἐρύουσι Hdn 60 (sine accentu) t Ω*: -οῦσι (Alexio) R: -σουσι M.—cf. ad Λ 454, X 67 **353** Τρώεσσιν ἐπὶ 60 Ω: -εσσι κατὰ *h* (cf. Λ 91) **354** ὁμοκλ- Ω ἔχον t Ω: εχοντ 60 **356** ποσσὶν Ar 9 60 tt Ω: χερσὶν Zen ἐρείπων 9 60 Porph. Ω* T^{s}: ἐρίπων A B^{a} E T (ἐριπὼν T^{c}): ἐρίπτων t* **357** κέλευθον 9 60 t* Ω: -ους EtG **358** ἐρωὴ 9 Ω*: -ηι 60, -ῆ A^{a} **359** damn. Menrad cl. Φ 251 γίνεται Ω: γίγν- 9 N ἧσι(ν) 60$^{?}$ B^{c} F R G^{a}: ἧισι Hdn A D B^{a} E: ἵησιν Z: ἥσει 9 T G^{c}, ἥσει C^{γρ}: εἶσι W, εἶσι C **361** ἐρίτιμον 9 60 t Ω*: πολύτ- D ἔρειπε 9 t Ω*: ερερειπε 60: ἔριπε A D F T **362** πάϊς 9 D T G: παῖς Ω* **363** ποιήση(ι) 9 60 tt Ω*: -σει D C F^{a} T

ἂψ αὖτις συνέχευε ποσὶν καὶ χερσὶν ἀθύρων·
365 ὥς ῥα σύ, ἤϊε Φοῖβε, πολὺν κάματον καὶ ὀϊζύν
σύγχεας Ἀργείων, αὐτοῖσι δὲ φύζαν ἐνῶρσας.
ὣς οἳ μὲν παρὰ νηυσὶν ἐρητύοντο μένοντες,
ἀλλήλοισί τε κεκλόμενοι καὶ πᾶσι θεοῖσιν
χεῖρας ἀνίσχοντες μεγάλ' ηὐχετόωντο ἕκαστος·
370 Νέστωρ αὖτε μάλιστα Γερήνιος, οὖρος Ἀχαιῶν,
ηὔχετο, χεῖρ' ὀρέγων εἰς οὐρανὸν ἀστερόεντα·
"Ζεῦ πάτερ, εἴ ποτέ τίς τοι ἐν Ἄργεΐ περ πολυπύρωι
ἢ βοὸς ἤ' ὄϊος κατὰ πίονα μηρία καίων
ηὔχετο νοστῆσαι, σὺ δ' ὑπέσχεο καὶ κατένευσας,
375 τῶν μνῆσαι καὶ ἄμυνον, Ὀλύμπιε, νηλεὲς ἦμαρ,
μηδ' οὕτω Τρώεσσιν ἔα δάμνασθαι Ἀχαιούς."
ὣς ἔφατ' εὐχόμενος, μέγα δ' ἔκτυπε μητίετα Ζεύς,
ἀράων ἀϊὼν Νηληϊάδαο γέροντος.
Τρῶες δ' ὡς ἐπύθοντο Διὸς κτύπον αἰγιόχοιο,
380 μάλλον ἐπ' Ἀργείοισι θόρον, μνήσαντο δὲ χάρμης.
οἳ δ' ὥς τε μέγα κῦμα θαλάσσης εὐρυπόροιο
νηὸς ὑπὲρ τοίχων καταβήσεται, ὀππότ' ἐπείγηι
ἲς ἀνέμου· ἣ γάρ τε μάλιστά γε κύματ' ὀφέλλει·
ὣς Τρῶες μεγάληι ἰαχῆι κατὰ τεῖχος ἔβαινον,
385 ἵππους δ' εἰσελάσαντες ἐπὶ πρύμνηισι μάχοντο
ἔγχεσιν ἀμφιγύοις αὐτοσχεδόν, οἳ μὲν ἀφ' ἵππων,

(νηπ.) H. ν 503; **364** (συνέχ.) id. σ 2571; (ἀθύρων) H. (Cyr.) α 1644; **365**a Orio 78.15; EtG s.v. ἤϊος; (ἤϊε Φ.) ApS 90.17; cf. Porph. Od. 130.6 Schr. **367**a ApS 118.12 **371** Eudoc. 451 **372** (πολυπ.) Varro R.R. 1.2.7 **374** al. (νοστ.) H. (Cyr.) ν 664 **377**b Epm. μ 83 **378** ib. α 306; **378**a H. α 7145; Choer. in Ps. 178.3; (ἀράων) H. (Cyr.) α 6996 **381**b (al.) sch Ω 8b; (εὐρυπ.) ApS 79.22; H. ε 7149 **385** sch Π 370 **386** (οἳ μὲν–)–7 sch O 258–9

365 ἤϊε Crates Hdn t Ω: ἠΐε 435, ηιε 9: ἤϊε Ar **366** φῦζαν 9 A[s] F[a] W **366*ab*** (= O 1–2, nisi quod Τρώων pro Δαναῶν) add. G[a], qui pergit οἱ μὲν δὴ (= Θ 345), haud male **367–80** damn. Lachmann 59, cf. Hentze Anhang 104; utique post inserti **367** ὣς οἳ μὲν 9 60 435 1333 t Ω praeter G[a] (v. ad 366*ab*) **369** ηὐχετ(άοντο) Fick: εὐχετόωντο 9 60 Ω **370** αὖτε Ω, ατε 60: δ' αὖτε 9 H.—cf. 659 **371** ηὔχετο Fick: εὔχ- 9 60 1333 t Ω **372** Ἄργεΐ (vel -εϊ) Ω: αργει 9 **373** ἤ' Fick: ἢ Ω, ἠ 9, η 500.1 ὄϊος Ω: οιος 9 500.1: οἰὸς quidam ap. sch[T] H.—cf. ad Γ 198 **374** ηὔχετο Fick: εὔχ- 9 60 1333 t Ω **377** ἔκτυπε Ar 9 60 500.1 t Ω: ἔκλυε Zen (quem τοῦ pro μέγα legisse et 378–80 omisisse ci. Düntzer) et V **378** ἀϊὼν Schulze Kl. Schr. 345, -ών D[uv]: ἀΐων 9 (αίων) Hsch.[cod] Z Ω*: om. t* **379** κτύπον 1 9 60 500.1 (κ ex ν) Ω O[γρ]: νόον O rr **380** μάλλον Blass: μᾶ- 9 Ω **382** ἐπείγη(ι) 1 9 60 (επι-) Ω*: -ει R V **384** ἔβαινον 1 9 Ω*: ἔβησαν 60 81 500.1 A[s] C[s] (ex N 737?) **384*a*** ηχ[ηι θεσπεσιηι (cf. 355) add. 439

οἱ δ' ἀπὸ νηῶν ὕψι μελαινάων ἐπιβάντες
μακροῖσι ξυστοῖσι, τά ῥά σφ' ἐπὶ νηυσὶν ἔκειτο
ναύμαχα κολλήεντα, κατὰ στόμα εἱμένα χαλκῶι.
390 Πάτροκλος δ', εἵως μὲν Ἀχαιοί τε Τρῶές τε
τείχεος ἀμφεμάχοντο θοάων ἔκτοθι νηῶν,
τόφρ' ὅ γ' ἐνὶ κλισίηι ἀγαπήνορος Εὐρυπύλοιο
ἧστό τε καὶ τὸν ἔτερπε λόγοις, ἐπὶ δ' ἕλκεϊ λυγρῶι
φάρμακ' ἀκέσματ' ἔπασσε μελαινάων ὀδυνάων·
395 αὐτὰρ ἐπεὶ δὴ τεῖχος ἐπεσσυμένους ἐνόησεν
Τρῶας, ἀτὰρ Δαναῶν γένετο ἰαχή τε φόβος τε,
ὤιμωξέν τ' ἄρ' ἔπειτα καὶ ὣ πεπλήγετο μηρώ
χερσὶ καταπρηνέσσ', ὀλοφυρόμενος δ' ἔπος ηὔδα·
"Εὐρύπυλ', οὐκέτι τοι δύναμαι χατέοντί περ ἔμπης
400 ἐνθάδε παρμενέμεν· δὴ γὰρ μέγα νεῖκος ὄρωρεν.
ἀλλὰ σὲ μὲν θεράπων ποτιτερπέτω, αὐτὰρ ἐγώ γε
σπεύσομαι εἰς Ἀχιλῆα, ἵν' ὀτρύνω πολεμίζειν.
τίς δ' οἶδ', εἴ κέν οἱ σὺν δαίμονι θυμὸν ὀρίνω
παρειπών; ἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρου."
405 τὸν μὲν ἄρ' ὣς εἰπόντα πόδες φέρον· αὐτὰρ Ἀχαιοί
Τρῶας ἐπερχομένους μένον ἔμπεδον. οὐδ' ἐδύναντο
παυροτέρους περ ἐόντας ἀπώσασθαι παρὰ νηῶν·

388 Anon. Soloec. 292.6 Nauck; **388**b Epm. τ 73 **389** imit. Nonn. D. 39.84; **389**a H. ν 131; (ναύμ.) Poll. 1.137; Phot. Lex. s.v.; (κολλ.) H. κ 3336; (κατὰ–εἱμ.) sch N 147b; (κατὰ στ.) H. (Cyr.) κ 1442; Phot. Lex. κ 367; (εἱμ.–) cf. Epm. η 33 **391** (ἔκτοθι) H. (Cyr.) ε 1731 **393** (–λόγ.) [Plut.] Hom. 2.210.3; sch [Aesch.] Prom. 377b; (ἐπὶ δ'–)–**4**a EtG α 325; **394** ApS 18.24; (ἀκ.) Poll. 4.177; H. (Cyr.) α 2341, 2374 **397** Choer. in Thd. ii.50.20 **399** (χατ. περ) H. χ 234 **401** (–ποτιτ.) sch O 393a, τ 457 **403–4** Synes. De regno 14 (Opusc. 29.6 T.) **405** (–φέρον) Arn ad Z 511a **407**a Epm ad A 131a

387 ἐπιβάντες Ar 9 81 t Ω* R^s: ἀπο- 1 60 R **389** in 1333 deletum mg. inf. rest. m² ναύμαχα sic proparox. Hdn 1 9 500.1 Z Ω; cf. Wack. KS 1185 sq. περὶ στόμα Nonn. χαλκῶι 9 60 tt Z Ω*: -ὸν 1 T^s R O (cf. Archil. 98.17) **390** εἵως 1 60 439 500.1 Ω: ει]ος 81(?) **391** ἀμφ' ἐμάχοντο 9 A T H^c **393** λόγοις Ar 1 9 60 500.1 tt Ω (cf. Wack. Unt. 221 n.1): λούων quidam ap. sch^T, λόων Nauck **394** ἀκέσματ' Ar alii ante Did: ἀκήματ' (nov. Did) 1 9 60 500.1 tt Z Ω: utrumque Hsch. **395** τεῖχος (= M 143) 1 9 60 500.1 Ω: νῆας malit Nitzsch Sagenpoesie d. Gr. (1852) 288 **396** φόβος 1 9 60 1334 Ω: cf. ad Δ 456, M 144 **398** καταπρηνέσσ' 9 D, -νέσσι· 500.1, -νέσσιν R, -νέεσσ' Ω*: -νες 60 δ' ἔπος ηὔδα Ar A F T^s W: δὲ προσηύδα (nov. Did) 9 60 1334 Ω*.— cf. ad 114 **399** τοι 9 500.1 Ω: σοι 60 **401** ἐγώ γε Bekker: ἔγωγε 9 Ω **406** οὐδ' ἐδύναντο *b*: οὐδὲ δ- Ω* **407** ἀπώσασθαι παρὰ 60 1335 1336 Ω*: ἀμύνεσθαι περὶ R (ss. παρὰ; ex M 142)

οὐδέ ποτε Τρῶες Δαναῶν ἐδύναντο φάλαγγας
ῥηξάμενοι κλισίῃσι μιγήμεναι οὐδὲ νέεσσιν·
410 ἀλλ' ὥς τε στάθμη δόρυ νήϊον ἐξιθύνει
τέκτονος ἐν παλάμῃσι δαήμονος, ὅς ῥά τε πάσης
εὖ εἴδῃ σοφίης ὑποθημοσύνῃσιν Ἀθήνης,
ὣς μὲν τῶν ἐπὶ ἶσα μάχη τέτατο πτόλεμός τε.
ἄλλοι δ' ἀμφ' ἄλλῃσι μάχην ἐμάχοντο νέεσσιν,
415 Ἕκτωρ δ' ἄντ' Αἴαντος ἐείσατο κυδαλίμοιο.
τὼ δὲ μιῆς περὶ νηὸς ἔχον πόνον, οὐδ' ἐδύναντο
οὔθ' ὃ τὸν ἐξελάσαι καὶ ἐνιπρῆσαι πυρὶ νῆα,
οὔθ' ὃ τὸν ἂψ ὤσασθαι, ἐπεί ῥ' ἐπέλασσέ γε δαίμων.
ἔνθ' υἷα Κλυτίοιο Καλήτορα φαίδιμος Αἴας
420 πῦρ ἐς νῆα φέροντα κατὰ στῆθος βάλε δουρί·
δούπησεν δὲ πεσών, δαλὸς δέ οἱ ἔκπεσε χειρός.
Ἕκτωρ δ' ὡς ἐνόησεν ἀνεψιὸν ὀφθαλμοῖσιν
ἐν κονίῃσι πεσόντα νεὸς προπάροιθε μελαίνης,
Τρωσί τε καὶ Λυκίοισιν ἐκέκλετο μακρὸν ἀΰσας·
425 "Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
μὴ δή πω χάζεσθε μάχης ἐν στείνεϊ τῷδε,
ἀλλ' υἷα Κλυτίοιο σαώσετε, μή μιν Ἀχαιοί
τεύχεα συλήσωσι νεῶν ἐν ἀγῶνι πεσόντα."
ὣς εἰπὼν Αἴαντος ἀκόντισε δουρὶ φαεινῷ·
430 τοῦ μὲν ἅμαρθ', ὃ δ' ἔπειτα Λυκόφρονα Μάστορος υἱόν,
Αἴαντος θεράποντα Κυθήριον, ὅς ῥα παρ' αὐτῷ
ναῖ', ἐπεὶ ἄνδρα κατέκτα Κυθήροισι ζαθέοισιν,

410 (στ.–) sch Arat. 185; (στ.) H. σ 1599; Phot. Lex. s.v.; (νήϊον) Apio 95.13; (ἐξιθ.) H. ε 3891 **411** (δαήμ.) H. (Cyr.) δ 35; (ὅς–)–**12**a sch[bT] Λ 515c; **412** Ammon. in Porph. Isag. CAG iv(3).9.15; Procl. in Hes. Op. 430–6; Elias in Porph. Isag. CAG xviii(1).24.1; **412**a Herm. in Pl. Phdr. 219.24 C.; (σοφ.) cf. ApS 143.32, Poll. 5.164, H. σ 1369; (ὑποθ.) ApS 159.34; H. υ 639; Phot. Lex. s.v. **413** (ἐπιτέτατο) H. (Cyr.) ε 5324 **414** Arn ad M 175a[1] **416** (–πόνον) id. ad O 668a; sch O 420 **422** (–ἀνεψ.) Arn ad O 419 **427** (–σαώσ.) Hdn ad E 266a[1] **428** (νεῶν ἐν ἀγῶνι) Arn ad Ω 141

408 οὐδέ 9 60 Ω*: οὔτέ D T **409** οὐδὲ 60 1336 Ω: ἠδὲ A[γρ] rr **409*ab*** (= M 419–20 nisi quod ουδε ποτ) add. 60 **410** ἐξιθύνει 60 439 1335 1336 Ω: -νη (ss. σιν) r: ἰθὺν t **411** οɖ ss. η[1336 **412** εἴδῃι (Tyr?) Schulze Kl. Schr. 346 n.: εἰδῆι sch-Λ Ω, ειδη(ι) 9 60: εἰδὼς tt* Z rr **415** ἄντ' 9 60 1336 sch[D] Ω* T[s]: αὖτ' T (cf. P 304) **416** οὐδ' ἐδύναντο B E G: οὐδὲ δ- Ω* **417** νῆα Ar 439 V: -ας (nov. Did) 9 Ω: περι νηος 60 **418** γε (= Φ 93) 9 60 439 Ω: ἐ r **423** νεὸς [60] 81 439[?] 500.1 A B[c] F[a] W: νεὼς Ω*: νηὸς G **427** σαώσετε 48 60 81 500.1 H O: -σατε Z Ω: -σομεν t **431** Κυθήριον 48 60 500.1 Z Ω: Κυθήρριον quidam ap. sch[T]

τόν ῥ᾽ ἔβαλεν κεφαλὴν ὑπὲρ οὔατος ὀξέϊ χαλκῶι,
ἑσταότ᾽ ἄγχ᾽ Αἴαντος· ὃ δ᾽ ὕπτιος ἐν κονίηισιν
435 νηὸς ἄπο πρυμνῆς χαμάδις πέσε, λύντο δὲ γυῖα.
Αἴας δ᾽ ἐρρίγησε, κασίγνητον δὲ προσηύδα·
"Τεῦκρε πέπον, δὴ νῶϊν ἀπέκτατο πιστὸς ἑταῖρος
Μαστορίδης, ὃν νῶϊ Κυθηρόθεν ἔνδον ἐόντα
ἶσα φίλοισι τοκεῦσιν ἐτίομεν ἐν μεγάροισιν·
440 τὸν δ᾽ Ἕκτωρ μεγάθυμος ἀπέκτανε. ποῦ νύ τοι ἰοί
ὠκύμοροι καὶ τόξον, ὅ τοι πόρε Φοῖβος Ἀπόλλων;"
ὣς φάθ᾽· ὃ δὲ ξυνέηκε, θέων δέ οἱ ἄγχι παρέστη,
τόξον ἔχων ἐν χειρὶ παλίντονον ἠδὲ φαρέτρην
ἰοδόκον. μάλα δ᾽ ὦκα βέλεα Τρώεσσιν ἐφίει·
445 καί ῥ᾽ ἔβαλε Κλειτόν, Πεισήνορος ἀγλαὸν υἱόν,
Πουλυδάμαντος ἑταῖρον ἀγαυοῦ Πανθοΐδαο,
ἡνία χερσὶν ἔχοντα. ὃ μὲν πεπόνητο καθ᾽ ἵππους·
τῆι γὰρ ἔχ᾽, ἧι ῥα πολὺ πλεῖσται κλονέοντο φάλαγγες,
Ἕκτορι καὶ Τρώεσσι χαριζόμενος· τάχα δ᾽ αὐτῶι
450 ἦλθε κακόν, τό οἱ οὔ τις ἐρύκακεν ἱεμένων περ.
αὐχένι γάρ οἱ ὄπισθε πολύστονος ἔμπεσεν ἰός,
ἤριπε δ᾽ ἐξ ὀχέων, ὑπερώησαν δέ οἱ ἵπποι
κείν᾽ ὄχεα κροτέοντες. ἄναξ δ᾽ ἐνόησε τάχιστα
Πουλυδάμας, καὶ πρῶτος ἐναντίος ἤλυθεν ἵππων.
455 τοὺς μὲν ὅ γ᾽ Ἀστυνόωι Προτιάονος υἱέϊ δῶκεν,
πολλὰ δ᾽ ἐπώτρυνε σχεδὸν ἴσχειν εἰσορόωντα
ἵππους· αὐτὸς δ᾽ αὖτις ἰὼν προμάχοισιν ἐμίχθη.
Τεῦκρος δ᾽ ἄλλον ὀϊστὸν ἐφ᾽ Ἕκτορι χαλκοκορυστῆι
αἴνυτο· καί κεν ἔπαυσε μάχης ἐπὶ νηυσὶν Ἀχαιῶν,

433 (–οὔ.) sch Δ 460–1a **436** (cum Θ 330 confusum) Macr. Sat. 5.3.9 **437** Hdn ad Δ $319c^1$; (ἀπέκτ.) EtG α 976 (Philox. fr. 43 Th.); (πιστ.) H. π 2372 **439** (–ἐτί.) sch M 371c **441** (ὠκύμ.) H. ω 134 **442** al. (παρέστη) id. π 869 **444** (ἰοδ.) id. ι 733 **448** (–πλ.) sch N 53a **453**a Plut. Mor. 524a

435 ἄπο Wolf: ἀπο vel ἀπὸ Ω πρυμνῆς Bekker: parox. Ω **436** δ᾽ ἐρρίγησε Ω*: δὲ ῥ- 48 634 A^m R W: δενρ- 60: διερρ- t **437** πιστὸς 48 t Ω, π[ε]ιστος 500.1: πικρος 60 **439** τοκεῦσιν Ar 48 60 634 t Ω: τέκεσσιν Zen O (cf. 551, N 176) **442*a*** (= 650) add. 60 **444** ἰοδόκον Alexio Attalus Hdn Ω: proparox. quidam ante Hdn **445** ῥ᾽ ἔβαλε 48 60 Ω: ρα βαλε 634 Κλειτὸν Hdn Ω*: properisp. D T R **446** Παν–θοΐδαο r **449–51** ath. Ar (de 451 postea paenituit): def. sch^{bT} **449** χαριζόμενος Ar 48 Ω: παριζ- 60 **450** ἱεμένων Ar^a A T: -νωι Ar^b 48 60 (ἱρε-) sch^D $T^{γρ}$ Ω*.—cf. ad P 292 **451** ὄπισθε Ar 48 60 634 Z Ω: πρόσθε Arph **454** ἐναντίος Ω*: -ον 48 D *h* **456** ἐπώτρυνε 48 60 Ω*: ἐπότρ- A D B E^s **457** ita 60 Ω: ιππους αυτοι δ᾽ ϊων 48: αὐτὸς δ᾽ αὖτ᾽ ἐξαῦτις ἰὼν H (= N 642):]ς ιων 1338 **459** μάχης Zen 48 60 Ω* (cf. O

460 εἴ μιν ἀριστεύοντα βαλὼν ἐξείλετο θυμόν·
ἀλλ' οὐ λῆθε Διὸς πυκινὸν νόον, ὅς ῥ' ἐφύλασσεν
Ἕκτορ', ἀτὰρ Τεῦκρον Τελαμώνιον εὖχος ἀπηύρα,
ὅς οἱ ἐϋστρεφέα νευρὴν ἐν ἀμύμονι τόξωι
ῥῆξ' ἐπὶ τῶι ἐρύοντι· παρεπλάγχθη δέ οἱ ἄλληι
465 ἰὸς χαλκοβαρής, τόξον δέ οἱ ἔκπεσε χειρός.
Τεῦκρος δ' ἐρρίγησε, κασίγνητον δὲ προσηύδα·
"ὢ πόποι, ἦ δὴ πάγχυ μάχης ἐπὶ μήδεα κείρει
δαίμων ἡμετέρης, ὅ τέ μοι βιὸν ἔκβαλε χειρός,
νευρὴν δ' ἐξέρρηξε νεόστροφον, ἣν ἐνέδησα
470 πρώϊον, ὄφρ' ἀνέχοιτο θαμὰ θρώισκοντας ὀϊστούς."
τὸν δ' ἠμείβετ' ἔπειτα μέγας Τελαμώνιος Αἴας·
"ὦ πέπον, ἀλλὰ βιὸν μὲν ἔα καὶ ταρφέας ἰούς
κεῖσθαι, ἐπεὶ συνέχευε θεὸς Δαναοῖσι μεγήρας·
αὐτὰρ χερσὶν ἑλὼν δολιχὸν δόρυ καὶ σάκος ὤμωι
475 μάρναό τε Τρώεσσι καὶ ἄλλους ὄρνυθι λαούς.
μὴ μὰν ἀσπουδεί γε δαμασσάμενοί περ ἕλοιεν
νῆας ἐϋσσέλμους, ἀλλὰ μνησώμεθα χάρμης."
ὣς φάθ'· ὃ δὲ τόξον μὲν ἐνὶ κλισίηισιν ἔθηκεν,
αὐτὰρ ὅ γ' ἀμφ' ὤμοισι σάκος θέτο τετραθέλυμνον,
480 κρατὶ δ' ἔπ' ἰφθίμωι κυνέην εὔτυκτον ἔθηκεν
{ἵππουριν, δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν},
εἵλετο δ' ἄλκιμον ἔγχος ἀκαχμένον ὀξέϊ χαλκῶι,
βῆ δ' ἰέναι, μάλα δ' ὦκα θέων Αἴαντι παρέστη.
Ἕκτωρ δ' ὡς εἶδεν Τεύκρου βλαφθέντα βέλεμνα,
485 Τρωσί τε καὶ Λυκίοισιν ἐκέκλετο μακρὸν ἀΰσας·

464 (παρεπλ.) H. π 844 **465** (χαλκοβ.) id. χ 96 **467**b id. μ 426; (ἐπὶ–) id. ε 4976 **469–70** (πρώ.) Hdn palimps. Lips. f. 22v.19 in Reitz. Gesch. 305; (–νεόστρ.) Arn ad Θ 328a; (νεόστρ.) ApS 116.7; H. (Cyr.) ν 356; **470** (πρώ.) H. π 4141 **479**b ApS 134.24; sch Ar. Pac. 1210c; (σάκος τετ.) H. π 3468; (τετ.) ApS 151.14; sch I 541b; H. τ 621 **484** Epm. ω 5; (βέλ.) ApS 51.1; H. (Cyr.) β 482; EtG β 87

15 al.): -ην Arph Ar D W[c?] V **460** damn. Bentley **466** δ' ἐρρίγησε 48 60 Ω*: δὲ ῥ- D T **467** ὢ πόποι A T G, ὣ πόποι Ω*, ω ποποι 48 60: ὦ πέπον A[γρ] H V (ex 472).—cf. ad P 171 **469** ἐξέρρηξε 48 t A T: -σεν 60: ἔρρηξε Ω* νεόστροφον 48 60 ApS Hsch. sch[D] Ω: ἐΰστρ- Did[γρ] rr:]φον Hdn palimps.: νεοστρεφέ' t* ἐνέδησα 48 60 t A[λ] Ω: ἀν- A[m] **470** πρώϊον Ar tt sch[D] 60 Ω: πρώιην Zen r ἂν ἔχοιτο D F T R θρώισκοντας A E W: θρώσκ- 48 60 Ω* **473** susp. Nauck, cf. Leaf **476** ἀσπουδεί Z Ω*: -δί 48 h139[α757] A F[a] R[a]?: -διαι 60.—cf. ad Θ 512 **478** δὲ 48 60 Ω: δ' αὖ *h* (cf. ad E 477, M 459) **480** ἐπ' Ω **481** (= Γ 337, Λ 42, Π 138) deest in 48 60 1339 Ω*: hab. D *b* R **482** om. N O[a]

“Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς
νῆας ἀνὰ γλαφυράς· δὴ γὰρ ἴδον ὀφθαλμοῖσιν
ἀνδρὸς ἀριστῆος Διόθεν βλαφθέντα βέλεμνα.
490 ῥεῖα δ’ ἀρίγνωτος Διὸς ἀνδράσι γίνεται ἀλκή,
ἠμὲν ὁτέοισιν κῦδος ὑπέρτερον ἐγγυαλίξηι,
ἠδ’ ὅτινας μινύθηι τε καὶ οὐκ ἐθέλησιν ἀμύνειν·
ὡς νῦν Ἀργείων μινύθει μένος, ἄμμι δ’ ἀρήγει.
ἀλλὰ μάχεσθ’ ἐπὶ νηυσὶν ἀολλέες· ὃς δέ κεν ὕμεων
495 βλήμενος ἠὲ τυπεὶς θάνατον καὶ πότμον ἐπίσπηι,
τεθνάτω· οὔ οἱ ἀεικὲς ἀμυνομένωι περὶ πάτρης
τεθνάμεν· ἀλλ’ ἄλοχός τε σόη καὶ παῖδες ὀπίσσω,
καὶ οἶκος καὶ κλῆρος ἀκήρατος, εἴ κεν Ἀχαιοί
οἴχωνται σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν.”
500 ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.
Αἴας δ’ αὖθ’ ἑτέρωθεν ἐκέκλετο οἷς ἑτάροισιν·
“αἰδώς, Ἀργεῖοι· νῦν ἄρκιον ἠ’ ἀπολέσθαι
ἠὲ σαωθῆναι καὶ ἀπώσασθαι κακὰ νηῶν.
ἦ ἔλπεσθ’, ἢν νῆας ἕληι κορυθαιόλος Ἕκτωρ,
505 ἐμβαδὸν ἵξεσθαι ἣν πατρίδα γαῖαν ἕκαστος;
ἦ οὐκ ὀτρύνοντος ἀκούετε λαὸν ἅπαντα
Ἕκτορος, ὃς δὴ νῆας ἐνιπρῆσαι μενεαίνει;

486a sch O 508 **491** (ὁτέοισιν) Epm. τ 62 **492**a ApD Coni. 236.5; (ὅτινας) H. ο 1488 **493** (ἄμμι–) ApD Pron. 93.7 **494–9** Lycurg. in Leocr. 103; **494–6** Stob. 3.39.19; **494** (ὅς–)–**7** (τεθν.) [Plut.] Hom. 2.196; **494** (ὅς–)–**6** (τεθν.) ib. 134.3; **494** (–ἀολλ.) Arn ad O 668a; sch X 97b; **494**a sch Ξ 32b; **495**a Epm. β 30, ε 182; **496** (οὔ οἱ–)–**7** (τεθν.) Io. Alex. 30.2 (Hdn i 490.10); **497** (ἄλοχός–)–**8** (–ἀκήρ.) ApS 100.1; Choer. in Ps. 91.10; **498** (κλ.) Apio 243.22 **502–3** Hdn i.517.3; **503**a Did ad I 681a^{1} **504–5** (–πατρ.) sch O 702; **505** (–πατρ.) EtG s.v. ἐμβαδόν; (ἐμβ.) ApS 67.10; H. (Cyr.) ε 2274; Phot. Lex. ε 683 **507** (μενε.) H. μ 839

486 om. 1339, fort. recte (at cf. Θ 173, Λ 286, Ρ 184) **488** γὰρ 60 Ω: γὰρρ (γάρ ῥ’) C^{c} **490** γίνεται 60 Ω: γίγν- rr **491** ὁτέοισιν Hdn 9 60 t Z Ω: ὅτοισιν Leaf.—cf. ad M 428, O 664 **492** μινύθηι τε Ω*: -θει τε Z C G: -η(ι)σι 9 60 t W H **494** νηυσὶν ἀολλέες 9 60 tt* Ω: -σὶ διαμπερὲς Lycurg. ὕμεων (enclitice) Hdn A^{c} A^{m}: ὑμέων quidam ante Hdn 9 Ω* (ὑμμέων C, ὑμῶν W) **496** πάτρης 9 1337 t* Ω*: -η(ι) Io. Alex. T^{a} **497** παῖδες ὀπίσσω 9 60 1337 t* Ω: νήπια τέκνα (cf. Δ 238 al.) Lycurg. **498** οἶκος καὶ κλῆρος 9 60 t* Ω (cf. ξ 64): κλῆρος καὶ οἶκος Lycurg. **500** ὤτρυνε 9 Ω: ὄτρ- 60 O **501** οἷς ἑτάροισιν 9 60 Ω*: μακρὸν ἀΰσας (ex 485) R **502** ἠ’ Payne Knight: ἠὲ W, ἢ Ω* **504** ἦ A D B: ἢ t Ω* ἢν 9 60 Ω*: εἰ R κορυθαίολος C **506** ἦ B^{c} W: ἠ 9 A, ἢ Ω* ἀκούετε 9 60 Ω: ἀΐετε rr.—cf. ad B 486

οὐ μὰν ἔς γε χορὸν κέλετ' ἐλθέμεν, ἀλλὰ μάχεσθαι.
ἡμῖν δ' οὔ τις τοῦδε νόος καὶ μῆτις ἀμείνων,
510 ἠ' αὐτοσχεδίηι μεῖξαι χεῖράς τε μένος τε.
βέλτερον, ἠ' ἀπολέσθαι ἕνα χρόνον ἠὲ βιῶναι,
ἢ δηθὰ στρεύγεσθαι ἐν αἰνῆι δηϊοτῆτι
ὧδ' αὔτως παρὰ νηυσὶν ὑπ' ἀνδράσι χειροτέροισιν."
ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.
515 ἔνθ' Ἕκτωρ μὲν ἕλε Σχεδίον Περιμήδεος υἱόν,
ἀρχὸν Φωκήων· Αἴας δ' ἕλε Λαοδάμαντα
ἡγεμόνα πρυλέων, Ἀντήνορος ἀγλαὸν υἱόν·
Πουλυδάμας δ' Ὦτον Κυλλήνιον ἐξενάριξεν,
Φυλείδεω ἕταρον, μεγαθύμων ἀρχὸν Ἐπειῶν.
520 τῶι δὲ Μέγης ἐπόρουσεν ἰδών, ὃ δ' ὕπαιθα λιάσθη
Πουλυδάμας· καὶ τοῦ μὲν ἀπήμβροτεν, οὐ γὰρ Ἀπόλλων
εἴα Πανθόου υἱὸν ἐνὶ προμάχοισι δαμῆναι·
αὐτὰρ ὅ γε Κροίσμου στῆθος μέσον οὔτασε δουρί,
δούπησεν δὲ πεσών. ὃ δ' ἀπ' ὤμων τεύχε' ἐσύλα.
525 τόφρα δὲ τῶι ἐπόρουσε Δόλοψ αἰχμῆς εὖ εἰδώς,
Λαμπετίδης, ὃν Λάμπος ἐγείνατο φέρτατον υἱόν
Λαομεδοντιάδης, εὖ εἰδότα θούριδος ἀλκῆς·
ὅς τότε Φυλείδαο μέσον σάκος οὔτασε δουρί
ἐγγύθεν ὁρμηθείς. πυκινὸς δέ οἱ ἤρκεσε θώρηξ,
530 τόν ῥ' ἐφόρει γυάλοισιν ἀρηρότα· τόν ποτε Φυλεύς

509 Eudoc. 188 **510** (αὐτοσχ.) ApS 47.12; H. α 8468 **511** EtG β 90 **512** ApS 146.3; **512a** H. (Cyr.) η 116, cf. δ 826, θ 130, Phot. Lex. θ 164 **515–16a** sch N 643a; (–Σχ.) + **516a** Arn ad B 517c; **515** (Περ.–)–**16a** sch P 306–7; **515b** sch B 517d **518–19** Paus. 6.26.5; (Ὦτον Κυλλ. ἀρχὸν Ἐπ.) Strab. 8.3.4; **519** id. 10.2.14 **520a** Epm. τ 58; (ὃ δ'–)–**521** (Πουλ.) sch N 408b[1]; **520** (ὃ δ'–) Epm. λ 33, υ 33 (bis); (ὕπ.–) H. υ [278]; (ὕπ.) ApS 157.30 **521** (ἀπήμβρ.) H. (Cyr.) α 6154 **525–6** (Λαμπ.) Arn ad Λ 302ab **526** (ἐγείν.) H. (Cyr.) ε 164 **530** H. θ 1016; (τόν ποτε–)–**531** Strab. 8.3.5, cf. 7.7.10

510 ἠ' Fick: ἢ Ω αὐτοσχεδίη(ι) 9 60 tt Ω*: -δίην sch[bTγρ] (Did?) W O: -δόν Z μειξαι 9[c] 60: μῖ- D B E T, μί- Ω*, μι- 9[a] **511** ἠ' Fick: ἢ Ω **512** στρεύγεσθαι 9 60 Ω (= μ 351): στρεύεσθαι tt Z V **513** ὧδ' αὔτως fere 9 60 Ω (αὔ- E W G[c]): et alteram lect. nov. Did u.v., sc. ὣς αὔτως? **514** ὤτρυνε 9 Ω: ὄτρ- 60 N O **515** Σχεδίον (Hdn) Ω: proparox. *b* **516** Φωκήων Ar tt Ω, -είων 9 60 (cf. ad B 517): Ἀθηναίων quidam ap. sch[T] **520** fort. ὕπαιθα, cf. ad X 141 **522** Πανθόου rr (cf. Γ 146): Πάνθου 9 60 Ω.—cf. ad P 9, 23, 40, 59 **523** Κροίσμου 9 60 Ω: Κροῖσμον (La Roche) r[c] (cf. 577, N 438, Π 597, al.) **525** εὖ Z Ω, ευ 9: ἔϋ Ludwich (ἐϋ Bekker) **526** φέρτατον υἱὸν 9 A *b* F: -τον ἀνδρῶν R W G: -τος ἀνδρῶν D T: -τον[60 **527** εὖ Z Ω, ευ 9: ἔϋ Ludwich (ἐϋ Bekker) **530** τόν ποτε Φυλεύς 9 60 1341 t* Ω: θαῦμα ἰδέσθαι Hsch.

ἤγαγεν ἐξ Ἐφύρης, ποταμοῦ ἄπο Σελλήεντος·
ξεῖνος γάρ οἱ ἔδωκεν ἄναξ ἀνδρῶν Εὐφήτης
ἐς πόλεμον φορέειν, δηΐων ἀνδρῶν ἀλεωρήν·
ὅς οἱ καὶ τότε παιδὸς ἀπὸ χροὸς ἤρκεσ' ὄλεθρον.
535 τοῦ δὲ Μέγης κόρυθος χαλκήρεος ἱπποδασείης
κύμβαχον ἀκρότατον νύξ' ἔγχεϊ ὀξυόεντι,
ῥῆξε δ' ἄφ' ἵππειον λόφον αὐτοῦ· πᾶς δὲ χαμᾶζε
κάππεσεν ἐν κονίηισι, νέον φοίνικι φαεινός.
ἕως ὃ τῶι πολέμιζε μένων, ἔτι δ' ἤλπετο νίκην,
540 τόφρα δέ οἱ Μενέλαος ἀρήϊος ἦλθεν ἀμύντωρ,
στῆ δ' εὐρὰξ σὺν δουρὶ λαθών, βάλε δ' ὦμον ὄπισθεν·
αἰχμὴ δὲ στέρνοιο διέσσυτο μαιμώωσα,
πρόσσω ἱεμένη· ὃ δ' ἄρα πρηνὴς ἐλιάσθη.
τὼ μὲν ἐεισάσθην χαλκήρεα τεύχε' ἀπ' ὤμων
545 συλήσειν· Ἕκτωρ δὲ κασιγνήτοισι κέλευσεν
πᾶσι μάλα, πρῶτον δ' Ἱκεταονίδην ἐνένιπεν,
ἴφθιμον Μελάνιππον· ὃ δ' ὄφρα μὲν εἰλίποδας βοῦς
βόσκ' ἐν Περκώτηι, δηΐων ἀπὸ νόσφιν ἐόντων·
αὐτὰρ ἐπεὶ Δαναῶν νέες ἤλυθον ἀμφιέλισσαι,
550 ἂψ εἰς Ἴλιον ἦλθε, μετέπρεπε δὲ Τρώεσσιν.
{ναῖε δὲ πὰρ Πριάμωι, ὃ δέ μιν τίεν ἶσα τέκεσσιν.}
τόν ῥ' Ἕκτωρ ἐνένιπεν ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
"οὕτω δή, Μελάνιππε, μεθήσομεν; οὐδέ νυ σοί περ
ἐντρέπεται φίλον ἦτορ ἀνεψιόο κταμένοιο;
555 οὐχ ὁράαις, οἷον Δόλοπος περὶ τεύχε' ἕπουσιν;

532a + **533**b sch Π 134b **536** ApS 105.5; **536**a H. κ 4536, cf. 4540; (κύμβ.) Apio 245.8; Orio 90.15 **538**a Did ad A 593a[1]; Prisc. Inst. 17.162; (φοίν. φ.) sch μ 243 **542** Arist. Rh. 1412a1; 'Trypho i' Trop. iii.192.3 **543** (ἐλι.) ApS 66.15; H. (Cyr.) ε 2061 **544** (ἐεισ.) H. (Cyr.) ε 562 **545** (Ἕκτωρ–) ApS 95.30 **546** (πρῶτον–)–8a Strab. 13.1.7 **554** (ἐντρ.) ApS 69.21 **555** (ἕπ.) H. (Cyr.) ε 5524

531 ἤγαγεν 9 1340 t Z Ω: ἠγάγετ' A^{γρ} ἄπο A *b*: ἀπὸ B^{c} Ω* **534** "περιττός" sch^{T} ἤρκεσ' 9 Ω*: -κει 60 D R G (ex N 440) **536** ἔγχεϊ sic Ω **537** ἄφ' van Leeuwen: ἀφ' fere 9 Ω (ἀμφ' A^{a} B G) **539** ἕως 9 48 Ω: εἵως H^{c} rr: εἶος Brandreth, ἦος Nauck ἤλπετο 9 60 (-εδο) Ω: ἔλπ- P.—cf. ad P 234, 603 **540** ἦλθεν ἀμύντωρ 9 Z Ω* (ἀμύνων G^{a}): ἦλθ' ἐπαμ- 60$^{?}$ A^{γρ} F.—cf. ad N 384 **543** ἱεμένη 9 1341 Ω: -νω 48 60 H **545** κέλευσε 60 Ω: -ευε 9 343 t rr **547** δ' ὄφρα 9 48 60 t Z Ω: τόφρα Bothe **548** Περκώτηι 9 48 1341 t Ω, -οτι Z: -ώπηι *h* (cf. ad Λ 229) ἄπο (deprec. Hdn) B^{a} R V **551** (= N 176) deest in 9 48 1341: hab. 60 Ω **552** ῥ' 60 1341 Ω: δ' 9 48 **554** ἀνεψιόο Ahrens post Payne Knight: -ιοῦ Hdn 9 60 Ω: -ε[ι]ου 1341 **555** περὶ Ptol Hdn 1341 (πὲρι) Z Ω*: πέρι W

ἀλλ' ἔπε'· οὐ γὰρ ἔτ' ἐστὶν ἀποσταδὸν Ἀργείοισιν
μάρνασθαι, πρίν γ' ἠὲ κατακτάμεν ἠὲ κατ' ἄκρης
Ἴλιον αἰπεινὴν ἑλέειν κτάσθαί τε πολίτας."
ὣς εἰπὼν ὃ μὲν ἦρχ', ὃ δ' ἅμ' ἕσπετο ἰσόθεος φώς.
560 Ἀργείους δ' ὤτρυνε μέγας Τελαμώνιος Αἴας·
"ὦ φίλοι, ἀνέρες ἔστε, καὶ αἰδῶ θέσθ' ἐνὶ θυμῶι·
{ἀλλήλους τ' αἰδεῖσθε κατὰ κρατερὰς ὑσμίνας·}
αἰδομένων ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται,
φευγόντων δ' οὔτ' ἂρ κλέος ὄρνυται οὔτέ τις ἀλκή."
565 ὣς ἔφαθ', οἳ δὲ καὶ αὐτοὶ ἀλέξασθαι μενέαινον,
ἐν θυμῶι δ' ἐβάλοντο ἔπος, φράξαντο δὲ νῆας
ἕρκεϊ χαλκείωι· ἐπὶ δὲ Ζεὺς Τρῶας ἔγειρεν.
Ἀντίλοχον δ' ὤτρυνε βοὴν ἀγαθὸς Μενέλαος·
"Ἀντίλοχ', οὔ τις σεῖο νεώτερος ἄλλος Ἀχαιῶν,
570 οὔτε ποσὶν θάσσων οὔτ' ἄλκιμος ὡς σὺ μάχεσθαι·
εἴ τινά που Τρώων ἐξάλμενος ἄνδρα βάλοισθα."
ὣς εἰπὼν ὃ μὲν αὖτις ἀπέσσυτο, τὸν δ' ὀρόθυνεν·
ἐκ δ' ἔθορε προμάχων καὶ ἀκόντισε δουρὶ φαεινῶι
ἀμφὶ ἓ παπτήνας· ὑπὸ δὲ Τρῶες κεκάδοντο
575 ἀνδρὸς ἀκοντίσσαντος. ὃ δ' οὐχ ἅλιον βέλος ἧκεν,
ἀλλ' Ἱκετάονος υἱὸν ὑπέρθυμον Μελάνιππον
νισόμενον πόλεμόνδε βάλε στῆθος παρὰ μαζόν.
{δούπησεν δὲ πεσών, τὸν δὲ σκότος ὄσσ' ἐκάλυψεν.}
Ἀντίλοχος δ' ἐπόρουσε κύων ὥς, ὅς τ' ἐπὶ νεβρῶι
580 βλημένωι ἀΐξηι, τόν τ' ἐξ εὐνῆφι θορόντα
θηρητὴρ ἐτύχησε βαλών, ὑπέλυσε δὲ γυῖα·

556 (ἀποστ.) EtG α 1072 **557** (κατ' ἄ.) H. κ 1186 **558** (κτ.–) Hdn ad Δ 319c^{1}; (κτ.) H. (Cyr.) κ 4283 **561**b Choer. in Thd. i.383.26 **566** (φρ.–)–7a sch P 268a; **567**a H. (Cyr.) ε 5925 **569** sch Δ 457b **570** (θάσσων) H. (Cyr.) θ 129 **571** (–ἐξάλμ.) EtG α 517 **573**a sch Π 411b **574**b EtG s.v. ἐκεχειρία **581**a Did ad M 41a^{1}

556 ἔπε' Payne Knight: ἔπευ 9 48 60 1341 Ω.—v. Praef. xxii **558** κτάσθαί sic A D^{a} B T^{a} R: κτᾶ- Z Ω* **559** ἕσπετο r: ἕ- Ω **562** (= E 530) deest in 48 1341 D^{a} T N V: hab. Ω*: post 530 fert 60 αἴδεσθε Fick **563** αἰδομένων Ar D F: -ων δ' (nov. Did) 48 [60] Ω*.—cf. ad E 531 πέφανται Ω: -ντο Z **564** οὔτ' ἂρ 60 Ω: ου γαρ 48 οὔτέ sic Ω **565** ἀλέξασθαι 60 Ω: -εσθαι N: -έμεναι H (ex A 590?).—cf. ad Π 562 **567** ἕρκεϊ 48 60 tt A^{m} Ω*: ἔγχεϊ A *b* **570** οὔτε ... οὔτ' 48 60 Ω*: οὔτε ... οὐδ' *b* G: οὐδὲ ... οὐδ' *h* R ὡσ σὺ μάχεσθαι 48 60 Ω O$^{\gamma\rho}$: εἰσοράασθαι O rr **572** ἀπέσσυ-το 48 60 Z Ω* (ἐπ- C): ἀπέστιχε *h* R (cf. A 522) **577** νισόμενον Ω*: νεισ- 60 h84 F^{s} W: νησ- R: νισσ- 343 G **578** deest in 224 343 G H O V, post 570 fert 60: hab. 48 Ω*.—cf. ad E 42 τὸν δὲ σκότος ὄσσ' ἐκάλυψεν (*b*) vel ὄσσε κ- A *b* F R: κ[α]τα δẹ [σ]ḳ[ο]ṭọς οσσε καλυ̣ψε 48: ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῶι 60 (ται pro δὲ) D T W

ὣς ἐπὶ σοί, Μελάνιππε, θόρ' Ἀντίλοχος μενεχάρμης
τεύχεα συλήσων. ἀλλ' οὐ λάθεν Ἕκτορα δῖον,
ὅς ῥά οἱ ἀντίος ἦλθε θέων ἀνὰ δηϊοτῆτα.
585 Ἀντίλοχος δ' οὐ μεῖνε θοός περ ἐὼν πολεμιστής,
ἀλλ' ὅ γ' ἄρ' ἔτρεσε θηρὶ κακὸν ῥέξαντι ἐοικώς,
ὅς τε κύνα κτείνας ἢ βουκόλον ἀμφὶ βόεσσιν
φεύγει, πρίν περ ὅμιλον ἀολλισθήμεναι ἀνδρῶν·
ὣς τρέσε Νεστορίδης, ἐπὶ δὲ Τρῶές τε καὶ Ἕκτωρ
590 ἠχῆι θεσπεσίηι βέλεα στονόεντα χέοντο·
στῆ δὲ μεταστρεφθείς, ἐπεὶ ἵκετο ἔθνος ἑταίρων.
Τρῶες δὲ λείουσιν ἐοικότες ὠμοφάγοισιν
νηυσὶν ἐπεσσεύοντο, Διὸς δ' ἐτέλειον ἐφετμάς,
ὅ σφισιν αἰὲν ἔγειρε μένος μέγα, θέλγε δὲ θυμόν
595 Ἀργείων καὶ κῦδος ἀπαίνυτο, τοὺς δ' ὀρόθυνεν.
Ἕκτορι γάρ οἱ θυμὸς ἐβούλετο κῦδος ὀρέξαι
Πριαμίδηι, ἵνα νηυσὶ κορωνίσι θεσπιδαὲς πῦρ
ἐμβάλοι ἀκάματον, Θέτιδος δ' ἐξαίσιον ἀρήν
πᾶσαν ἐπικρήνειε. τὸ γὰρ μένε μητίετα Ζεύς,
600 νηὸς καιομένης σέλας ὀφθαλμοῖσιν ἰδέσθαι·
ἐκ γὰρ δὴ τοῦ ἔμελλε παλίωξιν παρὰ νηῶν
θησέμεναι Τρώων, Δαναοῖσι δὲ κῦδος ὀρέξειν.
τὰ φρονέων νήεσσιν ἔπι γλαφυρῆισιν ἔγειρεν
Ἕκτορα Πριαμίδην, μάλα περ μεμαῶτα καὶ αὐτόν.
605 μαίνετο δ' ὡς ὅτ' Ἄρης ἐγχεσπάλος ἤ' ὀλοὸν πῦρ
οὔρεσι μαίνηται, βαθέης ἐν τάρφεσιν ὕλης·

586a sch Θ 338–40 **588** (ἀολλ.) H. (Cyr.) α 5671 **598** (Θέτ.–)–**9a** Porph. Hom. 105.10 Sod.; **598b** Choer. in Thd. i.197.10; Epm. π 78 **602** (ὀρέξ.) H. (Cyr.) ο 1154 **603–4a** Arn ad O 610–14a **605–7** (–γίν.) Auct. π. ὕψ. 9.11; Aristid. Or. 28.106; **605–6** sch A.R. 1.1027–8b; **605–6a** + **607** (τὼ–)–**8** (λαμπ.) Porph. Hom. 52.16 Sod.; **605** sch Θ 355–6; Porph. Il. 92.13 Schr.; Macr. Sat. 1.19.6; Herm. in Pl. Phdr. 85.29 C.; (–ἐγχ.) Athenag. Leg. 21.3; **605a** sch Θ 360b; Zenodorus ap. Miller Mél. 411

582 σοὶ 343 Ω: σε 60 **585** μεῖνε 48 60 1343 Ω (cf. E 571): μίμνε rr.—cf. ad Ξ 119 **586** γ' ἆρ R: γὰρ Ω* **587–8** om. 1341(?) **587** κύνα 60 1343 A[λ] Ω*: -ας A rr βόεσσι(ν) Ar 48 60 224 Ω: οἱ αὐτῶι Zen **588** φεύγει 60 Ω: -η *h* **594** ὅ Ω*: ὅς 60 B[c] F[s] R W G **598** ἐμβάλοι (Hermann Opusc. I 288) 635: -λη(ι) 48 60 1343 1344 Ω (fort. recte, cf. Chantr. II 269) Θέτιδος 48 1344 Epm. Ω* (cf. Δ 512 al.): -ιος tt* (Choer. disertim) W P[c].—cf. ad Γ 325 **599** ἐπικράνειε 1343 N **601** δὴ τοῦ 48 635 1344 Ω: τουτου 60 ἔμελλε (nov. Did) 48 60 635 1344 Ω: μέλλε Arph (testibus A T: 'Ar' ci. M. Schmidt, cf. ad B 205, Z 155, Φ 184; La Roche Unt. I 104–6) **602** ὀρέξειν t A[s] D T W G: -ξαι 48 60 Ω* (ex 596) **603** ἔπι Wolf: ἐπὶ vel ἐπι Ω **605** ἐγχεσπάλος 1341 Ω*: proparox. Z C R ἤ' Fick: ἢ Ω **606** ἐν 635 tt Ω: ἐνὶ h139[ε437vl] τάρφεσιν Arph Hdn

ἀφλοισμὸς δὲ περὶ στόμα γίνετο, τὼ δέ οἱ ὄσσε
λαμπέσθην βλοσυρῆισιν ὑπ' ὀφρύσιν· ἀμφὶ δὲ πήληξ
σμερδαλέον κροτάφοισι τινάσσετο μαρναμένοιο
610 {Ἕκτορος. αὐτὸς γάρ οἱ ἀπ' αἰθέρος ἦεν ἀμύντωρ
Ζεύς, ὅς μιν πλεόνεσσι μετ' ἀνδράσι μοῦνον ἐόντα
τίμα καὶ κύδαινε· μινυνθάδιος γὰρ ἔμελλεν
ἔσσεσθ'· ἤδη γάρ οἱ ἐπώρνυε μόρσιμον ἦμαρ
Παλλὰς Ἀθηναίη ὑπὸ Πηλεΐδαο βίηφι}.
615 καί ῥ' ἔθελε ῥῆξαι στίχας ἀνδρῶν πειρητίζων,
ἧι δὴ πλεῖστον ὅμιλον ὅρα καὶ τεύχε' ἄριστα·
ἀλλ' οὐδ' ὧς δύνατο ῥῆξαι μάλα περ μενεαίνων.
ἴσχον γὰρ πυργηδὸν ἀρηρότες, ἠΰτε πέτρη
ἠλίβατος μεγάλη, πολιῆς ἁλὸς ἐγγὺς ἐοῦσα,
620 ἥ τε μένει λιγέων ἀνέμων λαιψηρὰ κέλευθα
κύματά τε τροφόεντα, τά τε προσερεύγεται ἀκτῆι·
ὣς Δαναοὶ Τρῶας μένον ἔμπεδον οὐδ' ἐφέβοντο.
αὐτὰρ ὃ λαμπόμενος πυρὶ πάντοθεν ἔνθορ' ὁμίλωι,
ἐν δ' ἔπεσ' ὡς ὅτε κῦμα θοῆι ἐν νηῒ πέσῃσιν
625 λάβρον ὑπαὶ νεφέων ἀνεμοτρεφές, ἣ δέ τε πᾶσα
ἄχνηι ὑπεκρύφθη, ἀνέμοιο δὲ δεινὸς ἀήτη

607 Eudoc. 932; (–γίν.) ApS 49.3; EtG α 1475; (ἀφλ.) H. (Cyr.) α 8704, [8716]; Phot. Lex. α 3370 **608** (ἀμφὶ–)–**9** (–τιν.) sch Χ 132c; **608** (πήληξ) H. π 2182; **609**b Arn ad Φ 5b; (μαρν.) sch Ο 610–14b **618**a sch Ε 798 **619** Epm. ad Α 131a **621** (τροφ.) ApS 155.14; H. τ 1513, 1516; (προσερ.) id. π 3742 **624–8** Auct. π. ὕψ. 10.5; **624–5** (λάβ.) Polyb. Fig. iii.106.25 Sp.; **624**b Did ad Α 593a^{1}; **625** (ἀνεμοτρ.) sch Λ 256b; EtG α 829; **626**b ApS 12.3; (δεινός) Apio 230.3; (ἀήτ.) H. (Cyr.) α 1519/20; **627** (ἐμβρ.) H.

"οἱ πλείους" 635 1341 Ω: parox. Tyr **607** ἀφλοισμὸς Hdn Z Ω: proparox. Tyr στόμα γίνετο 60 (γειν-) Ω: στομ' ε[γ- (Bekker) 48:]ịνετο 1341: γ]ιγν[ετο 635 **608** βλοσυρῆισιν 635 Z Ω: -οῖσι(ν) 48 60 D^{a} C F^{a} W^{x} **609** σμερδαλέον 48 60 1341 Ω: -έα O V μαρναμένοιο (nov. Ar) 48 60 t* Ω: μαινομ- Ar^{uv} (Arn ad Φ 5).—cf. ad Μ 40 **610–14** caruit Zen, ath. Ar: def. sch^{bT} **613** ἐπώρνυε 48 Z Ω*: ἐπόρνυε T *h*: εποτρυνε 60: ἐπόρουσε R **614** βίηφι 60 1341 Ω*: δαμῆναι 48 R V **615** ἔθελε 1341 Ω*: -εν 48 F T ῥῆξαι 60 1341 Ω: ῥήξειν 48 r **617** ὧς (Hdn) Bekker: ὡς A, ὣς Ω* **621** τροφόεντα 48 (τρε-) Ω*: -φέοντα 60 h84 Z A F G: utrumque Hsch. ἀκτῆι (nov. Did) 48 F^{a} T *b* R^{c}: -ὴ R^{a} G^{c}: -ῆ(ι)ς rr: -ὴν rr (cf. A.R. 4.631, 1242; Rengakos 135): αὐτὴν Ar A D *b* F^{c} W G^{a}?: -η 60 **622** ita Ar 48 Ω (= Ε 527): ἐξ ἁλός· ὣς Δαναοὶ κτλ. (omisso ἔμπεδον u.v.) quidam ante Ar οὐδ' ἐφέβοντο D E G: οὐδὲ φ- Ω*, οὐδεφ- A **624** ἐν (νηῒ) 48 60 224 tt* Ω*: ἐνὶ Polyb. T W **625** ὑπαὶ 48 60 224 $500a1^{m}$ t Ω*: ὑπ' ἐκ (Heyne) R: ὑπὸ (Wolf) rr: periit $500a1^{t}$.—cf. ad Π 375, Ψ 874 **626** ἄχνη Zen (eliso ι ante vocalem, cf. Thumb–Scherer Gr. Dial. II 254) δὲ 60 t* Ω*: τε 48 1344 ApS *b* ἀήτη Ar ApS h84 A T^{a}: -ης quidam ante Ar 48 224 t* Z Ω*: utrumque Hsch.—v. adn. meam ad Hes. Op. 675

ἱστίωι ἐμβρέμεται, τρομέουσι δέ τε φρένα ναῦται
δειδιότες· τυτθὸν γὰρ ὕπεκ θανάτοιο φέρονται·
ὣς ἐδαΐζετο θυμὸς ἐνὶ στήθεσσιν Ἀχαιῶν.
630 αὐτὰρ ὅ γ' ὥς τε λέων ὀλοόφρων βουσὶν ἐπελθών,
αἵ ῥά τ' ἐν εἱαμενῆι ἕλεος μεγάλοιο νέμονται
μυρίαι, ἐν δέ τε τῆισι νομεὺς οὔ πω σάφα εἰδώς
θηρὶ μαχέσσασθαι ἕλικος βοὸς ἀμφὶ φονῆισιν·
ἤτοι ὃ μὲν πρώτηισι καὶ ὑστατίηισι βόεσσιν
635 αἰὲν ὁμοστιχάει, ὃ δέ τ' ἐν μέσσηισιν ὀρούσας
βοῦν ἔδει, αἳ δέ τε πᾶσαι ὑπέτρεσαν· ὣς τότ' Ἀχαιοί
θεσπεσίως ἐφόβηθεν ὑφ' Ἕκτορι καὶ Διὶ πατρί
πάντες, ὃ δ' οἶον ἔπεφνε Μυκηναῖον Περιφήτην,
Κοπρῆος φίλον υἱόν, ὃς Εὐρυσθῆος ἄνακτος
640 ἀγγελίης οἴχνεσκε βίηι Ἡρακληείηι.
τοῦ γένετ' ἐκ πατρὸς πολὺ χείρονος υἱὸς ἀμείνων
παντοίας ἀρετάς, ἠμὲν πόδας ἠδὲ μάχεσθαι,
καὶ νόον ἐν πρώτοισι Μυκηναίων ἐτέτυκτο.
ὅς ῥα τόθ' Ἕκτορι κῦδος ὑπέρτερον ἐγγυάλιξεν·
645 στρεφθεὶς γὰρ μετόπισθεν ἐν ἀσπίδος ἄντυγι πάλτο,
τὴν αὐτὸς φορέεσκε ποδηνεκέ', ἕρκος ἀκόντων·
τῆι ὅ γ' ἔνι βλαφθεὶς πέσεν ὕπτιος, ἀμφὶ δὲ πήληξ
σμερδαλέον κονάβησε περὶ κροτάφοισι πεσόντος.
Ἕκτωρ δ' ὀξὺ νόησε, θέων δέ οἱ ἄγχι παρέστη,

ε 2314; **627**b sch O 629; **628** (τυτθ.–) [Plut.] Hom. 2.160; sch Arat. 294; Stob. 4.17.7; **628**b sch X 202b[2] **633**b H. ε 2080 **634–5**a sch ζ 244; Epm. σ 25; **634** (πρώτ.–) sch Γ 40a; **635**a Porph. Hom. 16.8 Sod.; Epm. κ 9; (ὁμοστ.) ApS 120.35; H. ο 807, cf. σ 1876 **636** (ἔδει) H. (Cyr.) ε 422 **639**b–**40** sch Pind. Ol. 3.50c **641–2**a Plut. Mor. 553b; **641** (πατρὸς–) EtG α 1149 (a Lucill. Tarrhaeo); (χείρ.) H. χ 304 **645**b id. ε 2688; (πάλτο) id. π 262 **646**a Hdn ad B 832a[1]; (ποδην.) ApS 132.27 **647** (–ὕπτ.) sch B 382a; (ἐνὶ βλ.) sch O 645e

628 ὕπεκ dedi (Praef. xix): ὑπεκ vel ὑπ' ἐκ fere Z Ω **629** (= I 8) damn. Heyne **632** δέ τε 48 224 636 Ω: δ' ἄρα *h* **633** θηρὶ 48 636 Ω* G[γρ]: χειρὶ G φονῆ(ι)σιν 224 635 636 1344 t Z Ω (βοῆισιν W ex 634, γρ. φον-): φονοισιν 48 **635** ὁμοστιχάει 48 224 tt Z Ω (barbarum iudicavit DThr): ὁμοῦ στ- Bekker cl. Σ 577 **639** ἄνακτος 635 Ω* (cf. Hymn. 15.5): ἀέθλων 48 60 636 t A[m] F G (cf. Θ 363) **640** ἀγγελίης Ar 48 60 635 t Z Ω: -ην Zen V: -ας (Leaf) 224 r.—cf. ad Γ 206, N 252 **641** ἀμείνων 635 636 t* Ω: ἀρείων EtG **642** παντοίας ἀρετάς 48 60 635 Z Ω (cf. δ 725): -ην -ήν t *h* **645** στρεφθεὶς 48 60 Ω: et στραφθ- nov. Did πάλτο 48 1345 t Z (-τω) Ω (πᾶ- A[a] B[a]? C E F[c] W G): ἄλτο (vel ἆ-) Did[γρ] O: ἄντυγ' ἔπαλτο Payne Knight **646** ποδηνεκέ' 1341 t sch[D] H[a]: -κὲς 48 60 Ω **647** ἐνὶ A, ἐνι Ω* **648** κροτάφοισι 48 1345 Ω*: -οιο 48[s] T N

650 στήθεϊ δ' ἐν δόρυ πῆξε, φίλων δέ μιν ἐγγὺς ἑταίρων
κτεῖν'· οἳ δ' οὐκ ἐδύναντο καὶ ἀχνύμενοί περ ἑταίρου
χραισμεῖν, αὐτοὶ γὰρ μάλα δείδισαν Ἕκτορα δῖον.
εἰσωποὶ δ' ἐγένοντο νεῶν, περὶ δ' ἔσχεθον ἄκραι
νῆες, ὅσαι πρῶται εἰρύατο· τοὶ δ' ἐπέχυντο.
655 Ἀργεῖοι δὲ νεῶν μὲν ἐχώρησαν καὶ ἀνάγκηι
τῶν πρωτέων, αὐτοῦ δὲ παρὰ κλισίηισιν ἔμειναν
ἀθρόοι, οὐδ' ἐκέδασθεν ἀνὰ στρατόν· ἴσχε γὰρ αἰδώς
καὶ δέος· ἀζηχὲς γὰρ ὁμόκλεον ἀλλήλοισιν.
Νέστωρ αὖτε μάλιστα Γερήνιος, οὖρος Ἀχαιῶν,
660 λίσσεθ' ὑπὲρ τοκέων γουνούμενος ἄνδρα ἕκαστον·
"ὦ φίλοι, ἀνέρες ἔστε, καὶ αἰδῶ θέσθ' ἐνὶ θυμῶι
ἄλλων ἀνθρώπων, ἐπὶ δὲ μνήσασθε ἕκαστος
παίδων ἠδ' ἀλόχων καὶ κτήσιος ἠδὲ τοκήων,
ἠμὲν ὅτεωι ζώουσι καὶ ὧι κατατεθνήκασιν.
665 τῶν ὕπερ ἐνθάδ' ἐγὼ γουνάζομαι οὐ παρεόντων
ἑστάμεναι κρατερῶς, μηδὲ τρωπᾶσθε φόβονδε."
ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.
τοῖσι δ' ἀπ' ὀφθαλμῶν νέφος ἀχλύος ὦσεν Ἀθήνη
θεσπέσιον, μάλα δέ σφι φόως γένετ' ἀμφοτέρωθεν,
670 ἠμὲν πρὸς νηῶν καὶ ὁμοιΐοο πτολέμοιο·
Ἕκτορα δ' ἐφράσσαντο βοὴν ἀγαθὸν καὶ ἑταίρους,
ἠμὲν ὅσοι μετόπισθεν ἀφέστασαν οὐδ' ἐμάχοντο,

653–4 (–εἰρ.) sch Eur. Andr. 456; **653** Porph. Il. 207.15 Schr.; (–νεῶν) ApS 65.9; H. ε 1200; (ἄκραι νῆες) id. α 2532 **655** (νηῶν–)–**6** (τῶν πρ.) sch^{bT} Ξ 31–2 **657–8** (αἰδὼς καὶ δέος ἀλλήλ.) H. ι 1059 **660a** cf. ApS 160.31 **664** (ὅτεωι) H. ο 1483 **665** (–γουν.) Nic ad Ο 660b **671** Arn ad Ο 668a; Porph. Il. 40.18 Schr.; (–ἀγ.) sch B 408b, N 123–4a[1]

650 στήθεϊ sic Ω **651** περ Ar Ω: περ'(ι) Hellanicus **652** μάλα δείδισαν 60 500a1 Ω*: μάλ' ἐδ- D T **656** πρωτέων 500a1 t^{b} A *b* (reprehendit DThr): πρώτων A^{γρ}: προτέρων 60 636 t^{T} A^{γρ} Ω* αὐτοῦ 60 500a1 Ω*: -οὶ A R N ἔμειναν Ω: ἔμιμνον *b*.—cf. ad Ξ 119 **657** οὐδ' ἐκέδασθεν 636 D R W G: οὐδὲ κ- Z Ω* (οὐδὲ σκ- F^{a}) **658** ὁμόκλεον D: ὀμ- Z Ω* **659–73** damn. Kammer; cf. Wilamowitz Il. u. H. 158 n.1 **659** αὖτε 60 Ω*: δ' αὖτε R.—cf. ad 370 **660** τοκέων Nic 60 t Ω*: τεκ- G **664** del. Payne Knight ὅτεω(ι) 60 t Z Ω*: ὅτω D^{c} H^{c}.—cf. ad 491 κατατεθνήκασι 60 439a (ex κατετ-) Ω: -κωσι G^{s} rr **666** τρωπᾶσθε 60 (-σδε) 636 A^{c} D B E F G, -σθαι A^{a} C T (cf. Ι 500, Λ 568, Σ 585): τροπάασθε 439a Z W N V, -σθαι R.—cf. ad Π 95, Υ 119; Chantr. I 358 **667** ὤτρυνε 500a3 Ω*: ὄτρ- 60 A O **668–73** ath. Ar **669** ἀμφοτέρωθεν 636^{a} Ω*: -ρωσε 60: -ροισι(ν) 636^{c} R.—cf. ad Λ 6, Ρ 440, Σ 502, Υ 170 **670** ὁμοιΐοο Ahrens: -ίου 60 Ω πτολέμοιο Ω: πολ- 60 **672** οὐδ' ἐμάχοντο Ω*: οὐδὲ μ- T R W

ἠδ' ὅσσοι παρὰ νηυσὶ μάχην ἐμάχοντο θοῇσιν.
οὐδ' ἄρ' ἔτ' Αἴαντι μεγαλήτορι ἥνδανε θυμῶι
675 ἑστάμεν ἔνθά περ ἄλλοι ἀφέστασαν υἷες Ἀχαιῶν,
ἀλλ' ὅ γε νηῶν ἴκρι' ἐπώιχετο μακρὰ βιβάσθων,
νώμα δὲ ξυστὸν μέγα ναύμαχον ἐν παλάμῃσιν,
κολλητὸν βλήτροισι, δυωκαιεικοσίπηχυ.
ὡς δ' ὅτ' ἀνὴρ ἵπποισι κελητίζειν εὖ εἰδώς,
680 ὅς τ' ἐπεὶ ἐκ πολέων πίσυρας συναείρεται ἵππους,
σεύας ἐκ πεδίοιο μέγα προτὶ ἄστυ δίηται
λαοφόρον καθ' ὁδόν, πολέες τέ ἑ θηήσαντο
ἀνέρες ἠδὲ γυναῖκες· ὃ δ' ἔμπεδον ἀσφαλὲς αἰεί
θρώισκων ἄλλοτ' ἐπ' ἄλλον ἀμείβεται, οἳ δὲ πέτονται·
685 ὣς Αἴας ἐπὶ πολλὰ θοάων ἴκρια νηῶν
φοίτα μακρὰ βιβάς· φωνὴ δέ οἱ αἰθέρ' ἵκανεν,
αἰεὶ δὲ σμερδνὸν βοόων Δαναοῖσι κέλευεν
νηυσί τε καὶ κλισίῃσιν ἀμυνέμεν. οὐδὲ μὲν Ἕκτωρ
μίμνεν ἐνὶ Τρώων ὁμάδωι πύκα θωρηκτάων,
690 ἀλλ' ὥς τ' ὀρνίθων πετεηνῶν αἰετὸς αἴθων
ἔθνος ἐφορμᾶται ποταμὸν πάρα βοσκομενάων,
χηνῶν ἢ γεράνων ἢ κύκνων δουλιχοδείρων,
ὣς Ἕκτωρ ἴθυσε νεὸς κυανοπρώιροιο

673a Arn ad O 668a **677** (–ναύμ.) Epm. ξ 11; (ναύμ.–) Hdn ad O 389a **678** ApS 51.26; Aristid. Or. 3.470; **678**a Epm. β 30; (βλήτ.) H. β 724; EtG β 144; **678**b Hdn ad Z 319b, Ψ 264 **679** (κεληθίζειν) H. (Cyr.) κ 2165 **680** + **682**a Philemo Atticista ap. Porph. Hom. 36.26 Sod.; **680**b EtG s.v. πίσσυρες; (πίσ.) ApS 131.30; H. π 2378; **681**a id. σ 461; (σεύας) ApS 141.3; **682** (λαοφ.) H. λ 298 **684**a Harpocr. α 91 **685** (ἴκρια) cf. Apion. 42.3; H. ι 501 **686** Eudoc. 926; **686**b sch Σ 505b; Porph. Od. 115.5 Schr. **687** (σμ. βο.) Porph. Hom. 53.3 Sod.; (σμ.) ApS 143.8; H. σ 1232; Orio 141.11 **690** (αἰετὸς αἴ.) H. α 1819; EtG α 189 **693**b H. ν 351

675 ἔνθά sic 1 Ω praeter B^{c} (ἐνθά E) ἀφέστασαν Ω*: ἐφ- 1 60 *b* R G **676** ἴκρι' Hdn 1 Z A$^{\lambda}$ Ω*: parox. C N V (et in 685) βιβάσθων Z Ω: cf. ad N 809 **678** βλή–τροισι Hdn 1 Ω: properisp. A^{m} δύω καὶ εἰκοσίπηχυ fere 1 tt* Ω*: -σάπηχυ Aristid.^{vl} R, -σι|||πηχυ G **679** κελητίζειν Hdn Z Ω: κέλητ'ἴζ- quidam ante Hdn: κέληθ'ἴζ- 1 60 t (κελεθ- cod.) εὖ Z Ω, ευ 1: ἔϋ Ludwich (ἐϋ Bekker) **680** συναείρεται Philemo (cl. K 499) sch^{bT}: συναγεί- (deprec. Philemo) 1 t* sch$^{T\gamma\rho}$ Z Ω.—cf. Erbse Beitr. 30 **681** δίηται Ω*: διώκη(ι) 1 60 A$^{\gamma\rho}$ *b* F, -ειν R **684** θρώισκων A W H: θρώσκ- 1 60 [1346] Ω* **686** βιβάς t Ω*: -βῶν 60 A$^{\gamma\rho}$ F R.—cf. ad H 213 **687** βοόων t Ω*: βοάων 60 F^{a} R **689*a*** (= X 459) add. quidam ap. sch^{T} **691** πάρα Ω*: παρὰ D, παρα- R **692** (= B 460) om. C^{a}, del. Payne Knight: hab. 500a3 1341 1347 sch^{AT} Ω **693** νεὸς 1347 t A B^{c} F^{a} T R^{a} W G: νεὼς Ω* κυανοπρώ(ι)ροιο 500a3 1347 t Z Ω: -πρωείρου Bergk PLG^{4} III 533 (-πρωΐρου La Roche Unt. I 220, -πρωαίρου Schulze 486

ἀντίος ἀΐξας· τὸν δὲ Ζεὺς ὦρσεν ὄπισθεν
695 χειρὶ μάλα μεγάληι, ὤτρυνε δὲ λαὸν ἅμ' αὐτῶι.
αὖτις δὲ δριμεῖα μάχη παρὰ νηυσὶν ἐτύχθη.
φαίης κ' ἀκμῆτας καὶ ἀτειρέας ἀλλήλοισιν
ἀντέσθ' ἐν πολέμωι· ὣς ἐσσυμένως ἐμάχοντο.
τοῖσι δὲ μαρναμένοισιν ὅδ' ἦν νόος· ἤτοι Ἀχαιοί
700 οὐκ ἔφασαν φεύξεσθαι ὕπεκ κακοῦ, ἀλλ' ὀλέεσθαι,
Τρωσὶν δ' ἤλπετο θυμὸς ἐνὶ στήθεσσιν ἑκάστου
νῆας ἐνιπρήσειν κτενέειν θ' ἥρωας Ἀχαιούς.
οἳ μὲν τὰ φρονέοντες ἐφέστασαν ἀλλήλοισιν·
Ἕκτωρ δὲ πρυμνῆς νεὸς ἥψατο ποντοπόροιο
705 καλῆς ὠκυάλου, ἣ Πρωτεσίλαον ἔνεικεν
ἐς Τροίην, οὐδ' αὖτις ἀπήγαγε πατρίδα γαῖαν.
τοῦ περ δὴ περὶ νηὸς Ἀχαιοί τε Τρῶές τε
δήιουν ἀλλήλους αὐτοσχεδόν· οὐδ' ἄρα τοί γε
τόξων ἀϊκὰς ἀμφὶς μένον οὐδέ τ' ἀκόντων,
710 ἀλλ' οἵ γ' ἐγγύθεν ἱστάμενοι, ἕνα θυμὸν ἔχοντες,
ὀξέσι δὴ πελέκεσσι καὶ ἀξίνῃσι μάχοντο
καὶ ξίφεσιν μεγάλοισι καὶ ἔγχεσιν ἀμφιγύοισιν.
πολλὰ δὲ φάσγανα καλὰ μελάνδετα κωπήεντα
ἄλλα μὲν ἐκ χειρῶν χαμάδις πέσον, ἄλλα δ' ἀπ' ὤμων

696 Dio. Prus. 8.20; (δρ. μάχη) H. δ 2782 **697** (–ἀτειρ.) + **698** Auct. π. ὕψ. 26.1; (–ἀτειρ.) sch Ar. Ach. 24a; **698** ApS 31.30; (ἀντ.) H. α 5354; (ἐσσυμ.) H. (Cyr.) ε 6349 **700** (φεύξ.) H. φ 332 **704** (πρ.–ἥψ.) sch Π 9a[1] **705** (ὠκυ.) EtG s.v.; (ἔν.) H. ε 3104 **708a** sch P 65b; (οὐδ'–)–**709** (–μένον) EtG α 275; **709** ApS 15.15; (ἀϊκάς) H. α 1907, 1270 **710** al. (ἕνα θ. ἔχ.) [Luc.] Dial. 82.27; Epm. ad A 173a[2] **711–12a** Dio Prus. 8.20; **711** (–ἀξ.) sch N 611–12; **712** ApS 28.12 **713** (–φάσγ.) + **714** (–πέσον) Arn ad O 712a; **713** (μελάνδ.) H. μ 650

sq.), cf. γ 299 ap. EtG/EtM s.v. πρῶιρα **694** ἀντίος Ar Ω: -ον (nov. Did) rr ἀΐξας 636 A[γρ] Ω*: ἀΐσσων A *b*.—cf. ad Λ 423 ὦρσεν (nov. Did) 60 500a3 1347 Ω* (cf. N 83): ὦσεν Ar A[m] G[c?] N H **695** ὄτρυνε 60 1347 rr **698** ἀντέσθ' Tyr: proparox. Hdn Z Ω ὣς Ω*: ὡς A D C E.—cf. ad N 133 **700** φεύξεσθαι 1341 (t) Ω*: -ασθαι 60 1347 *h* F[a] W.—cf. ad N 89 ὕπεκ dedi (Praef. xix): ὑπεκ A B[c] F, ὑπ' ἐκ Ω* **701** ἤλπετο 60 Ω*: ἔλπ- R W **702** ἐνιπρήσειν 1342 Ω: -πρησαι 60 1347[a] (-ση 1347[c]) κτενέειν 60 1341 1347 Ω*: κταν- D θ' 60 F W G: δ' 1347 Ω* **704** πρυμνῆς Düntzer: parox. 1347 Ω νεὸς 1347 A B E F[c?] W G: νεὼς Ω* **705** ὠκυάλου Dion. Hal. ap. sch[A] contra τὴν παράδοσιν; ambigit Hdn **706** ἀπήγαγε 60 1347 Ω: ἀφίκετο quidam ap. sch[T] (ex N 645) **708** δή(ι)ουν 60 t Ω: δηΐον Wack. Unt. 170.—cf. ad E 452 **709** οὐδ' ἔτ' Monro; cf. Denniston 531 n.1 **711** ἀξίνη(ι)σι μάχοντο 60 (-ξειν-) 1347 (-ξείν-) Ω: -ναις ἐμάχ- Dio **712** ath. Ar **714** πέσον Ar A T W: -σεν (nov. Did) 60 1347 Ω*.—cf. ad E 583, M 159, N 617

715 ἀνδρῶν μαρναμένων· ῥέε δ' αἵματι γαῖα μέλαινα.
Ἕκτωρ δὲ πρύμνηθεν ἐπεὶ λάβεν, οὔ τι μεθίει,
ἄφλαστον μετὰ χερσὶν ἔχων, Τρωσὶν δ' ἐκέλευεν·
"οἴσετε πῦρ, ἅμα δ' αὐτοὶ ἀολλέες ὄρνυτ' ἀϋτήν.
νῦν ἥμιν πάντων Ζεὺς ἄξιον ἦμαρ ἔδωκεν,
720 νῆας ἑλεῖν, αἳ δεῦρο θεῶν ἀέκητι μολοῦσαι
ἡμῖν πήματα πολλὰ θέσαν, κακότητι γερόντων,
οἵ μ' ἐθέλοντα μάχεσθαι ἐπὶ πρυμνῇσι νέεσσιν
αὐτόν τ' ἰσχανάασκον ἐρητύοντό τε λαόν.
ἀλλ' εἰ δή ῥα τότε βλάπτε φρένας εὐρύοπα Ζεύς
725 ἡμετέρας, νῦν αὐτὸς ἐποτρύνει καὶ ἀνώγει."
ὣς ἔφαθ', οἳ δ' ἄρα μάλλον ἐπ' Ἀργείοισιν ὄρουσαν.
Αἴας δ' οὐκέτ' ἔμιμνε, βιάζετο γὰρ βελέεσσιν,
ἀλλ' ἀνεχάζετο τυτθόν, ὀϊόμενος θανέεσθαι,
θρῆνυν ἔφ' ἑπταπόδην, λίπε δ' ἴκρια νηὸς ἐΐσης.
730 ἔνθ' ἄρ' ὅ γ' ἑστήκει δεδοκημένος, ἔγχεϊ δ' αἰεί
Τρῶας ἄμυνε νεῶν, ὅς τις φέροι ἀκάματον πῦρ.
αἰεὶ δὲ σμερδνὸν βοόων Δαναοῖσι κέλευεν·
"ὦ φίλοι, ἥρωες Δαναοί, θεράποντες Ἄρηος,
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς.
735 ἠέ τινάς φαμεν εἶναι ἀοσσητῆρας ὀπίσσω
ἠέ τι τεῖχος ἄρειον, ὅ κ' ἀνδράσι λοιγὸν ἀμύναι;

716–17 (–ἔχων) sch A.R. 1.1089a; **716** (οὐχὶ μεθ.) ApD Adv. 162.30; **717** (–ἔχων) EtG α 380; (ἄφλ.) ApS 49.6; H. α 8701 **718** (οἴσετε πῦρ) Hdn ad M 175a^1; sch N 168a; Choer. in Thd. ii.243.20, 244.8 **722–3** sch Σ 312–13a **726** Aristid. Or. 2.413 **727** Hermog. Inv. 198.9 R.; **727**a Philostr. Her. 9; Lib. Ep. 625.2 (x.575.6 F.) **728** (ὀϊόμ.) ApS 119.21 **729** ApS 88.17; **729**a sch Ξ 240b^1; Choer. in Ps. 168.3; (θρ.) Apio 241.18; (ἐφ' ἑπτ.) H. ε 7391; (ἑπτ.) ApS 75.11; H. ε 5553; (ἐΐσης) Apio 234.9 **730** (–δεδοκ.) EtG s.v. δεδοκημένος; (δεδοκ.) ApS 57.17; H. (Cyr.) δ 401 **733–41** Macr. Sat. 5.9.15; **735** (φαμεν) H. (Cyr.) φ 134; **736** al. (ἄρειον) ApS 42.5;

716 οὔ τι μεθίει t*: οὐχὶ μ- 1347 ApD Ω: οὐκὶ μ- N: οὐκ ἐμ- Zen (cf. ad A 68, 611).—cf. ad Π 762; Wack. Unt. 31 n.1 **717** δ' ἐκέλευεν Ω (δὲ κ- A G): -σεν O **718** αὐτοὶ 60 1347 Ω: ἄλλοι *h* **719** ἥμιν A A^λ D B C F^a T, ἦμιν F^c W: ἡμῖν Z Ω* **720** ἀέκητι 1347 A **722** μ' ἐθέλοντα (non με θ-) Ar 1347 Ω πρυμνῇσι Bekker: proparox. Ω -σι νέεσσιν 60 1347 t Ω*: -σιν Ἀχαιῶν T **724** τότ' ἔβλαπτε *b* F R W (-εν) βλαψε 1347^c **725** καὶ ἀνώγει Hdn (ἀνωγεῖ deprecatus) 1347 Ω: μαχεσασθαι 60 (= P 178 al.) **726** μάλλον Blass: μᾶ- t Ω, μα- 1347,]λον 60: πάντες *h* O **727** οὐκέτ' ἔμιμνε tt Ω*: οὐκέτι μίμνε R **728** ἀνεχάζετο Z Ω*: ἀναχ- C T^a N **729** ἔφ' van Leeuwen: ἐφ' 60 tt* Ω: ὑφ' ApS ἴκρια (Hdn) Ω*: parox. C R.—cf. ad 676 **730** ἑστήκει 60 t A A^λ B E F: εἱστ- Ω* **731** φέροι 60 1347 Ω*: -ει D R W **732** βοόων 1347^c Ω*: βοάων 60 R: βόων 1347^a W **735** ἦε (Bekker) B^a E F^a φαμεν vel φαμὲν (temp. praes.) Hdn Ω **736** ἢ ἔτι D ἀμύναι (vel -ῦναι)

οὐ μέν τι σχεδόν ἐστι πόλις πύργοις ἀραρυῖα,
ἧι κ' ἀπαμυναίμεσθ' ἑτεραλκέα δῆμον ἔχοντες,
ἀλλ' ἐν γὰρ Τρώων πεδίωι πύκα θωρηκτάων
740 πόντωι κεκλιμένοι ἑκὰς ἥμεθα πατρίδος αἴης·
τὼ ἐν χερσὶ φόως, οὐ μειλιχίηι πολέμοιο."
ἦ, καὶ μαιμώων ἔφεπ' ἔγχεϊ ὀξυόεντι.
ὅς τις δὲ Τρώων κοίληις ἐπὶ νηυσὶ φέροιτο
σὺν πυρὶ κηλείωι, χάριν Ἕκτορος ὀτρύναντος,
745 τὸν δ' Αἴας οὔτασκε δεδεγμένος ἔγχεϊ μακρῶι·
δώδεκα δὲ προπάροιθε νεῶν αὐτοσχεδὸν οὖτα.
Π ὣς οἱ μὲν περὶ νηὸς ἐϋσσέλμοιο μάχοντο·
Πάτροκλος δ' Ἀχιλῆϊ παρίστατο ποιμένι λαῶν,
δάκρυα θερμὰ χέων ὥς τε κρήνη μελάνυδρος,
ἥ τε κατ' αἰγίλιπος πέτρης δνοφερὸν χέει ὕδωρ.
5 τὸν δὲ ἰδὼν ὤικτιρε ποδάρκης δῖος Ἀχιλλεύς,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
"τίπτε δεδάκρυσαι, Πατρόκλεις, ἠΰτε κούρη
νηπίη, ἥ θ' ἅμα μητρὶ θέουσ' ἀνελέσθαι ἀνώγει
εἱανοῦ ἁπτομένη, καί τ' ἐσσυμένην κατερύκει,
10 δακρυόεσσα δέ μιν ποτιδέρκεται, ὄφρ' ἀνέληται;

737 + **739–40** Prisc. Inst. 18.170; **738**b sch Nic. Th. 2; (ἑτερ. δ.) H. ε 6548; **739–40** (–ἥμεθα) Porph. Il. 210.10 Schr.; **740**a sch X 3; H. π 3002; (κεκλ.) H. (Cyr.) κ 2066; (ἥμεθα) H. η 450; **741** (μειλ.) id. μ 600, [1356] **744** (–Ἕκτ.) Hdn ad Θ 217b; (κηλ.) ApS 99.7; H. κ 2496 **745** (δεδεγ.) Apio 229.15 **Π 1** w34 ii 4 (lacerum); **1**a sch Π 120b[1] **7–8** (νηπ.) [Plut.] Hom. 2.89.2; **7** ib. 134.1; **7**a Hdn ii.250.8; (ἠΰτε–)–**8** sch Soph. Tr. 1071; (ἠΰτε–)–**8** (–θέουσα) sch Φ 257–62a **9** Plut. Mor. 792e; **9**a ApS 85.19; Hdn ii.912.21; sch B 152; (εἱανοῦ) H. ε 721 **10** (–ποτ.) Epm. δ 72; (ποτ.) H. π 3138

fere 1297 t Ω: αλαλκοι 60 (cf. Φ 539) **737** τι Ar A^{m} D F T G: τις (nov. Did) 60 225$^{?}$ tt F^{s} Ω*: τοι *h* **738** ἀπαμυναίμεσθ' 225 1341 t Z A D T W: ἐπαμ- 60 A^{s} *b* R G: ἀμ- F **739** πεδίωι 60 1347 tt Ω: ὁμάδωι A^{γρ} r (ex 689) **741** τὼ V: τῶ(ι) Ω: τω 1341: τὸ Z μειλιχίηι Ar sch^{D} Ω* (cf. A.R. 2.333 sq.; Rengakos 98): -ίη DThr, iota om. et 60 1347 F^{a} R W πτολε[μοιο 1347 **743** νηυσὶ φέροιτο Ω: -σὶν ἄγοιτο *b*.—cf. sch^{T} 705e et ad Ω 697 **744** κηλείω(ι) 225^{c} t Ω*, -λαιω 60, -λέω(ι) 225^{a} Z D: κηαλέωι Schulze 475 ὀτρύναντος Ω*: -νοντος Z A^{m} F **745** ἔγχεϊ μακρῶι Ω*: ὀξέϊ χαλκῶι *b h* **746** οὖτα Ω*: οὔτα B^{c} C^{a} F T^{s} R **Π 4** δνοφερὸν (= I 15) 60 Ω: γν- rr **4***a* (= I 16) add. 60 **5** ὤικτιρε Nauck, -ειρε 60 Z Ω (alterutrum nov. Did; cf. Ψ 534): θάμβησε Ar **7** Πατρόκλεις 60 tt Ω: -εες Barnes.—cf. Praef. xxv **8** ἀνώγει 1341 t Ω: -ηι Hentze: ἄνωγεν Z **9** εἱανοῦ ἁπτομένη 60 440 tt Z Ω: ἁπτομένη ἑανοῦ Nauck post Brandreth ἐσσυμένην t Ω (cf. Z 518, ο 73): -νη Eust.^{γρ} rr κατερύκει 1341 t Ω: -ηι Hentze **10** ποτιδέρκεται Ar 60 tt Z Ω: προσδ- Zen ἀνέληται Ω*: ἂν ἕλ- R

τῆι ἴκελος, Πάτροκλε, τέρεν κατὰ δάκρυον εἴβεις.
ἠέ τι Μυρμιδόνεσσι πιφαύσκεαι ἠ' ἐμοὶ αὐτῶι,
ἠέ τιν' ἀγγελίην Φθίης ἒξ ἔκλυες οἶος—
ζώειν μὰν ἔτι φασὶ Μενοίτιον Ἄκτορος υἱόν,
15 ζώει δ' Αἰακίδης Πηλεὺς μετὰ Μυρμιδόνεσσιν,
τῶν κε μάλ' ἀμφοτέρων ἀκαχοίμεθα τεθνηώτων—
ἦε σύ γ' Ἀργείων ὀλοφύρεαι, ὡς ὀλέκονται
νηυσὶν ἔπι γλαφυρῆισιν ὑπερβασίης ἕνεκα σφῆς;
ἐξαύδα, μὴ κεῦθε νόωι, ἵνα εἴδομεν ἄμφω."
20 τὸν δὲ βαρὺ στενάχων προσέφης, Πατρόκλεις ἱππεῦ·
"ὦ Ἀχιλεῦ, Πηλῆος υἱέ, μέγα φέρτατ' Ἀχαιῶν,
μὴ νεμέσα· τοῖον γὰρ ἄχος βεβίηκεν Ἀχαιούς.
οἳ μὲν γὰρ δὴ πάντες, ὅσοι πάρος ἦσαν ἄριστοι,
ἐν νηυσὶν κέαται βεβλημένοι οὐτάμενοί τε.
25 βέβληται μὲν ὁ Τυδείδης κρατερὸς Διομήδης,
οὔτασται δ' Ὀδυσεὺς δουρικλυτὸς ἠδ' Ἀγαμέμνων,
βέβληται δὲ καὶ Εὐρύπυλος κατὰ μηρὸν ὀϊστῶι.
τοὺς μέν τ' ἰητροὶ πολυφάρμακοι ἀμφιπένονται,
ἕλκε' ἀκειόμενοι· σὺ δ' ἀμήχανος ἔπλε', Ἀχιλλεῦ.
30 μὴ ἐμέ γ' οὖν οὗτός γε λάβοι χόλος, ὃν σὺ φυλάσσεις.

11 Epm. κ 148, τ 70; **11a** ib. τ 70; **11b** ib. ε 193, τ 71; Choer. in Ps. 11.26; (κατὰ–) H. (Cyr.) κ 1046 **12** ApD Pron. 45.25, Synt. 190.2; Hdn i.518.16; (–πιφ.) Epm. ad A 2b[1] **13** Hdn i.519.1 **14** (–Μεν.) + **15–16** (–ἀκαχ.) sch ε 394; **16** (ἀκαχ.) H. α 2241 **17** sch Π 12–13a; Hdn i.519.2 **18** (ὑπερβ.) H. υ 352; (σφῆς) id. σ 2898 **20** (vel 744, 843) 'Hdn.' Fig. 7; (Π. ἱππεῦ) sch Arat. 733 **21** Plut. Mor. 35b; (–υἱέ) sch Heph. 348.15 **28** (ἰη. πολ.) sch N 213c **29a** ApS 19.11; (ἀκ.) H. α 2407; **29b** Apio 217.19 **30** Eudoc. 1705; (–χόλ.) + **31** (αἰν.) sch Π 31c; **31–2** [Plut.] Hom.

11 del. Payne Knight δάκρυον εἴβεις tt* Z Ω (cf. T 323, π 332): -υα λ‹ε›ίβεις Hsch. **12** ἠέ τι B[c] C F[c] T (cf. Monro HG[2] §340): ἦέ τι ApD Hdn A B[a] E F[a] W: ἢ ἔτι D R: ἦ ἔτι Epm. F[c] G ἠ' ἐμοὶ Fick, ἢ ἐμοὶ Ω*: ἦ ἐμοὶ Hdn A G: ἠδ' ἐμοὶ ApD: ηε συ (pro σοι) 60 **13** ἠέ Ω*: ἦέ Hdn A F[a]: ἢέ D ἒξ ἔκλυες A *b* G: ἐξ ἔ- Nic: ἐξέ- Ω* **16** ἀμφοτέρων 60 1349 Z Ω: -ρω Naber ἀκαχοίμεθα 60 1349 tt Z (-χύ-) Ω*: -ήμεθα C R τεθνηώ-των Ar[ab] D[s] Ω*: -θνει- (nov. Did) 60[?] A (ss. ηι) D B[c] E[s] F G **17** ἦε Hdn A B[a] E F[c] W[c]: ἠὲ A[m] Ω* ὣς N **18** ἔπι Barnes: ἐπι A, ἐπὶ Ω* **20** βαρὺ στενάχων 60 440 1297 Ω: ἀπαμειβόμενος t Πατρόκλεις 60 1349 tt Ω: -εες Payne Knight.—cf. Praef. xxv **21** Πηλῆος "οἱ ὑπομνηματισάμενοι": -λέως Ptol 60 t* Ω*: -λέος Plut. C R W G[s].—v. Praef. xxxiv φέρτατ' 60 1349 Ω: κῦδος t **25** ὁ Ar 60 Z Ω: om. Arph.—cf. ad Θ 532, Λ 660 **26** hab. 440 1297 1349 1350 1351 Z Ω: om. 60 δουρὶ κλυτὸς A B[a] E F T W **29** ἕλκε' 60 440 Ω, ἐλκ' Z: ἕλκος t ἀκειόμενοι Z F[c] T W, -όμενον ApS: -άμενοι 60 Ω*: ἀκίμενοι Hsch.[cod] ἔπλε' Payne Knight, ελπε' 60: ἔπλευ 1349 1351 t Z Ω: -εο r **30** damn. Düntzer Aristarch (1862) 118 γοῦν C G

αἰναρέτη· τί σε' ἄλλος ὀνήσεται ὀψίγονός περ,
αἴ κε μὴ Ἀργείοισιν ἀεικέα λοιγὸν ἀμύνῃς;
νηλεές· οὐκ ἄρα σοί γε πατὴρ ἦν ἱππότα Πηλεύς
οὐδὲ Θέτις μήτηρ, γλαυκὴ δέ σε τίκτε θάλασσα
35 πέτραι τ' ἠλίβατοι, ὅτι τοι νόος ἐστὶν ἀπηνής.
εἰ δέ τινα φρεσὶ σῇισι θεοπροπίην ἀλεείνεις
καί τινά τοι πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ,
ἀλλ' ἐμέ περ πρόες ὦχ', ἅμα δ' ἄλλον λαὸν ὄπασσον
Μυρμιδόνων, αἴ κέν τι φόως Δαναοῖσι γένωμαι.
40 δὸς δέ μοι ὤμοιιν τὰ σὰ τεύχεα θωρηχθῆναι,
αἴ κ' ἐμὲ σοὶ ἴσκοντες ἀπόσχωνται πολέμοιο
Τρῶες, ἀναπνεύσωσι δ' ἀρήϊοι υἷες Ἀχαιῶν
τειρόμενοι· ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο.
ῥεῖα δέ κ' ἀκμῆτες κεκμηότας ἄνδρας ἀϋτῆι
45 ὤσαιμεν προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων."
ὣς φάτο λισσόμενος, μέγα νήπιος· ἦ γὰρ ἔμελλεν
οἷ αὐτῶι θάνατόν τε κακὸν καὶ κῆρα λιτέσθαι.
τὸν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
"ὤι μοι, διογενὲς Πατρόκλεις, οἷον ἔειπες.

2.142.1; **31** ApS 14.15; Choer. in Thd. i.164.26; (–ὀν.) sch Λ 762–3a[1]; (αἰν.) Porph. Hom. 102.3 Sod.; H. α 1973; EtG α 211ab **33–5** Plut. Mor. 67a; **33–4** Macr. Sat. 5.11.4; **33–4a** sch Π 273–4; **33** (οὐκ–)–**5** Gell. 12.1.20; **33** (–ἦν) Epm. ν 19; (οὐκ–πατήρ) Apio 223.1; (ἱππ. Π.) sch Pind. Ol. 8.64b, Nem. 3.92b; **34b–5** Hypoth. Pind. Isth. (iii.193.23 Dr.); **34b** Plut. Mor. 970b; Hdn ad Σ 39–46; sch Theoc. 3.15; Serv. auct. Aen. 4.367; (γλ. θ.) Plut. Mor. 934f; (γλ.) Porph. Hom. 50.4 Sod.; H. γ 602; **35a** id. π 2063/4 **36a** sch Π 49 **39** (ἥν–) sch Υ 95 **40–1a** Philostr. Vit. Soph. 21.8 **42** (ἀναπν.–)–**3** (= Λ 800–1) EtG α 796; **43b** id. α 1017 **44–5** (ὤσ.) ApS 19.32; **44a** sch Π 43; (ἀκμ.) H. (Cyr.) α 2450 **46** (–νήπ.) Hdn i.446.17; (ἦ–)–**7** Arn ad Π 46c[1]; 'Hdn.' Fig. 61; **47** Choer. in Thd. ii.226.25; (–κακόν) ApD Pron. 46.24; (καὶ–) sch A 394; (κῆρα λ.) EtG λ 126; (λιτ.) H. (Cyr.) λ 1145

31 αἰναρέτη Ar 60 tt* Z Ω: -της (nov. Did?) quidam ap. sch[bT] (cf. A 232?): -τα O rr: -την [Plut.][vl]: αἴν'· ἀρετῆς quidam ante Ar, sc. Arph? τί 60 Z Ω*: τίς tt A[λ] *b* F[s] T R[c] W σε' Fick, σε P: σευ 60 tt* Z Ω: om. Choer. ὀνήσεται tt* Z Ω, -σιεται 60: ὀνόσσ- ApS ὀψίγονός 60 tt Ω*: -γόνων W O **32** hab. 60 678 1350 t Ω: om. 440 **33** σοί γε 60 tt* Ω, σ[678: σου γε Macr.: δή σοι Epm. **34** σε τίκτε T[a] N: σ' ἔτ- Z Ω* **35** ὅτι 60 tt Ω*, ὅ τι sch[T] (Hdn?) (= Ψ 484): ὅτε vel ὅ τε Ar F[a]? **39** αἴ κέν 60 H: ἥν πού t Ω.—cf. ad Λ 797 **40** τὰ σὰ 60 t Ω: τεὰ Payne Knight (cf. ad A 207) **41** κ' ἐμὲ D G: κέ με Ω*: κεν 671 ἴσκοντες Ptol Hdn 60 t (-ωσι) Ω: εἴσκ- Ar Z.—cf. ad Λ 799 **43** damn. Heyne; cf. ad Λ 801 **46** post λισσόμενος interpungere invitat Nic **47** οἷ Arn Ω (οἱ T, οἳ R[a]): οἷ τ' tt* H O: οι δ' 60 λιτέσθαι plerique ante Hdn Z Ω*: proparox. Ptol: λιπέσθαι 60 C T[γρ] W **49** ὤι *b* T W: ὤ Ω*, ω 60: ὦ G[a] Πατρόκλεις 60 1352 Ω: -εες Payne Knight ἔειπας C

50 οὔτε θεοπροπίης ἐμπάζομαι, ἥν τινα οἶδα,
οὔτέ τί μοι πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ,
ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει,
ὁππότε δὴ τὸν ὁμοῖον ἀνὴρ ἐθέλησιν ἀμέρσαι
καὶ γέρας ἂψ ἀφελέσθαι, ὅ τε κράτεϊ προβεβήκηι·
55 αἰνὸν ἄχος τό μοί ἐστιν, ἐπεὶ πάθον ἄλγεα θυμῶι.
κούρην, ἣν ἄρα μοι γέρας ἔξελον υἷες Ἀχαιῶν,
δουρὶ δ' ἐμῶι κτεάτισσα, πόλιν εὐτείχεα πέρσας,
τὴν ἂψ ἐκ χειρῶν ἕλετο κρείων Ἀγαμέμνων
Ἀτρεΐδης, ὡς εἴ τιν' ἀτίμητον μετανάστην.
60 ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν· οὐδ' ἄρα πως ἦν
ἀσπερχὲς κεχολῶσθαι ἐνὶ φρεσίν. ἤτοι ἔφην γε
οὐ πρὶν μηνιθμὸν καταπαυσέμεν, ἀλλ' ὁπότ' ἂν δή
νῆας ἐμὰς ἀφίκηται ἀϋτή τε πτόλεμός τε.
τύνη δ' ὤμοιιν μὲν ἐμὰ κλυτὰ τεύχεα δῦθι,
65 ἄρχε δὲ Μυρμιδόνεσσι φιλοπτολέμοισι μάχεσθαι,
εἰ δὴ κυάνεον Τρώων νέφος ἀμφιβέβηκεν
νηυσὶν ἐπικρατέως, οἳ δὲ ῥηγμῖνι θαλάσσης
κεκλίαται, χώρης ὀλίγην ἔτι μοῖραν ἔχοντες,
Ἀργεῖοι. Τρώων δὲ πόλις ἐπὶ πᾶσα βέβηκεν
70 θάρσυνος· οὐ γὰρ ἐμῆς κόρυθος λεύσσουσι μέτωπον
ἐγγύθι λαμπομένης. τάχα κεν φεύγοντες ἐναύλους
πλήσειαν νεκύων, εἴ μοι κρείων Ἀγαμέμνων
ἤπια εἰδείη· νῦν δὲ στρατὸν ἀμφιμάχονται.
οὐ γὰρ Τυδεΐδεω Διομήδεος ἐν παλάμηισιν

50 (–ἐμπ.) EtG s.v. ἐμπάζομαι **53** Eudoc. 1416; EtG α 630; Epm. α 337; (ἀμ.) H. α 3610 **56** Porph. Il. 97.3 Schr.; (γέρας ἔξ.) sch Z 234a **57**a Hdn ad Σ 92b^{1}; (πέρσας) Nic ad Π 56 **60** (–ἐάσ.) sch [Aesch.] Prom. 261; H. τ 1; (προτ.) id. π 3984 **62** (–καταπ.) sch Π 61b; (μην.) ApS 112.26; H. (Cyr.) μ 1224 **64** (δῦθι) id. δ 2480 **66** sch Π 297; (κυάν. νέφ.) Porph. Hom. 125.9 Sod. **68** Epm. τ 53; (κεκλ.) H. κ 2065 **70** (οὐ–)–**1**a Plut. Mor. 541d; Synes. Calv. 17 (Opusc. 220.21 T.); (οὐ–) sch Z 10; Luc. Dial. 70.33; **71** (ἐναύλ.) ApS 68.25; H. ε 2702 **74–5**a Arn ad I 709a; **74** (–Διομ.) + **76**a Porph. Il. 210.14 Schr.; **76** Philox. fr. 470 Th.; (–ἔκλ.) sch Λ 15, Σ 513a

50 ἥν (= α 415; nov. Did) 60 Ω*, ἤν D B^{c} F T W: εἴ Ar F^{2γρ} T^{s} **51** οὔτέ sic Ω **53** δὴ (nov. Did) 60 tt Ω: τις Ar **57** εὐτείχεα libri ante Hdn Ω (-εον *b* T R): cur non sit parox. quaerit Hdn **58** ἂψ (= Σ 445) 60 1351 Ω: μ' ἂψ Axt **59** (= I 648) damn. Bentley; cf. Σ 445 sq. μετανάστην Ar 60 Z Ω: -νάστιν (-ναστεῖν T, corr. Lobeck) Rhi 𝔐 ut sit Briseis **64** ὤμοιϊν Ω*: -οισι R **66** εἰ 60 t Z Ω: ἦι sch^{bTγρ} R^{a}? 70 θάρσυνος· οὐ 60 Z Ω: αστυμεγου[671 λεύσσουσι tt* Z D F: λεύσουσι Plu. Luc. Ω* μέτωπον Plut. Luc. Z Ω: -πα tt* N^{c} **71** ἐναύλους Ar tt Z Ω: ἐπ- nov. Did u.v.—v.l. sim. ψ 358

75 μαίνεται ἐγχείη Δαναῶν ἀπὸ λοιγὸν ἀμῦναι,
οὐδέ πω Ἀτρείδεω ὀπὸς ἔκλυον αὐδήσαντος
ἐχθρῆς ἐκ κεφαλῆς, ἀλλ' Ἕκτορος ἀνδροφόνοιο
Τρωσὶ κελεύοντος περιάγνυται, οἳ δ' ἀλαλητῶι
πᾶν πεδίον κατέχουσι, μάχηι νικῶντες Ἀχαιούς.
80 ἀλλὰ καὶ ὧς, Πάτροκλε, νεῶν ἀπὸ λοιγὸν ἀμύνων
ἔμπεσ' ἐπικρατέως, μὴ δὴ πυρὸς αἰθομένοιο
νῆας ἐνιπρήσωσι, φίλον δ' ἀπὸ νόστον ἕλωνται.
"πείθεο δ', ὥς τοι ἐγὼ μύθου τέλος ἐν φρεσὶ θείω,
ὡς ἄν μοι τιμὴν μεγάλην καὶ κῦδος ἄρηαι
85 πρὸς πάντων Δαναῶν, ἀτὰρ οἳ περικαλλέα κούρην
ἂψ ἀπονάσσωσιν, ποτὶ δ' ἀγλαὰ δῶρα πόρωσιν.
ἐκ νηῶν ἐλάσας ἰέναι πάλιν· εἰ δέ κεν αὖ τοι
δώηι κῦδος ἀρέσθαι ἐρίγδουπος πόσις Ἥρης,
μὴ σύ γ' ἄνευθεν ἐμεῖο λιλαίεσθαι πολεμίζειν
90 Τρωσὶ φιλοπτολέμοισιν· ἀτιμότερον δέ με θήσεις·
μηδ' ἐπαγαλλόμενος πολέμωι καὶ δηϊοτῆτι
Τρῶας ἐναιρόμενος προτὶ Ἴλιον ἡγεμονεύειν,
μή τις ἀπ' Οὐλύμποιο θεῶν αἰειγενετάων
ἐμβήηι—μάλα τούς γε φιλεῖ ἑκάεργος Ἀπόλλων—

78 (περιάγ.) ApS 130.24; H. π 1566; Phot. Lex. s.v. **81–2a** sch Π 276a; **81a** sch Λ 823–4a^{1}; **81b–2a** sch Π 80a **84** Eudoc. 140, 593, 1177, 1372 **85b–6a** EtG α 1561 **87** (–πάλιν) sch Π 80a; (εἰ–)–**88a** Phryn. Ecl. 324; **88a** Choer. in Thd. ii.365.18 **89–90** sch Pind. Ol. 9.115d; **89** ib. 9.118c; cf. Apion. 222.15; (–λιλ.) ApD Coni. 250.5; **89a** sch Π 93b; (λιλ.) ApS 108.27; H. λ 1024 **91** w5 (lacerum); (–πολ.) Erot. p.24.17 N. **92** (–Ἴλ.) sch Σ 14b **94** ApS 67.11; (–φιλεῖ) Epm. φ 43; (ἐμβ.) H. (Cyr.) ε 2278, 2297/8; (μάλα–) Arn ad Π 710a^{1} (b); sch Χ 15a

75 μαίνεται t sch^{D} Ω: σε̣ι̣ε̣ται 671 ἀπὸ Hdn Ω*: ἄπο R O **76** Ἀτρείδεω 60 353 tt sch^{D} Ω: -δα' r ὀπὸς (nov. Did) 60 353 tt sch^{D} Ω: ἔπος "ἔν τισι τῶν ὑπομνημάτων" **80** ὧς (Hdn) B^{a} E F^{a}: ὡς A, ὣς Ω* ἀπὸ Hdn *b* T G: ἄπο quidam ante Hdn Ω* ἀμύνων Hdn 60 1353 Ω* W^{yp}: ἄμυνον· (van Leeuwen) W **82** ἐνιπρήσωσι Ω: α̣να- 60 δ' 60 Ω: τ 353 ἄπο W **85** οἳ sic Hdn A *b* F T^{c} **86** ἀπονάσσωσι(ν) t Z A^{λ} Ω* (-νάσω- D): αποδασσ- (Bekker) 60: ἀπονέσσ- R: magis placeret ἀποδώωσιν ποτὶ 60 1353 1354 Ω: προτὶ *b* O **87** δ' ἐλάσας V O αὖ τοι Hdn t A *b* T: αυ σ̣ο̣ι̣ 60 E^{gl} T^{gl}: αὖτε Ω*: αὖτις rr **89** ἄνευθεν—**91** μηδ' ἐπ om. Zen **90** δέ με sic Ptol Hdn Ω: δ' ἐμὲ r θήσεις 60 t Ω* A^{λ}: θείης T **90a** τοὺς ἄλλους ἐνάριζ', ἀπὸ δ' Ἕκτορος ἴσχεο χεῖρας respicere videtur parodia Diogenis Cynici (qui ἐράνιζ') ap. D.L. 6.63: post 82 locavit Barnes, post 90 Voss **92** ἡγεμονεύειν Ar 60 Ω: αἰπὺ δίεσθαι Zen **93–6** pro his vv. unum μή σ' ἀπογυμνωθέντα (A, cf. 815) vel -μουνωθέντα (T) λάβηι κορυθαιόλος Ἕκτωρ Zen, ὃν παρωιδεῖ Διονύσιος ὁ Θρᾷξ (fr. 21 Schm.) ἀντὶ τοῦ λάβηι "δάκηι" λέγων (sch^{T}); prob. Wilamowitz Il. u. H. 121

95 ἀλλὰ πάλιν τρωπᾶσθαι, ἐπὴν φάος ἐν νήεσσιν
θήῃς, τοὺς δέ τ' ἐᾶν πεδίον κάτα δηριάασθαι.
αἲ γάρ, Ζεῦ τε πάτερ καὶ Ἀθηναίη καὶ Ἄπολλον,
μήτέ τις οὖν Τρώων θάνατον φύγοι, ὅσσοι ἔασιν,
μήτέ τις Ἀργείων, νῶϊν δ' ἐκδυῖμεν ὄλεθρον,
100 ὄφρ' οἶοι Τροίης ἱερὰ κρήδεμνα λύωμεν."
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
Αἴας δ' οὐκέτ' ἔμιμνε· βιάζετο γὰρ βελέεσσιν·
δάμνα μιν Ζηνός τε νόος καὶ Τρῶες ἀγαυοί
βάλλοντες. δεινὴν δὲ περὶ κροτάφοισι φαεινὴ
105 πήληξ βαλλομένη καναχὴν ἔχε, βάλλετο δ' αἰεί
κὰπ φάλαρ' εὐποίηθ'· ὃ δ' ἀριστερὸν ὦμον ἔκαμνεν,
ἔμπεδον αἰὲν ἔχων σάκος αἰόλον· οὐδ' ἐδύναντο
ἀμφ' αὐτῶι πελεμίξαι ἐρείδοντες βελέεσσιν·
αἰεὶ δ' ἀργαλέωι ἔχετ' ἄσθματι, κὰδ δέ οἱ ἱδρὼς
110 πάντοθεν ἐκ μελέων πολὺς ἔρρεεν, οὐδέ πηι εἶχεν
ἀμπνεῦσαι· πάντηι δὲ κακὸν κακῶι ἐστήρικτο.

95 (παλιντρ.) H. π 214; (τρωπ.) id. τ 1602 97–100 Plut. Mor. 25e; 100 ApS 104.5; (κρήδ.) H. (Cyr.) κ 4055 102–11 Macr. Sat. 6.3.2; 102–4 (βάλλ.) Anon. Fig. iii.117.11 Sp.; Anon. in Arist. Eth. CAG xx.163.6; 102–3a (parod.) Matro Supp. Hell. 534.93–4; 103 (δάμνα) ApS 56.23; H. (Cyr.) δ 193; (Ζην.–) sch I 4a[1]; 104 (βάλλ.), 105 (βαλλομ.) Arn ad Π 105; 104 (δειν.–)–5 (πήληξ) sch Arat. 141; 105 (βάλλετο–)–6a Epm. φ 18; 106a Serv. Aen. 9.357; (κατὰ φάλ.) H. κ 1483; (φάλ.) id. φ 93; Phot. Lex. s.v.; 106b–7 (–αἰόλ.) Porph. Il. 82.17 Schr.; 107 (–αἰόλ.) ApS 67.21; 109–11 Eudoc. 935–7; 111 (πάντηι–) sch Soph. Ai. 866; Hermog. Inv. 198.13 R.; Anon. in Arist. Eth. CAG xx.163.8; Theophylact. Hist. 3.2

95 πάλιν Apollodorus Hdn Ω*: παλιν- Nicias R[a] τρωπᾶσθαι 60 A[m] D (-άσθαι) F T (τρο- T[A]) W G, -άασθαι t[r]: τροπάασθαι Nicias Hdn 1353 1354 Z A[A] Ω*, -άσασθαι t[π].—cf. ad I 463, O 666 96 θήῃ(ι)ς Z Ω*: θείης R W τοὺς δέ τ' 60 A *b* W (δ' ἔτ' Monro–Allen): τούσδε δ' A[m] Ω* ἐᾶν 60 1353 Ω: ἔα rr κάτα 1353 Z A B E F G: κατὰ vel κατα Ω* 97–100 ath. Zen Ar: def. Wilamowitz Il. u. H. 121–3. cf. I 46–9 98 μή-τέ sic A *b* F R G 99 μήτέ sic Ω νῶϊν 60 t Z Ω: νῶϊ (Heyne) R O.—cf. ad Λ 767, P 238 ἐκδυῖμεν Hermann: -δῦμεν T R W: -δύμεν Hdn (pro infinitivo) B C F G, -δύμεν' A D E: -δυμεν 60 1353 1354: ἔκδυμεν Z.—cf. ad Ω 665 100 λύωμεν ApS 60 1353 Ω*: -οιμεν t* A[m] D[c] F R G[c] 102 οὐκέτ' ἔμιμνε 632 637 tt* Ω*: οὐκέτι μίμνε R (cf. ad O 727): οὐχ ὑπέμεινε Matro βιάζετο γὰρ 60 632 tt* Ω (= O 727): -ζόμενος Anon. 103 δάμνα 637 tt Z Ω: -μνη Naber Qu. Hom. 84.—cf. ad E 391, Ξ 439, Φ 7; Wack. Unt. 1 n.3; Chantr. I 21, 301 104 δεινὴν Ar? Hdn 632 t* *b* F[c] T[s] R[c] G[c]: -ή (nov. Did?) sch-Arat. T[A] Ω* 105 βάλλετο Ar tt Ω: τύπτετο quidam ante Ar 106 κὰπ (nov. Ar) 60 Epm. A[A] Ω*, καφ Serv. Macr. Z rr, καρ W, κατὰ Hsch.: καὶ Ar C[γρ] 107 οὐδὲ δύναντο F T R W: οὐδεδ- A 110 πολὺς ἔρρεεν 60 (δ'ερεεν) 632 t* Ω: ῥέεν ἄσπετος (cf. Σ 403) Macr. πη(ι) 60 tt Z Ω*: τι D εἶχεν 60 tt Z Ω: an εἶκεν? cf. ad H 217

ἔσπετε νῦν μοι, Μοῦσαι Ὀλύμπια δώματ' ἔχουσαι,
ὅππως δὴ πρῶτον πῦρ ἔμπεσε νηυσὶν Ἀχαιῶν.
Ἕκτωρ Αἴαντος δόρυ μείλινον ἄγχι παραστάς
115 πλῆξ' ἄορι μεγάλωι αἰχμῆς παρὰ καυλὸν ὄπισθεν,
ἀντικρὺ δ' ἀπάραξε· τὸ μὲν Τελαμώνιος Αἴας
πῆλ' αὔτως ἐν χειρὶ κόλον δόρυ, τῆλε δ' ἀπ' αὐτοῦ
αἰχμὴ χαλκείη χαμάδις βόμβησε πεσοῦσα.
γνῶ δ' Αἴας κατὰ θυμὸν ἀμύμονα ῥίγησέν τε
120 ἔργα θεῶν, ὅ ῥα πάγχυ μάχης ἐπὶ μήδεα κεῖρεν
Ζεὺς ὑψιβρεμέτης, Τρώεσσι δὲ βούλετο νίκην·
χάζετο δ' ἐκ βελέων. τοὶ δ' ἔμβαλον ἀκάματον πῦρ
νηῒ θοῆι· τῆς δ' αἶψα κατ' ἀσβέστη κέχυτο φλόξ.
ὣς τὴν μὲν πρυμνὴν πῦρ ἄμφεπεν, αὐτὰρ Ἀχιλλεύς
125 μηρὼ πληξάμενος Πατροκλῆα προσέειπεν·
"ὄρσεο, διογενὲς Πατρόκλεις ἱπποκέλευθε·
λεύσσω δὴ παρὰ νηυσὶ πυρὸς δηΐοιο ἰωήν·
μὴ δὴ νῆας ἕλωσι καὶ οὐκέτι φυκτὰ πέλωνται.
δύσεο τεύχεα θᾶσσον, ἐγὼ δέ κε λαὸν ἀγείρω."
130 ὣς φάτο, Πάτροκλος δὲ κορύσσετο νώροπι χαλκῶι.
κνημῖδας μὲν πρῶτα περὶ κνήμηισιν ἔθηκεν

112–14 (–μείλ.) Philod. Poem. p.183 Sb. (confuse); **112a + 113** (–ἔμπ.) Cic. Att. 1.16.5; **113** (–ἔμπ.) resp. Pl. Resp. 545d; Procl. in Remp. ii.4.7; **114–16a** sch Pl. Charm. 153a; **116** (ἀπάρ.) H. (Cyr.) α 5792 **117** (–δόρυ) ApS 60.7; sch Υ $370a^2$; Melet. De nat. hom. PG 64.1237b; (αὔτως, κόλον δ.) Arn ad Π 116a; (κόλον δ.) sch Theoc. 8.51/2c; (κόλον) H. κ 3370; Phot. Lex. κ 888; (τῆλε–)–**118** (–χαμ.) Arn ad Π 116a **123** (ἀσβ.) ApS 45.28 **124** (–ἄμφ.) Arn ad Ω 58c; (ἄμφ.) H. (Cyr.) α 3919 **126–7** sch I 186; **126** (ὄρσ.) Nic ad Π 128a; **127** Porph. Hom. 130.15 Sod., Od. 59.10 Schr.; (ἰωήν) Apio 242.19 **128** sch Π 286; (φυκτά) H. φ 965 **130–9** Macr. Sat. 5.10.12

114 Ἕκτωρ 60 632 1355 sch-Pl. Ω*: -ωρ δ' Z C H V **115** αἰχμῆς 60 632 Ω: -ὴν t **116** ἀπάραξε 632 tt Z Ω: επ- 60 **117** πῆλ' 60 632 Z Ω: πάλλ' t χειρὶ 60 632 t Ω: χερσὶ O V κόλον ita parox. Ptol Hdn 632 Z Ω: κολὸν fort. alii olim ἀπ' 632 t Ω: επ' 60 **120** θεῶν 60 632 Ω: θεοῦ H ὅ ῥα 632 h85 Ω: οτι 60 κεῖρε Ar A *b* F: κείρει (nov. Did) 60 Z A^{λ} A^{m} Ω* (ex O 467) **121** βούλετο νίκην 632 1356 Ω* (-εται R): βού-λετ' ἀρήγειν 60 D.—cf. ad M 68 **123** κατ' ἀσβέστη (ne κατὰ σβεστὴ) Ar Hdn 632 t Z D^{c} Ω* (ἀκατασβέστη R): et id et κατασβέστη sch^{D}: hoc D E: κατ' ἄσβεστος r **124** τὴν μὲν πρυμνην Ar 60 632 t Ω* T^{s} (-μνὴν Bekker, parox. libri): τῆς μὲν -ης D^{a} T: τῆς ... -ην rr **126** Πατρόκλεις 60 632 t Ω: -εες Payne Knight.—v. Praef. xxv **127** λεύσσω Z A D F W: λεύσω [60] [632] Ω* ἰωήν Ar Apio 632 t A *b* R (cf. Call. fr. 228.40; Rengakos 146 sq.): ἐρωήν 𝔄 A^{m} T^{λ} Ω*: utrumque Z **128** abrupte legi solebat teste Nic, qui eum etiam a δύσεο pendere posse monet ἕλησι Wecklein SBAW 1908(2).27 **129** θάσσον r: θᾶ- Ω ἀγείρω Ar Hdn 632 Ω: ἐγ- *h* **129*a*** (= 39, sed γένηαι) add. *h* D^2: deest in 60 500b 632 1355 $1357^?$ Ω

καλάς, ἀργυρέοισιν ἐπισφυρίοις ἀραρυίας·
δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνεν
ποικίλον ἀστερόεντα ποδώκεος Αἰακίδαο·
135 ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον
χάλκεον· αὐτὰρ ἔπειτα σάκος μέγα τε στιβαρόν τε·
κρατὶ δ' ἔπ' ἰφθίμωι κυνέην εὔτυκτον ἔθηκεν
ἵππουριν· δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν·
εἵλετο δ' ἄλκιμα δοῦρε, τά οἱ παλάμηφιν ἀρήρει.
140 ἔγχος δ' οὐχ ἕλετ' οἶον ἀμύμονος Αἰακίδαο
βριθὺ μέγα στιβαρόν· τὸ μὲν οὐ δύνατ' ἄλλος Ἀχαιῶν
πάλλειν, ἀλλά μιν οἶος ἐπίστατο πῆλαι Ἀχιλλεύς,
Πηλιάδα μελίην, τὴν πατρὶ φίλωι πόρε Χείρων
Πηλίου ἐκ κορυφῆς φόνον ἔμμεναι ἡρώεσσιν.
145 ἵππους δ' Αὐτομέδοντα θοῶς ζευγνῦμεν ἄνωγεν,
τὸν μετ' Ἀχιλλῆα ῥηξήνορα τῖε μάλιστα,
πιστότατος δέ οἱ ἔσκε μάχηι ἔνι μεῖναι ὁμοκλήν.
τῶι δὲ καὶ Αὐτομέδων ὕπαγε ζυγὸν ὠκέας ἵππους,
Ξάνθον καὶ Βαλίον, τὼ ἅμα πνοιῇσι πετέσθην,
150 τοὺς ἔτεκε Ζεφύρωι ἀνέμωι ἅρπυια Ποδάργη,
βοσκομένη λειμῶνι παρὰ ῥόον Ὠκεανοῖο.

141a Plut. Mor. 59b **142** (πάλλειν) Apio 98.15; H. π 238; (ἀλλά–) sch Φ 320b; Porph. Hom. 57.15 Sod.; **142**b Arn ad Θ 106a, N 223a²; (πῆλαι) H. π 2176 **143** sch Pind. Nem. 3.57; **143**a H. π 2183; **143**b–4a Porph. Hom. 57.17 Sod.; **144**a (+ τετμῆσθαι) Arn ad Λ 256a **145**b Hdn ad Π 99b **148**b [Ammon.] Diff. 488; Anon. π. ἀκυρολ. 7 (142.8 N.) **149** sch [Eur.] Rhes. 239; (Βαλ.) EtG β 19 **150** ApS 43.31; [Plut.] Hom. 2.59

133 ἔδυνε 60 632 t Ω*: ἔθηκεν (ex 131) G **134** ποδώκεος Αἰακίδαο 60 632 1357 t Ω (cf. Γ 333): κακῶν βελέων ἀλεωρήν quidam ap. schᵀ (cf. O 533; fort. resp. Ar. Vesp. 615) **137** ἔπ' A, ἐπ' Ω* ἰφθίμωι–ἔθηκεν 60 500b 632 1359 t Ω*: ἀμφίφαλον κυνέ–ην θέτο τετραφάληρον (= E 743, Λ 41) T εὔτυκτον C ἔθηκε(ν) t Ω: ẹβạḷḷẹν 60 **139** δοῦρε 60 632 Ω: -ρα 1359 t V **140** ath. Zen **141–4** (= T 388–91) om. Zen, nov. Megaclides; **143–4** damn. Heyne **143** πόρε Arᵃ Ω (cf. Δ 219; Leaf): τάμε Arᵇ 632 1359 tt Hᵐ O (cf. Cypria fr. 3 B./D.).—cf. ad T 390 **144** ἐκ κορυφῆς (nov. Did) 500b tt Ω: κο]ρ̣υφηc 632: ἐν κορυφῆις Ar *h* (quod potius ad τάμε quadrat).—cf. ad T 391 **145** ζευγνῦμεν 632 Fᵃ: -ύμεν t Ω* (-ύμεν' D E R W, -ύμεναι G).—productio insolita **147** ὁμοκλήν Fᵃ: ὁμ- Z Ω* **149** Βαλίον parox. Hdn Ω: proparox. *h*: Βα–λίαν (Bentley) rr.—cf. ad T 400 **150** τοὺς t Ω: ουϲ 1360 ἅρπυια Ar 632 1359 tt Ω, Ἅρπ- Zen Timogenes ap. ApS: ἀρέπυια Fick Od. 320 Ποδάργη (cf. T 400) Ar 632 t* Ω*, ποδ- Timog.: -άρκη 60 Cˢ rr: -άγρη (!) [Plut.]: πόδαργος Zen: ποδαργ[h85 **151** παρὰ 60 [1359] 1361 Ω: παραὶ rr ῥρόον fere 1359 1361 *b* T W Ὠκεανοῖο 60 Ω: Ἠριδανοῖο "πολλὰ τῶν ἀντιγράφων" teste Eust., rr.—v.l. eadem Batr. 20

ἐν δὲ παρηορίῃσιν ἀμύμονα Πήδασον ἵει,
τόν ῥά ποτ' Ἠετίωνος ἑλὼν πόλιν ἤγαγ' Ἀχιλλεύς·
ὃς καὶ θνητὸς ἐὼν ἕπεθ' ἵπποις ἀθανάτοισιν.
155 Μυρμιδόνας δ' ἄρ' ἐποιχόμενος θώρηξεν Ἀχιλλεύς
πάντῃ ἀνὰ κλισίας σὺν τεύχεσιν· οἳ δὲ λύκοι ὣς
ὠμοφάγοι, τοῖσίν τε περὶ φρεσὶν ἄσπετος ἀλκή,
{οἵ τ' ἔλαφον κεραὸν μέγαν οὔρεσι δηιώσαντες
δάπτουσιν, πᾶσιν δὲ παρήϊον αἵματι φοινόν,
160 καί τ' ἀγεληδὸν ἴασιν, ἀπὸ κρήνης μελανύδρου
λάψοντες γλώσσῃσιν ἀραιῇσιν μέλαν ὕδωρ
ἄκρον, ἐρευγόμενοι φόνον αἵματος· ἐν δέ τε θυμός
στήθεσιν ἄτρομός ἐστι, περιστένεται δέ τε γαστήρ·
τοῖοι Μυρμιδόνων ἡγήτορες ἠδὲ μέδοντες
165 ἀμφ' ἀγαθὸν θεράποντα ποδώκεος Αἰακίδαο}
ῥώοντ'· ἐν δ' ἄρα τοῖσιν ἀρήϊος ἵστατ' Ἀχιλλεύς,
ὀτρύνων ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας.
πεντήκοντ' ἦσαν νῆες θοαί, ᾗσιν Ἀχιλλεύς
ἐς Τροίην ἡγεῖτο διίφιλος, ἐν δὲ ἑκάστῃ
170 πεντήκοντ' ἔσαν ἄνδρες ἐπὶ κληῖσιν ἑταῖροι·

152 (παρη.) sch Arat. 600 (p.564.5 Mart.); (ἀμ. Πήδ.) sch Λ 518; (Πήδ.) H. π 2157 **154** (parod.) Matro Supp. Hell. 534.52 **156** (σὺν τεύχ.) sch Π 155 **158** sch B 314a; (δηιώ.) H. δ 937 **159** (δάπτ.) H. (Cyr.) δ 252; (αἵμ.–) H. α 1944; (φοι.) ApS 164.16; H. φ 717; Phot. Lex. s.v. **160** Epm. ε 29; **160a** Choer. in Thd. ii.325.32, 326.12, 335.25; EtG s.v. ἴασι; Epm. π 190; (ἀγελ.) DThr Ars 19.3 p.75.1; H. (Cyr.) α 433/4; (ἴασιν) H. ι 83 **161–2** (–αἵμ.) Porph. Il. 212.13 Schr.; **161** Erot. p.12.15 N.; sch Hes. Op. 809b; (–ἀραι.) Epm. γ 4; **161a** Demetr. Eloc. 220; sch Ar. Nub. 811a; H. λ 468; (λάψ.) ApS 107.18; (ἀραι.) Apio 223.6; H. α 6940; **162** (–αἵμ.) sch Soph. Tr. 558 **163b** ApS 145.1; (περιστ.) H. π 1880; Phot. Lex. s.v. **165** Apio 218.18; Epm. π 105; **165a** Apio 218.9; Choer. in Thd. ii.79.1; id. in Ps. 15.29; EtG α 746 (ex eod.); Epm. α 235 **166** (ἐν–)–**7** Porph. Hom. 85.13 (cf. 24) Sod.; **167** (–ἀνέρας) Plut. Mor. 443b **170a** [Plut.] Hom. 2.146.1

152 ἀμύμονα 60 t Ω: ἀμείνονα N^yp rr **153** τόν 60 Ω: ον 1360 **155** θώρηξεν Ω: κόσμησεν malit sch^T cl. Ξ 379 **156** πάντῃ Zen (cf. A 384, E 495, Z 81, K 167): πάντας Ar 60 500b 1355 Ω.—cf. ad 496 **157** φρεσὶν 60 500b Ω*: φρένας R rr **158–64** susp. Leaf, del. Wilamowitz Il. u. H. 125 (ego etiam **165** seclusi); **160–3** susp. Hentze **159** παρήϊα ... φοινά La Roche (cf. Bechtel Lexil. 271) **160** ἀπὸ t Ω: ἐπὶ (Bentley) O **161** λάψοντες Ar 1360 tt* Z Ω*: -αντες Zen R^a rr: λαψ[.]ντες 226: λάπτοντες Demetr. sch-Ar.^vl Epm.^vl ἀραιῇ(ι)σιν A^a D^a B T^c: ἀρ- Z Ω*.—cf. Praef. xvii **162** ἄκρον, ita interpungunt Nic Porph. A B E F T W (contra sch^D) **168–97** damn. Koechly Il. Carm. xvi (1861) 299, cf. Bergk Gr. Lit. I 617: **168–211** Christ: **168–217** Wilamowitz Il. u. H. 124–6 **169** Διῒ φίλος 60 Ω: θεῶν φίλος P δὲ 60 Ω* (cf. B 509, Θ 562, I 85, al.): δ' ἄρ A *b* R

πέντε δ' ἄρ' ἡγεμόνας ποιήσατο, τοῖς ἐπεποίθει
σημαίνειν· αὐτὸς δὲ μέγα κρατέων ἤνασσεν.
τῆς μὲν ἰῆς στιχὸς ἦρχε Μενέσθιος αἰολοθώρηξ,
υἱὸς Σπερχειοῖο διιπετέος ποταμοῖο,
175 ὃν τέκε Πηλῆος θυγάτηρ καλὴ Πολυδώρη
Σπερχειῶι ἀκάμαντι, γυνὴ θεῶι εὐνηθεῖσα,
αὐτὰρ ἐπίκλησιν Βώρωι Περιήρεος υἷι,
ὅς ῥ' ἀναφανδὸν ὄπυιε, πορὼν ἀπερείσια ἕδνα.
τῆς δ' ἑτέρης Εὔδωρος ἀρήϊος ἡγεμόνευεν,
180 παρθένιος, τὸν ἔτικτε χορῶι καλὴ Πολυμήλη
Φύλαντος θυγάτηρ· τῆς δὲ κρατὺς Ἀργειφόντης
ἠράσατ' ὀφθαλμοῖσιν ἰδὼν μετὰ μελπομένηισιν
ἐν χορῶι Ἀρτέμιδος χρυσηλακάτου κελαδεινῆς·
αὐτίκα δ' εἰς ὑπερῶι' ἀναβὰς παρελέξατο λάθρηι
185 Ἑρμείας ἀκάκητα· πόρεν δέ οἱ ἀγλαὸν υἱόν
Εὔδωρον, περὶ μὲν θείειν ταχὺν ἠδὲ μαχητήν.
αὐτὰρ ἐπεὶ δὴ τόν γε μογοστόκος Εἰλείθυια
ἐξάγαγε πρὸ φόωσδε καὶ ἠελίου ἴδεν αὐγάς,
τὴν μὲν Ἐχεκλῆος κρατερὸν μένος Ἀκτορίδαο

171 (–ποι.) sch Λ 304, P 73b **172** Eudoc. 1348 **173** Porph. Od. 67.2 Schr.; **173**a Arn ad Φ 95a^{1}; ApS 89.20, 152.8; Epm. σ 24; (–στ.) ApS 145.6; (ἰῆς) H. (Cyr.) ι 369 **174** Porph. Hom. 127.7 Sod., Od. 47.1 Schr.; (Σπ.) H. (Cyr.) σ 1473; (διιπ.) ApS 58.33; H. (Cyr.) δ 1535, 1783/4 **176** EtG α 340; Epm. α 313; **176**a sch Π 174a **178** (ἀναφ.) H. (Cyr.) α 4660 **179–80** (παρθ.) sch Pind. Ol. 6.48c; **179**a Porph. Od. 67.2 Schr.; **180** Dio Prus. 7.146; sch^{D} Δ 499; (παρθ.) ApS 128.8; Phot. Lex. s.v.; (χορῶι κ.) ApD Synt. 11.1; H. χ 654 **181** al. (κρ. Ἀργ.) Epm. κ 123; (κρ.) ApS 103.29; H. (Cyr.) κ 4021 **182** (–ἰδών) sch Ξ 294a **183** al. (χρυσ.) ApS 168.29; (κελ.) H. (Cyr.) κ 2127 **184** (ὑπερ.) H. υ 501 **185**a sch^{D} E 422; (ἀκάκ.) ApS 20.1; Hdn ad A 540a^{1}; Aristid. Or. 2.423; H. (Cyr.) α 2234; cf. EtG α 288 **187–8** Plut. fr. 157 (p.97.85 S.); **187**b H. μ 1535; (μογ.) ApS 113.15; Phot. Lex. μ 496; (Εἰλ.) H. ε 862, cf. 916; **188** Eudoc. 276

172 ἤνασσε(ν) 60 435 t Ω: ἐ(Ϝ)άν- Heyne **174** διϊπετέος 435 h139^{δ211} tt Ω: διειπ- Zenodorus ap. Porph. (cf. Eur. Hyps. 352 [133 Diggle] pap.): utrumque Hsch.—v. R. Schmitt Dichtung u. Dichterspr. in indogerm. Zeit (1967) 221 sqq. **175** ὃν Arph Ar Z A A^{λ} *b* F: τὸν (nov. Did) 435 Ω* Πολυδώρη Ar 60 435 sch^{D} Ω (= [Hes.], mythographi): Κλεο- Zen **177** υἷι Hdn Ω: υἱεῖ 60 435 rr.—cf. ad B 791, Σ 144, 458, Φ 34, X 302; La Roche Unt. I 46 **180** ἔτικτε 60 435 tt Ω*: τίκτε R Πολυμήλη 435 t* Ω: -δώρη (ex 175) Dio **183** ath. Ar **185** ἀκάκητα Ar Hdn 435 Z Ω: properisp. 'ceteri' Herodiani (= Ptol Tyr?) **186** περὶ (Hdn) Ω: πέρι rr **188** ἐξάγαγε 435 Ω* (-ήγ- D): -εν A *b* F^{c} G: ἔξαγε R πρὸ φόωσδε Zen 435 Plut. A^{m} Ω* (cf. T 118): τε φόωσδε t*: φώωσδε Arph Ar A A^{λ} B E F^{c}: φάοσδε C

190 ἠγάγετο πρὸς δώματ', ἐπεὶ πόρε μυρία ἕδνα,
τὸν δ' ὁ γέρων Φύλας εὖ ἔτρεφεν ἠδ' ἀτίταλλεν
ἀμφαγαπαζόμενος ὡς εἴ θ' ἑὸν υἱὸν ἐόντα.
τῆς δὲ τρίτης Πείσανδρος ἀρήϊος ἡγεμόνευεν
Μαιμαλίδης, ὃς πᾶσι μετέπρεπε Μυρμιδόνεσσιν
195 ἔγχεϊ μάρνασθαι μετὰ Πηλείωνος ἑταῖρον.
τῆς δὲ τετάρτης ἦρχε γέρων ἱππηλάτα Φοίνιξ·
πέμπτης δ' Ἀλκιμέδων, Λαέρκεος υἱὸς ἀμύμων.
αὐτὰρ ἐπεὶ δὴ πάντας ἅμ' ἡγεμόνεσσιν Ἀχιλλεύς
στῆσεν ἔϋ κρίνας, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλεν·
200 "Μυρμιδόνες, μή τίς μοι ἀπειλάων λελαθέσθω,
ἃς ἐπὶ νηυσὶ θοῇσιν ἀπειλεῖτε Τρώεσσιν
πάνθ' ὑπὸ μηνιθμόν, καί μ' ἠιτιάασθε ἕκαστος·
'σχέτλιε Πηλέος υἱέ, χόλωι ἄρα σ' ἔτρεφε μήτηρ,
νηλεές, ὃς παρὰ νηυσὶν ἔχεις ἀέκοντας ἑταίρους.
205 οἴκαδέ περ σὺν νηυσὶ νεώμεθα ποντοπόροισιν
αὖτις, ἐπεί ῥά τοι ὧδε κακὸς χόλος ἔμπεσε θυμῶι.'
ταῦτά μ' ἀγειρόμενοι θάμ' ἐβάζετε· νῦν δὲ πέφανται
φυλόπιδος μέγα ἔργον, ἕης τὸ πρίν γ' ἐράασθε.
ἔνθά τις ἄλκιμον ἦτορ ἔχων Τρώεσσι μαχέσθω."
210 ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου·
μάλλον δὲ στίχες ἄρθεν, ἐπεὶ βασιλῆος ἄκουσαν.
ὡς δ' ὅτε τοῖχον ἀνὴρ ἀράρηι πυκινοῖσι λίθοισιν
δώματος ὑψηλοῖο, βίας ἀνέμων ἀλεείνων,

191 cf. eand. 293 **192** ead. 96, cf. 1151; **192**a ApS 29.28; H. α 3885 **193**a Porph. Od. 67.2 Schr. **197** ('Αλκ.) sch Ω 474 **199** Eudoc. 1347 **202**a Porph. Hom. 78.18 Sod.; **202**b sch I 311a **203**b sch A.R. 4.1404; Epm. υ 41 **206** Eudoc. 321 **207** (θάμ' ἐβ.) ApS 86.14; Epm. ω 4; (πέφ.) Apio 98.29 **208**b Hdn ad α 70; Epm. ο 42 (Hdn ii.173.2), ω 21; (ἐρά.) H. ε 5607 **211** (ἄρθεν) id. α 7182 **212–17** Her-

190 ἠγάγετο 435 Ω: ẹξαγετο (ex 188) 60 195 ἔγχεϊ sic 435 Ω 196 γέρων ἱππηλάτα (= I 432) 60 435 Ω: Γερήνιος ἱππότα quidam ap. sch^{bT} Φοίνιξ 435 D F^{a} O: properisp. (Hdn) Ω* 199 ἔϋ A, ἐϋ 435 *b* F T: ευ 9: εὖ Ω* 200 Μυρμιδόνες 9 435 Ω: -δωνων 60 201 ἃς 9 60 Ω: τας 435 202 μ' ἠιτιάασθε Ar 9 435 t Ω (μ' αἰτι- W): μητι- Zen (idem volens puto) 203 χόλωι Ar 9 435 sch^{D} Ω (ἀντὶ τοῦ χολῆι Ar sch): an olim χολῆι? 207 ταῦτά μ' Ar Hdn Ω*: ταῦθ' ἅμ' Hermias ὁ Κρατήτειος 9 60 435 F^{a} G O θάμ' ἐβάζετε (nov. Did) 9 60 435 tt Z Ω: θαμὰ β- Ar 208 εης 9 60, εήϲ 435, ἕης tt sch^{DT} Ω*, ἑῆς Z G, forma insolita: ὅο πρόσθεν γ' Christ post Payne Knight et Nauck γ' ἐράασθε 9 435 tt Z Ω, et hoc insolenter: περ ἔρασθε van Leeuwen: an γε ἔρασθε? 209 ἔνθά sic Ω (ἔνθ' αὖτις W),]νθά 1, ενθά 9 210 ὤτρυνε 1 9 60 435 Ω: ὄτρ- rr 211 μάλλον Blass: μᾶ- 435 Ω ἄρθεν Hdn Z A^{λ} Ω*: ἄρ- Ar T

ὣς ἄραρον κόρυθές τε καὶ ἀσπίδες ὀμφαλόεσσαι.
215 ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ,
ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισιν
νευόντων· ὣς πυκνοὶ ἐφέστασαν ἀλλήλοισιν.
πάντων δὲ προπάροιθε δύ' ἀνέρε θωρήσσεσθον,
Πάτροκλός τε καὶ Αὐτομέδων, ἕνα θυμὸν ἔχοντες,
220 πρόσθεν Μυρμιδόνων πολεμιζέμεν. αὐτὰρ Ἀχιλλεύς
βῆ ῥ' ἴμεν ἐς κλισίην, χηλοῦ δ' ἀπὸ πῶμ' ἀνόειγεν
καλῆς δαιδαλέης, τήν οἱ Θέτις ἀργυρόπεζα
θῆκ' ἐπὶ νηὸς ἄγεσθαι, ἔϋ πλήσασα χιτώνων
χλαινάων τ' ἀνεμοσκεπέων οὔλων τε ταπήτων·
225 ἔνθα δέ οἱ δέπας ἔσκε τετυγμένον, οὐδέ τις ἄλλος
οὔτ' ἀνδρῶν πίνεσκεν ἀπ' αὐτοῦ αἴθοπα οἶνον
οὔτέ τεωι σπένδεσκε θεῶν, ὅτε μὴ Διὶ πατρί.
τό ῥα τότ' ἐκ χηλοῖο λαβὼν ἐκάθηρε θεείωι
πρῶτον, ἔπειτα δ' ἔνιψ' ὕδατος καλῇισι ῥοῇισιν,
230 νίψατο δ' αὐτὸς χεῖρας, ἀφύσσατο δ' αἴθοπα οἶνον.
ηὔχετ' ἔπειτα στὰς μέσωι ἕρκεϊ, λεῖβε δὲ οἶνον
οὐρανὸν εἰσανιδών, Δία δ' οὐ λάθε τερπικέραυνον·
"Ζεῦ ἄνα Δωδωναῖε Πελασγικέ, τηλόθι ναίων,
Δωδώνης μεδέων δυσχειμέρου, ἀμφὶ δὲ Σελλοί

mog. Inv. 191.12 R.; **212** (–ἀρ.) ApS 44.20; (ἀρ.) H. α 6938; (πυκ.) id. π 4326; **214–15** Macr. Sat. 5.13.27 **221**b Hdn ad Δ 3a; sch I 219c; (ἀνέωιγε) EtG α 853 **224**b ApS 124.1; Hdn ad K 134b; Epm. o 84 **225** (δέπας, οὐδέ–)–**6** (–αὐτοῦ) + **227** Ath. 11.781c; **227** (τεωι) H. τ 726 **228** (–λαβ.) sch A.R. 1.769–73, 3.37 **229** Eudoc. 1831 **230** ead. 1450 **233–5** Cosmas in Greg. Naz. PG 38.500; **233** sch^{D} E 422 (ex Apollod. 244 F 353); Choer. in Thd. i.289.8; (–Πελ.) Strab. 5.2.4, 7.7.10; ApS 30.19; Phi-

215–17 (= N 131–3) damn. Bothe **215** κόρυν 1 9 tt Ω: κόρυθ' quidam ap. sch^{T}.—cf. ad N 131 **217** ὣς 435 Ω*: ὡς A **218** πάντων 1 9 60 Ω: αυτων 435 θωρήσσεσθον A T^{γρ} V (cf. M 421): -οντο 1 9 435 A^{γρ} Ω*.—cf. ad N 301, 613 **219** ἔχοντες 1 435 Ω: -οντε Nauck **220** πολεμιζέμεν 9 435 Ω (πελ- B^{c} E): -ίζειν 1 rr **221** ἀπὸ (Hdn) 435 tt Ω*, ἀπο 1 A D C: ἄπο V ἀνόειγε Fick: ἀνέω(ι)γε 1 9 tt Z Ω (-ξε D^{s}), ανε. . .ν 435.—cf. Praef. xxxiii **222** δαιδαλέης 1 9 60 435^{s} Ω: αργυρέης 435^{t} **223** ἄγεσθαι Ar 1 9 60 Ω, αγέσθαι 435: ἰόντι Zen Arph (cf. τ 238) ἔϋ A *b* F^{a}, ἐϋ D F^{c} T W: εὒ 1: εὖ F R G, ευ 9 **225** οὐδέ 9 60 435 t Ω*: οὔτέ B C, οὒτέ 1 E **227** οὔτέ sic Z A *b* F T R, ουτέ 9 435 θεῶν 9 60 435 Ω*: θεῶι D: om. t ὅτε (nov. Did) 9 60 435 t A^{m} Ω*: ὅτι Ar A B^{s} E^{s} F G^{γρ} **228** τό Ar^{ab} Ω*: τόρ (nov. Did) F^{c} G: τόν 9 60 Z *b* W G^{s} **229** δ' ἔνιψ' t Ω*: δὲ νίψ' *b* R W, δενιψ' 60: νίψ' T: δε νίζ' 9: δ' ἔνειψ'? Wack. Unt. 76 **230** νίψατο 9 60 t Ω: νείψ-? Wackernagel **231** ηὔχετ' Fick: εὔχ- 9 Ω ἔπειτα στὰς 60 Ω (ut Ω 306), quod et -τ' ἀστὰς reddere potest (Praef. xxvi): επειτ' ανστας (Bentley) 9.—cf. ad Ω 306 ἕρκεϊ sic trisyll. 9 60 Z Ω **233** ἀναδωδωναῖε Cleanthes Δωδωναῖε Ar

235 σοὶ ναίουσ' ὑποφῆται ἀνιπτόποδες χαμαιεῦναι·
ἠμὲν δή ποτ' ἐμὸν ἔπος ἔκλυες εὐξαμένοιο·
τίμησας μὲν ἐμέ, μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν·
ἠδ' ἔτι καὶ νῦν μοι τόδ' ἐπικρήηνον ἐέλδωρ.
αὐτὸς μὲν γὰρ ἐγὼ μενέω νηῶν ἐν ἀγῶνι,
240 ἀλλ' ἕταρον πέμπω πολέσιν μετὰ Μυρμιδόνεσσιν
μάρνασθαι· τῶι κῦδος ἅμα πρόες, εὐρύοπα Ζεῦ.
{θάρσυνον δέ οἱ ἦτορ ἐνὶ φρεσίν, ὄφρα καὶ Ἕκτωρ
εἴσεται, ἤ ῥα καὶ οἶος ἐπίστηται πολεμίζειν
ἡμέτερος θεράπων, ἦ οἱ τότε χεῖρες ἄαπτοι
245 μαίνονθ', ὁππότ' ἐγώ περ ἴω μετὰ μῶλον ἄρηος.}
αὐτὰρ ἐπεί κ' ἀπὸ ναῦφι μάχην ἐνοπήν τε δίηται,
ἀσκηθής μοι ἔπειτα θοὰς ἐπὶ νῆας ἱκέσθω
τεύχεσί τε ξὺν πᾶσι καὶ ἀγχεμάχοις ἑτάροισιν."
ὣς ἔφατ' εὐχόμενος, τοῦ δ' ἔκλυε μητίετα Ζεύς·
250 τῶι δ' ἕτερον μὲν ἔδωκε πατήρ, ἕτερον δ' ἀνένευσεν·

lox. fr. 402b Th.; Hdn i.480.15; **233**a Cleanthes (SVF i.121.18) ap. Plut. Mor. 31e; ApD Adv. 137.24; Hdn i.131.20 et ad E 824a; sch Aesch. Sept. 163a–c; Orio 88.21 (Philox. fr. 509 Th.); St. Byz. 248.16; (ἄνα Δωδ.) H. (Cyr.) α 4289; (ἄνα) id. α 4184; (Δωδ.) ApS 61.12; H. δ 2712; **234–5** St. Byz. 246.7/13; **234** (–δυσχ.) + **235**b Orig. c.Cels. 7.6; **234**a ApD Synt. 125.5; Epm. κ 33; (ἀμφὶ–)–**235** Alex. in Meteor. CAG iii(2).62.22; (ἀμφὶ–)–**235**a St. Byz. 561.5; (ἀμφὶ–) H. σ 390; St. Byz. 268.20; (Σελλοί) Strab. 7.7.10; sch[pap] Pind. fr. 59.3; EtG s.v.; (Ἑλλοί) H. ε 2165; **235** ApS 33.12; Heph. p.5.5 C.; Choer. in Thd. i.161.15; (ὑποφ.–) Philostr. Imag. 2.33; (ὑποφ.) H. υ 788; Phot. Lex. s.v.; **235**b Eubulus fr. 137.1 K.–A. (alludit); Strab. 7.7.10; Clem. Strom. 6.2.7.1; Prisc. Inst. 1.51; (ἀνιπτ.) H. α 5212; (χαμ.) sch Call. H. 4.286a **236** (–ἔκλ.) sch Σ 75 **237**a Arn ad Π 236a; sch O 75a **239–40**a Polyb. Soloec. 289.7 Nauck **242** (ὄφρα–)–**4**a Arn ad X 393–4a; **243** (ἤ ῥα–) sch Π 83–96 (Porph. Il. 211.9 Schr.); (ἐπίστ.) ApS 74.13; H. (Cyr.) ε 5249; **244**a ApD Pron. 112.11; **244**b–**5** (μαίν.) sch Σ 192b (Porph. Il. 223.19 Schr.) **247–8** Porph. Il. 335.10 Schr. **250–2** Alex. Fig. iii.31.6 Sp.; **250** Plin. Ep.

9 60 tt sch[D] Ω: Φηγωναῖε Zen, cf. Suidam FGrH 602 F 11: Βωδωναῖε (Cineas 603 F 2?) quidam ap. St. Byz. sch[bT] Πελασγικέ 9 60 tt sch[D] Ω: Πελαργικέ (cf. Myrsilum 477 F 8–9) vel Πελαστικέ quidam ap. sch[bT] **234** δυσχειμέρου (cf. B 750) Ar 9 60 tt sch[D] Ω: πολυπίδακος Zen Σελλοί Ar 9 tt sch[D] Ω: σ' Ἑλλοί quidam ante Ar (scil. Pind. fr. 59.3), deprec. Hsch.[σ].—cf. Soph. Tr. 1167 Σελλῶν ubi v.l. ant. Ἑλλῶν **235** ἀνίπτόποδες quidam ap. sch[bTG] **236** ἠ μὲν *b* F[a] R W G ἐμὸν ἔπος (= Ξ 234) 9 Ω: ἐμ⌊εῦ⌋ πάρος (= A 453) 435 t **237** (= A 454) om. Zen, ath. Arph Ar τίμησας 9 Ω*: τιμή–σας A[a] F **240** πέμπω 9 t Ω: πεμ]ψω 435 **241** πρόἐς A **242–5** damn. Hentze Anhang 18 sq. **243** ἤ 9 F[c], ἢ C[c] R G[x]: ἦ A[λ] Ω* ἐπίστηται Ar 9 60 435 tt* sch[D] Ω*: -έαται Zen: -αται sch-Π R G[s] **244** ἦ C[a] T[s] W: ἤ 9 Ω*: ἡ 435 D: εἰ T **247** ἱκέσθω 9 60 *b* R: ἵκοιτο t Ω* **248** damn. Bergk Gr. Lit. I 617 ξύμπασι (deprec. Hdn) 9 t **250** τῶι δ' 9 60 w5 tt* Ω: ἀλλ' Luc. ἔδωκε πατήρ 9 60 435 w5 tt* Ω (δῶκε R): δῶκε θεός Macr.—cf. ad B 102

νηῶν μέν οἱ ἀπώσασθαι πόλεμόν τε μάχην τε
δῶκε, σόον δ' ἀνένευσε μάχης ἒξ ἀπονέεσθαι.
ἤτοι ὃ μὲν σπείσας τε καὶ εὐξάμενος Διὶ πατρί
ἂψ κλισίην εἰσῆλθε, δέπας δ' ἀπέθηκ' ἐνὶ χηλῶι.
255 στῆ δὲ πάροιθ' ἐλθὼν κλισίης· ἔτι δ' ἤθελε θυμῶι
εἰσιδέειν Τρώων καὶ Ἀχαιῶν φύλοπιν αἰνήν.
οἳ δ' ἅμα Πατρόκλωι μεγαλήτορι θωρηχθέντες
ἔστιχον, ὄφρ' ἐν Τρωσὶ μέγα φρονέοντες ὄρουσαν.
αὐτίκα δὲ σφήκεσσιν ἐοικότες ἐξεχέοντο
260 εἰνοδίοις, οὓς παῖδες ἐριδμαίνωσιν ἔθοντες,
αἰεὶ κερτομέοντες, ὁδῶι ἔπι οἰκί' ἔχοντας,
νηπίαχοι· ξυνὸν δὲ κακὸν πολέεσσι τιθεῖσιν·
τοὺς δ' εἴ περ παρά τίς τε κιὼν ἄνθρωπος ὁδίτης
κινήσηι ἀέκων, οἳ δ' ἄλκιμον ἦτορ ἔχοντες
265 πρόσσω πᾶς πέτεται καὶ ἀμύνει οἷσι τέκεσσιν.
τῶν τότε Μυρμιδόνες κραδίην καὶ θυμὸν ἔχοντες
ἐκ νηῶν ἐχέοντο· βοὴ δ' ἄσβεστος ὀρώρει.
Πάτροκλος δ' ἑτάροισιν ἐκέκλετο μακρὸν ἀΰσας·
"Μυρμιδόνες, ἕταροι Πηληϊάδεω Ἀχιλῆος,
270 ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς,
ὡς ἂν Πηλεΐδην τιμήσομεν, ὃς μέγ' ἄριστος
Ἀργείων παρὰ νηυσὶ καὶ ἀγχέμαχοι θεράποντες,

1.7.1; Luc. Dial. 24.25; Ath. 350d; Lib. Ep. 465.1 (x.448.12 F.); w5 (lacerum); **250**a Hdn ad Δ 3a; **251**b Arn ad Π 636a^{1}; **252** (σόον–) EtG s.v. δύσσοον; (σόον δ' ἀν.) Did ad A 117b^{1}, I 681a^{1}; sch O 497b; **252**b Nic ad Π 13a **258** (ἔστ.) H. (Cyr.) ε 6408 **259–62** Eudoc. 1820–3; **259** (σφ.–)–**60** (εἰνοδ.) sch Call. fr. 191.26 (i.165 Pf.); **259** (σφ. ἐοικ.) + **260** [Plut.] Hom. 2.85.3; **260** (εἰνοδ., ἐριδμ., ἔθ.) Arn ad Π 261a; H. (Cyr.) ε 978, 5822, 683/[4041]; (οὓς–) ApS 63.17; **260**b sch I 540a^{2}; (ἔθ.) H. (Cyr.) ε 683; **262** Dio Prus. 15.4 (parod.); Eudoc. 310; (νηπ.) H. ν 501; (ξυνόν) H. (Cyr.) ξ 167 **264**b–**5**a [Plut.] Hom. 2.47.1; **264**b Arn ad Π 265a^{1} **265** (ἀμύνει) H. (Cyr.) α 3852 **267** (ἐχέ.–) cf. Ar. Pac. 1287 **270**a Latine Ninnius Crassus fr. 1 (p.107 Court.) **271–2** Porph. Il. 331.18 Schr.; (ἀγχέμ.) H. (Cyr.) α 875

251 οἱ 9 60 435 Ω*: τοι t C **252** σόον Ar^{a} 9 435 tt Ω*, σῶον 60 D^{a} R^{a}: σάον Ar^{b}.— cf. ad A 117 ἒξ ἀπονέεσθαι F^{a} G: ἐξ ἀπο- Nic (ad 13) B^{a} R: ἐξαπο- Ω* **254** κλισίην 9 60 Ω*: -ην δ' 435 D H ἀπέθηκ' Ar 9 60 Ω: ἐπ- (nov. Did) V **260** ἐριδμαίνωσιν fere 9 60 (]ιδναιωσιν) tt* sch^{bTD} Ω*: -ουσιν [Plut.] Hsch. C R^{r} ἔθοντες A^{m} Ω*: ἕ- A **261** ath. Arph Ar, om. W^{a} ἔπι Ω*: ἐπὶ T R W ἔχοντας Ar 'omnes' Didymi A D^{c} B^{s} E^{t} F^{a} F^{γρ} T^{c} (cf. M 167 sq.): -ες (nov. Did) 9 60 t E^{s} Ω* **262** τιθεῖσι Hdn 9 60 tt* Z Ω (fort. rectius proparox., cf. KB II 192, 207; Chantr. I 471): φέρουσιν Dio **263** πάρα Z D^{c} F^{c} T W G **264** κινήση(ι) 9 Ω*: -σει C T R ἀέκων A **265** πέτεται t A^{λ} Ω*: -αται T **272** (= P 165) ath. Sel

γνῶι δὲ καὶ Ἀτρείδης εὐρὺ κρείων Ἀγαμέμνων
ἣν ἄτην, ὅ τ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισεν."
275 ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου,
ἐν δ' ἔπεσον Τρώεσσιν ἀολλέες· ἀμφὶ δὲ νῆες
σμερδαλέον κονάβησαν ἀϋσάντων ὑπ' Ἀχαιῶν.
Τρῶες δ' ὡς εἴδοντο Μενοιτίου ἄλκιμον υἱόν,
αὐτὸν καὶ θεράποντα, σὺν ἔντεσι μαρμαίροντας,
280 πᾶσιν ὀρίνθη θυμός, ἐκίνηθεν δὲ φάλαγγες,
ἐλπόμενοι παρὰ ναῦφι ποδώκεα Πηλείωνα
μηνιθμὸν μὲν ἀπορρῖψαι, φιλότητα δ' ἑλέσθαι·
πάπτηνεν δὲ ἕκαστος, ὅπηι φύγοι αἰπὺν ὄλεθρον.
Πάτροκλος δὲ πρῶτος ἀκόντισε δουρὶ φαεινῶι
285 ἀντικρὺ κατὰ μέσσον, ὅθι πλεῖστοι κλονέοντο,
νηῒ πάρα πρυμνῆι μεγαθύμου Πρωτεσιλάου,
καὶ βάλε Πυραίχμην, ὃς Παίονας ἱπποκορυστάς
ἤγαγεν ἐξ Ἀμυδῶνος ἀπ' Ἀξιοῦ εὐρὺ ῥέοντος·
τὸν βάλε δεξιὸν ὦμον, ὃ δ' ὕπτιος ἐν κονίηισιν
290 κάππεσεν οἰμώξας. ἕταροι δέ μιν ἀμφ' ἐφόβηθεν
Παίονες· ἐν γὰρ Πάτροκλος φόβον ἧκεν ἅπασιν
ἡγεμόνα κτείνας, ὃς ἀριστεύεσκε μάχεσθαι.
ἐκ νηῶν δ' ἔλασεν, κατὰ δ' ἔσβεσεν αἰθόμενον πῦρ,
ἡμιδαὴς δ' ἄρα νηῦς λίπετ' αὐτόθι· τοὶ δ' ἐφόβηθεν
295 Τρῶες θεσπεσίωι ὁμάδωι. Δαναοὶ δ' ἐπέχυντο
νῆας ἀνὰ γλαφυράς· ὅμαδος δ' ἀλίαστος ἐτύχθη.
ὡς δ' ὅτ' ἀφ' ὑψηλῆς κορυφῆς ὄρεος μεγάλοιο

273–4 (–ἄτην) ApS 84.15 **280–1** [Plut.] Hom. 2.44.4; Prisc. Inst. 17.159; **280b–1a** Arn ad B 462b; sch P 286; Anon. Fig. iii.159.29 Sp.; (φάλ. ἱστ.) sch A 251b **282** [Plut.] Hom. 2.37; w5 (lacerum); Eudoc. 1371; **282a** Polyb. Fig. iii.105.11 Sp. **287b–8** (ἤγ.) sch K 428b **294** (ἡμιδ.) H. (Cyr.) η 487; Phot. Lex. η 158 **297–8** sch Π 66a[1];

273–4 (= A 411 sq.) damn. Heyne **275** ὤτρυνε Ω*: ὄτρ- G **276** δὲ πέσον F[a] **281** ἐλπόμενοι Ar tt (ἱστά- sch-A) sch[D] Ω: -μεναι Zen (cf. ad A 251, B 626) ποδώκεα 435 t* Ω: ἀμύμονα [Plut.] **282** ἀπορρῖψαι Eust.: -ίψαι Ω **283** (= Ξ 507) damn. Lachmann 72 φύγοι 60 435 Ω*: -η(ι) *b* F[a] T **285** κλονέοντο 60 Ω: καὶ ἄριστοι (= E 780) 435 rr **286** πάρα Wolf: παρὰ Ω πρυμνῆι Bekker: parox. Ω **287** Παίονας D C F[c] T[A] R G: parox. 435 Z Ω*.—cf. ad 291, B 848, K 428, Φ 155, 205, 211 **288** Ἀξιοῦ N[a]: parox. 435 Ω.—cf. ad B 849, Φ 141, 157 **288*a*** (= B 850) add. r: deest in 60 435 Ω **290** ἀμφ' ἐφόβηθεν 435 W H, ἀμφεφ- Ω*: ἀμφὶ φ- vel ἀμφιφ- Ar Z *b* F[c] **291** Παιόνες Z A B E F[a] T[a] W **293** αἰ–θόμενον 435 Ω: ἀκάματον (ex 122?) A[γρ] **294** δὲ φόβηθεν T **296** (= M 471) damn. Bekker

κινήσηι πυκινὴν νεφέλην στεροπηγερέτα Ζεύς,
ἔκ τ' ἔφανεν πᾶσαι σκοπιαὶ καὶ πρώονες ἄκροι
300 καὶ νάπαι, οὐρανόθεν δ' ἄρ' ὑπερράγη ἄσπετος αἰθήρ,
ὣς Δαναοὶ νηῶν μὲν ἀπωσάμενοι δήιον πῦρ
τυτθὸν ἀνέπνευσαν· πολέμου δ' οὐ γίνετ' ἐρωή·
οὐ γάρ πώ τι Τρῶες ἀρηϊφίλων ὑπ' Ἀχαιῶν
προτροπάδην φοβέοντο μελαινάων ἀπὸ νηῶν,
305 ἀλλ' ἔτ' ἄρ' ἄνθ' ἵσταντο· νεῶν δ' ὑπόεικον ἀνάγκηι.
ἔνθα δ' ἀνὴρ ἕλεν ἄνδρα κεδασθείσης ὑσμίνης
ἡγεμόνων. πρῶτος δὲ Μενοιτίου ἄλκιμος υἱός
αὐτίκ' ἄρα στρεφθέντος Ἀρηϊλύκου βάλε μηρόν
ἔγχεϊ ὀξυόεντι, διάπρο δὲ χαλκὸν ἔλασσεν·
310 ῥῆξεν δ' ὀστέον ἔγχος, ὃ δὲ πρηνὴς ἐπὶ γαίηι
κάππεσ'. ἀτὰρ Μενέλαος ἀρήϊος οὖτα Θόαντα
στέρνον γυμνωθέντα παρ' ἀσπίδα, λῦσε δὲ γυῖα.
Φυλείδης δ' Ἄμφικλον ἐφορμηθέντα δοκεύσας
ἔφθη ὀρεξάμενος πρυμνὸν σκέλος, ἔνθα πάχιστος
315 μυὼν ἀνθρώπου πέλεται, περὶ δ' ἔγχεος αἰχμῆι
νεῦρα διεσχίσθη· τὸν δὲ σκότος ὄσσ' ἐκάλυψεν.
Νεστορίδαι δ' ὃ μὲν οὔτασ' Ἀτύμνιον ὀξέϊ δουρί
Ἀντίλοχος, λαπάρης δὲ διήλασε χάλκεον ἔγχος,
ἤριπε δὲ προπάροιθε· Μάρις δ' αὐτοσχεδὰ δουρί

(–νεφ.) Arn ad Π 364a; **298** (πυκ. νεφ.) Porph. Hom. 125.8 Sod.; (στερ. Ζ.) H. σ 1779; (στερ.) ApS 144.17 **299** (καὶ–) Choer. in Thd. i.279.18 **300** (οὐρ.–) Olymp. in Meteor. CAG xii(2).48.30; (ὑπερρ.) H. υ 460.—cf. ad Θ 557–8 **302b** sch Λ 357; (ἐρωή) Apio 237.23 **304** (προτρ.) H. π 4016; Phot. Lex. s.v. **305b** Choer. in Thd. ii.110.4; Epm. σ 54 **306** (ἕλεν), **307** (υἱός) Nic ad Π 308a **314** al. (ὀρεξ.) H. ο 1149; (πρ. σκ.) sch Ξ 32b; (ἔνθα–)–**315** (–πέλ.) ApS 114.4; Epm. μ 26; **315** (μυών) H. μ 1816 **317** (–Ἀτ.) ApD Synt. 49.12, 127.5; Lesb. Fig. 13a/b; **317a** Polyb. Soloec. 287.15 Nauck; (–μέν) sch η 103 **319b–20a** EtG α 1421

298 κινήση(ι) 60 t* Ω*: -σει sch-Π C T[a] πυκινὴν t Ω: στυγερην 60 **299** ἔφανεν 60 A T G, -ε D: -αν *b* F[c]: -ον F[a]? R[c?] W **304** φοβέοντο Ω: ἐφέβοντο H **305** ἄνθ' ἵσταντο quidam ante Hdn (cf. ad Θ 233), ἀνθ' ἵστ- O: ἀνθίστ- Hdn Ω ὑπόεικον tt Z A[m] Ω*: properisp. A: ambigit Hdn **307** post υἱός interpungi posse monet Nic; at cf. E 38 **309** ἔγχεϊ sic Ω διάπρο dedi (Praef. xix): διὰ πρὸ R W G, διαπρὸ fere Ω* **310** γαίη(ι) D T R G (cf. 413 al.): -ης Ω*.—cf. ad N 565, P 58, Φ 118 **313** ἐφορμηθέντα Ar Ω: ὑφ- Arph **315** μυὼν tt* E T R: μυιὼν Hsch. Ω*, -ῶν Z.—cf. ad 324 ἀνθρώπου t* Ω: -ων ApS **316** ὄσσ' ἐκάλυψε C: ὄσσε κ- Ω* **317** Νεστορίδαι Ar? tt* Ω, Νέστοριδε Z: -ίδα Polyb. r οὔτασ' tt Ω: †ούτάς quidam ap. sch[T] (sc. οὖτα Σατ-? Erbse) **319** Μάρις t Ω*: -ης F[a]

320 Ἀντιλόχωι ἐπόρουσε κασιγνήτοιο χολωθείς,
στὰς πρόσθεν νέκυος· τοῦ δ' ἀντίθεος Θρασυμήδης
ἔφθη ὀρεξάμενος πρὶν οὐτάσαι, οὐδ' ἀφάμαρτεν,
ὦμον ἄφαρ· πρυμνὸν δὲ βραχίονα δουρὸς ἀκωκή
δρύψ' ἀπὸ μυώνων, ἀπὸ δ' ὀστέον ἄχρις ἄραξεν·
325 δούπησεν δὲ πεσών, κατὰ δὲ σκότος ὄσσ' ἐκάλυψεν.
ὣς τὼ μὲν δοιοῖσι κασιγνήτοισι δαμέντε
βήτην εἰς Ἔρεβος, Σαρπηδόνος ἐσθλοὶ ἑταῖροι,
υἷες ἀκοντισταὶ Ἀμισωδάρου, ὅς ῥα Χίμαιραν
θρέψεν ἀμαιμακέτην πολέσιν κακὸν ἀνθρώποισιν.
330 Αἴας δὲ Κλεόβουλον Ὀϊλιάδης ἐπορούσας
ζωὸν ἕλε, βλαφθέντα κατὰ κλόνον· ἀλλά οἱ αὖθι
λῦσε μένος, πλήξας ξίφει αὐχένα κωπήεντι,
πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι· τὸν δὲ κατ' ὄσσε
ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.
335 Πηνέλεως δὲ Λύκων τε συνέδραμον· ἔγχεσι μὲν γάρ
ἤμβροτον ἀλλήλων, μέλεον δ' ἠκόντισαν ἄμφω,
τὼ δ' αὖτις ξιφέεσσι συνέδραμον. ἔνθα Λύκων μέν
ἱπποκόμου κόρυθος φάλον ἤλασεν, ἀμφὶ δὲ καλόν
φάσγανον ἐρραίσθη· ὃ δ' ὑπ' οὔατος αὐχένα θεῖνεν
340 Πηνέλεως, πᾶν δ' εἴσω ἔδυ ξίφος, ἔσχεθε δ' οἶον
δέρμα, παρηέρθη δὲ κάρη· ὑπέλυντο δὲ γυῖα.
Μηριόνης δ' Ἀκάμαντα κιχεὶς ποσὶ καρπαλίμοισιν
νύξ' ἵππων ἐπιβησόμενον κατὰ δεξιὸν ὦμον·
ἤριπε δ' ἐξ ὀχέων, κατὰ δ' ὀφθαλμῶν κέχυτ' ἀχλύς.
345 Ἰδομενεὺς δ' Ἐρύμαντα κατὰ στόμα νηλέϊ χαλκῶι
νύξε· τὸ δ' ἀντικρὺ δόρυ χάλκεον ἐξεπέρησεν
νέρθεν ὑπ' ἐγκεφάλοιο, κέασσε δ' ἄρ' ὀστέα λευκά,

324a H. δ 2451, [2454]; (μυ.) cf. eund. μ 1817; **324b** id. α 6327; (ὀστ.–) ApS 49.29 **328–9a** sch[D] Z 182; **328–9** (θρ.) EtG α 654; **329** sch[F] Z 170 **332** (πλήξ.) H. π 2578 **333** (–αἵμ.) sch[bT] Λ 534–5; [Plut.] Hom. 2.26.2; Leo A.P. 9.361.5 (Homerocento); (–ξ.) sch E 74 **336** (ἤμβ.) H. η 437 **339** (ἐρρ.) id. ε 6006, cf. 5612, [6019] **340** (ἔσχ.–)–1 (δέρμα) Apio 239.15; **341** (παρ.–κάρη) Orus ap. EtG s.v. ἤιρτο (Reitz. Gesch. 293); (παρ.) ApS 128.23; H. π 901 **342** (κιχ.) ApS 99.31; H. (Cyr.) κ 2815; (καρπ.) H. κ 857 **346** (ἐξεπ.) sch Π 346 **347a** ApD Adv. 189.30

324 μυώνων t E R: μυι- Z Ω* **325** ὄσσ' ἐκάλυψε(ν) rr: ὄσσε κ- Ω **326–9** damn. Payne Knight **330** Ὀϊλιάδης Ω (ὁ Ἰλ- r): -δην 60 **333** ὑπεθερμάνθη 9 370 tt* Z Ω: ὑποθ- sch[b]-Λ.—cf. ad Υ 476 **338** καλὸν 1363 Ω* (cf. N 611): καυλὸν T, -ῶ M **345** Ἐρύμαντα 370 Ω: Ὀρ- quidam ap. sch[T] **346** ἐξεπέρησε 60 t Ω*: εἰσ- G **347** κέασ(σ)ε Ω, -σθε Z: κέδασ(σ)ε 60 rr

ἐκ δ' ἐτίναχθεν ὀδόντες· ἐνέπλησθεν δέ οἱ ἄμφω
αἵματος ὀφθαλμοί, τὸ δ' ἀνὰ στόμα καὶ κατὰ ῥῖνας
350 πρῆσε χανών· θανάτου δὲ μέλαν νέφος ἀμφεκάλυψεν.
οὗτοι ἄρ' ἡγεμόνες Δαναῶν ἕλον ἄνδρα ἕκαστος.
ὡς δὲ λύκοι ἄρνεσσιν ἐπέχραον ἠ' ἐρίφοισιν
σίνται, ὕπεκ μήλων αἱρεόμενοι, αἵ τ' ἐν ὄρεσσιν
ποιμένος ἀφραδίῃσι διέτμαγεν, οἱ δὲ ἰδόντες
355 αἶψα διαρπάζουσιν ἀνάλκιδα θυμὸν ἐχούσας,
ὣς Δαναοὶ Τρώεσσιν ἐπέχραον· οἱ δὲ φόβοιο
δυσκελάδου μνήσαντο, λάθοντο δὲ θούριδος ἀλκῆς.
Αἴας δ' ὁ μέγας αἰὲν ἐφ' Ἕκτορι χαλκοκορυστῆι
ἵετ' ἀκοντίσσαι· ὃ δὲ ἰδρείηι πολέμοιο
360 ἀσπίδι ταυρείηι κεκαλυμμένος εὐρέας ὤμους
σκέπτετ' ὀϊστῶν τε ῥοῖζον καὶ δοῦπον ἀκόντων.
ἦ μὲν δὴ γίνωσκε μάχης ἑτεραλκέα νίκην,
ἀλλὰ καὶ ὣς ἀνέμιμνε, σάω δ' ἐρίηρας ἑταίρους.
ὡς δ' ὅτ' ἀπ' Οὐλύμπου νέφος ἔρχεται οὐρανὸν εἴσω
365 αἰθέρος ἐκ δίης, ὅτε τε Ζεὺς λαίλαπα τείνηι,
ὣς τῶν ἐκ νηῶν γένετο ἰαχή τε φόβος τε,
οὐδὲ κατὰ μοῖραν πέραον πάλιν. Ἕκτορα δ' ἵπποι
ἔκφερον ὠκύποδες σὺν τεύχεσι, λεῖπε δὲ λαόν
Τρωϊκόν, οὓς ἀέκοντας ὀρυκτὴ τάφρος ἔρυκεν·

348 (ἐτίν.) sch Π 347 **350** (χαν.) H. χ 165 **352–3** (σίντ.) sch A.R. 2.123–9a; **352** [Plut.] Hom. 2.87.1; (–ἐπέχρ.) [Ammon.] Diff. 77; (ἐπέχρ.) ApS 71.23; H. ε 4521; (σίντ.) id. σ 697 **354** (–διέτμ.) Arn ad Π 507b **357** (δυσκ.) H. (Cyr.) δ 2586; Phot. Lex. δ 824 **358** Demetr. Eloc. 48; (–Ἕκ.) ib. 105; ApD Synt. 57.5, 102.15; Choer. in Heph. 205.25; (Αἴας δ' ὁ μ.) Did ad B 111b **359b–61** Dio Prus. 74.25; **360** (–κεκ.) sch Eur. Pho. 1178; **361** D.H. Comp. 94; (σκ.) ApS 142.12; H. σ 920 **363** Eudoc. 2246; **363b** Did ad Π 252b; Epm. τ 6 **364** Ath. 458d; (–ἔρχ.) sch Π 298a **365** EtG α 202; **365a** sch Eur. Andr. 1228

348 ἐκ Ω*: ἐν G δὲ τίναχθεν B[c] F R **351** ἕλον 9 Ω*: -εν C O ἄνδρα ἕκαστος Ω: -στον 9 rr: ἄνδρας ἀρίστους A[γρ] (cf. E 541) **352** ἐπέχραον 9 tt* Z Ω: -χρων r, sicut legit Arph in β 50 ἠ' Fick: ἢ Ω **353** ὕπεκ dedi (Praef. xix): ὑπεκ A B[c], ὑπ' ἐκ 9 Z Ω* αἱρεύμενοι (vel αἰρ-) 9 (parox.) Ω* (-εό- dedi, Praef. xxii): ἀγρ- N[γρ]: ἐρ- Z C[a] F[a] T[a] **354** διέτμαγεν Ar t Ω*: -γον (nov. Ar) 9 W O V.—cf. ad A 531 **358** δ' ὁ Ar 9 tt Ω: δὲ Nauck ἐφ' 9 Ω*: ὑφ' F[a] G **359** ἰδρείη(ι) 9 t[vl] Ω*: ἰδρίῃ t[vl] R (cf. ad H 198) **362** γίνωσκε Ω: γιγν- 9 **363** ὣς (Hdn) D[c] B[a] E: ὡς A, ὣς Ω* σάω 9 1364 tt Ω: σάου Grashof **364–71** damn. Leaf (**367–71** iam Naber Qu. Hom. 186), **372–6** Koechly; cf. Hentze Anhang 22 **365** ὅτε τε 9 Z Ω (ὅτε γε T): ὁπότε t λαίλαπα Ar 9 1364 t Z Ω: -πι "ἐν τοῖς ὑπομνήμασι" O rr τείνη(ι) 9 1364 Z Ω*: -ει t T R, -ειηι D **366** φόβος 9 Ω: cf. ad Δ 456 **369** ἀέκοντας A ἔρυκε Z Ω: εέργε 9.—cf. ad Θ 213

370 πολλοὶ δ' ἐν τάφρωι ἐρυσάρματες ὠκέες ἵπποι
ἄξαντ' ἐν πρώτωι ῥυμῶι λίπον ἅρματ' ἀνάκτων.
Πάτροκλος δ' ἕπετο σφεδανὸν Δαναοῖσι κελεύων,
Τρωσὶ κακὰ φρονέων· οἳ δὲ ἰαχῆι τε φόβωι τε
πάσας πλῆσαν ὁδούς, ἐπεὶ ἂρ τμάγεν. ὕψι δ' ἀέλλη
375 σκίδναθ' ὑπαὶ νεφέων, τανύοντο δὲ μώνυχες ἵπποι
ἄψορρον προτὶ ἄστυ νεῶν ἄπο καὶ κλισιάων.
Πάτροκλος δ', ἧι πλεῖστον ὀρινόμενον ἴδε λαόν,
τῆι ῥ' ἔχ' ὁμοκλήσας· ὑπὸ δ' ἄξοσι φῶτες ἔπιπτον
πρηνέες ἐξ ὀχέων, δίφροι δ' ἀνακυμβαλίαζον·
380 ἀντικρὺ δ' ἄρα τάφρον ὑπέρθορον ὠκέες ἵπποι
382 πρόσσω ἱέμενοι· ἐπὶ δ' Ἕκτορι †κέκλετο θυμός†,
ἵετο γὰρ βαλέειν· τὸν δ' ἔκφερον ὠκέες ἵπποι.
ὡς δ' ὑπὸ λαίλαπι πᾶσα κελαινὴ βέβριθε χθὼν
385 ἤματ' ὀπωρινῶι, ὅτε λαβρότατον χέει ὕδωρ
Ζεύς, ὅτε δὴ ἄνδρεσσι κοτεσσάμενος χαλεπήνηι,
οἳ βίηι εἰν ἀγορῆι σκολιὰς κρίνωσι θέμιστας,
ἐκ δὲ Δίκην ἐλάσωσι, θεῶν ὄπιν οὐκ ἀλέγοντες,
τῶν δέ τε πάντες μὲν ποταμοὶ πλήθουσι ῥέοντες,

370 (ἐρυσ.) sch Arat. 78; H. ε 6107 **371** (πρ. ῥυμ., = Z 40) ApS 136.28; H. π 4176 **374** (ἐπεὶ ἂρ τμ.) H. (Cyr.) ε 4315, [4616]; (ἂρ τμ.) H. α 7477; (τμ.) ApS 153.19; H. τ 1028; (ἀέλλη) Hdn ad Ξ 351d **375** (σκ.) ApS 142.22; **375**b sch Π 834; sch Pind. Ol. 8.65ab; H. τ 147 **379**b ApS 34.2; Luc. Dial. 63.10; EtG α 768, 855; (ἀν.) H. α 4861 **380** sch M 50–1 **383**a Orio 76.26 (Hdn i.196.11) **384** sch Δ 278; (βέβρ.) H. (Cyr.) β 435 **385–8** Cic. ad Q. fr. 3.7.1; **385** [Plut.] Hom. 2.111.2; **386–7** ib. 118.1, unde Stob. 1.3.46; **386** (χαλ.) ApS 167.11; **387–8** Eudoc. 418–19; **387** (βίηι–) EtG β 109; **388** (ἐλάσ.) H. ε 1881; **388**b cf. Olymp. in Gorg. 104.21; Choer. in Ps. 111.15; Epm. ο 73; (οὐκ ἀλ.) H. (Cyr.) ο 1624 **389** Eudoc. 32

372 σφεδανὸν Hdn 9 Ω: cf. ad Λ 165, Φ 542 **374** ἀέλλη 9 t Z Ω: ἄελλα Chalcondyles (cf. ad Γ 13; Hymn. Ven. 208[codd]; θύελλα passim) **375** ὑπαὶ 9 Ω: ὑπὸ Wolf (O[c]?).— cf. ad O 625 **376** προτὶ 9 Ω: ποτὶ *h* νεῶν ἄπο καὶ κλισιάων 9 370 (κε) Ω: ἐλιχθέντων ὑπ' Ἀχαιῶν (= M 74) A[γρ] **378** ὁμοκλ- Ω **379** ἀνακυμβαλίαζον Ar 9 370 A: ἀνεκυμβαλ- (nov. Did) h139[α529] tt Z A[m] Ω*: ἀνεκυμβαχ- Valckenaer ad Eur. Ph. 1157–8 (cl. Hsch. παρὰ τὸ κύμβαχος. ἢ ... παρὰ τῶν κυμβάλων et Eust. 1065.19) **380–3** damn. Düntzer **380** ἄρα 9 t Ω: ἀνὰ *h* ὑπέρθορον 9 t Ω*: ὑπέκ- D **381** (= 867) add. *b* F T W[m]: deest in 9 60 370 Ω* **382** κέκλετο 9 370 Ω: κεκλυτο 60: fort. κέκλιτο **384** ωc δ οθ' 9 κελαινὴ 9 t Ω: -νῆ(ι) (Bothe) rr (cf. Λ 747, M 375, Υ 51) βέβριθε 9 60 tt A[r] Ω*: βεβρίθει Z r, -θηι Thiersch: βέβριχε T, -υχε O **385** ἤματ' ὀπωρινῶι 9 60 (ωπορ-) tt sch[bTD] Ω: -τι χειμερίω *b* (ex M 279) **386–8** damn. Nitzsch Beitr. z. Gesch. d. ep. Poesie d. Gr. (1862) 342, **387–8** Leaf **386** ὅτε δὴ 9 60 A *b* F (cf. N 633): ὅτε δή ῥ' Cic. R: ὅτε δή τ' Ω*: ὅς τ' [Plut.], τ' Stob. **389** τῶν 9 60 1363 t Ω: τοῦ rr et ci. Leaf ut vv. 387 sq. remotis ad ὕδωρ referatur

390 πολλὰς δὲ κλειτὺς τότ' ἀποτμήγουσι χαράδραι,
ἐς δ' ἅλα πορφυρέην μεγάλα στενάχουσι ῥέουσαι
ἐξ ὀρέων ἐπικάρ, μινύθει δέ τε ἔργ' ἀνθρώπων,
ὣς ἵπποι Τρωιαὶ μεγάλα στενάχοντο θέουσαι.
Πάτροκλος δ', ἐπεὶ οὖν πρώτας ἐπέκερσε φάλαγγας,
395 ἂψ ἐπὶ νῆας ἔεργε παλιμπετές, οὐδὲ πόληος
εἴα ἱεμένους ἐπιβαινέμεν, ἀλλὰ μεσηγύ
νηῶν καὶ ποταμοῦ καὶ τείχεος ὑψηλοῖο
κτεῖνε μεταΐσσων, πολέων δ' ἀπετείνυτο ποινήν.
ἔνθ' ἤτοι Πρόνοον πρῶτον βάλε δουρὶ φαεινῶι
400 στέρνον γυμνωθέντα παρ' ἀσπίδα, λῦσε δὲ γυῖα·
δούπησεν δὲ πεσών. ὃ δὲ Θέστορα, Ἤνοπος υἱόν,
δεύτερον ὁρμηθείς—ὃ μὲν εὐξέστωι ἐνὶ δίφρωι
ἧστο ἀλείς, ἐκ γὰρ πλήγη φρένας, ἐκ δ' ἄρα χειρῶν
ἡνία ἠΐχθησαν, ὃ δ' ἔγχεϊ νύξε παραστάς
405 γναθμὸν δεξιτερόν, διὰ δ' αὐτοῦ πεῖρεν ὀδόντων.
εἷλκε δὲ δουρὸς ἑλὼν ὑπὲρ ἄντυγος, ὡς ὅτε τις φώς
πέτρηι ἔπι προβλῆτι καθήμενος ἱερὸν ἰχθύν
ἐκ πόντοιο θύραζε λίνωι καὶ ἤνοπι χαλκῶι·
ὣς εἷλκ' ἐκ δίφροιο κεχηνότα δουρὶ φαεινῶι,

390 (κλ.) ApS 100.27; H. κ 3023; (χαρ.) ApS 167.1; H. χ 172 **391** Anon. Fig. iii.159.7 Sp.; **391**a cf. Serv. Georg. 4.372; (ἅλα πορφ.) Aristid. Or. 44.1; **391**b sch Π 393a **392** ApS 73.20; **392**a Hdn ii.7.20; Epm. κ 3; (ἐπικάρ) H. ε 4828; **392**b sch E 92; (μιν.) H. (Cyr.) μ 1401 **393** al. (στεν.) Arn ad Δ 153a **395** (παλιμπ.) ApS 126.34; H. π 183 **398** (ἀπετ.) H. (Cyr.) α 6079 **401**b–2a + **404** (ἔγχ.–) Nic ad Π 402–4; **403** (ἀλείς) ApS 22.24; H. (Cyr.) α 2843 **407** Ath. 284c; (ἱερὸν ἰ.) sch K 56b; ApS 90.12; Plut. Mor. 981d; H. ι 313 **408** Arn ad Ω 81a(b); **408**a sch Φ 29; (λίνωι) cf. H. λ 1064; (ἐπὶ ἤν. χ.) EtG s.v. ἤνοπι (Philox. fr. 659 Th.); (ἤν. χ.) Porph. Hom. 47.20 Sod.; (ἤν.) ApS 84.18

390 κλειτὺς (vel -ῦς) Hdn ii.416.19 H V, cf. Eust. 1066.18 (prob. Wack. Unt. 74 sq.): κλιτ- 9 60 1363 tt Z Ω -τὺς (agn. Hdn) tt Z^{a} A^{s} D F T^{c} R^{a} W G^{c}: -τῦς (ἐχρῆν μέν Hdn) 9 Z^{c} Ω* **391** ειc 9 **392** ἐπικάρπια ἔργα μινύθει quidam ap. sch^{T}, sc. μινύθει δ' ἐπικάρπια ἔργ'? τε 9 t* Ω: τοι ApS **393** Τρω(ι)αὶ 9 1363 Ω*: Τρώων D, Τρωίων W **394** ut supra 60 (]εκερσε) 1363 Z (ἀπέκερσε) Ω (ἐπέκυρσε D *b* F^{a} T): πρώταις ενεκερσε φάλαγξι 9 (ex N 145) **397** damn. Koechly **398** ἀπετειvυτο Z: -τίνυτο Ω*: -τίννυτο t C: -τ]ẹίνετο 1367—v. Praef. xxxv sq. **399** δουρὶ φαεινῶι 1367 Ω: ποιμένα λαῶν $A^{\gamma\rho}$ **401** Ἤνοπος Nic Ω*: ἴνωπος D: οἴνοπος R.—cf. ad Ξ 444 **404** ἡνία (ϝ') van Leeuwen ἔγχεϊ sic Ω **405** ὀδόντων 227 1367 sch^{bT} Ω*: -ντας T **406** εἷλκε (nov. Did) R W: ἕλκε Ar Ω*.—cf. Praef. xxvii **407** πέτρηι Ω: ἀκτῆι t ἔπι Wolf: ἐπὶ vel ἐπι Ω: ἐνὶ V ἰχθῦν A^{c} D^{c} *b* F T **408** ἤνοπι tt Z Ω*: οἴν- C^{c} R^{a}? **409** εἷλκ' (nov. Did) Ω*: ἕλκ' Ar A F^{c}

410 κὰδ δ' ἄρ' ἐπὶ στόμ' ἔωσε· πεσόντα δέ μιν λίπε θυμός.
αὐτὰρ ἔπειτ' Ἐρύλαον ἐπεσσύμενον βάλε πέτρωι
μέσσην κὰκ κεφαλήν· ἣ δ' ἄνδιχα πᾶσα κεάσθη
ἐν κόρυθι βριαρῆι· ὃ δ' ἄρα πρηνὴς ἐπὶ γαίηι
κάππεσεν, ἀμφὶ δέ μιν θάνατος χύτο θυμοραϊστής.
415 αὐτὰρ ἔπειτ' Ἐρύμαντα καὶ Ἀμφοτερὸν καὶ Ἐπάλτην
Τληπόλεμόν τε Δαμαστορίδην Ἐχίον τε Πύριν τε
Ἰφέα τ' Εὔιππόν τε καὶ Ἀργεάδην Πολύμηλον
πάντας ἐπασσυτέρους πέλασε χθονὶ πουλυβοτείρηι.
Σαρπηδὼν δ' ὡς οὖν ἴδ' ἀμιτροχίτωνας ἑταίρους
420 χέρσ' ὕπο Πατρόκλοιο Μενοιτιάδαο δαμέντας,
κέκλετ' ἄρ' ἀντιθέοισι καθαπτόμενος Λυκίοισιν·
"αἰδώς, ὦ Λύκιοι· πόσε φεύγετε; νῦν θοοὶ ἔστε.
ἀντήσω γὰρ ἐγὼ τοῦδ' ἀνέρος, ὄφρα δαείω
ὅς τις ὅδε κρατέει καὶ δὴ κακὰ πολλὰ ἔοργεν
425 Τρῶας, ἐπεὶ πολλῶν τε καὶ ἐσθλῶν γούνατ' ἔλυσεν."
ἦ ῥα, καὶ ἐξ ὀχέων σὺν τεύχεσιν ἅλτο χαμᾶζε·
Πάτροκλος δ' ἑτέρωθεν, ἐπεὶ ἴδεν, ἔκθορε δίφρου.
οἳ δ', ὥς τ' αἰγυπιοὶ γαμψώνυχες ἀγκυλοχεῖλαι
πέτρηι ἔφ' ὑψηλῆι μεγάλα κλάζοντε μάχωνται,
430 ὣς οἳ κεκλήγοντες ἐπ' ἀλλήλοισιν ὄρουσαν.
τοὺς δὲ ἰδὼν ἐλέησε Κρόνου πάϊς ἀγκυλομήτεω,

410a Hdn ad Δ 3a; (ἐπὶ–ἔωσε) sch Π 221b **411–14** (–χύτο) sch Δ 460–1; **412** (ἄνδ.) H. (Cyr.) α 4711; **414** Eudoc. 2164; (ἀμφὶ–χύτο) Porph. Il. 22.11, Od. 49.6 Schr. **415** Apio 219.4 **417b** sch Δ 458b **419** ApS 26.12; (ἀμιτρ.) sch Σ 54b; Ath. 523d; H. α 3682; EtG α 655 **422** Plut. Mor. 32c; (πόσε φ.) ApD Adv. 194.12; Hdn ad Δ 212a^{1} **423** (–ἀν.) id. ad Ο 698 **427** (ἔκθ.) H. ε 1393 **428** Choer. in Thd. i.166.21; Epm. γ 26; (–γαμψ.) Hdn ii.487.12; (αἰγ.–) ApS 8.16; (αἰγ.) id. 17.18; **428b** Choer. in Thd. i.169.13; (γαμψ.) H. (Cyr.) γ 132; Orio 41.15; (ἀγκ.) H. (Cyr.) α 573

411 Ἐρύλαον D F W: Ἐρύαλον B C G: Εὐρύαλον t sch^{bT} A E T R ἐπεσσύμενον Ixio 60 Ω*: -ος sch^{bT} A^{s} D T^{γρ}: ἀπεσσύμενον t.—cf. ad Δ 527 πέτρηι G^{γρ} **414** μιν (= 580) tt* Ω: οἱ sch^{b}-Δ Eudoc.—cf. ad Ν 544 θυμοραϊστής 1367 sch^{bT} t Z Ω: θυμορραίστης Glaucus.—cf. ad Ν 544 **415** Ἀμφοτερὸν sic Ar alii ante Hdn Ω: proparox. O **416** Ἐχίον (Hdn) Ω: proparox. *h* O **417** utrum Πολύμηλον an πολύ- ambigit sch^{T}, cf. t **420** ὕπο rr: ὑπὸ vel ὑπο Ω δαμέντας Z Ω (cf. 434, 438, 452): θανόντας *h* **426** ἅλτο B^{a} F^{a}: ἆλτο fere Ω (ἆ- C R W); v. Praef. xx **428** ἀγκυλοχεῖλαι tt sch^{DT} Ω*: -χῆλαι C^{a} R^{c} (prob. Wack. KS 628), item libri nonnulli recentiores in χ 302, [Hes.] Scut. 405, Batr. 294 (de cancris), Ar. Eq. 197, 204 **429** ἔφ' Barnes: ἐφ' Ω μάχωνται A D F T W: -ονται Ω* **430** κεκλήγοντες Ar^{a} Hdn 227 640 Ω*: -γῶτες Ar^{b} "αἱ πλείους": -γότες E R: ΄-γοτες T^{a}.—cf. ad Μ 125 **431** Κρόνου παῖς ἀγκυλομήτεω Ω* (πάϊς Payne Knight): πατὴρ ἀνδρῶν τε θεῶν τε T.—cf. ad Θ 49

Ἥρην δὲ προσέειπε, κασιγνήτην ἄλοχόν τε·
“ὤι μοι ἐγών, ὅ τέ μοι Σαρπηδόνα φίλτατον ἀνδρῶν
μοῖρ’ ὑπὸ Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι.
435 διχθὰ δέ μοι κραδίη μέμονε φρεσὶν ὁρμαίνοντι,
ἤ μιν ζωὸν ἐόντα μάχης ἄπο δακρυοέσσης
θείω ἀναρπάξας Λυκίης ἐν πίονι δήμωι,
ἦ’ ἤδη ὑπὸ χερσὶ Μενοιτιάδαο δαμάσσω.”
τὸν δ’ ἠμείβετ’ ἔπειτα βοῶπις πότνια Ἥρη·
440 “αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες;
ἄνδρα θνητὸν ἐόντα, πάλαι πεπρωμένον αἴσηι,
ἂψ ἐθέλεις θανάτοιο δυσηχέος ἐξαναλῦσαι;
ἔρδ’· ἀτὰρ οὔ τοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι.
ἄλλο δέ τοι ἐρέω, σὺ δ’ ἐνὶ φρεσὶ βάλλεο σῆισιν·
445 αἴ κε ζὼν πέμψηις Σαρπηδόνα ὅνδε δόμονδε,
φράζεο, μή τις ἔπειτα θεῶν ἐθέλησι καὶ ἄλλος
πέμπειν ὃν φίλον υἱὸν ἀπὸ κρατερῆς ὑσμίνης.
πολλοὶ γὰρ περὶ ἄστυ μέγα Πριάμοιο μάχονται
υἱέες ἀθανάτων· τοῖσιν κότον αἰνὸν ἐνήσεις.
450 ἀλλ’ εἴ τοι φίλος ἐστί, τεὸν δ’ ὀλοφύρεται ἦτορ,
ἤτοι μέν μιν ἔασον ἐνὶ κρατερῆι ὑσμίνηι
χέρσ’ ὕπο Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι,
αὐτὰρ ἐπεὶ δὴ τόν γε λίπηι ψυχή τε καὶ αἰών,
πέμπειν μιν Θάνατόν τε φέρειν καὶ νήδυμον Ὕπνον,
455 εἰς ὅ κε δὴ Λυκίης εὐρείης δῆμον ἵκωνται,
ἔνθά ἑ ταρχύσουσι κασίγνητοί τε ἔται τε

433–4 Pl. Resp. 388c (unde Athenag. Leg. 21); Max. Tyr. 5.6; Clem. Protr. 55.3; [Iustin.] Cohort. ad Gr. 2; **433** Max. Tyr. 18.5; (–Σαρπ.) Philostr. Vit. Ap. 8.7; (ὤ μοι ἐγών) Procl. in Remp. i.123.19 **437**a Hdn ii.268.2; (ἐν π. δ.) Epm. δ 24 **440–3** Cyr. c.Iul. 10.339 (PG 76.1021c); **440–2** Macr. Sat. 5.10.4; **441–2** Porph. Il. 105.14 Schr.; **441** Eudoc. 1231, 2140; **441**b H. π 133; (πεπρ.) Phot. Lex. s.v.; **442** Eudoc. 1261, 2142; (θαν.–) Luc. Dial. 82.14; (δυσηχ.) ApS 61.6 **450** Eudoc. 1243 **453** ApS 17.12 **456–7** [Plut.] Hom. 2.190.1; Stob. 4.55.7; **456**b sch A.R. 1.305; sch Luc. p.91.20 R.; **457** sch Eur. Alc. 53;

432–58 ath. vel om. Zen (περιγράφει, v. Bolling Ext. Evid. 48 sq.; Nickau Unt. 10–12, 140 sq.) **433** ὤι μοι A *b* W: ὤ μοι tt* Ω*: αἲ αἲ Plato Athenag. ὅτε 640 tt Ω: ὅτι O **436** ἄπο A *b* G: ἀπὸ vel ἀπο B^c Ω* **437** ἐν t Ω: ἐνὶ rr **438** ἦ’ dedi (ἤ’ Fick): ἢ Hdn A D T^c: ἢ Ω* ὑπὸ χερσὶ Ω (cf. 420, 452, Z 368): χείρεσσι Hdn **442** ἂψ 60 tt* Ω: πῶς Cyr. δυσηχέος 60 tt* Ω: δυσαλγέος $Eudoc.^{2142}$ **445** ζὼν Ar^{ab} A E: ζῶν (Ptol) A^{λ} B C^a F^c (cf. ad E 887): ζωὸν (nov. Did, sc. sine κε?) A^m Ω* (ex 436) ὃν δὲ δόμον δὲ Hdn A D **447** ἄπο A^c **450** φίλος Ar t A^m *b* F T W: -ον (nov. Did) 60 Ω* (cf. H 387, Ξ 337).—cf. ad Ψ 548 **452** ὕπο Wolf: ὑπὸ vel ὑπο Ω **453** ἐπεὶ t Ω*: ἐπὴν $A^{\gamma\rho}$ D G **455** ἵκωνται Ω, -ο[ντ]αι 501 (rr): -οιτο $A^{\gamma\rho}$: -ηται r^c **456** ἔνθά (sic)

τύμβωι τε στήληι τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων."
ὣς ἔφατ'· οὐδ' ἀπίθησε πατὴρ ἀνδρῶν τε θεῶν τε.
αἱματοέσσας δὲ ψιάδας κατέχευεν ἔραζε
460 παῖδα φίλον τιμῶν, τόν οἱ Πάτροκλος ἔμελλεν
φθείσειν ἐν Τροίηι ἐριβώλακι, τηλόθι πάτρης.
οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
ἔνθ' ἤτοι Πάτροκλος ἀγακλειτὸν Θρασύδημον,
ὅς ῥ' ἠῢς θεράπων Σαρπηδόνος ἦεν ἄνακτος,
465 τὸν βάλε νείαιραν κατὰ γαστέρα, λῦσε δὲ γυῖα.
Σαρπηδὼν δ' αὐτοῦ μὲν ἀπήμβροτε δουρὶ φαεινῶι
δεύτερος ὁρμηθείς, ὃ δὲ Πήδασον οὔτασεν ἵππον
ἔγχεϊ δεξιὸν ὦμον· ὃ δ' ἔβραχε θυμὸν ἀΐσθων,
κὰδ δ' ἔπεσ' ἐν κονίηισι μακών, ἀπὸ δ' ἔπτατο θυμός.
470 τὼ δὲ διαστήτην, κρίκε δὲ ζυγόν, ἡνία δέ σφι
σύγχυτ', ἐπεὶ δὴ κεῖτο παρήορος ἐν κονίηισιν.
τοῖο μὲν Αὐτομέδων δουρικλυτὸς ηὕρετο τέκμωρ·
σπασσάμενος τανύηκες ἄορ παχέος παρὰ μηροῦ,
ἀΐξας ἀπέκοψε παρήορον, οὐδ' ἐμάτησεν·

Eudoc. 1242; **457**a H. τ 570 **459–61**a Luc. Dial. 82.14; **459–60a** Porph. Il. 105.17 Schr.; **459** Hclt. Alleg. 42.4; [Plut.] Hom. 2.111.1; H. ν 593; (–ψι.) ApS 116.32; sch P 268–70; sch [Hes.] Sc. 384; **459**b Epm. τ 6; (ψι.) ApS 169.20; sch Theoc. 1.1d; H. ψ 169; Orio 165.31 **465**a Nic ad Π 463a; (νεί. γαστ.) sch N 532, X 97a/c **466** (–ἀπήμ.) + **467** (ὃ δὲ–οὔτα) Did ad Γ 18b; (–ἀπήμ.) sch Π 467–8; **467**b ApS 128.11; (Πήδ.–) sch N 573 **468**b ApS 16.16; Hdn ad O 676b[1]; Procl. in Tim. iii.332.4; EtG α 280; Lex. αἱμ α 5a; Epm. α 306, 370; (ἀΐσθων) Hdn ad N 809a **469** (–μακών) Epm. κ 115, 155 (bis), μ 72; (μακ.) ApS 109.32 **470** (κρίκε δὲ ζ.) sch Theoc. 1.1f; Epm. λ 42 (= Hdn ii.803.5), ψ 7; (κρ.) H. κ 4110 **471** (σύγχ.) H. (Cyr.) σ 2205 **473** Choer. in Thd. i.155.29; (ταν.–) ApS 149.10; (ταν. ἄορ) Arn ad Π 768a(b) **474** (–παρ.) sch Θ 87a[1]; (παρ.) Apio 98.20; (οὐδ' ἐμ.) Philox. fr. 546 Th.; H. ο 1555; (ἐμάτ.) ApS 67.9; H. (Cyr.) ε 2267

Ω: ὄφρα Stob. (ex H 85) ταρχύσουσι 60 t* Z Ω*: -σωσι Stob. R W[a] **457** γέρας 60 501[c] tt Ω: ?λα]χος 501[a] **461** φθείσειν Brugmann Gr. Gramm. 200: φθί- 60 t Z Ω (ί in ras. T: fuerat fort. φθή-, ut O) **463** Θρασύδημον Nic 501[c] A[γρ] *b* DW: -μήδην (ex 321) 501[a] rr: -μηλον (ex 417?) A *b* F T: -μηδον R G **464** ἄνακτος Ω: ἄριστος r:]ντες 501 (ex 462?) **467** δεύτερος (nov. Did) A[c] Ω* (cf. Γ 349 al.): -ον "οἱ ὑπομνηματισταί" A[a] A[s] A[λ] D *b* (ex 402?).—cf. ad E 855 οὔτασεν Ar tt (οὔτα Did-Γ) Ω: ἤλασεν Philemo:]εν 501: ἀγλαὸν et post 467*ab* (= 153–4) 468 τὸν βάλε pro ἔγχεϊ Aristarcho trib. sch[T], quod non credi potest; cf. Lehrs De Aristarchi stud. Hom. 54 sq.; Bolling Ext. Evid. 169 sq. **468** ἔγχεϊ sic Ω ἀΐσθων Hdn sch[D] Ω: oxyt. Bechtel Lexil. 22 **469** (= κ 163, τ 454) damn. Bothe: hab. 501 Ω **470** κρίκε tt Z Ω: κρίγε (Bentley) H[c], cf. sch[bT] σφι 501 Ω*: σφιν D T G **472** δουρὶ κλυτὸς A B E F[a] T[a] G, δουρὶ κλεινὸς W ηὕρετο van Leeuwen: εὕρ- Ω (-ατο C) **473** σπασσάμενος A D: σπασάτ Ω* **474** οὐδ' ἐμάτησε tt Ω*: οὐδὲ μ- Z D T R W

475 τὼ δ' ἰθυνθήτην, ἐν δὲ ῥυτῆρσι τάνυσθεν.
τὼ δ' αὖτις συνίτην ἔριδος πέρι θυμοβόροιο.
ἔνθ' αὖ Σαρπηδὼν μὲν ἀπήμβροτε δουρὶ φαεινῶι,
Πατρόκλου δ' ὑπὲρ ὦμον ἀριστερὸν ἤλυθ' ἀκωκὴ
ἔγχεος, οὐδ' ἔβαλ' αὐτόν. ὃ δ' ὕστερος ὤρνυτο χαλκῶι
480 Πάτροκλος· τοῦ δ' οὐχ ἅλιον βέλος ἔκφυγε χειρός,
ἀλλ' ἔβαλ', ἔνθ' ἄρα τε φρένες ἔρχαται ἀμφ' ἀδινὸν κῆρ·
ἤριπε δ' ὡς ὅτε τις δρῦς ἤριπεν ἠ' ἀχερωΐς
ἠὲ πίτυς βλωθρή, τήν τ' οὔρεσι τέκτονες ἄνδρες
ἐξέταμον πελέκεσσι νεήκεσι νήϊον εἶναι·
485 ὣς ὃ πρόσθ' ἵππων καὶ δίφρου κεῖτο τανυσθείς,
βεβρυχώς, κόνιος δεδραγμένος αἱματοέσσης.
ἠΰτε ταῦρον ἔπεφνε λέων ἀγέληφι μετελθὼν
αἴθωνα μεγάθυμον ἐν εἰλιπόδεσσι βόεσσιν,
ὤλετό τε στενάχων ὑπὸ γαμφηλῆισι λέοντος,
490 ὣς ὑπὸ Πατρόκλωι Λυκίων ἀγὸς ἀσπιστάων
κτεινόμενος μενέαινε, φίλον δ' ὀνόμηνεν ἑταῖρον·
"Γλαῦκε πέπον, πολεμιστὰ μετ' ἀνδράσι, νῦν σε μάλα χρὴ
αἰχμητήν τ' ἔμεναι καὶ θαρσαλέον πολεμιστήν·
νῦν τοι ἐελδέσθω πόλεμος κακός, εἰ θοός ἐσσι.
495 πρῶτα μὲν ὄτρυνον Λυκίων ἡγήτορας ἄνδρας
πάντηι ἐποιχόμενος Σαρπηδόνος ἀμφιμάχεσθαι·
αὐτὰρ ἔπειτα καὶ αὐτὸς ἐμέο πέρι μάρναο χαλκῶι.
σοὶ γὰρ ἐγὼ καὶ ἔπειτα κατηφείη καὶ ὄνειδος

475 (ἰθ.) id. ι 414; (ἐν δὲ ῥ.) id. ε 2768; (ῥυτ.) cf. Apion. 100.4, ApS 139.23; H. ρ 539 **476**a sch Π 475a **481** (ἔνθ'–ἔρχ.) Did ad Ψ 104a; (ἔρχ.) H. ε 6124; (ἀμφ'–) Apio 212.17; (ἀδ. κῆρ) ApS 9.12; H. (Cyr.) α [1048], 1139 **486** (βεβρ.) ApS 51.12 **489** (ὑπὸ γαμφ.) H. υ 580/1 **490** (ἀγὸς ἀσπ.) H. (Cyr.) α 739 **491**a ApS 111.11; (μενέ.) Apio 246.24 **492** (–ἀνδρ.) Nic ad Π 557a **494** sch Π 422; **494**a Nic ad Π 492–3; (ἐελδ.) H. ε 567 **496**b sch H 75c **498** Ael. Dion. α 21; Phot. Lex. α 1487; **498**b ApS 96.19; (κατηφ.) H. κ 1795

475 ἰθυθήτην R[a] ῥυτῆρσι tt sch[D] Ω: -ῆρι sch[Tγρ], prob. Grashof Über d. Fuhrwerk bei Hom. u. Hes. (1846) 36 **476** πέρι Z A C E[x] F T: περὶ Ω* **479** αὐτόν: cf. ad E 17 ὤρνυτο Ω*: ὄρν- R **482** ἠ' Fick: ἢ Ω **483–4** cf. ad N 390–1 **486** βεβρυχώς 59 1369 Z (-ός) Ω: -κώς ApS quidam ap. sch[T] (κακῶς).—cf. ad N 393 **487** ἠΰτε 1369 Ω: ως δ οτε 59 **488** ἐν Ar[ab] Ω*: ἐπ' (nov. Did) 60 A[s] T[γρ] R W (cf. Z 424) **492** πέπον 501 1369 t Ω: πάρος "ἄμεινον γράφειν" sch[T] **494** κακός 60 t Ω: θρασύς quidam ap. sch[bT] ne pugnam heros simul commendet vituperetque **496** πάντη(ι) Ω: π⌊αν⌋τας 501 r.—cf. ad 156 ἀμφὶ μάχεσθαι A B[a] **497** ἐμεῦ Ω πέρι μάρναο Ω* (cf. adn. meam ad Hes. Th. 647): περιμ- (vel περὶ μ-) Ar? Ptol A[a] *b* T: utrumque agn. Hdn

ἔσσομαι ἤματα πάντα διαμπερές, εἴ κέ μ' Ἀχαιοί
500 τεύχεα συλήσωσι νεῶν ἐν ἀγῶνι πεσόντα.
ἀλλ' ἔχεο κρατερῶς, ὄτρυνε δὲ λαὸν ἅπαντα."
  ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψεν
ὀφθαλμοὺς ῥῖνάς θ'. ὃ δὲ λὰξ ἐν στήθεσι βαίνων
ἐκ χροὸς εἷλκε δόρυ, προτὶ δὲ φρένες αὐτῶι ἕποντο·
505 τοῖο δ' ἅμα ψυχήν τε καὶ ἔγχεος ἐξέρυσ' αἰχμήν.
Μυρμιδόνες δ' αὐτοῦ σχέθον ἵππους φυσιόωντας,
ἱεμένους φοβέεσθαι, ἐπεὶ †λίπον ἅρματ' ἀνάκτων†.
  Γλαύκωι δ' αἰνὸν ἄχος γένετο φθογγῆς ἀϊόντι,
ὠρίνθη δέ οἱ ἦτορ, ὅ τ' οὐ δύνατο προσαμῦναι.
510 χειρὶ δ' ἑλὼν ἐπίεζε βραχίονα· τεῖρε γὰρ αὐτόν
ἕλκος, ὃ δή μιν Τεῦκρος ἐπεσσύμενον βάλεν ἰῶι
τείχεος ὑψηλοῖο, ἀρὴν ἑτάροισιν ἀμύνων.
εὐχόμενος δ' ἄρα εἶπεν ἑκηβόλωι Ἀπόλλωνι·
"κλῦθι, ἄναξ, ὅς που Λυκίης ἐν πίονι δήμωι
515 εἶς ἢ ἐνὶ Τροίηι· δύνασαι δὲ σὺ πάντοσ' ἀκούειν
ἀνέρι κηδομένωι, ὡς νῦν ἐμὲ κῆδος ἱκάνει.
ἕλκος μὲν γὰρ ἔχω τόδε καρτερόν, ἀμφὶ δέ μοι χείρ
ὀξείηις ὀδύνηισιν ἐλήλαται, οὐδέ μοι αἷμα
τερσῆναι δύναται, βαρύθει δέ μοι ὦμος ὑπ' αὐτοῦ·
520 ἔγχος δ' οὐ δύναμαι σχεῖν ἔμπεδον, οὐδὲ μάχεσθαι
ἐλθὼν δυσμενέεσσιν. ἀνὴρ δ' ὤριστος ὄλωλεν,

502 ApD Coni. 254.25; Luc. Dial. 40.19 **504b** sch X 59d[1] **505** sch N 574a **509** Eudoc. 1764; **509a** sch O 7a[1]; (ὠρ.) H. ω 348 **510** (–βραχ.) Epm. ν 41; (ἐπί.) H. (Cyr.) ε 4751 **514–16** w40 a 7; **514** sch Aesch. Sept. 163a–c **518** (ἐλήλ.) H. ε 2052 **519b** EtG β 45; (βαρ. ὦμος) cf. Hdn ad Γ 35b[1]

499 κέ μ' Ω: κεν A[γρ] H rr **500** νεῶν Ar sch[D] Ω*: νέων (praefert sch[bT]) A B E F[c] **504** εἷλκε (nov. Did) Ω: ἕλκε Ar *b* προτὶ (nov. Did?) *b*: ποτὶ Ar[?] (teste T) t Z Ω ἕποντο (nov. Did) t Ω (cf. M 395): ἔχ- Ar, cf. sch[D] προσείχοντο δὲ αὐτῶι αἱ φρέ–νες et N 570 **505–7** damn. Payne Knight, **506–7** Grashof, **507** Heyne **507** †λίπον ἅρματ' ἀνάκτων† = 371 λίπον Zen *b* C R: -εν Ar (tamquam 3. pl. aor. pass.!) sch[D] Ω* ἄνακτες Jortin: ἀνάκτωρ Bayfield (cf. Hymn. Ap. 234) **508** ἀϊόντι quidam ante Hdn (Tyr? Schulze Kl. Schr. 345; cf. Praef. xx) W[a]: ἀΐοντι Ar Hdn Ω*, ἀΐδοντι Z φθιμένου ἑτάροιο (= 581) O[γρ] **509** ὅτ' 1372 Ω (ὅτε τ' W; ὅ τ' Bekker Hom. Bl. I 151): ο δ' 441: καὶ t προσαμῦναι t Ω*: -ύνειν G **510** αὐτὸν 1373 Ω (γάρ αὐτον ApD? cf. ad M 204): αἰνῶς rr (cf. E 352, δ 441, [Hes.] fr. 29.6) **511** ἐπεσσύμενον 1373 Ω* (cf. M 388): -ος *b* **515** εἶς Ω*: εἷς Hdn B[a] E, εἶς D, εἰς A: ἔσσ' Leo Meyer ἐνὶ t Ω: ἐν *b* (si recte, scribe ἠ' pro ἢ) πάντοσ' Ar 1373 t sch[D] Ω (-ῶς G): πάντ' ἐσ- Zen: πάντοθ(ι) quidam ap. sch[T] **519** ὑπ' αὐτοῦ 1369 t Ω (-τῶ G): ὕπερθε H (cf. N 473)

Σαρπηδών, Διὸς υἱός· ὃ δ' οὐδ' ὧι παιδὶ ἀμύνει.
ἀλλὰ σύ πέρ μοι, ἄναξ, τόδε καρτερὸν ἕλκος ἄκεσσαι,
κοίμησον δ' ὀδύνας, δὸς δὲ κράτος, ὄφρ' ἑτάροισιν
525 κεκλόμενος Λυκίοισιν ἐποτρύνω πολεμίζειν,
αὐτός τ' ἀμφὶ νέκυι κατατεθνηῶτι μάχωμαι."
ὣς ἔφατ' εὐχόμενος, τοῦ δ' ἔκλυε Φοῖβος Ἀπόλλων·
αὐτίκα παῦσ' ὀδύνας, ἀπὸ δ' ἕλκεος ἀργαλέοιο
αἷμα μέλαν τέρσηνε, μένος δέ οἱ ἔμβαλε θυμῶι.
530 Γλαῦκος δ' ἔγνω ἧισιν ἐνὶ φρεσὶ γήθησέν τε,
ὅττί οἱ ὦκ' ἤκουσε μέγας θεὸς εὐξαμένοιο.
πρῶτα μὲν ὤτρυνεν Λυκίων ἡγήτορας ἄνδρας
πάντηι ἐποιχόμενος Σαρπηδόνος ἀμφιμάχεσθαι·
αὐτὰρ ἔπειτα μετὰ Τρῶας κίε μακρὰ βιβάσθων,
535 Πουλυδάμαντ' ἔπι Πανθοΐδην καὶ Ἀγήνορα δῖον,
βῆ δὲ μετ' Αἰνείαν τε καὶ Ἕκτορα χαλκοκορυστήν.
ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
"Ἕκτορ, νῦν δὴ πάγχυ λελασμένος εἰς ἐπικούρων,
οἳ σέθεν εἵνεκα τῆλε φίλων καὶ πατρίδος αἴης
540 θυμὸν ἀποφθινύθουσι, σὺ δ' οὐκ ἐθέλεις ἐπαμύνειν.
κεῖται Σαρπηδών, Λυκίων ἀγὸς ἀσπιστάων,
ὃς Λυκίην εἴρυτο δίκηισί τε καὶ σθένεϊ ὧι·
τὸν δ' ὑπὸ Πατρόκλωι δάμασ' ἔγχεϊ χάλκεος Ἄρης.
ἀλλὰ φίλοι, πάρστητε, νεμεσσήθητε δὲ θυμῶι,
545 μὴ ἀπὸ τεύχε' ἕλωνται, ἀεικίσσωσι δὲ νεκρόν
Μυρμιδόνες, Δαναῶν κεχολωμένοι ὅσσοι ὄλοντο,
τοὺς ἐπὶ νηυσὶ θοῆισιν ἐπέφνομεν ἐγχείηισιν."
ὣς ἔφατο, Τρῶας δὲ κατὰ κρῆθεν λάβε πένθος

522 Athenag. Leg. 21; **522b** Did ad Σ 171a[1] **523** Eudoc. 1021 **528–31** ead. 1027–8, 1037–8 **534** (κίε–) EtG β 110 **544a** Lib. Ep. 226.1 (x.210.11 F.); (νεμ.) H. (Cyr.) ν 280 **545b–6** ApS 10.28; **545** (ἀεικ.) H. (Cyr.) α 1281 **548** (κατὰ κρ.) id.

522 οὐδ' t Ω: οὐ (Bentley) N ὧι παιδὶ quidam ante Ar 1369 Athenag. Ω: οὗ παιδὸς Ar t* rr.—cf. ad Σ 171 **523** ἕλκος 1369 Ω*: ἄλγος C: ἄκος t ἄκεσσαι sch[T] Ω: ἀκέσ–σαι Ar **524** κοίμησον 641 Z Ω*: -ισον C R W[c], -ισσον T **526** κατατεθνηῶτι Ar[ab] A E W: -θνει- (nov. Did) A[s] E[s] Ω* **528** αὐτίκα παῦσ' 641 t Ω*: -κ' ἔπαυσ' R **531** ὅττί sic A W **532** ὤτρυνε(ν) 641 642 Ω*: ὄτρ- A D R[s] **534** βιβάσθων t Z Ω: cf. ad N 809 **535** ἔπι Wolf: ἐπὶ vel ἔπι Ω **538** εἰς (Hdn) M[?]: εἲς A[c] D B[a] C[c] E F[a]: εἷς Ω* **540** ἐπαμύνειν Ω*: -ῦναι D W (ex 509) **542** εἴρυτο Ar Hdn 441 Ω: εἰρῦτο Tyr: ἐρύετο Z **543** Πατρόκλω(ι) 441 Ω (cf. N 434): -ου Doederlein cl. P 303 ἔγχεϊ sic 441 1376 Ω **545** μή (ϝ') Cobet Misc. crit. 265 **548** κατὰ κρῆθεν Ar Hdn 441 tt sch[D] Ω*: κατ' ἄκρηθεν quidam ap. sch[T] C, κατάκρ- W[c] V.—'caput' in-

ἄσχετον, οὐκ ἐπιεικτόν, ἐπεί σφισιν ἕρμα πόληος
550 ἔσκε καὶ ἀλλοδαπός περ ἐών· πολέες γὰρ ἅμ' αὐτῶι
λαοὶ ἕποντ', ἐν δ' αὐτὸς ἀριστεύεσκε μάχεσθαι.
βὰν δ' ἰθὺς Δαναῶν λελιημένοι· ἦρχε δ' ἄρά σφιν
Ἕκτωρ, χωόμενος Σαρπηδόνος. αὐτὰρ Ἀχαιούς
ὦρσε Μενοιτιάδεω Πατροκλῆος λάσιον κῆρ·
555 Αἴαντε πρώτω προσέφη, μεμαῶτε καὶ αὐτώ·
"Αἴαντε, νῦν σφῶϊν ἀμύνεσθαι φίλον ἔστω,
οἷοί περ πάρος ἦτε μετ' ἀνδράσιν, ἢ καὶ ἀρείους.
κεῖται ἀνήρ, ὃς πρῶτος ἐσήλατο τεῖχος Ἀχαιῶν,
Σαρπηδών. ἀλλ' εἴ μιν ἀεικισσαίμεθ' ἑλόντες
560 τεύχεά τ' ὤμοιιν ἀφελοίμεθα· καί τιν' ἑταίρων
αὐτοῦ ἀμυνομένων δαμασαίμεθα νηλέϊ χαλκῶι."
ὣς ἔφαθ', οἳ δὲ καὶ αὐτοὶ ἀλέξασθαι μενέαινον.
οἳ δ' ἐπεὶ ἀμφοτέρωθεν ἐκαρτύναντο φάλαγγας,
Τρῶες καὶ Λύκιοι καὶ Μυρμιδόνες καὶ Ἀχαιοί,
565 σύμβαλον ἀμφὶ νέκυι κατατεθνηῶτι μάχεσθαι
δεινὸν ἀΰσαντες· μέγα δ' ἔβραχε τεύχεα φωτῶν.
Ζεὺς δ' ἐπὶ νύκτ' ὀλοὴν τάνυσε κρατερῆι ὑσμίνηι,
ὄφρα φίλωι περὶ παιδὶ μάχης ὀλοὸς πόνος εἴη.
ὦσαν δὲ πρότεροι Τρῶες ἑλίκωπας Ἀχαιούς·
570 βλῆτο γὰρ οὔ τι κάκιστος ἀνὴρ μετὰ Μυρμιδόνεσσιν,
υἱὸς Ἀγακλῆος μεγαθύμου, δῖος Ἐπηγεύς,
ὅς ῥ' ἐν Βουδείωι εὖ ναιομένωι ἤνασσεν
τὸ πρίν· ἀτὰρ τότε γ' ἐσθλὸν ἀνεψιὸν ἐξεναρίξας

κ 1185; EtG s.v. **549a** ApS 2.2; (ἄσχ.) H. (Cyr.) α 7977; EtG α 1331; **549b** ApS 147.21; (ἕρμα π.) sch Δ 117d; H. (Cyr.) ε 2415 **550** (ἀλλοδ.) H. α 3143 **553** (–Σαρπ.) Nic ad Λ 657–8a[1] **557** Eudoc. 1462 **558** (ὃς–ἐσήλ.) sch Π 559c **563** Porph. fr. 409 Sm. **565** Choer. in Thd. i.145.5 **567** [Plut.] Hom. 2.108.2 **570a** EtG β 142; Epm. β 28, ε 172 **572** (–ναι.) St. Byz. 180.8; (Βούδ.) H. β 886; EtG β 195

tellexit poeta puto (pace Leumann 57 sq.), nam ἄκρη de homine non dicitur **549** σφισιν 1376 Ω*: σφιν t D *b* W **552** ἄρά sic G, cf. Praef. xviii **554** Μενοιτιάδεω A *b* F: -άδαο Ω*, at Πατρ- numquam corripitur **555–68** damn. Payne Knight **556** φίλον 1376 Ω: μένος A[γρ] **557** ἦτε t Ω: ἦστε Leo Meyer Griech. Aoriste (1879) 101 (cf. Fraenkel ad Ag. 542) **558** ἐσήλατο Ar Hdn A A[λ]: ἐ-σήλατο Lysanias ne versui M 438 contradiceretur **559** εἴ Ar Ω: εὖ Rhi **560** ita fere interpunxit Ar u.v. (ἔξωθεν προσυπακουστέον τὸ καλῶς ἂν ἔχοι Arn) ἀφελοίμεθα Ω*: -ώμεθα D R[a] G **562** ἀλέξασθαι Ω*: -εσθαι C: -έμεναι Bekker Hom. Bl. I 319.—cf. ad O 565 **565** κατατεθνηῶτι (Ar) B[c] C[c] E[t] T: -θνει- t[vl] E[s] Ω*: -θνε- G **567–8** damn. Heyne **568** ὀλοὸς Ω (cf. 567): ἀλαὸς Bothe: ἅλιος Nauck **571** Ἐπηγεύς Ω*: Ἐπειγ- *b* T W[x] **572** ἐ(Ϝ)άνασσε Heyne

ἐς Πηλῆ' ἱκέτευσε καὶ ἐς Θέτιν ἀργυρόπεζαν·
575 οἳ δ' ἅμ' Ἀχιλλῆϊ ῥηξήνορι πέμπον ἕπεσθαι
Ἴλιον εἰς εὔπωλον, ἵνα Τρώεσσι μάχοιτο.
τόν ῥα τόθ' ἁπτόμενον νέκυος βάλε φαίδιμος Ἕκτωρ
χερμαδίωι κεφαλήν· ἣ δ' ἄνδιχα πᾶσα κεάσθη
ἐν κόρυθι βριαρῆι· ὃ δ' ἄρα πρηνὴς ἐπὶ νεκρῶι
580 κάππεσεν, ἀμφὶ δέ μιν θάνατος χύτο θυμοραϊστής.
Πατρόκλωι δ' ἄρ' ἄχος γένετο φθιμένου ἑτάροιο,
ἴθυσεν δὲ διὰ προμάχων ἴρηκι ἐοικώς
ὠκέϊ, ὅς τ' ἐφόβησε κολοιούς τε ψῆράς τε·
ὣς ἰθὺς Λυκίων, Πατρόκλεις ἱπποκέλευθε,
585 ἔσσυο καὶ Τρώων, κεχόλωσο δὲ κῆρ ἑτάροιο.
καί ῥ' ἔβαλε Σθενέλαον, Ἰθαιμένεος φίλον υἱόν,
αὐχένα χερμαδίωι, ῥῆξεν δ' ἀπὸ τοῖο τένοντας.
χώρησαν δ' ὑπό τε πρόμαχοι καὶ φαίδιμος Ἕκτωρ·
ὅσση δ' αἰγανέης ῥιπὴ ταναοῖο τέτυκται,
590 ἥν ῥά τ' ἀνὴρ ἀφέηι πειρώμενος, ἠ' ἐν ἀέθλωι,
{ἠὲ καὶ ἐν πολέμωι δηίων ὕπο θυμοραϊστέων,}
τόσσον ἐχώρησαν Τρῶες, ὤσαντο δ' Ἀχαιοί.
Γλαῦκος δὲ πρῶτος, Λυκίων ἀγὸς ἀσπιστάων,
ἐτράπετ', ἔκτεινεν δὲ Βαθυκλῆα μεγάθυμον,
595 Χάλκωνος φίλον υἱόν, ὃς Ἑλλάδι οἰκία ναίων
ὄλβωι τε πλούτωι τε μετέπρεπε Μυρμιδόνεσσιν·
τὸν μὲν ἄρα Γλαῦκος στῆθος μέσον οὔτασε δουρί
στρεφθεὶς ἐξαπίνης, ὅτε μιν κατέμαρπτε διώκων,
δούπησεν δὲ πεσών. πυκινὸν δ' ἄχος ἔλλαβ' Ἀχαιούς,

574a sch O 339b, X 123c; H. ε 6313; (ἱκέτ.) id. ι 460 **582** (ἴρηκι–)–**3** sch P 755–7; **583**b Gell. 13.21.25; Choer. in Thd. i.296.19; (κολοιούς) Phot. Lex. κ 894; (ψῆρας) sch Φ 347b; cf. H. ψ 154 **586**b Epm. α 283 **588** (= Δ 404) Porph. Il. 331.13 Schr. **589** (αἰγ.) H. (Cyr.) α 1684; (ῥιπὴ ταν.) H. ρ 355 **590** (ἐν ἀέθ.) H. (Cyr.) ε 2602 **591** (θυμορ.) sch Π 414 **599** (πυκ. δ' ἄχος) H. (Cyr.) π 4327

574 Πηλῆ quidam ap. sch-O, Z **576** εὔπωλον A **580** μιν Ω: οἱ Düntzer θυμοραϊστής Ω.—cf. ad 414 **582** ἴρηκι D B[a] R W **583** κολοιούς tt Ω: fort. olim κολωιούς ψῆράς tt Z Ω: ψά- O, ψᾶ- Payne Knight cl. P 755.—discrepantia iam antiquos grammaticos exercuit (t); cf. Lobeck Paralipomena 20; Meister 169; Chantr. DEG **584** Πατρόκλεις Ω: -κλεες Payne Knight.—cf. Praef. xxv **586** ἔβαλε Ar A[λ] Ω: -εν 1376: -ες rr.—de recessu in tertiam personam cf. 697, 789, P 681, 705, Ψ 601 Σθενέλαον A[λ] Ω*: -λεον R G: -λον O (prob. Fick; Bechtel Lexil. 173) **587** τένοντας Ω*: -ντε A[s] F R W.—cf. Δ 521, E 307, K 456, Ξ 466, et ad P 290, Υ 478, X 396; dualis usurpatur cum vox 'ambo' adest, alias pluralis **589** δ' 1376 A[λ] Ω: fort. τ', cf. ad E 770 **590** ἠ' Fick: ἢ Ω **591** damn. Leaf ὕπο Wolf: ὑπὸ vel ὑπο Ω θυμοραϊστέων Ω (-στῶν W): cf. ad 414

600 ὡς ἔπεσ' ἐσθλὸς ἀνήρ· μέγα δὲ Τρῶες κεχάροντο,
στὰν δ' ἀμφ' αὐτὸν ἰόντες ἀολλέες· οὐδ' ἄρ' Ἀχαιοί
ἀλκῆς ἐξελάθοντο, μένος δ' ἰθὺς φέρον αὐτῶν.
ἔνθ' αὖ Μηριόνης Τρώων ἕλεν ἄνδρα κορυστήν,
Λαόγονον, θρασὺν υἱὸν Ὀνήτορος, ὃς Διὸς ἱρεύς
605 Ἰδαίου ἐτέτυκτο, θεὸς δ' ὣς τίετο δήμωι·
τὸν βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατος, ὦκα δὲ θυμός
ὤιχετ' ἀπὸ μελέων, στυγερὸς δ' ἄρα μιν σκότος εἷλεν.
Αἰνείας δ' ἐπὶ Μηριόνηι δόρυ χάλκεον ἧκεν,
ἔλπετο γὰρ τεύξεσθαι ὑπασπίδια προβιβάντος·
610 ἀλλ' ὃ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος,
πρόσσω γὰρ κατέκυψε, τὸ δ' ἐξόπιθεν δόρυ μακρόν
οὔδει ἐνισκίμφθη, ἐπὶ δ' οὐρίαχος πελεμίχθη
613 ἔγχεος· ἔνθα δ' ἔπειτ' ἀφίει μένος ὄβριμος Ἄρης.
616 Αἰνείας δ' ἄρα θυμὸν ἐχώσατο φώνησέν τε·
"Μηριόνη, τάχα κέν σε καὶ ὀρχηστήν περ ἐόντα
ἔγχος ἐμὸν κατέπαυσε διαμπερές, εἴ σ' ἔβαλόν περ."
τὸν δ' αὖ Μηριόνης δουρικλυτὸς ἀντίον ηὔδα·
620 "Αἰνεία, χαλεπόν σε καὶ ἴφθιμόν περ ἐόντα
πάντων ἀνθρώπων σβέσσαι μένος, ὅς κέ σε' ἄντα
ἔλθηι ἀμυνόμενος· θνητὸς δέ νυ καὶ σὺ τέτυξαι.
εἰ καὶ ἐγώ σε βάλοιμι τυχὼν μέσον ὀξέι χαλκῶι,
αἶψά κε καὶ κρατερός περ ἐὼν καὶ χερσὶ πεποιθώς
625 εὖχος ἐμοὶ δοίης, ψυχὴν δ' Ἄϊδι κλυτοπώλωι."
ὣς φάτο· τὸν δ' ἐνένιπε Μενοιτίου ἄλκιμος υἱός·

600 (κεχ.) id. κ 2408 **601** (–ἀολλ.) Eudoc. 1633 **605** (Ἰδ.) H. ι 159 **611–12a** sch N 408b[1]; **612a** Porph. Hom. 85.5 Sod.; (ἐνισκ.) ApS 69.2; H. ε 3126, cf. 2945, [3300]; Phot. Lex. ε 899 **613** (ἔνθα–) Apio 224.1 **617–18** Dio Prus. 2.60; Ath. 181b; **617–18a** Luc. Dial. 45.8; **617** (τάχα–) sch Lyc. 249; **617** Elias Proleg. Phil. CAG xviii(1).30.7; David Proleg. Phil. CAG xviii(2).64.1; **617b** sch Ω 261; (ὀρχ.) H. (Cyr.) ο 1370 **622** (ἀμυν.) H. (Cyr.) α 3855 **626** (ἐνέν.) H. (Cyr.) ε 3001

600 ὦς D[?] W **604** Λαόγονον Hdn Ω*: parox. *b h* T[a] G[c] θρασὺν Ω: φίλον sch[Tγρ] H (cf. 595) ἱρεύς r (cf. Praef. xvii): ἱρ- Ω*: ῑρ- A: ἱερ- B R **607** ἀπὸ Ω*: ἀπαὶ W V **607*a*** Μηριόνης δ' ἀνέπαλτο, φίλον δέ οἱ ἦτορ ἰάνθη "ἔν τισι ἐπεφέρετο" sch[T] **608** Μηριόνη(ι) Ω*: -ην R **609** ὑπασπίδια Ω*: ὑπ' ἀσπίδια Z A D G: ὑπ' ἀσπίδα F[a] R.—cf. ad N 158, 807 προβιβάντος Bekker: -βῶντος Z Ω.—cf. ad Γ 22 **612** et ἐνισκίμφθη et ἐνεσκ- Hsch. **613** (= N 444, P 529) om. Ar[a]: ἄλογον siglum appinxit Ar[b] **614–15** (= N 504 sq.) add. D[2] F H[m]: desunt in 228 486a 643 644 1378 Ω* **618** περ 486a 1378 tt Ω (om. G): γε *h* **619** δουρὶ κλυτὸς A E T W **620** σε Ω: δε 486a **621** σβέσσαι 486a Z A: σβέσαι Ω* G[s] (σχέ- G[r]) σε' fere Payne Knight: σευ 486a Ω (σεῦ R G) **622** ἔλθη(ι) 1379 Ω: -οι 486a **625** δοίης

“Μηριόνη, τί σὺ ταῦτα καὶ ἐσθλὸς ἐὼν ἀγορεύεις;
ὦ πέπον, οὔ τοι Τρῶες ὀνειδείοις ἐπέεσσιν
νεκροῦ χωρήσουσι· πάρος τινὰ γαῖα καθέξει.
630 ἐν γὰρ χερσὶ τέλος πολέμου, ἐπέων δ᾽ ἐνὶ βουλῆι·
τὼ οὔ τι χρὴ μῦθον ὀφέλλειν, ἀλλὰ μάχεσθαι.”
ὣς εἰπὼν ὃ μὲν ἦρχ᾽, ὃ δ᾽ ἅμ᾽ ἕσπετο ἰσόθεος φώς.
τῶν δ᾽, ὥς τε δρυτόμων ἀνδρῶν ὀρυμαγδὸς ὄρωρεν
οὔρεος ἐν βήσσηις, ἕκαθεν δέ τε γίνετ᾽ ἀκουή,
635 ὣς τῶν ὤρνυτο δοῦπος ἀπὸ χθονὸς εὐρυοδείης
χαλκοῦ τε ῥινοῦ τε βοῶν τ᾽ εὐποιητάων,
νυσσομένων ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν.
οὐδ᾽ ἂν ἔτι φράδμων περ ἀνὴρ Σαρπηδόνα δῖον
ἔγνω, ἐπεὶ βελέεσσι καὶ αἵματι καὶ κονίηισιν
640 ἐκ κεφαλῆς εἴλυτο διαμπερὲς ἐς πόδας ἄκρους·
οἳ δ᾽ αἰεὶ περὶ νεκρὸν ὁμίλεον, ὡς ὅτε μυῖαι
σταθμῶι ἔνι βρομέωσι περιγλαγέας κατὰ πέλλας
ὥρηι ἐν εἰαρινῆι, ὅτε τε γλάγος ἄγγεα δεύει·
ὣς ἄρα τοὶ περὶ νεκρὸν ὁμίλεον. οὐδέ ποτε Ζεύς
645 τρέψεν ἀπὸ κρατερῆς ὑσμίνης ὄσσε φαεινώ,
ἀλλὰ κατ᾽ αὐτοὺς αἰὲν ὅρα, καὶ φράζετο θυμῶι
πολλὰ μάλ᾽ ἀμφὶ φόνωι Πατρόκλου μερμηρίζων,
ἤ᾽ ἤδη καὶ κεῖνον ἐνὶ κρατερῆι ὑσμίνηι
αὐτοῦ ἐπ᾽ ἀντιθέωι Σαρπηδόνι φαίδιμος Ἕκτωρ

630 sch Pind. Nem. 1.39; Philox. fr. 46 Th.; Choer. in Thd. i.163.2; Lex. αἱμ α 121 **631** (ὀφ.) ApS 125.9; H. ο 1949 **635**a sch Π 633b; (εὐρυοδ.) H. ε 7146 **636** (ῥ. τε βοῶν) ApS 139.3; **636**b id. 52.3; (βοῶν) H. β 1012 **638** (φράδ.) ApS 165.11 **640** (εἴλ.) H. (Cyr.) ε 933 **641–3** Eudoc. 1936–8; **641** (ὁμίλ.) H. ο 725; (ὡς–)–**642** Ath. 495c; **642**a Philox. fr. 243 Th.; Epm. α 262; (βρομ.) H. (Cyr.) β 1184; **642**b ApS 55.1; sch Nic. Al. 77; (περιγλ.) H. π 1600; (γλαγέας) H. (Cyr.) γ 582; (πέλλας) ApS 129.23; H. π 1342

486a *b* F T, -ηις A: δώ(ι)ης A[γρ] Ω* **628** τοι 486a Z Ω*: τι D[a] G[a]? **631** τὼ rr: τῶ(ι) Ω: τως 486a **632** ἕσπετο D G: ἕσπ- Ω* **633** ὄρωρε(ν) (nov. Did) D T[γρ] R W G: ὀρώρει Ar Ω*: utrumque agn. Nic: ὀρώρηι Thiersch (cf. ad P 264) **634** γίνετ᾽ 486a Ω: γιγν- 644 ἀκουή Ar Nic 486a Ω: ἀϋτή Arph (teste T: ἀϋτμή A) **635** ὤρνυτο 486a t Ω*: ὄρν- A[λ] D F R **636** ῥινοῦ Ar 486a 644 Ω: -ῶν “ἔν τισιν εὕρομεν” sch[A] (cf. Δ 447 = Θ 61) βοῶν τ᾽ Ar 486a 644 Ω: βοῶν (ci. Ar) H N (cf. M 263, N 406) εὐποιητάων Hdn t Ω*: εὖ ποι- W G **638** Σαρπηδόνα δῖον (nov. Did) “αἱ κοιναί” Nicanoris 486a Ω*: -όνι δίωι Ar G **640** εἴλυτο 486a Z Ω*: εἴλ- W G: εἴρ- (ex 542) 644 D **642** ἔνι βρομέωσι T: ἐνιβρ- 486a tt* Ω*: ἔπι βρ- Eudoc., ἐπιβρ- R: βρ- Z: ἐνι͵βρεμέωσι 644 Epm. G[a]: ἐνιβρομέουσι G[c] περιγλαγέας 644 tt* Ω (γλαγέας Hsch.[γ] sch[Dλ]): πολυγλ- ApS: ἐϋγλ- Ath. **646** θυμῶ(ι) h87 Ω: -μου 486a **647** om. 643 φόνω(ι) 486a Ω: -ου 644 r **648** ἤ᾽ Fick: ἢ Ω καὶ κεῖνον Ar[ab] A *b* F T: κάκ- (nov. Did) 486a 643 Ω*

650 χαλκῶι δηιώσηι ἀπό τ' ὤμων τεύχε' ἕληται,
ἦ' ἔτι καὶ πλεόνεσσιν ὀφέλλειεν πόνον αἰπύν.
ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
ὄφρ' ἠῢς θεράπων Πηληϊάδεω Ἀχιλῆος
ἐξαῦτις Τρῶάς τε καὶ Ἕκτορα χαλκοκορυστήν
655 ὤσαιτο προτὶ ἄστυ, πολέων δ' ἀπὸ θυμὸν ἕλοιτο.
Ἕκτορι δὲ πρωτίστωι ἀνάλκιδα θυμὸν ἐνῆκεν·
ἐς δίφρον δ' ἀναβὰς φύγαδ' ἔτραπε, κέκλετο δ' ἄλλους
Τρῶας φευγέμεναι· γνῶ γὰρ Διὸς ἱρὰ τάλαντα.
ἔνθ' οὐδ' ἴφθιμοι Λύκιοι μένον, ἀλλ' ἐφόβηθεν
660 πάντες, ἐπεὶ βασιλῆα ἴδον βεβλαμμένον ἦτορ
{κείμενον ἐν νεκύων ἀγύρει· πολέες γὰρ ἐπ' αὐτῶι
κάππεσον, εὖτ' ἔριδα κρατερὴν ἐτάνυσσε Κρονίων}.
οἳ δ' ἄρ' ἀπ' ὤμοιιν Σαρπηδόνος ἔντε' ἕλοντο
χάλκεα μαρμαίροντα· τὰ μὲν κοίλας ἐπὶ νῆας
665 δῶκε φέρειν ἑτάροισι Μενοιτίου ἄλκιμος υἱός.
καὶ τότ' Ἀπόλλωνα προσέφη νεφεληγερέτα Ζεύς·
"εἰ δ' ἄγε νῦν, φίλε Φοῖβε, κελαινεφὲς αἷμα κάθηρον
ἐλθὼν ἐκ βελέων Σαρπηδόνα, καί μιν ἔπειτα
πολλὸν ἄποπρο φέρων λοῦσον ποταμοῖο ῥοῆισιν
670 χρῖσόν τ' ἀμβροσίηι, περὶ δ' ἄμβροτα εἵματα ἕσσον.
πέμπε δέ μιν πομποῖσιν ἅμα κραιπνοῖσι φέρεσθαι,
Ὕπνωι καὶ Θανάτωι διδυμάοσιν, οἵ ῥά μιν ὦκα

658b sch X 209 **661** (–ἀγ.) Epm. α 288; (ἐν ν. ἀγ.) ib. υ 31; (ἀγ.) H. (Cyr.) α 852 **664** (χάλκ.) ApS 166.17 **667**a ApD Coni. 246.13; Nic ad I 46–7a^{1}; (–νῦν) H. (Cyr.) ε 735; Phot. Lex. ε 179 **672** (–διδ.) [Plut.] Cons. Apoll. 107e; cf. Clem. Protr.

650 δη(ι)ώση(ι) 486a 643 Ω*: -σει C G, -σει' Doederlein: -σαι et ἕλοιτο Axt Conjectanea Hom. (1860) 12 **651** ἦ Hdn 1378 (ἦ' dedi): ἠ A B E F T, ἢ Ω* πόνον 486a 644^{c} Ω: φονον 644^{a}.—cf. ad Z 107, P 365, Φ 137, 249 **655** ἄπο O **655*a*** αυτ[.].[.].α[(= 649?) add. 1378 **656** θυμὸν 486a Ω* (cf. 355): φύζαν W G^{s} V (ex O 62) ἐνῆκεν 486a Ω: ἐνῶρσεν V (ex O 62) **657** ἔτραπε Ω*: ἔτρεπε 486a *h* R **659** ἀλλ' ἐφόβηθεν Ω*: ἀλλὰ φ- 486a D *h* **660** βεβλαμμένον 486a A *b* R (cf. 656): βεβλημένον D G: βεβολημ- H (cf. I 9): δεδαϊγμ- A$^{\gamma\rho}$ *h* F T W **661–2** damn. Paley; addidit qui non perspexit βασιλῆα Hectorem esse **661** ἀγύρει 486a 1380 tt Ω: -ρι Payne Knight (cf. ad Ω 141) ἐπ' 486a Ω: ἄμ' O rr **663** ἔντε' 1380 Ω: εντος 486a **666–83** ath. Zen (cf. ad 432–58) **666** ut supra Ar 9 486a 1381 Ω (Ἀπόλλωνι D): καὶ τότ' ἄρ' ἐξ Ἴδης προσέφη Ζεὺς ὃν φίλον υἱόν Zen **668** βελέων (= 678) 9 486a Ω O$^{\gamma\rho}$: μελ- G^{s} O Σαρπηδόνα (nov. Did) 9 486a Ω*: -νι Ar *h* W O^{x} **669** ἄποπρο T O, ἄπο προ- R W, ἄπο πρὸ (Ar) Ptol *h* B^{a}: ἀπὸ πρὸ vel προ- Philox. Hdn A F G: ἀποπρο fere 9 D *b*.—cf. Praef. xix **670** χρεισον 9 486a τ' 9 486a 1378 Ω*: δ' A^{s} F^{a} T ἀμβροσίη(ι) 9 486a Ω: -ην H.—cf. ad 680 **672** διδυμάοσιν οἵ 9 tt Ω: -σι τοί 486a *h* (cf. ad 682)

θήσουσ' ἐν Λυκίης εὐρείης πίονι δήμωι·
ἔνθά ἑ ταρχύσουσι κασίγνητοί τε ἔται τε
675 τύμβωι τε στήληι τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων."
ὣς ἔφατ', οὐδ' ἄρα πατρὸς ἀνηκούστησεν Ἀπόλλων·
βῆ δὲ κατ' Ἰδαίων ὀρέων ἐς φύλοπιν αἰνήν,
αὐτίκα δ' ἐκ βελέων Σαρπηδόνα δῖον ἀείρας,
πολλὸν ἄποπρο φέρων λοῦσεν ποταμοῖο ῥοῆισιν
680 χρῖσέν τ' ἀμβροσίηι, περὶ δ' ἄμβροτα εἵματα ἕσσεν.
πέμπε δέ μιν πομποῖσιν ἅμα κραιπνοῖσι φέρεσθαι,
Ὕπνωι καὶ Θανάτωι διδυμάοσιν, οἵ ῥά μιν ὦκα
κάτθεσαν ἐν Λυκίης εὐρείης πίονι δήμωι.
Πάτροκλος δ' ἵπποισι καὶ Αὐτομέδοντι κελεύσας
685 Τρῶας καὶ Λυκίους μετεκίαθε, καὶ μέγ' ἀάσθη,
νήπιος· εἰ δὲ ἔπος Πηληϊάδαο φύλαξεν,
ἦ τ' ἂν ὑπέκφυγε κῆρα κακὴν μέλανος θανάτοιο.
ἀλλ' αἰεί τε Διὸς κρέσσων νόος ἠέ περ ἀνδρός·
{ὅς τε καὶ ἄλκιμον ἄνδρα φοβεῖ καὶ ἀφείλετο νίκην
690 ῥηϊδίως, ὁτὲ δ' αὐτὸς ἐποτρύνει μαχέσασθαι·}
ὅς οἱ καὶ τότε θυμὸν ἐνὶ στήθεσσιν ἐνῆκεν.
ἔνθα τίνα πρῶτον, τίνα δ' ὕστατον ἐξενάριξας,
Πατρόκλεις, ὅτε δή σε θεοὶ θανατόνδ' ἐκάλεσσαν;
Ἄδρηστον μὲν πρῶτα καὶ Αὐτόνοον καὶ Ἔχεκλον
695 καὶ Πέριμον Μεγάδην καὶ Ἐπίστορα καὶ Μελάνιππον,

102.3, Athenag. Leg. 12; (διδ.) EtG α 1405; (οἵ–) H. (Cyr.) ο 388; (μιν ὦ.) id. μ 1418 **674** sch O 545 **679** Eudoc. 444 **680** (ἕσσεν) H. ε 6329 **685** (μετεκ.) H. (Cyr.) μ 1060 **686–7** sch Π 83–96 (Porph. Il. 211.4 Schr.) **688–9** Eudoc. 338–9; **688** (–νόος) + **691**a sch Π 684–6 **692** Eudoc. 315; (ἐξενάρ.) H. ε 3712 **695**a Epm. ι 13, μ 30

673 θήσουσ' ἐν 9 486a Ω*: -σιν A[γρ] D *b* R W **674** ἔνθά sic Ω ταρχύσουσι 9 486a Ω*: -σωσι t R O.—cf. ad 456 **675** (= 457) om. 486a: hab. 9 228 Ω **677** om. Zen (cf. ad 666) **679** ἄποπρο T O, ἄπο προ- R W: ἀπὸ πρὸ F, ἀπὸ προ- A G[c]: ἀποπρο 9 D *b* G[a].—cf. ad 669 **680** χρεῖσεν 9 486a τ' 9 Ω*: δ' 486a A[s] F[a] T G[c] ἀμβροσίη(ι) 9 Ω*: -ην R N.—cf. ad 670 **682** διδυμάοσιν οἵ Ω: -σι τοί 486a *b* H V.—cf. ad 672 **686** Πηληϊάδαο φύλαξεν 9 486a t Ω*: -άδεω φύλ- D: -άδεω ἐφύλ- F T **688** τε t Ω*: γε 9 486a? D κρέσσων Blass: κρείσσων Ar 9 486a t Ω: -ω quidam ante Ar (sc. Zen, cf. ad A 80) ἀνδρός 9 486a t Ω*: -ῶν A[γρ] *b* F **689–90** (= P 177 sq.) add. *b* F[m] T R[m] W[m] G, cf. Eudoc.: desunt in 9 486a Ω*, cf. t* **690** ὁτέ F G: ὅτε *b* T, ὅτὲ R W ἐποτρύνει *b* T W[a]? G: -νησε H: -νησι F R: -νεσκε W[c]? μαχέσασθαι G: μάχε–σθαι *b* F T R W[a]? **691** ὅς τε καὶ D, cf. [689] ἐνῆκε(ν) 9 D F W G (v. Naber Qu. Hom. 131 sq.): ἀνῆκεν Ω*: εθηκεν 486a.—cf. ad P 570 **693** δε vel δὲ κάλεσσαν D T G **694** Ἔχεκλον 9 486a Ω*: Ὀπίτην T G (ex Λ 301) **695** Πέριμον 9 t Ω: -νον

αὐτὰρ ἔπειτ' Ἔλασον καὶ Μούλιον ἠδὲ Πυλάρτην·
τοὺς ἕλεν, οἱ δ' ἄλλοι φύγαδε μνώοντο ἕκαστος.
ἔνθά κεν ὑψίπυλον Τροίην ἕλον υἷες Ἀχαιῶν
Πατρόκλου ὑπὸ χερσί, πέριπρο γὰρ ἔγχεϊ θυῖεν,
700 εἰ μὴ Ἀπόλλων Φοῖβος ἐϋδμήτου ἐπὶ πύργου
ἔστη, τῶι ὀλοὰ φρονέων, Τρώεσσι δ' ἀρήγων.
τρὶς μὲν ἐπ' ἀγκῶνος βῆ τείχεος ὑψηλοῖο
Πάτροκλος, τρὶς δ' αὐτὸν ἀπεστυφέλιξεν Ἀπόλλων,
χείρεσσ' ἀθανάτηισι φαεινὴν ἀσπίδα νύσσων.
705 ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ἶσος,
δεινὰ δ' ὁμοκλήσας ἔπεα πτερόεντα προσηύδα·
"χάζεο, διογενὲς Πατρόκλεις· οὔ νύ τοι αἶσα
σῶι ὑπὸ δουρὶ πόλιν πέρθαι Τρώων ἀγερώχων,
οὐδ' ὑπ' Ἀχιλλῆος, ὅς περ σέο πολλὸν ἀμείνων."
710 ὣς φάτο· Πάτροκλος δ' ἀνεχάζετο πολλὸν ὀπίσσω,
μῆνιν ἀλευάμενος ἑκατηβόλου Ἀπόλλωνος.
Ἕκτωρ δ' ἐν Σκαιῆισι πύληις ἔχε μώνυχας ἵππους·
δίζε γάρ, ἠὲ μάχοιτο κατὰ κλόνον αὖτις ἐλάσσας,
ἦ λαοὺς ἐς τεῖχος ὁμοκλήσειεν ἀλῆναι.
715 ταῦτ' ἄρα οἱ φρονέοντι παρίστατο Φοῖβος Ἀπόλλων,
ἀνέρι εἰσάμενος αἰζηῶι τε κρατερῶι τε,
Ἀσίωι, ὃς μήτρως ἦν Ἕκτορος ἱπποδάμοιο,
αὐτοκασίγνητος Ἑκάβης, υἱὸς δὲ Δύμαντος,
ὃς Φρυγίηι ναίεσκε ῥοῆις ἔπι Σαγγαρίοιο.

697 (–μνώ.) Hdn ad Λ 446a **698** (–υἷες) id. ad A 129c **699b** (= Λ 180) id. ad Π 669a (Philox. fr. 409 Th.) **702** (ἐπ'–) H. α 585 **703** (ἀπεστ.) H. (Cyr.) α 6065 **708** (πέρθαι) H. π 1560 **709a** sch B 38a **710** (Πατρ.–) ApS 31.28; (πολλ.–) sch E 443a **714** Hdn ad Λ 192a^{1}, Σ 76a^{1}, Φ 536c; Epm. ο 96 **717–19** Strab. 13.1.21; **717–18** sch Pind. Ol. 9.96b; **717** sch B 862a^{1}; **718** sch Eur. Hec. 3

H: Περιων 486a **697** ἕλεν Ar 9 442 486a t Ω: -ες Zen.—cf. ad 586 φύγα δὲ Ptol A^{a}, agn. Hdn φύγαδ' ἐμνώοντο Z *h* **698** ἔνθά sic Ω, ενθά 9 **699** πέριπρο dedi (Praef. xix), πέρι πρὸ R: περὶ πρὸ Z A F^{a} W G: περίπρο M V: περιπρὸ (vel -προ) 9 Ω* θυῖεν Z A B E W G: θῦεν 9 Ω*.—cf. ad Λ 180 **704** ἀθανάτη(ι)σι 9 Ω*: -οισι F R^{a} W G^{a} **706** δεινὰ δ' 9 Ω: -νὸν *h* ὁμοκλήσας O^{x}: ὁμ- Z Ω ἔπεα πτερόεντα προσηύδα A *b* W (μετηῦδα) G: προσέφη ἑκάεργος Ἀπόλλων (= E 439) 9 A$^{\gamma\rho}$ Ω* **707** χάζεο 9 Ω: φράζεο (ex E 440) H Πατρόκλεις 9 Ω: -κλεες Brandreth.—cf. Praef. xxv τοι 9 Ω*: πω Ar *b*^{s} R: που (nov. Did? cf. sch^{T} διὰ τοῦ ω̄) r.—cf. ad Ω 411 **708** πέρθαι 9 t sch^{D} Ω*: πέρσαι R^{a} **710** πολλὸν Ar 9 1382 tt Ω (cf. 709): τυτθὸν Zen H O$^{\gamma\rho}$ (= E 443; cf. M 406, O 728) **711** ἀλευάμενος 9 Ω*: -όμενος A^{s} F.—cf. ad E 28, 444 **714** ἦ Bekker: ἢ Ω ὁμοκλήσειεν D: ὁμ- Z Ω* **716** εἰσάμενος Ar 9 [1382^{t}] Ω*: εἰδό- (nov. Did) 1382^{s} R **719** Φρυγίηι Ω*: -ην 9 t R W ἔπι A E W: ἐπὶ Ω*

720 τῶι μιν ἐεισάμενος προσέφη Διὸς υἱὸς Ἀπόλλων·
"Ἕκτορ, τίπτε μάχης ἀποπαύεαι; οὐδέ τί σε χρή.
αἴθ', ὅσον ἥσσων εἰμί, τόσον σέο φέρτερος εἴην·
τώ κε τάχα στυγερῶς πολέμου ἀπερωήσειας.
ἀλλ' ἄγε, Πατρόκλωι ἔφεπε κρατερώνυχας ἵππους,
725 αἴ κέν πώς μιν ἕληις, δώηι δέ τοι εὖχος Ἀπόλλων."
ὣς εἰπὼν ὃ μὲν αὖτις ἔβη θεὸς ἂμ πόνον ἀνδρῶν,
Κεβριόνηι δ' ἐκέλευσε δαΐφρονι φαίδιμος Ἕκτωρ
ἵππους ἐς πόλεμον πεπληγέμεν· αὐτὰρ Ἀπόλλων
δύσεθ' ὅμιλον ἰών, ἐν δὲ κλόνον Ἀργείοισιν
730 ἧκε κακόν, Τρωσὶν δὲ καὶ Ἕκτορι κῦδος ὄπαζεν.
Ἕκτωρ δ' ἄλλους μὲν Δαναοὺς ἔα οὐδ' ἐνάριζεν,
αὐτὰρ ὃ Πατρόκλωι ἔφεπε κρατερώνυχας ἵππους.
Πάτροκλος δ' ἑτέρωθεν ἀφ' ἵππων ἆλτο χαμᾶζε,
σκαιῆι ἔγχος ἔχων, ἑτέρηφι δὲ λάζετο πέτρον
735 μάρμαρον ὀκριόεντα, τόν οἱ περὶ χεὶρ ἐκάλυψεν,
ἧκε δ' ἐρεισάμενος· οὐδὲ †δὴν ἅζετο† φωτός,
οὐδ' ἁλίωσε βέλος, βάλε δ' Ἕκτορος ἡνιοχῆα
Κεβριόνην, νόθον υἱὸν ἀγακλῆος Πριάμοιο,
ἵππων ἡνί' ἔχοντα, μετώπιον ὀξέϊ λᾶϊ.
740 ἀμφοτέρας δ' ὀφρῦς σύνελεν λίθος, οὐδέ οἱ ἔσχεν
ὀστέον, ὀφθαλμοὶ δὲ χαμαὶ πέσον ἐν κονίηισιν
αὐτοῦ πρόσθε ποδῶν· ὃ δ' ἄρ' ἀρνευτῆρι ἐοικὼς
κάππεσ' ἀπ' εὐεργέος δίφρου, λίπε δ' ὀστέα θυμός.
τὸν δ' ἐπικερτομέων προσέφης, Πατρόκλεις ἱππεῦ·

720a Did ad Π 716 **723** (ἀπερ.) H. (Cyr.) α 6034; EtG α 1003 **732**b Matro Supp. Hell. 534.28 (parod.) **734**b Eudoc. 528; (πέτρον) H. π 2068 **735** (μάρμ.) id. μ 302 **737**a EtG α 474 **738** Strab. 13.1.33; (ἀγακλ.) H. α 290 **741** (ὀφθ.–)–**2**a ApD Adv. 176.17 **742**b–**3** (–δίφρ.) Ael. Dion. α 174; EtG α 1206 (e Method.) **744–5** + **750** 'Trypho i' Trop. iii.206.8 Sp.; **744** (ἐπικερτ.) H. (Cyr.) ε 4843; **745–7**a Cocondr. Trop. iii.236.7 Sp.; **745** 'Hdn.' Fig. 22; (ἦ–) ApD Adv. 190.25; Hdn

720 προσέφη Διὸς υἱὸς 9 Ω: προσεφώνεε Φοῖβος V **721** Ἕκτωρ 9 G[a] **723** τῶ(ι) Ω **724** ἔφεπε 9 Z Ω: ἔπεχε *h*.—cf. ad 732 **725** ἕλη(ι)ς 9 Ω*: -οις C δώ(ι)η(ι) 9 Ω: δοίη rr **727** δ' ἐκέλευσε 9 Ω: δὲ κ- V **729** δύσεθ' 9 1383 Ω: δύσατο Z **730** ὄπαζεν 9 Ω: εδ̣ω̣κεν 442 **732** ἔφεπε Ω: ἔπεχε t A[γρ] *h* V **733** ἆλτο B[a] F[a]?: ἇ- Ω*: ἅ- C R W **734** λάζετο t Ω: -υτο Nauck.—cf. ad Θ 389 **735** damn. Heyne ὀκριόεντα τόν Ω (ὀκρυ- C W): -ενθ' ὅν Bentley χεῖρ' D R W **736** ἅζετο sch[ADT] Ω (ἄζ- D[c] B[a] T R[a] G): χάζ- Eust. 1084.19 H, χ' ἅζ- O (cf. Λ 539?).—quaero quod οὐδ' ἔτυχεν significet **738** ἀγακλεῖος Hsch. **740** σύνελεν Z Ω (συνέλε(ν) T[a] R G): malim συνέλα (cf. σ 98) vel σύνθλα **744** τὸν 1383 Ω: τῶι t Πατρόκλεις t Ω (-κλῆς G): -κλεες Payne Knight

745 “ὢ πόποι, ἦ μάλ' ἐλαφρὸς ἀνήρ· ὡς ῥεῖα κυβιστᾶι.
εἰ δή που καὶ πόντωι ἐν ἰχθυόεντι γένοιτο,
πολλοὺς ἂν κορέσειεν ἀνὴρ ὅδε τήθεα διφῶν,
νηὸς ἀποθρώισκων, εἰ καὶ δυσπέμφελος εἴη·
ὣς νῦν ἐν πεδίωι ἐξ ἵππων ῥεῖα κυβιστᾶι.
750 ἦ ῥα καὶ ἐν Τρώεσσι κυβιστητῆρες ἔασιν.”
ὣς εἰπὼν ἐπὶ Κεβριόνηι ἥρωϊ βεβήκει
οἶμα λέοντος ἔχων, ὅς τε σταθμοὺς κεραΐζων
ἔβλητο πρὸς στῆθος, ἑή τέ μιν ὤλεσεν ἀλκή·
ὣς ἐπὶ Κεβριόνηι, Πατρόκλεις, ἆλσο μεμαώς.
755 Ἕκτωρ δ' αὖθ' ἑτέρωθεν ἀφ' ἵππων ἆλτο χαμᾶζε.
τὼ περὶ Κεβριόναο λέονθ' ὣς δηριθήτην,
ὥ τ' ὄρεος κορυφῆισι περὶ κταμένης ἐλάφοιο,
ἄμφω πεινάοντε, μέγα φρονέοντε μάχεσθον·
ὣς περὶ Κεβριόναο δύω μήστωρες ἀϋτῆς,
760 Πάτροκλός τε Μενοιτιάδης καὶ φαίδιμος Ἕκτωρ,
ἵεντ' ἀλλήλων ταμέειν χρόα νηλέϊ χαλκῶι.
Ἕκτωρ μὲν κεφαλῆφιν ἐπεὶ λάβεν, οὔ τι μεθίει,
Πάτροκλος δ' ἑτέρωθεν ἔχεν ποδός· οἱ δὲ δὴ ἄλλοι
Τρῶες καὶ Δαναοὶ σύναγον κρατερὴν ὑσμίνην.
765 ὡς δ' Εὖρός τε Νότος τ' ἐριδαίνετον ἀλλήλοιιν
οὔρεος ἐν βήσσηις βαθέην πελεμιζέμεν ὕλην,
φηγόν τε μελίην τε τανύφλοιόν τε κράνειαν,

i.520.4; Ath. 13d; (ἦ–ἀνήρ) sch X 373–4; Orio 137.18; (ἐλ.) Apio 234.25; **747** sch Ar. Lys. 549a; (τήθ. δ.) Hdn ii.333.2; H. τ 741/2, cf. η 219; (τήθ.) ApS 152.12; cf. Ath. 86b **748**a sch Π 747b; (δυσπ.) ApS 60.25; H. α 2645 **752**a ApS 119.27; sch X 140; Orio 117.26; Choer. in Ps. 175.11; (οἶμα) cf. Apion. 96.12; (κερα.) H. (Cyr.) κ 2250 **753**a EtG β 142; **753**b ApD Synt. 210.17 **754** (ἆλσο) H. α 3270 **758** (πειν.) sch Π 756 **765–71** Macr. Sat. 5.13.15; **765–9** sch Ξ 394–9; **765** (Εὖρος) Apio 238.25; **767**b sch N 390a; **768** (ταν. ὄζ.) Arn ad X 319a; ApS 149.12; H. τ 146; **769** (ἀγν.) H. (Cyr.) α 664

745 ὢ Ω*: ὣ *b* F^{c} R W ὡς ApD Cocondr. A D F^{a} R^{c} W G: ὃς tt* Ω* G^{s} **748** ἀποθρώισκων A A^{λ}: -θρώσκ- Ω* δυσπέμφελος εἴη Ar 1384 tt sch^{D} Ω: -λοι εἶεν Zen **749** ὣς D O: ὡς Ω*: ὃς T **752** οἶμα A D *b* R^{c} W G^{a} **754** Πατρόκλεις Ω: -κλεες Payne Knight ἄλσο t^{cod} B^{a}? T^{a}: ἅ- Z: ἆ- Ω*: ἇ- C F^{a} R W **755** δ' αὖθ' Ω: αὖθ' Nauck ἄλτο B^{a}?: ἅ- r: ἆ- Ω*: ἇ- C F^{a} R W: ᾶ- A **756** δηριθήτην Z V: δηρινθ- Ω (δηρηνθ- R, δῆριν θ- C^{c} G^{a}) (cf. A.R. 2.16).—cf. ad Γ 78, H 56 **762** οὔ τι *h*: οὐχὶ 1 443 Ω: οὐκὶ Bekker.—cf. ad O 716 μεθίει 1 Ω*: -ίηι G^{c}: -είη C R$^{c?}$ G^{a} **765** ἀλλήλοιϊν 1 Macr. Ω: -οισιν h87 t* V **766** πελεμιζέμεν 1 Macr. Z Ω*: πολ- 443 t* D F^{a} T^{a} R W **767** τανύφλοιόν 1 443 tt* sch^{D} Ω: βαθύ- Macr.

αἵ τε πρὸς ἀλλήλας ἔβαλον τανυήκεας ὄζους
ἠχῆι θεσπεσίηι, πάταγος δέ τε ἀγνυμενάων,
770 ὣς Τρῶες καὶ Ἀχαιοὶ ἐπ' ἀλλήλοισι θορόντες
δήιουν, οὐδ' ἕτεροι μνώοντ' ὀλοοῖο φόβοιο.
πολλὰ δὲ Κεβριόνην ἀμφ' ὀξέα δοῦρα πεπήγει
ἰοί τε πτερόεντες ἀπὸ νευρῆφι θορόντες,
πολλὰ δὲ χερμάδια μεγάλ' ἀσπίδας ἐστυφέλιξαν
775 μαρναμένων ἀμφ' αὐτόν. ὃ δ' ἐν στροφάλιγγι κονίης
κεῖτο μέγας μεγαλωστί, λελασμένος ἱπποσυνάων.
ὄφρα μὲν ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει,
τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο, πῖπτε δὲ λαός·
ἦμος δ' ἠέλιος μετενίσετο βουλυτόνδε,
780 καὶ τότε δή ῥ' ὑπὲρ αἶσαν Ἀχαιοὶ φέρτεροι ἦσαν.
ἐκ μὲν Κεβριόνην βελέων ἥρωα ἔρυσσαν
Τρώων ἐξ ἐνοπῆς, καὶ ἀπ' ὤμων τεύχε' ἕλοντο,
Πάτροκλος δὲ Τρωσὶ κακὰ φρονέων ἐνόρουσεν.
τρὶς μὲν ἔπειτ' ἐπόρουσε θοῶι ἀτάλαντος Ἄρηϊ
785 σμερδαλέα ἰάχων, τρὶς δ' ἐννέα φῶτας ἔπεφνεν·
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ἶσος,
ἔνθ' ἄρα τοι, Πάτροκλε, φάνη βιότοιο τελευτή·
ἤντετο γάρ τοι Φοῖβος ἐνὶ κρατερῆι ὑσμίνηι
δεινός. ὃ μὲν τὸν ἰόντα κατὰ κλόνον οὐκ ἐνόησεν·
790 ἠέρι γὰρ πολλῆι κεκαλυμμένος ἀντεβόλησεν,
στῆ δ' ὄπιθεν, πλῆξεν δὲ μετάφρενον εὐρέε τ' ὤμω
χειρὶ καταπρηνεῖ· στρεφεδίνηθεν δέ οἱ ὄσσε.

775b–6 (κεῖτο) Nonn. D. 35.270 sq.; (στροφ.) ApS 145.13; H. (Cyr.) σ 2037; Orio 149.13; Phot. Lex. s.v.; **776** Did ad B 111b; [Luc.] Dial. 86.20; **776a** Pl. Resp. 566c; sch Ψ 30b; Serv. auct. Aen. 10.842; (μέγ. μ.) cf. Aristid. Or. 26.11; **776b** ApS 92.21; sch Ξ 387b; Epm. π 115 **777** (-οὐρ.) + **778** (–ἥπτ.) sch Λ 86c; **777a** + **778** (–ἥπτ.) sch A 509 **779** (βουλ.) cf. ApS 52.5; H. β 936 **780** (ὑπὲρ–) sch B 4a **782** (ἐξ ἐν.) H. (Cyr.) ε 3716 **785** (ἐννέα φ.) H. φ 1128/9 **788a** Hdn ad O 698; (ἤντ.) H. η 619, [628] **792b** ApS 145.15; H. σ 1991; Choer. in Thd. i.169.22

768 τανυήκεας Ar Hdn 443 tt Z Ω (parox. Z F R N): τανα- 1 V **771** δή(ι)ουν 1 t Ω: δῄϊον Wack. Unt. 170, cf. ad E 452 **772** δοῦρα πεπήγει 1 Ω*: δοῦρ' ἐπεπ- A[s] *b* R W **774** ἐστυφέλιξαν Ar Ω*: -ξε(ν) (nov. Did) A D F T **775** δ' ἐν Ar *h*: δὲ (nov. Did) t Ω.—v.l. eadem ω 39 **778** μάλ' tt Ω* (= Θ 67, Λ 85): μὲν A πῖπτε Eust. H **779** μετενίσετο Ω*: -νίσσ- F[s] R: -νείσ- Z D W G βουλυτὸν δὲ (Hdn) A A[λ] D[a], βούλυτον δὲ Z **783** ἐνόρουσε 1 Ω*: ἐπ- H (cf. 784): ἐβεβήκει R **784** ἐπόρουσε 1 Ω*: ἐν- F T **785** ἰάχων Ω: cf. ad E 302 **787** βιότοιο Ω: θανάτοιο Düntzer.—cf. ad H 104 **788** τοι 1328 Ω*: οἱ T: om. D

τοῦ δ' ἀπὸ μὲν κρατὸς κυνέην βάλε Φοῖβος Ἀπόλλων·
ἣ δὲ κυλινδομένη καναχὴν ἔχε ποσσὶν ὕφ' ἵππων
795 αὐλῶπις τρυφάλεια, μιάνθησαν δὲ ἔθειραι
αἵματι καὶ κονίηισι. πάρος γε μὲν οὐ θέμις ἦεν
ἱππόκομον πήληκα μιαίνεσθαι κονίηισιν,
ἀλλ' ἀνδρὸς θείοιο κάρη χαρίεν τε μέτωπον
ῥύετ' Ἀχιλλῆος· τότε δὲ Ζεὺς Ἕκτορι δῶκεν
800 ἧι κεφαλῆι φορέειν· σχεδόθεν δέ οἱ ἦεν ὄλεθρος.
πᾶν δέ οἱ ἐν χείρεσσιν ἄγη δολιχόσκιον ἔγχος
βριθὺ μέγα στιβαρὸν κεκορυθμένον· αὐτὰρ ἀπ' ὤμων
ἀσπὶς σὺν τελαμῶνι χαμαὶ πέσε τερμιόεσσα·
λῦσε δέ οἱ θώρηκα ἄναξ Διὸς υἱὸς Ἀπόλλων.
805 τὸν δ' ἄτη φρένας εἷλε, λύθεν δ' ὕπο φαίδιμα γυῖα,
στῆ δὲ ταφών. ὄπιθεν δὲ μετάφρενον ὀξέϊ δουρί
ὤμων μεσσηγὺς σχεδόθεν βάλε Δάρδανος ἀνήρ,
Πανθοίδης Εὔφορβος, ὃς ἡλικίην ἐκέκαστο
ἔγχεΐ θ' ἱπποσύνηι τε πόδεσσί τε καρπαλίμοισιν·
810 καὶ γὰρ δή ποτε φῶτας ἐείκοσι βῆσεν ἀφ' ἵππων,
πρῶτ' ἐλθὼν σὺν ὄχεσφι, διδασκόμενος πολέμοιο·
ὅς τοι πρῶτος ἐφῆκε βέλος, Πατρόκλεις ἱππεῦ,
οὐδ' ἐδάμασσ'. ὃ μὲν αὖτις ἀνέδραμε, μίκτο δ' ὁμίλωι,
ἐκ χροὸς ἁρπάξας δόρυ μείλινον, οὐδ' ὑπέμεινεν
815 Πάτροκλον γυμνόν περ ἐόντ' ἐν δηϊοτῆτι.
Πάτροκλος δὲ θεοῦ πληγῆι καὶ δουρὶ δαμασθείς

794 Matro Supp. Hell. 534.19 (parod.); (–ἔχε) Hdn ad P 688; **794**a id. ad α 162 **795**b–7 (–μιαίν.) sch P 51a; **795** (ἔθειραι) ApS 63.9; Orio 53.21; **796**b–7 EtG s.v. ἱππόκομοι; **797**a Epm. κ 4 **799**b–**800**a ApD Synt. 211.18; **800**a ib. 315.4; **800**b Matro Supp. Hell. 534.8 (parod.); (σχεδ.) Apio 101.3; H. σ 2967 **803** sch τ 242; (τερμ.) H. (Cyr.) τ 539 **804** Arn ad P 125a; **804**a Did ad Σ 83 **805** Eudoc. 938 **807**b Arn ad P 15; (Δάρδ.–)–**8** (Πανθ.) sch O 449–51b; **808**a Hdn ad δ 31 **810** (β.–) Choer. in Thd. ii.356.27 **811** sch Pl. Reip. 467c **812** (–βέλος) Arn ad Π 807ab **813** (οὐδ' ἐδάμ.) Porph. Il. 216.14 Schr.

794 ὕφ' Barnes: ὑφ' Ω **795** αὐλῶπις 1328 sch[D] Ω: ιπ]ποκομος w16 (cf. 797) **797** ἱππόκομον Hdn Epm. Ω: parox. B[c] O[x] **798** χαρίεν 9 1385 Ω*: χάριέν C T[c] R **801** πᾶν δέ οἱ Ar 9 1328 Ω: †τῶι δέ οἱ† quidam ap. Did, immo potius πᾶν δὲ τῶι (van Thiel cl. Ω 399[vl]) ἄγη 9 1328 Ω: ἐάγη *h* (et χείρεσσ' r).—cf. ad Γ 367 **805** ὕπο t[cod]: ὑπὸ Ω **806** δουρὶ 9 Ω* (= Υ 488): χαλκῶ W (cf. 819) **807** μεσσηγὺς Ω: -ὺ 9 F W G[c] σχεδόθεν βάλε Ar 9 Ω (cf. A.R. 4.662; Rengakos 73): σχεδὸν οὔτασε Zen, prob. Sel u.v. **808** Πανθοίδης sic trisyll. t Ω **809** ἔγχεϊ (vel -ΐ) sic 9 Ω praeter D **810** ποτε (nov. Did) Ω: τότε Ar[ab] 9 *h* **812** πρῶτος 9 t Ω: -ον *h* Πατρόκλεις 9 Ω: -κλεες Payne Knight **813** οὐδὲ δάμασ(σ)' T R W

ἂψ ἑτάρων εἰς ἔθνος ἐχάζετο κῆρ' ἀλεείνων.
Ἕκτωρ δ' ὡς εἶδεν Πατροκλῆα μεγάθυμον
ἂψ ἀναχαζόμενον, βεβλημένον ὀξέϊ χαλκῶι,
820 ἀγχίμολόν ῥά οἱ ἦλθε κατὰ στίχας, οὖτα δὲ δουρί
νείατον ἐς κενεῶνα, διάπρο δὲ χαλκὸν ἔλασσεν·
δούπησεν δὲ πεσών, μέγα δ' ἤκαχε λαὸν Ἀχαιῶν.
ὡς δ' ὅτε σῦν ἀκάμαντα λέων ἐβιήσατο χάρμηι,
ὥ τ' ὄρεος κορυφῆισι μέγα φρονέοντε μάχεσθον
825 πίδακος ἀμφ' ὀλίγης, ἐθέλουσι δὲ πιέμεν ἄμφω,
πολλὰ δέ τ' ἀσθμαίνοντα λέων ἐδάμασσε βίηφιν,
ὣς πολέας πεφνόντα Μενοιτίου ἄλκιμον υἱόν
Ἕκτωρ Πριαμίδης σχεδὸν ἔγχεϊ θυμὸν ἀπηύρα.
καί οἱ ἐπευχόμενος ἔπεα πτερόεντα προσηύδα·
830 "Πάτροκλ', ἦ που ἔφησθα πόλιν κεραϊξέμεν ἁμήν,
Τρωϊάδας δὲ γυναῖκας ἐλεύθερον ἦμαρ ἀπούρας
ἄξειν ἐν νήεσσι φίλην ἐς πατρίδα γαῖαν,
νήπιε· τάων δὲ πρόσθ' Ἕκτορος ὠκέες ἵπποι
ποσσὶν ὀρωρέχαται πολεμιζέμεν, ἔγχεϊ δ' αὐτός
835 Τρωσὶ φιλοπτολέμοισι μεταπρέπω, ὅ σφιν ἀμύνω
ἦμαρ ἀναγκαῖον· σὲ δέ τ' ἐνθάδε γῦπες ἔδονται.
ἆ δείλ', οὐδέ τοι ἐσθλὸς ἐὼν χραίσμησεν Ἀχιλλεύς,
ὅς πού τοι μάλα πολλὰ μένων ἐπετέλλετ' ἰόντι·
'μή μοι πρὶν ἰέναι, Πατρόκλεις ἱπποκέλευθε,
840 νῆας ἔπι γλαφυράς, πρὶν Ἕκτορος ἀνδροφόνοιο
αἱματόεντα χιτῶνα περὶ στήθεσσι δαΐξαι.'
ὥς πού σε προσέφη, σοὶ δὲ φρένας ἄφρονι πεῖθεν."

822 (ἤκαχε) ApS 83.6; H. (Cyr.) η 286 **823**a sch Σ 484a **825**a Did ad Ξ 157b², Ψ 117b **827–8** sch Π 117–18 **829**a (al.) ApD Pron. 62.7; Hdn i.555.2, 557.14; Epm. α 268 **836**a H. η 423; **836**b [Ammon.] Diff. 170

817 ἂψ δ' 9 H **819** ἀναχαζόμενον 9 Ω: -χασσα- A[m] χαλκῶι 9 1386[s] Ω: δọụρ̣[ι 1386[t] **820** ῥά Ω: δέ 9 H O **821** διάπρο D[a]: διὰ πρὸ D[c] T R W G, διαπρὸ 9 Ω* **824** ὥ 9 Ω, ωι h87: τώ rr **825** πιέμεν 9 1386 Ω*: πινέμεν F **827** πεφνόντα Tyr: proparox. Ar Hdn 9 Z Ω.—cf. ad P 539 **828** ạπευ[ρ]α 1386 **829** πτερόεντα προσηύδα 9 1386[t] (-ευδα) A *b* F: -ντ' ἀγόρευε(ν) 1386[s] Ω*.—cf. ad Δ 203, Φ 121, X 377, Ψ 535 **830** κεραϊξέμεν Bekker: -ζέμεν 9 Ω ἁμήν Ω* (v. Praef. xvii): ἀ- D B[c?] F[c] R: α- 9 1386 Z: αἰπήν D² **834** πολεμιζέμεν 9: -ζειν Ω **835** ὅ Ω*: ὅς 9 F[s] T R W **838** τοι 9 Ω*: σοι D T R G, σοὶ T[c] ἐπετέλλετ' 9 Ω*: ἐπέτελλ' *b* R W, -τελλεν *h* **839** Πατρόκλεις Ω: -κλεες Payne Knight **840** ἔπι Wolf: ἐπὶ 9 Ω*: ἀνὰ D T W G.—cf. ad K 389 πρὶν Ω*: πρίν γ' 9 T R G.—cf. ad Σ 334 ἀνδροφόνοιο Ω: ἱπποδά–μοιο 9 O.—cf. ad I 351 **842** σε Ar Ω*: σοι (nov. Did) 9 D H

τὸν δ' ὀλιγοδρανέων προσέφης, Πατρόκλεις ἱππεῦ·
"ἤδη νῦν, Ἕκτορ, μεγάλ' εὔχεο· σοὶ γὰρ ἔδωκεν
845 νίκην Ζεὺς Κρονίδης καὶ Ἀπόλλων, οἵ μ' ἐδάμασσαν
ῥηϊδίως· αὐτοὶ γὰρ ἀπ' ὤμων τεύχε' ἕλοντο.
τοιοῦτοι δ' εἴ πέρ μοι ἐείκοσιν ἀντεβόλησαν,
πάντές κ' αὐτόθ' ὄλοντο ἐμῶι ὑπὸ δουρὶ δαμέντες·
ἀλλά με Μοῖρ' ὀλοὴ καὶ Λητοῦς ἔκτανεν υἱός,
850 ἀνδρῶν δ' Εὔφορβος· σὺ δέ με τρίτος ἐξεναρίζεις.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῆισιν·
οὔ θην οὐδ' αὐτὸς δηρὸν βέε', ἀλλά τοι ἤδη
ἄγχι παρέστηκεν θάνατος καὶ μοῖρα κραταιή,
χερσὶ δαμέντ' Ἀχιλῆος ἀμύμονος Αἰακίδαο."
855 ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψεν·
ψυχὴ δ' ἐκ ῥεθέων πταμένη Ἄϊδόσδε βεβήκει,
ὃν πότμον γοόωσα, λιποῦσ' ἀνδροτῆτα καὶ ἥβην.
τὸν καὶ τεθνηῶτα προσηύδα φαίδιμος Ἕκτωρ·
"Πατρόκλεις, τί νύ μοι μαντεύεαι αἰπὺν ὄλεθρον;
860 τίς δ' οἶδ', εἴ κ' Ἀχιλεύς, Θέτιδος πάϊς ἠϋκόμοιο,
φθήηι ἐμῶι ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσαι;"
ὣς ἄρα φωνήσας δόρυ χάλκεον ἐξ ὠτειλῆς
εἴρυσε λὰξ προσβάς, τὸν δ' ὕπτιον ὦσ' ἀπὸ δουρός.
αὐτίκα δὲ ξὺν δουρὶ μετ' Αὐτομέδοντα βεβήκει,
865 ἀντίθεον θεράποντα ποδώκεος Αἰακίδαο,
ἵετο γὰρ βαλέειν· τὸν δ' ἔκφερον ὠκέες ἵπποι

847–8 Luc. Dial. 33.46; **847** Plut. Mor. 541b; sch Pind. Ol. 13.43a; EtG α 935 **849** Val. Max. 1.5.7; Plut. Brut. 24.6; (ὀλοή) H. (Cyr.) ο 601 **850**b Porph. Il. 216.21 Schr. **851–2** + **854** Macr. Sat. 5.12.11; **852** (–βέηι) sch^{D} Ο 194; (β.) H. (Cyr.) β 458 **855–6** Eudoc. 1930–1; **856–7** Pl. Resp. 386d; Plut. Mor. 17c; Serv. Aen. 12.952; [Elias] in Porph. Isag. 12.28; **856** [Plut.] Hom. 2.122.2; [Luc.] Dial. 86.26; Theophil. ad Autol. 2.38; cf. Isid. Pelus. Epist. 4.125 (PG 78.1200c); (–πτ.) sch Lyc. 1106; **856**a ApS 138.17; Epm. ρ 7; (ἐκ ῥ.) H. ε 1664; (ῥ.) id. ρ 185; (Ἄϊδ.–)–**857** Ath. 507e; **857** Olymp. in Phd. 19.7 N.; Elias Proleg. Phil. CAG xviii(1).13.31; **857**b sch α 1 (p. 7.1 L.); Procl. in Remp. i.119.27; (λιποῦσ' ἀνδρ.) EtG α 826; (ἀνδρ.) ApS 37.4 **859** (τί–) sch Χ 365–6 **860**a + **861**a sch Χ 331–2; **861** (φθ.) H. φ 387

843 Πατρόκλεις Ω: -κλεες Payne Knight **844** Ἕκτορ 9 Ω*: -ωρ D C R **845** με δάμασσαν (9) D T **848** πάντές sic A **852** βέε' Menrad (cf. Praef. xxii): βέη(ι) fere 9 tt (βείη Hsch.) Z Ω* (βαίη Z C R): βίη G.—cf. ad Ω 131 **854** δαμέντι plene scripsit Ar **856** βεβήκει 9 tt* Z Ω: (-δ') ἐβεβ- O: κατῆλθεν Ath. **857** ἀνδροτῆτα 9 1387 h139$^{\alpha 493}$ tt* Z Ω: ἀδρ- vel ἁδρ- Plut. N.—cf. ad Χ 363, Ω 6 **858** τεθνηῶτα Ar B^{a} E T W: -θνει- (nov. Did) 9 1386 E^{s} Ω* **860** πάϊς C F^{c}: παῖς Ω*, παις 9 **863** προσβάς Ω*: προβάς *b* R G

ἄμβροτοι, οὓς Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα.

P οὐδ' ἔλαθ' Ἀτρέος υἱόν, ἀρηΐφιλον Μενέλαον,
Πάτροκλος Τρώεσσι δαμεὶς ἐν δηϊοτῆτι,
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῶι,
ἀμφὶ δ' ἄρ' αὐτῶι βαῖν', ὥς τις περὶ πόρτακι μήτηρ
5 πρωτοτόκος κινυρή, οὐ πρὶν εἰδυῖα τόκοιο·
ὣς περὶ Πατρόκλωι βαῖνε ξανθὸς Μενέλαος·
πρόσθε δέ οἱ δόρυ τ' ἔσχε καὶ ἀσπίδα πάντοσ' ἐΐσην,
τὸν κτάμεναι μεμαώς, ὅς τις τοῦ γ' ἀντίος ἔλθοι.
οὐδ' ἄρα Πανθόου υἱὸς ἐϋμμελίης ἀμέλησεν
10 Πατρόκλοιο πεσόντος ἀμύμονος· ἄγχι δ' ἄρ' αὐτοῦ
ἔστη, καὶ προσέειπεν ἀρηΐφιλον Μενέλαον·
"Ἀτρεΐδη Μενέλαε διοτρεφές, ὄρχαμε λαῶν,
χάζεο, λεῖπε δὲ νεκρόν, ἔα δ' ἔναρα βροτόεντα.
οὐ γάρ τις πρότερος Τρώων κλειτῶν τ' ἐπικούρων
15 Πάτροκλον βάλε δουρὶ κατὰ κρατερὴν ὑσμίνην·
τώ με ἔα κλέος ἐσθλὸν ἐνὶ Τρώεσσιν ἀρέσθαι,
μή σε βάλω, ἀπὸ δὲ μελιηδέα θυμὸν ἕλωμαι."
τὸν δὲ μέγ' ὀχθήσας προσέφη ξανθὸς Μενέλαος·
"Ζεῦ πάτερ, οὐ μὲν καλὸν ὑπέρβιον εὐχετάασθαι.
20 οὔτ' οὖν παρδάλιος τόσσον μένος οὔτε λέοντος
οὔτε συὸς κάπρου ὀλοόφρονος, οὗ τε μέγιστος
θυμὸς ἐνὶ στήθεσσι περὶ σθένεϊ βλεμεαίνει,
ὅσσον Πανθόου υἷες ἐϋμμελίαι φορέουσιν.
οὐδὲ μὲν οὐδὲ βίη Ὑπερήνορος ἱπποδάμοιο

P 1–2 (–δαμείς) sch[h141] K; **1** [Luc.] Dial. 86.4; **1a** Hdn ad B 808; **1b** Ath. 178c **4** ApS 27.26, 133.29; **4b** sch P 134; (πόρτ.) H. (Cyr.) π 3071 **5a** ApS 99.28; (πρωτοτ.) H. π 4174; (κιν.) H. (Cyr.) κ 2747; Phot. Lex. κ 738 **9–10** (–ἀμύμ.) sch P 1–2b; **9** (ἐϋμ.) H. ε 6987 **19** (ὑπέρβ.) id. υ 354; Phot. Lex. s.v. **20–3** [Plut.] Hom. 2.133.4; **20–1** (–ὀλο.) Epm. τ 74 **24–5** (–μ') Arn ad Ξ 516b; **25** (ὅτε μ' ὤν.) [Hdn] Philet. 67; H. ο 1482; (ὤν.) id. ω 232

867*a* ἤματι τῶι ὅτε γῆμε (ὅτ' ἔγ- Bekker) Θέτιν λιπαροκρήδεμνον add. quidam ap. sch[T] **P 1** Ἀτρέος Ω: -έως Z **5** πρωτοτόκος Hdn Z Ω*: proparox. W **7** οἱ Ar 1 Ω (cf. A.R. 3.1296; Rengakos 113): οὐ Zen (cf. ad Λ 458) πάντοσ' ἐΐσην 1? *b*: -σε ἴσην Ω* **8** ἀντίος 1 Ω: -ον rr **9** Πανθόου Brandreth: Πάνθου 1 t Ω.—cf. ad O 522 **14** κλειτῶν 1 Ω: κλητ- rr **16** τώ T[a]: τῶ(ι) 1 Ω* με ἔα 1 Ω, μ' ἔα H: ἔμ' ἔα Bentley: μ' ἐάα Heyne: μ' ἔαε Payne Knight.—cf. ad B 165 **20** παρδάλιος Ar[ab] [Plut.][vl] C T R[c] W[a]: πορδ- tt* Z Ω*.—cf. Praef. xxxiv **21** μέγιστος 1 t[vl] sch[bT] Ω: μάλιστα t[vl] *h* **22** περὶ 1 t Z Ω (πέρι Wolf): μέγα rr (cf. I 237) **23** Πανθόου Brandreth: Πάνθου 1 t Ω ἐϋμμελίᾳ F[γρ] φορέουσι(ν) 1 t[vl] Ω (cf. ρ 245, Ar. Eq. 757): φρονέ- t[vl] H V nov. Eust.—v.l. sim. Soph. Ant. 705

25 ἧς ἥβης ἀπόνηθ', ὅτε μ' ὤνοτο καί μ' ὑπέμεινεν
καί μ' ἔφατ' ἐν Δαναοῖσιν ἐλέγχιστον πολεμιστὴν
ἔμμεναι· οὐδέ ἕ φημι πόδεσσί γε οἷσι κιόντα
εὐφρῆναι ἄλοχόν τε φίλην κεδνούς τε τοκῆας.
ὥς θην καὶ σὸν ἐγὼ λύσω μένος, εἴ κέ με' ἄντα
30 στήῃς. ἀλλά σ' ἐγώ γ' ἀναχωρήσαντα κελεύω
ἐς πληθὺν ἰέναι, μηδ' ἀντίος ἵστα' ἐμεῖο,
πρίν τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιος ἔγνω."
ὣς φάτο· τὸν δ' οὐ πεῖθεν, ἀμειβόμενος δὲ προσηύδα·
"νῦν μὲν δή, Μενέλαε διοτρεφές, ἦ μάλα τείσεις
35 γνωτὸν ἐμόν, τὸν ἔπεφνες, ἐπευχόμενος δ' ἀγορεύεις,
χήρωσας δὲ γυναῖκα μυχῶι θαλάμοιο νέοιο,
ἀρητὸν δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκας.
ἦ κέ σφιν δειλοῖσι γόου κατάπαυμα γενοίμην,
εἴ κεν ἐγὼ κεφαλήν τε τεὴν καὶ τεύχε' ἐνείκας
40 Πανθόωι ἐν χείρεσσι βάλω καὶ Φρόντιδι δίηι.
ἀλλ' οὐ μὰν ἔτι δηρὸν ἀπείρητος πόνος ἔσται
οὐδέ τ' ἀδήριτος, ἤ τ' ἀλκῆς ἤ τε φόβοιο."
ὣς εἰπὼν οὔτησε κατ' ἀσπίδα πάντοσ' ἐίσην·
οὐδ' ἔρρηξεν χαλκός, ἀνεγνάμφθη δέ οἱ αἰχμή

27 (οὐδέ ἕ–) Eudoc. 335 **29–31** ead. 954–6; **29** (–μένος) ApS 88.2; Plut. Mor. 386d; (εἴ–)–**30** (στ.) Epm. φ 43 **32** w35 fr. 1.12 (lacerum); **32**b Corn. 33.2 L.; Aristid. Or. 3.388; Gal. Protr. 8.2; [Plut.] Hom. 2.65.2; cf. Clem. Strom. 1.157.2; cf. Lib. Ep. 80.6 (x.80.19 F.); sch Hes. Th. 510b/11, Op. 89; sch Soph. El. 1056, Ant. 1350; sch Thuc. 3.45.1; sch Pl. Symp. 222b; Choer. in Thd. ii.147.18; (ῥ. δέ τε) ApS 138.15; (ῥ.) H. ρ 231; (νήπιος–) cf. Philon. De decalogo 69 (iv.284.19 C.–W.) **36**a Hdn i.78.11 et ad E 158a; (χήρ.) H. χ 420; (θάλ.–) id. θ 20 **37** ApS 43.26; EtG α 1159; (ἀρ.) H. α 7178 **39** (κεφ.–) sch Ξ 255d; (κεφ. τε τεήν) H. τ 588; (τεήν) ApS 150.26; H. τ 314 **41** Eudoc. 1710 **42** (ἀδήρ.) EtG α 64

25 ὤνοτο Brandreth: -ατο 1 tt sch^{bT} Z Ω **27** ἕ (nov. Did) t Ω (με C^{a}): τέ Ar rr **28–159** desunt folia in D **29** με' Fick: μευ tt Ω **30** ἐγώ γ' W: ἔγωγ' Ω* **31** ἵστα' dedi (cf. ad K 291, Λ 314): -ασ' t Ω **34** μάλα Ω: τάχα "ἔν τισι τῶν ὑπομνημάτων" (sch^{T}) *b* (cf. σ 389).—vv.ll. sim. β 40, ο 537 τείσεις Fick: τίσ- Ω **37** ἀρητὸν Hdn Nic [1390] tt sch^{D} A$^{\lambda}$ Ω* (cf. Soph. Ant. 972): ἄρρητον *b* C R W.—cf. ad Ψ 223*b*, Ω 741 **38** κέ 1390 Ω*: κέν Z: καί A$^{\lambda}$ C **40** Πανθόωι Payne Knight: Πάνθωι 1390 T$^{\lambda}$ Ω Φρόντιδι proparox. Tyr "ἡ παράδοσις" Hdn (haesitans) Z Ω*: parox. sch^{D} A$^{\lambda}$ F G^{a} **41** ἔτι (= E 895) 1390 t Z A$^{\lambda}$ Ω: ἐπὶ (cf. I 145) "κατ' ἔνια τῶν ὑπομνημάτων" **42** οὐδ' ἔτ' N ἤ τ' ... ἤ τε (nov. Did) Nic 1390 A R (cf. I 276): ἠδ' ... ἠδὲ Ar A^{m} Ω*: οὔτ' ... οὔτε W: εἴτ' ... εἴτε rr **43** (ϝ') οὔτησε van Leeuwen πάντοσ' ἐίσην *b*: -σε ἴσην Ω* **44** χαλκός Ar A T^{c} *b*: -όν (nov. Did) 1390 A^{m} T$^{\lambda}$ Ω*.—cf. ad Γ 348

45 ἀσπίδ' ἔνι κρατερῆι. ὃ δὲ δεύτερος ὤρνυτο χαλκῶι
Ἀτρείδης Μενέλαος, ἐπευξάμενος Διὶ πατρί·
ἂψ δ' ἀναχαζομένοιο κατὰ στομάχοιο θέμεθλα
νύξ', ἐπὶ δ' αὐτὸς ἔρεισε βαρείηι χειρὶ πιθήσας·
ἀντικρὺ δ' ἁπαλοῖο δι' αὐχένος ἤλυθ' ἀκωκή,
50 δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῶι.
αἵματί οἱ δεύοντο κόμαι Χαρίτεσσιν ὁμοῖαι
πλοχμοί θ', οἳ χρυσῶι τε καὶ ἀργύρωι ἐσφήκωντο.
οἷον δὲ τρέφει ἔρνος ἀνὴρ ἐριθηλὲς ἐλαίης
χώρωι ἐν οἰοπόλωι, ὅθ' ἅλις ἀναβέβροχεν ὕδωρ,
55 καλὸν τηλεθάον, τὸ δέ τε πνοιαὶ δονέουσιν
παντοίων ἀνέμων, καί τε βρύει ἄνθεϊ λευκῶι,
ἐλθὼν δ' ἐξαπίνης ἄνεμος σὺν λαίλαπι πολλῆι
βόθρου τ' ἐξέστρεψε καὶ ἐξετάνυσσ' ἐπὶ γαίηι,
τοῖον Πανθόου υἱόν, ἐϋμμελίην Εὔφορβον,
60 Ἀτρείδης Μενέλαος ἐπεὶ κτάνε, τεύχε' ἐσύλα.
ὡς δ' ὅτε τίς τε λέων ὀρεσίτροφος ἀλκὶ πεποιθὼς
βοσκομένης ἀγέλης βοῦν ἁρπάσηι, ἥ τις ἀρίστη,
τῆς δ' ἐξ αὐχέν' ἔαξε λαβὼν κρατεροῖσιν ὀδοῦσιν
πρῶτον, ἔπειτα δέ θ' αἷμα καὶ ἔγκατα πάντα λαφύσσει
65 δηιῶν· ἀμφὶ δὲ τόν γε κύνες τ' ἄνδρές τε νομῆες
πολλὰ μάλ' ἰύζουσιν ἀπόπροθεν, οὐδ' ἐθέλουσιν

47 (στομ. θέμ.) ApS 145.12; H. σ 1913 **49** ApS 32.6; (ἁπαλοῖο δι' αὐχ.) Orio 93.2; cf. sch N 532 **51–60** Porph. Vit. Pyth. 26; Iambl. Vit. Pyth. 63; **51–2** [Plut.] Hom. 2.81.2; Synes. Calv. 3 (Opusc. 194.20 T.); **51** sch Heph. 292.21, 327.22, 342.6; (κόμαι) H. κ 3420; **51**b + **52** (χρ.–) Luc. Dial. 22.13; cf. Aristid. Quint. 2.9 p.71.20 W.-I.; **52** Arn ad B 872a, Λ 385d; sch Ar. Pac. 1216c; sch Arat. 526; (–ἀργ.) sch T 126; (πλ.) H. π 2627; Phot. Lex. s.v.; (οἳ–) sch Σ 401b; (χρ.–) Phot. Lex. ε 2037; (ἐσφ.) ApS 78.1; H. (Cyr.) ε 6439, [6441]; **53–8** Macr. Sat. 5.6.14; **53** + **55**b sch Λ 256b; **53** Orph. fr. 206; Clem. Strom. 6.26.1; (ἔρνος) H. (Cyr.) ε 5968; (ἐριθ.) id. ε 5837; **54** (ἀναβ.)–**5**a ApS 32.34; (ἀναβ.) H. α 4194; EtG α 759; **55** (τηλ.) H. (Cyr.) τ 760; **56**b sch Ψ 266b; sch Pind. Nem. 11.1a; sch Nic. Th. 70; (βρύει) ApS 53.10; H. (Cyr.) β 1233; **57** Plut. Mor. 759f; (–ἄν.) + **58** sch Λ 256c **65** (δη.) H. (Cyr.) δ 786 **66** (ἰύζ.) ApS 93.16

45 ἀσπίδ' ἐνὶ *h* (ἔνι Bekker): -ίδι ἐνὶ T R W: -ίδι ἐν 1390 Ω*.—cf. ad Γ 349 ὤρνυτο Ω*: ὄρν- R **51** Χαρίτεσσιν ὁμοῖαι Ar 230 703 tt sch^{D} Ω: -σσι μέλαιναι Zen **52** ἐσφήκωντο 703 tt* sch^{ADbT} Ω: εὖ ἤσκηντο Iambl. **54** ὅ θ' divisim A ἀναβέ–βροχεν Zen sch^{D} r (cf. Chantr. I 425): -βρυχεν Ar tt* Ω*, agn. sch^{D}: -βρυσεν Macr.: -βρυκεν EtG$^{\lambda}$ F **57** δ' tt* Ω*: τ' sch-Λ: om. R **58** γαίηι Z Ω*: -ης tt* T G (cf. ad Π 310): -ην sch-Λ: πολληι Macr. (ex 57) **59** Πανθόου Brandreth: Πάνθου tt Ω **63** δ' Ω*: τ' *b h* **65** δηιῶν Hdn (cl. Σ 195) A$^{\lambda}$ Ω: δήιων (deprec. Hdn) Hsch.^{cod} Z *h*, prob. Wack. Unt. 170; cf. ad E 452 γε Ω*: δε C: τε R G τ' T R (cf. Γ 26, Λ 414, 548, P 110, 658): om. Ω* ἄνδρές sic A B^{a} E W G **66** οὐδὲ θέλουσιν C

ἀντίον ἐλθέμεναι, μάλα γὰρ χλωρὸν δέος αἱρεῖ·
ὣς τῶν οὔ τινι θυμὸς ἐνὶ στήθεσσιν ἐτόλμα
ἀντίον ἐλθέμεναι Μενελάου κυδαλίμοιο.
70 ἔνθά κε ῥεῖα φέροι κλυτὰ τεύχεα Πανθοΐδαο
Ἀτρεΐδης, εἰ μή οἱ ἀγάσσατο Φοῖβος Ἀπόλλων,
ὅς ῥά οἱ Ἕκτορ' ἐπῶρσε θοῷι ἀτάλαντον Ἄρηϊ,
ἀνέρι εἰσάμενος, Κικόνων ἡγήτορι Μέντηι.
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
75 "Ἕκτορ, νῦν σὺ μὲν ὧδε θέεις ἀκίχητα διώκων,
ἵππους Αἰακίδαο δαΐφρονος· οἳ δ' ἀλεγεινοί
ἀνδράσι γε θνητοῖσι δαμήμεναι ἠδ' ὀχέεσθαι,
ἄλλωι γ' ἤ' Ἀχιλῆϊ, τὸν ἀθανάτη τέκε μήτηρ.
τόφρα δέ τοι Μενέλαος ἀρήϊος Ἀτρέος υἱός
80 Πατρόκλωι περιβὰς Τρώων τὸν ἄριστον ἔπεφνεν,
Πανθοΐδην Εὔφορβον, ἔπαυσε δὲ θούριδος ἀλκῆς."
ὣς εἰπὼν ὃ μὲν αὖτις ἔβη θεὸς ἂμ πόνον ἀνδρῶν,
Ἕκτορα δ' αἰνὸν ἄχος πύκασε φρένας ἀμφὶ μελαίνας.
πάπτηνεν δ' ἄρ' ἔπειτα κατὰ στίχας, αὐτίκα δ' ἔγνω
85 τὸν μὲν ἀπαινύμενον κλυτὰ τεύχεα, τὸν δ' ἐπὶ γαίηι
κείμενον· ἔρρει δ' αἷμα κατ' οὐταμένην ὠτειλήν.
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῶι,
ὀξέα κεκληγώς, φλογὶ εἴκελος Ἡφαίστοιο
ἀσβέτωι. οὐδ' υἱὸν λάθεν Ἀτρέος ὀξὺ βοήσας,
90 ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
"ὤι μοι ἐγών, εἰ μέν κε λίπω κάτα τεύχεα καλά

70 (ῥ. φ.) H. ρ 297, cf. 190 71 (ἀγ.) H. (Cyr.) α 347 73b sch ι 40 75 EtG α 334; (σὺ–) ApS 20.6; (ἀκίχ. δι.) Epm. ad A 26c[1]; (ἀκίχ.) H. (Cyr.) α 2416, [8878] 76–7 (ἀλεγ. ἀνδρ.) sch Π 152a 80 sch P 61–9 84 Eudoc. 697 **86** (ἔρρεε–) cf. ad Δ 140 ([Ammon.] Diff. 364); (ῥέε–) H. (Cyr.) α 1936 **88b–9** (ἀσβ.) Arn ad Π 123b **91** (εἰ–) Cocondr. Trop. iii.239.6 Sp.

67 χλωρὸν δέος 703 sch^{D} Ω*: δριμὺς χόλος R (= Σ 322): utrumque agn. Eust. **70** ἔνθά sic Ω, ἐνθά A$^{\lambda}$ **73** Μέντηι Ar t Ω: Πείρωι (cf. Δ 520) quidam ap. sch^{T} **74** om. T **75** θέεις t* Ω: νοέεις ApS **76–8** (= K 402–4) susp. Leaf **78** ἤ' Fick: ἢ Ω **82** αὖτις 703 Ω*: αὖθις C ἂμ B^{a}, ἀμ Ω*: ἀν E F^{a} **83** ἀμφὶ μελαίνας Z C F^{a} W G: ἀμφιμελ- Ω* **86** ἔρρει 703 Ω: ἔρρεε tt *h* (cf. Δ 140) οὐταμένην ὠτειλὴν 230 231 1391 Ω: -ης -ῆς tt rr **88** κεκληγώς Nic 1 703 Ω: κεκλήγων Allen cl. Π 430 **89** ασβετωι [1] 703 (coniecerat Ludwich Rh. Mus. 71 (1916) 211, prob. V. Schmidt Die Sprache 22 (1976) 45 sq.): ἀσβέστωι t Ω (cf. Π 123): ἀσπέτωι Bentley (cf. Hes. Th. 698) υἱὸν λάθεν 1 703 Ω: υἷα r, λάθ' r alter: υἷα λάθ' Barnes **91** ὤι 703 A B C T W: ὤ Ω* κάτα Hdn 1 A C E G: κατὰ vel κατα Ω*

Πάτροκλόν θ', ὃς κεῖται ἐμῆς ἕνεκ' ἐνθάδε τιμῆς,
μή τίς μοι Δαναῶν νεμεσήσεται, ὅς κεν ἴδηται·
εἰ δέ κεν Ἕκτορι μοῦνος ἐὼν καὶ Τρωσὶ μάχωμαι
95 αἰδεσθείς, μή πώς με περιστείωσ' ἕνα πολλοί·
Τρῶας δ' ἐνθάδε πάντας ἄγει κορυθαιόλος Ἕκτωρ.
ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
ὁππότ' ἀνὴρ ἐθέληι πρὸς δαίμονα φωτὶ μάχεσθαι
ὅν κε θεὸς τιμᾶι, τάχα οἱ μέγα πῆμα κυλίσθη.
100 τώ μ' οὔ τις Δαναῶν νεμεσήσεται, ὅς κεν ἴδηται
Ἕκτορι χωρήσαντ', ἐπεὶ ἐκ θεόφιν πολεμίζει.
εἰ δέ που Αἴαντός γε βοὴν ἀγαθοῖο πυθοίμην,
ἄμφω κ' αὖτις ἰόντες ἐπιμνησαίμεθα χάρμης
καὶ πρὸς δαίμονά περ, εἴ πως ἐρυσαίμεθα νεκρόν
105 Πηλείδηι Ἀχιλῆϊ· κακῶν δέ κε φέρτατον εἴη."
ἕως ὃ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
τόφρα δ' ἐπὶ Τρώων στίχες ἤλυθον, ἦρχε δ' ἄρ' Ἕκτωρ.
αὐτὰρ ὅ γ' ἐξοπίσω ἀνεχάζετο, λεῖπε δὲ νεκρόν,
ἐντροπαλιζόμενος ὥς τε λὶς ἠϋγένειος,
110 ὅν ῥα κύνες τε καὶ ἄνδρες ἀπὸ σταθμοῖο δίωνται
ἔγχεσι καὶ φωνῆι, τοῦ δ' ἐν φρεσὶν ἄλκιμον ἦτορ
παχνοῦται, ἀέκων δέ τ' ἔβη ἀπὸ μεσσαύλοιο·
ὣς ἀπὸ Πατρόκλοιο κίε ξανθὸς Μενέλαος.
στῆ δὲ μεταστρεφθείς, ἐπεὶ ἵκετο ἔθνος ἑταίρων,
115 παπταίνων Αἴαντα μέγαν Τελαμώνιον υἱόν·
τὸν δὲ μάλ' αἶψ' ἐνόησε μάχης ἐπ' ἀριστερὰ πάσης

92 (ὅς–) sch P 1–2a **95** (μή–) Hdn ii.267.21; Epm. θ 29 **98**b Aristid. Or. 3.315; (φωτί) H. φ 1131 **102** sch O 249b **104** sch Eur. Or. 687; (–ἐρυσ.) sch P 98–9d$^{1/3}$; **104**a Lib. Ep. 624.2 (x.574.7 F.); (ἐρυσ.) H. ε 1060 **105**b sch Δ 307c^{1}; H. κ 374; Olymp. in Gorg. 112.4 W.; EtM 798.47; (φέρτ.) H. (Cyr.) φ 321 **109**a [Plut.] Hom. 2.135.4; **109**b ApS 108.31; Hdn ii.641.1, 697.30, 698.12; (λὶς ἠϋγ.) H. (Cyr.) λ 1115 **110** Hdn ad Σ 162a^{1}; (ἀπὸ στ.) H. (Cyr.) α 6652; (στ.) sch P 112c; (δίωνται) H. δ 2050 **112** (παχν.) ApS 128.29; H. π 1168; Phot. Lex. s.v. **116** Apio 219.11

95 περιστείωσ' (nov. Did) 1 t Ω*, -στίωσιν Z: -στήωσ' Ar B^{s} C E^{s} W G^{c} **96** ἄγει 1 Ω (cf. 107): -ηι Stephanus κορυθαιόλος 1 Ω*: proparox. C **97** τίη Ω*: τιή 1, τί ή A F, τί ἤ G; v. Praef. xxi sq. **98** ἐθέλη(ι) 1 Ω*: -ει C R W: -εις Z: -ησι T T^{λ} **99** πῆ–μα 1 Ω*, πη[230^{2m}: κῦμα C κυλίσθη 1 (-ηι) Z Ω:]ẹκυλισθη 230 **100** τώ T^{a}: τῶ(ι) 1 Ω* **103** αὖτις 1 Ω*: αὖθις C ἰόντες Ar 1 Ω: -ντε Zen.—cf. ad Λ 103 ἐπιμνη–σαίμεθα 1 Ω*: -σώμεθα T **105** κακῶν 1 tt* sch^{D} Ω*: -ὸν Hsch. Olymp. T^{a} φέρτα–τον 1 $Hsch.^{\phi}$ $EtM^{\gamma\rho}$ sch^{D} A O: -τερον tt* A^{m} Ω*: φόρτατον EtM εἴηι 1 W **106** ἕως Ω; cf. ad A 193 **109** λὶς (Ar Hdn) Ω*, λεὶς Z: λῖς 232 B^{c} C^{a} W.—cf. ad Λ 239 **110** ὅν Ω: τόν t **112** ἀέκων A δέ τ' Ω*: δὲ T **116** μάχης ἐπ' ἀριστερὰ πάσης Ω:

θαρσύνονθ' ἑτάρους καὶ ἐποτρύνοντα μάχεσθαι·
θεσπέσιον γάρ σφιν φόβον ἔμβαλε Φοῖβος Ἀπόλλων.
βῆ δὲ θέειν, εἶθαρ δὲ παριστάμενος ἔπος ηὔδα·
120 "Αἶαν, δεῦρο, πέπον, περὶ Πατρόκλοιο θανόντος
σπεύσομεν, αἴ κε νέκυν περ Ἀχιλλῆϊ προφέρωμεν,
γυμνόν· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαιόλος Ἕκτωρ."
ὣς ἔφατ'· Αἴαντι δὲ δαΐφρονι θυμὸν ὄρινεν,
βῆ δὲ διὰ προμάχων, ἅμα δὲ ξανθὸς Μενέλαος.
125 Ἕκτωρ μὲν Πάτροκλον ἐπεὶ κλυτὰ τεύχε' ἀπηύρα,
εἶλχ', ἵν' ἀπ' ὤμοιιν κεφαλὴν τάμοι ὀξέϊ χαλκῶι,
τὸν δὲ νέκυν Τρωιῆισιν ἐρυσσάμενος κυσὶ δοίη·
Αἴας δ' ἐγγύθεν ἦλθε, φέρων σάκος ἠΰτε πύργον,
Ἕκτωρ δ' ἂψ ἐς ὅμιλον ἰὼν ἀνεχάζεθ' ἑταίρων,
130 ἐς δίφρον δ' ἀνόρουσε· δίδου δ' ὅ γε τεύχεα καλὰ
Τρωσὶ φέρειν προτὶ ἄστυ, μέγα κλέος ἔμμεναι αὐτῶι.
Αἴας δ' ἀμφὶ Μενοιτιάδηι σάκος εὐρὺ καλύψας
ἑστήκει, ὥς τίς τε λέων περὶ οἷσι τέκεσσιν,
ὧι ῥά τε νήπι' ἄγοντι συναντήσωνται ἐν ὕληι
135 ἄνδρες ἐπακτῆρες· ὃ δέ τε σθένεϊ βλεμεαίνει,
πᾶν δέ τ' ἐπισκύνιον κάτω ἕλκεται ὄσσε καλύπτων·
ὣς Αἴας περὶ Πατρόκλωι ἥρωϊ βεβήκει.
Ἀτρεΐδης δ' ἑτέρωθεν, ἀρηΐφιλος Μενέλαος,
ἑστήκει, μέγα πένθος ἐνὶ στήθεσσιν ἀέξων.
140 Γλαῦκος δ' Ἱππολόχοιο πάϊς, Λυκίων ἀγὸς ἀνδρῶν,
Ἕκτορ' ὑπόδρα ἰδὼν χαλεπῶι ἠνίπαπε μύθωι·
"Ἕκτορ, εἶδος ἄριστε, μάχης ἄρα πολλὸν ἐδεύεο·

125–6 (–τάμοι) Porph. Il. 267.19 Schr.; **125–6a** sch P 187; **126–7** Procl. in Remp. i.150.19; **126** sch P 40a; (ἵν'–τάμοι) sch B 259a **133–5a** Gell. 13.7.4; **133** (ὡς–)–**7** Philop. De aetern mundi 9.3; **134–6** Plut. Mor. 494c; **134a** sch P 4b; **135** (ἐπακτ.) ApS 70.23; H. (Cyr.) ε 4118; **136** (–ἕλκ.) sch Ar. Ran. 822a; (ἐπισκ.) ApS 74.2; H. (Cyr.) ε 5192 **139** Eudoc. 853; (ἀέξων) H. (Cyr.) α 1375 **142a** Plut. Mor. 34f; sch Γ 39c; (ἐδεύεο) H. ε 450

μάχην ἀνὰ κυδιάνειραν t **122** (= 693, Σ 21) damn. Hentze κορυθαίολος C **126** εἶλχ' van Leeuwen post Fick: ἕλχ' tt Ω, ελκ' 48 **133** ἑστήκει Ar [48] Ω* (-κη Y; -κειν Bekker, cf. ad Ψ 691): εἱστ- (nov. Did) C R W: ιστ- t **134–6** tres versus ap. Zen ⁑ defuisse dicit sch[A] ad 133, sch[T] ad 134: ϛ´ pro γ´ Apthorp 103 qui ad vv. 133–8 refert **134** συναντήσωνται 501a1 A B F W: -σονται tt Ω*: -σωσιν Bekker **135** ut supra 48 501a1 tt* Ω: ἀνέρες ἀγροιῶται, ὃ δὲ Plut.[vl] **136** καλύπτων 'omnes' Didymi tt* T[λ] Ω*: -πτον Plut.[vl] *b* G[a]: -ψων A[λ] (ss. πτ) **139** ἑστήκει Ar 501a1 t Ω*: εἱστ- (nov. Did) 1391 C W: ἕστηκε R **142** ἐδεύεο sic 48 t Ω*: δεύεο Z: ἐδεύου W

ἦ σ' αὔτως κλέος ἐσθλὸν ἔχει, φύξηλιν ἐόντα.
φράζεο νῦν, ὅππως κε πόλιν καὶ ἄστυ σαώσεις
145 οἶος σὺν λαοῖσι τοὶ Ἰλίωι ἐγγεγάασιν·
οὐ γάρ τις Λυκίων γε μαχησόμενος Δαναοῖσιν
εἶσι περὶ πτόλιος, ἐπεὶ οὐκ ἄρα τις χάρις ἦεν
μάρνασθαι δηίοισιν ἐπ' ἀνδράσι νωλεμὲς αἰεί.
πῶς κε σὺ χείρονα φῶτα σαώσειας μεθ' ὅμιλον,
150 σχέτλι'; ἐπεὶ Σαρπηδόν', ἅμα ξεῖνον καὶ ἑταῖρον,
κάλλιπες Ἀργείοισιν ἕλωρ καὶ κύρμα γενέσθαι,
ὅς τοι πόλλ' ὄφελος γένετο, πτόλεΐ τε καὶ αὐτῶι,
ζωὸς ἐών· νῦν δ' οὔ οἱ ἀλαλκέμεναι κύνας ἔτλης.
τὼ νῦν, εἴ τις ἐμοὶ Λυκίων ἐπιπείσεται ἀνδρῶν,
155 οἴκαδ' ἴμεν, Τροίηι δὲ πεφήσεται αἰπὺς ὄλεθρος.
εἰ γὰρ νῦν Τρώεσσι μένος πολυθαρσὲς ἐνείη
ἄτρομον, οἷόν τ' ἄνδρας ἐσέρχεται, οἳ περὶ πάτρης
ἀνδράσι δυσμενέεσσι πόνον καὶ δῆριν ἔθεντο,
αἶψά κε Πάτροκλον ἐρυσαίμεθα Ἴλιον εἴσω.
160 εἰ δ' οὗτος προτὶ ἄστυ μέγα Πριάμοιο ἄνακτος
ἔλθοι τεθνηὼς καί μιν ἐρυσαίμεθα χάρμης,
αἶψά κεν Ἀργεῖοι Σαρπηδόνος ἔντεα καλὰ
λύσειαν, καί κ' αὐτὸν ἀγοίμεθα Ἴλιον εἴσω·
τοίου γὰρ θεράπων πέφατ' ἀνέρος, ὃς μέγ' ἄριστος
165 Ἀργείων παρὰ νηυσὶ καὶ ἀγχέμαχοι θεράποντες.
ἀλλὰ σύ γ' Αἴαντος μεγαλήτορος οὐκ ἐτάλασσας
στήμεναι ἄντα κατ' ὄσσε ἰδὼν δηίων ἐν ἀϋτῆι,

143 Porph. Il. 218.6 Schr.; (φύξ.) H. φ 1011 **144** [Ammon.] Diff. 403; Epm. α 169 **146** (μαχ.) + **147**a Hdn ii.828.7 **153** al. (ἔτλης) H. (Cyr.) ε 6624 **155** (πέφ.) H. π 2111 **156**b–**8**a Plut. Mor. 815c **163** (καί–) ApS 65.6 **164–5**a Arn ad P 153a; **164** (–ἀνέρος) sch P 163b **166** (ἐτάλ.) ApS 78.9; H. (Cyr.) ε [284], 6499

144 σαώσεις Ar 230 A F G (cf. Δ 14, ν 376): -σῃ(ι)ς (nov. Did) tt Ω*.—cf. ad I 251; Monro HG² §326.4; Schwyzer–Debr. 352; Chantr. II 297 **145** λαοῖσι 232 1391 Ω, λα[501a1: γαμβροῖσι H (cf. E 474, quem mg. adscr. W): λαοῖς Heyne (cf. ad Z 493; Haslam New Companion to Homer 99) **148** ἐπ' Ar (ad I 317): (-σι) μετ' 48 232 501a1 Ω **149** ὅμιλον Ar 48 Ω: ὁμίλου Zen **151** Ἀργείοισιν 48 230 232 501a1 Ω: οἰω–νοῖσιν rr (ex γ 271) **153** κύνας Ar 48 230 501a1 Ω: κύον Zen **154** τὼ T[a]: τῶ(ι) 501a1 Ω*: των 230 **155** ἴμεν Ar (pro infinitivo) Nic 48 230 501a1 Ω: ἴτω DSid (Spitzner: ἴω cod. T) **157** ἄνδρας 1393 t Ω: -ες 48: α]ν̣δρος 501a1 ἐσέρχεται 48 t[vl] Ω: ἐπ- 501a1 t[vl] Z rr **158** πόνον 48 501a1 Ω: φο̣[νον 1393 ἔθεντο Ω*: ἔχουσιν 48 T Y R (cf. ω 515) **160** denuo adest D **161** τεθνηὼς Ar 230 B[a] E F T, -ηιὼσ A: -θνει- (nov. Did) 501a1 E[s] F[s] Ω* **163** κ' 230[t] Ω: δ' 230[s] t: om. 48 ἀγοίμεθα Ar t Ω: ελοι- 48

οὐδ' ἰθὺς μαχέσασθαι, ἐπεὶ σέο φέρτερός ἐστιν."
   τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη κορυθαιόλος Ἕκτωρ·
170 "Γλαῦκε, τίη δὲ σὺ τοῖος ἐὼν ὑπέροπλον ἔειπες;
ὢ πόποι, ἦ τ' ἐφάμην σε περὶ φρένας ἔμμεναι ἄλλων
τῶν ὅσσοι Λυκίην ἐριβώλακα ναιετάουσιν·
νῦν δέ σε' ὠνοσάμην πάγχυ φρένας, οἷον ἔειπες,
ὅς τ' ἐμὲ φῂς Αἴαντα πελώριον οὐχ ὑπομεῖναι.
175 οὔ τοι ἐγὼν ἔρριγα μάχην οὐδὲ κτύπον ἵππων·
ἀλλ' αἰεί τε Διὸς κρέσσων νόος αἰγιόχοιο,
ὅς τε καὶ ἄλκιμον ἄνδρα φοβεῖ καὶ ἀφείλετο νίκην
ῥηϊδίως, ὁτὲ δ' αὐτὸς ἐποτρύνει μαχέσασθαι.
ἀλλ' ἄγε δεῦρο, πέπον, παρ' ἔμ' ἵσταο καὶ ἴδε ἔργον,
180 ἠὲ πανημέριος κακὸς ἔσσομαι, ὡς ἀγορεύεις,
ἦ τινα καὶ Δαναῶν ἀλκῆς μάλα περ μεμαῶτα
σχήσω ἀμυνέμεναι περὶ Πατρόκλοιο θανόντος."
   ὣς εἰπὼν Τρώεσσιν ἐκέκλετο μακρὸν ἀΰσας·
"Τρῶες καὶ Λύκιοι καὶ Δάρδανοι ἀγχιμαχηταί,
185 ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς,
ὄφρ' ἂν ἐγὼν Ἀχιλῆος ἀμύμονος ἔντεα δύω
καλά, τὰ Πατρόκλοιο βίην ἐνάριξα κατακτάς."
   ὣς ἄρα φωνήσας ἀπέβη κορυθαιόλος Ἕκτωρ
δηΐου ἐκ πολέμοιο· θέων δ' ἐκίχανεν ἑταίρους
190 ὦκα μάλ', οὔ πω τῆλε, ποσὶ κραιπνοῖσι μετασπών,
οἳ προτὶ ἄστυ φέρον κλυτὰ τεύχεα Πηλείωνος.

170–1 Plut. Mor. 32b; **171** ib. 809f **175** Epm. ρ 2 **177–8** Dio Prus. 32.21; **177** (–φοβεῖ) sch Υ 242–3 **180** (πανημ.) H. π 343 **182** sch Π 1a

169 κορυθαίολος C, -έολοσ Y **170** τίη Ω*: τίή F^{c}, τΐί Y, τιή O: τί D ἔειπας t **171** ὢ Ω*: ὦ *b* F T Y πόποι Ar 48 645 Ω*: πέπον Zen (haud improbat Did) tt D Y R W G.—cf. ad O 467 πέρι Z rr **172** μεμείωκε τὴν ἔμφασιν, καὶ τὰ τοιαῦτα εἴωθεν ἀθετεῖν ὁ Ἀρίσταρχος sch^{A}: damn. Payne Knight **173** σε (sc. σε') Zen T G: σευ Ar 645 Ω* (σεῦ A^{λ} Y *b*).—cf. ad Ξ 95 **174** τ' ἐμὲ *b* F^{c} R: τέ με Z Ω* φῂς fere Alexio Hdn 645 sch^{D} Ω (φῆ(ι)ς Z D Y R): ἔφης Ptol 48 H **176** κρέσσων Blass: κρεί- Ω αἰγιόχοιο A D Y G: ἠέ περ ἀνδρός $A^{\gamma\rho}$ *b* F T W, -δρῶν R (= Π 688) **177** ἀφείλετο t^{vl} A^{m} Ω*: -ατο t^{vl} A **178** ὁτὲ A F R W G^{c}: ὅτε Z Ω*: οτε 48: τότε seu τοτὲ Arph t μαχέσασθαι Ω*: μαχέεσθαι *b* R W (cf. ad E 496): μάχεσθαι rr (et ἐποτρύνησι alii; cf. ad Π 690): καὶ ἀνώγει t **179** ἵσταο Bolling post Wackernagel: -ασο 48 Ω.—cf. ad K 291, Λ 314 **181** ἦ r: ἤ Ω μάλα $48^{c?}$ Ω*: μέγα R **188** κορυθαίολος C G^{c}, -έολοσ Y **190** post 191 fert 230, om. rr: damn. Payne Knight ὦκα Ω: ἄγχι Christ cl. τ 301 μετασπών Hdn Z Ω (-ῶν Z B^{c} F^{c} Y G): parox. olim alii: πεποιθώς O (= Z 505) **191** Πηλείωνος (ut semper in fine versus) $A^{\gamma\rho}$ *b* W: Πηλείδαο Ω*

στὰς δ' ἀπάνευθε μάχης πολυδακρύου ἔντε' ἄμειβεν·
ἤτοι ὃ μὲν τὰ ἃ δῶκε φέρειν προτὶ Ἴλιον ἱρήν
Τρωσὶ φιλοπτολέμοισιν, ὃ δ' ἄμβροτα τεύχεα δῦνεν
195 Πηλείδεω Ἀχιλῆος, ἅ οἱ θεοὶ οὐρανίωνες
πατρὶ φίλωι ἔπορον, ὃ δ' ἄρα ὧι παιδὶ ὄπασσεν
γηράς· ἀλλ' οὐχ υἱὸς ἐν ἔντεσι πατρὸς ἐγήρα.
τὸν δ' ὡς οὖν ἀπάνευθεν ἴδεν νεφεληγερέτα Ζεύς
τεύχεσι Πηλείδαο κορυσσόμενον θείοιο,
200 κινήσας ῥα κάρη προτὶ ὃν μυθήσατο θυμόν·
"ἆ δείλ', οὐδέ τί τοι θάνατος καταθύμιός ἐστιν,
ὃς δή τοι σχεδὸν εἶσι· σὺ δ' ἄμβροτα τεύχεα δύνεις
ἀνδρὸς ἀριστῆος, τόν τε τρομέουσι καὶ ἄλλοι.
τοῦ δὴ ἑταῖρον ἔπεφνες ἐνηέα τε κρατερόν τε,
205 τεύχεα δ' οὐ κατὰ κόσμον ἀπὸ κρατός τε καὶ ὤμων
εἵλε'. ἀτάρ τοι νῦν γε μέγα κράτος ἐγγυαλίξω,
τῶν ποινήν, ὅ τοι οὔ τι μάχης ἒκ νοστήσαντι
δέξεται Ἀνδρομάχη κλυτὰ τεύχεα Πηλείωνος."
ἦ, καὶ κυανέηισιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων·
210 Ἕκτορι δ' ἥρμοσε τεύχε' ἐπὶ χροΐ, δῦ δέ μιν ἄρης
δεινὸς ἐνυάλιος, πλῆσθεν δ' ἄρα οἱ μέλε' ἐντός
ἀλκῆς καὶ σθένεος. μετὰ δὲ κλειτοὺς ἐπικούρους
βῆ ῥα μέγα ἰάχων, ἰνδάλλετο δέ σφισι πᾶσιν
τεύχεσι λαμπόμενος μεγαθύμου Πηλείωνος.
215 ὤτρυνεν δὲ ἕκαστον ἐποιχόμενος ἐπέεσσιν,

193a ApS 1.12 **194** (ἄμβρ. τεύχ.) H. (Cyr.) α 3527 **196** (ἔπορον) ApS 75.7 **197** sch Hes. Op. 188b; H. γ 522; w5 (lacerum) **200** (προτὶ ὄν) H. π 3994 **201** w5 (lacerum) **204b** [Elias] in Porph. Isag. 9.21 **205–6** (εἷλ.) sch P 125b[1]; **206** (ἀτὰρ–) sch P 268–70, 321 **210** (δῦ–)–11a ApS 41.13; **210** (δῦ–) + **211b** Apio 224.3; **210** (δῦ–) Hdn ad Δ 222a; H. δ 2476; **211** (ὑάλιος) Phot. Lex. s.v. **213** (ἰνδ.) ApS 91.14; H. (Cyr.) ι 666 **215** Eudoc. 1487

192 πολυδακρύου A F[a] Y R W G (cf. Tyrt. 11.7): -ύτου Ω*: -υος Bentley (cf. Γ 132, P 544, al.) **193** τοι ὃ μὲν 48 Ω: τοί μεν 230 **194** τεύχεα δῦνε(ν) Ω T[λ]: τεύχε' ἔδ- rr **199** ut supra 48 230 Ω: τεύχεσι λαμπόμενον μεγαθύμου Πηλείωνος (ex 214) H O **201** δεῖλ' (deprec. Hdn) D C F T Y (δῆλ') R W G[c] οὐδέ τι Hdn 48 230[a] w5 A[λ] Ω: οὐκέτι 230[c] V **202** ὃς Ar Ω: ὡς *h* εἶσι Ar[ab] A[s] *h*: ἐστι (nov. Did) 230 Ω (cf. β 284) **206** εἵλε' Nauck: -ευ 230 Ω: ειλ[1394: βάλευ t[cod]: εἷλες rr **207** ἒκ A: ἐκ Ω* **210** Ἄρης edd. **212** κλειτοὺς 48 645 Ω*: κλη- Y H.—cf. ad Λ 220 **213** ἰάχων 230 Ω: cf. ad E 302 **214** μεγαθύμου Πηλείωνος (nov. Did) "αἱ κοιναί" (Nic) 48 645 Ω*: -μωι Πηλείωνι Ar A G: Πηληϊάδεω Ἀχιλῆος Zen **215** ὤτρυνεν Ar 48 230 t A[λ] Ω (ὤιτρ- T): ὄτρ- Zen (cf. ad 582)

Μέσθλην τε Γλαῦκόν τε Μέδοντά τε Θερσίλοχόν τε
Ἀστεροπαῖόν τε Δεισήνορά θ' Ἱππόθοόν τε
218 Φόρκυν τε Χρομίον τε καὶ Ἔννομον οἰωνιστήν·
220 "κέκλυτε, μυρία φῦλα περικτιόνων ἐπικούρων.
οὐ γὰρ ἐγὼ πληθὺν διζήμενος οὐδὲ χατίζων
ἐνθάδ' ἀφ' ὑμετέρων πολίων ἤγειρα ἕκαστον,
ἀλλ' ἵνα μοι Τρώων ἀλόχους καὶ νήπια τέκνα
προφρονέως ῥύοισθε φιλοπτολέμων ὑπ' Ἀχαιῶν·
225 τὰ φρονέων δώροισι κατατρύχω καὶ ἐδωδῆι
λαούς, ὑμέτερον δὲ ἑκάστου θυμὸν ἀέξω.
τώ τις νῦν ἰθὺς τετραμμένος ἠ' ἀπολέσθω
ἠὲ σαωθήτω· ἣ γὰρ πολέμου ὀαριστύς.
ὃς δέ κε Πάτροκλον καὶ τεθνηῶτά περ ἔμπης
230 Τρῶας ἐς ἱπποδάμους ἐρύσηι, εἴξηι δέ οἱ Αἴας,
ἥμισυ τῶι ἐνάρων ἀποδάσσομαι, ἥμισυ δ' αὐτός
ἕξω ἐγώ· τὸ δέ οἱ κλέος ἔσσεται ὅσσον ἐμοί περ."
ὣς ἔφαθ', οἳ δ' ἰθὺς Δαναῶν βρίσαντες ἔβησαν,
δούρατ' ἀνασχόμενοι· μάλα δέ σφισιν ἔλπετο θυμός
235 νεκρὸν ὑπ' Αἴαντος ἐρύειν Τελαμωνιάδαο,
νήπιοι· ἦ τε πολέσσιν ἐπ' αὐτῶι θυμὸν ἀπηύρα.
καὶ τότ' ἄρ' Αἴας εἶπε βοὴν ἀγαθὸν Μενέλαον·
"ὦ πέπον, ὦ Μενέλαε διοτρεφές, οὐκέτι νῶϊ
ἔλπομαι αὐτώ περ νοστησέμεν ἐκ πολέμοιο.
240 οὔ τι τόσον νέκυος περιδείδια Πατρόκλοιο,

216a Choer. in Thd. i.160.12 **218** (Φόρ.) sch P 312; (Χρομ.) Arn ad B 858 **220** sch B 130–1a; (–περικτ.) Eudoc. 1; **220a** Clem. Protr. 120.2 **221** (–διζ.) + **222** sch E 492b **223–4** Porph. Hom. 121.11 Sod. **225–6** (λαούς) Hdn ad λ 521; **225** (–κατατρ.) sch Σ 292b **227** (ἰθὺς τετρ.) H. (Cyr.) ι 422 **228** (ὀαρ.) id. ο 14 **233** (βρίσ.) ApS 53.12 **236** Eudoc. 309 **237** Arn ad M 60b, Υ 375 **240** (–περιδ.) + **242** (–περιδ.) sch O 652; **242** sch Π 102

216 Θερσίλοχόν 645 Ω*: ερσί- Y: Ὀρσί- O: Θηρσί- Herwerden RPh 2 (1878) 196, prob. Wack. KS 1592 **217** Δεισήνορά 48 Ω*: Δισ- A D F G (δισίν-): Δησσ- Y **218** Φόρκῡν Tyr: -ῠν Hdn (Φόρκῠ́ν A) Χρομίον (Hdn) A B E T[a] Y R[a]: proparox. Ω* **219** (= N 94, [480]) add. A (appicto antisigmate; in mg. fuerat exemplaris u.v.) D[m] *b* G: deest in 48 230 645 Ω*.—cf. ad Δ 337; Apthorp ZPE 111 (1996) 146 **224** ὑπ' A[λ] Ω: ἀπ' 645 B[c?] E[2] F[c] H **227** τώ r: τῶ(ι) Ω ἠ' fere Fick: ἢ 645 Ω **228** ἣ Z Ω*: ἢ Y W G[a]: ἡ C E, ἡ D **229** τεθνηῶτα Ar 645 E T R: -θνει- (nov. Did) A (ss. ηι) E[s] Ω* **230** ἐς 1394 Ω: εφ 501b εἴξη(ι) 645 Ω*: -ει Y R G[a] **231** τῶι Ar 501b A[s] T[γρ] G O: τῶν (nov. Did) Ω* **233** ἔδυσαν Y **234** δέ Ω: γάρ *h* ἔλπετο Arph (Ar?) Ω*: ἤλπ- (nov. Did) D Y (ἤ-) R G: ἤθελε T[λ] **238** νῶϊ A D R: νῶϊν Ω* **240** περιδεί–δια Ptol Y, περὶ δ- B: πέρι δ- Ar Hdn Ω*

ὅς κε τάχα Τρώων κορέει κύνας ἠδ' οἰωνούς,
ὅσσον ἐμῆι κεφαλῆι περιδείδια, μή τι πάθησιν,
καὶ σῆι, ἐπεὶ πολέμοιο νέφος περὶ πάντα καλύπτει
{Ἕκτωρ, ἡμῖν αὖτ' ἀναφαίνεται αἰπὺς ὄλεθρος}.
245 ἀλλ' ἄγ' ἀριστῆας Δαναῶν κάλει, ἤν τις ἀκούσηι."
  ὣς ἔφατ'· οὐδ' ἀπίθησε βοὴν ἀγαθὸς Μενέλαος,
ἤϋσεν δὲ διαπρύσιον Δαναοῖσι γεγωνώς·
"ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
οἵ τε παρ' Ἀτρείδηις, Ἀγαμέμνονι καὶ Μενελάωι,
250 δήμια πίνουσιν καὶ σημαίνουσιν ἕκαστος
λαοῖς, ἐκ δὲ Διὸς τιμὴ καὶ κῦδος ὀπηδεῖ—
ἀργαλέον δέ μοί ἐστι διασκοπιᾶσθαι ἕκαστον
ἡγεμόνων, τόσση γὰρ ἔρις πολέμοιο δέδηεν—
ἀλλά τις αὐτὸς ἴτω, νεμεσιζέσθω δ' ἐνὶ θυμῶι
255 Πάτροκλον Τρωιῆισι κυσὶν μέλπηθρα γενέσθαι."
  ὣς ἔφατ'· ὀξὺ δ' ἄκουσεν Ὀϊλῆος ταχὺς Αἴας,
πρῶτος δ' ἀντίος ἦλθε θέων ἀνὰ δηϊοτῆτα·
τὸν δὲ μέτ' Ἰδομενεὺς καὶ ὀπάων Ἰδομενῆος
Μηριόνης, ἀτάλαντος Ἐνυαλίωι ἀνδρειφόντηι·
260 τῶν δ' ἄλλων τίς κεν ἧισι φρεσὶν οὐνόματ' εἴποι,
ὅσσοι δὴ μετόπισθε μάχην ἤγειραν Ἀχαιῶν;
  Τρῶες δὲ προύτυψαν ἀολλέες· ἦρχε δ' ἄρ' Ἕκτωρ.
ὡς δ' ὅτ' ἐπὶ προχοῆισι διιπετέος ποταμοῖο
βέβρυχεν μέγα κῦμα ποτὶ ῥόον, ἀμφὶ δέ τ' ἄκραι

248 (–ἡγ.) sch P 220–32b **255**b cf. sch ζ 101 **260** Eudoc. 1166 **263–4** (–ῥόον) + **266** (–ἴσαν) sch Ξ 394–9; **263–4**a Porph. Hom. 127.11 Sod., Od. 47.4 Schr.; **263** (–διιπ.) sch A.R. 1.11; (προχ.) H. π 4090?

241 κορέει 230 sch^{D} Ω*: -έσει A H: -έση E F.—cf. ad Θ 379 **242** περιδείδια Hdn Z F T R, περὶ δ- A B: πέρι δ- Ω* **243** πέρι Z **244** damn. Payne Knight; fort. legit Pind. Nem. 10.9 αὖτ' 230 D *h* W: δ' αὖτ' Ω*: δ' αὖθ'(ι) van Leeuwen **249** Ἀτρεί–δηις 230^{c} Z Ω*, -δῃσ' R W (cf. E 552, H 373, 470): -δη(ι) 230^{a} 1397 D O καὶ Μενελά–ωι 1396 1398 Ω: ποιμένι λαῶν O (cf. B 254) **250** ἕκαστος 230^{c} Ω: -α Z A^{γρ} O V: -ω 230^{a} (omissis 251–2, mg. rest.) **252** ἕκαστον 230^{a} 1398 Ω: -α 230^{c} r **255** μέλπη–θρα Ω: -ητρα 230$^{?}$:]ηθρ̣α 1396,]θρα 1398: ἕλκηθρα Nauck, cf. ad N 233 **256** ἔφατ'· ὀξὺ δ' ἄκουσεν sch^{D} Ω: φάτο· τοῦ δ'⌋ ἤκουσεν 1397 H **259** ἀνδρειφόντη(ι) 1398 Ω*: ἀνδριφ- B^{c} C^{a} E^{a} T (cf. ad B 651, H 166) **260–1** ath. Zen, def. Ar **260** κεν ἧ(ι)σι A D T^{λ} W: κεν ἧ(ι)σιν ἐνὶ *b* F T G: χ' ἧσιν ἐνὶ A^{γρ} (κ' ἧισιν) R: κεν ἐνὶ t οὐνό–ματ' 1398^{s} t Ω*: ο̣υνυματ 1378^{t}: οὔνομα (Bentley, cf. Γ 235) W^{a} **262** προύτυψαν Z Ω: προέτ- Payne Knight.—cf. ad N 136, O 306 **263** διϊπετέος tt Z Ω: διειπ- Zeno–dorus.—v. ad Π 174 **264** βέβρυχεν h139^{β39} tt Z Ω: -ύχηι Arph ρρόον fere D *b* F T Y W δέ τ' ἄκραι Ω: malim δὲ μακραί (cf. A.R. 4.129, Q.S. 3.668)

265 ἠϊόνες βοόωσιν ἐρευγομένης ἁλὸς ἔξω,
τόσσηι ἄρα Τρῶες ἰαχῆι ἴσαν· αὐτὰρ Ἀχαιοί
ἔστασαν ἀμφὶ Μενοιτιάδηι ἕνα θυμὸν ἔχοντες,
φραχθέντες σάκεσιν χαλκήρεσιν. ἀμφὶ δ' ἄρά σφιν
λαμπρῆισιν κορύθεσσι Κρονίων ἠέρα πολλήν
270 χεῦ', ἐπεὶ οὐδὲ Μενοιτιάδην ἤχθαιρε πάρος γε,
ὄφρα ζωὸς ἐὼν θεράπων ἦν Αἰακίδαο,
μίσησεν δ' ἄρα μιν δηίων κυσὶ κύρμα γενέσθαι
{Τρωιῆισιν· τὼ καί οἱ ἀμυνέμεν ὦρσεν ἑταίρους}.
ὦσαν δὲ πρότεροι Τρῶες ἑλίκωπας Ἀχαιούς·
275 νεκρὸν δὲ προλιπόντες ὑπέτρεσαν· οὐδέ τιν' αὐτῶν
Τρῶες ὑπέρθυμοι ἕλον ἔγχεσιν, ἱέμενοί περ,
ἀλλὰ νέκυν ἐρύοντο. μίνυνθα δὲ καὶ τοῦ Ἀχαιοί
μέλλον ἀπέσσεσθαι· μάλα γάρ σφεας ὦκ' ἐλέλιξεν
Αἴας, ὃς περὶ μὲν εἶδος, περὶ δ' ἔργα τέτυκτο
280 τῶν ἄλλων Δαναῶν μετ' ἀμύμονα Πηλείωνα.
ἴθυσεν δὲ διὰ προμάχων συῒ εἴκελος ἀλκήν
καπρίωι, ὅς τ' ἐν ὄρεσσι κύνας θαλερούς τ' αἰζηούς
ῥηϊδίως ἐκέδασσεν ἑλιξάμενος διὰ βήσσας·
ὣς υἱὸς Τελαμῶνος ἀγαυοῦ φαίδιμος Αἴας
285 ῥεῖα μετεισάμενος Τρώων ἐκέδασσε φάλαγγας,
οἳ περὶ Πατρόκλωι βέβασαν, φρόνεον δὲ μάλιστα
ἄστυ πότι σφέτερον ἐρύειν καὶ κῦδος ἀρέσθαι.

265 Strab. 1.3.8; D.H. Comp. 90; [Plut.] Hom. 2.20.5; EtG s.v. ἐρεύγω; **265**a Arist. Poet. 1458b31; Phld. Poem. 2 p.141 Sb.; sch Ξ 394b; (ἠϊόνες) Apio 240.10; H. η 263; Orio 67 η 13; (βοό.) sch P 263c; **265**b Phld. Poem. 2 p.135 Sb.; sch Σ 580a[1] **268** (φραχ.) H. φ 850 **270** (ἐπεὶ–ἤχθ.) sch Π 567; (ἤχθ.) H. (Cyr.) η 1013/14 **272–3** sch Σ 356b; **272** sch Σ 168a; Porph. Il. 223.12 Schr.; (μίσ.) H. μ 1449 **275** (–ἐπέτρ.) Eudoc. 2015 **279–80** Iul. Or. 2.55a; **279** Aristid. Or. 3.471; **280**b Olymp. in Gorg. 221.26 W. **281–3** Eudoc. 1658–60; **283** (βήσσας) H. β 580 **287** (σφέτ.) id. σ 2879; Phot.

265 ἠϊόνες tt A^{λ} T^{λ} Ω: -νος N, nov. Eust. 1106.50 **266** Τρῶες ἰαχῆι ἴσαν t Ω* (Τρώων D): Τρώων ἰαχὴ γένετ' W (cf. Π 366) **268** φραχθέντες Ar 636 t Ω: ἀρθ- Zen ἀρά 1399 A^{a} σφιν 501b 1399 D T W: σφι Ω* **269** πολλήν 636 1399 Ω (cf. Γ 381, al.): πουλύν rr, praefert Eust. (cf. Ε 776, Θ 50) **270** ἤχθαιρε (nov. Did) t Ω*, -ερε Y: ἤχθηρε D R G: utrumque Hsch.: ἤχθεμέρος Z: ἔχθαιρε Ar: -ηρε *b* γε 636 1399 Ω: περ van Leeuwen.—cf. ad N 465 **273** damn. Koechly τὼ r: τῶ(ι) Ω ἑταίρους 636 1399 1401 t Ω: Ἀχαιούς (ex 274) $A^{\gamma\rho}$ **275** ὑπέτρεσαν Z Ω: ἐπ- t **277–577** desunt folia in A (suppl. m. rec.; non cito) **277** τοῦ 501b 636 1399 1401 Ω: τότ' Leaf **279** πέρι bis Z rr, περὶ ... πέρι W O ἔργα τέτυκτο Ar Z *b* F T: ἔργ' ἐτέτ- (nov. Did) tt Ω*.—v.l. eadem λ 550 **283** ἑλιξάμενος 636 Ω: ἀλυξά- t **287** πότι Wolf: ποτὶ vel ποτι Ω.—cf. Wack. KS 1195

ἤτοι τὸν Λήθοιο Πελασγοῦ φαίδιμος υἱός
Ἱππόθοος ποδὸς εἷλκε κατὰ κρατερὴν ὑσμίνην,
290 δησάμενος τελαμῶνι παρὰ σφυρὸν ἀμφὶ τένοντας,
Ἕκτορι καὶ Τρώεσσι χαριζόμενος· τάχα δ' αὐτῶι
ἦλθε κακόν, τό οἱ οὔ τις ἐρύκακεν ἱεμένων περ.
τὸν δ' υἱὸς Τελαμῶνος ἐπαΐξας δι' ὁμίλου
πλῆξ' αὐτοσχεδίην κυνέης διὰ χαλκοπαρήου·
295 ἤρικε δ' ἱπποδάσεια κόρυς περὶ δουρὸς ἀκωκῆι,
πληγεῖσ' ἔγχεΐ τε μεγάλωι καὶ χειρὶ παχείηι,
ἐγκέφαλος δὲ παρ' αὐλὸν ἀνέδραμεν ἐξ ὠτειλῆς
αἱματόεις. τοῦ δ' αὖθι λύθη μένος, ἐκ δ' ἄρα χειρῶν
Πατρόκλοιο πόδα μεγαλήτορος ἧκε χαμᾶζε
300 κεῖσθαι, ὃ δ' ἄγχ' αὐτοῖο πέσε πρηνὴς ἐπὶ νεκρῶι,
τῆλ' ἀπὸ Λαρίσης ἐριβώλακος, οὐδὲ τοκεῦσιν
θρέπτρα φίλοις ἀπέδωκε, μινυνθάδιος δέ οἱ αἰών
ἔπλεθ' ὑπ' Αἴαντος μεγαθύμου δουρὶ δαμέντι.
Ἕκτωρ δ' αὖτ' Αἴαντος ἀκόντισε δουρὶ φαεινῶι·
305 ἀλλ' ὃ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος
τυτθόν, ὃ δὲ Σχεδίον μεγαθύμου Ἰφίτου υἱόν,
Φωκήων ὄχ' ἄριστον, ὃς ἐν κλειτῶι Πανοπῆϊ
οἰκία ναιετάασκε πολέσσ' ἄνδρεσσιν ἀνάσσων,
τὸν βάλ' ὑπὸ κληῖδα μέσην, διὰ δ' ἀμπερὲς ἄκρη
310 αἰχμὴ χαλκείη παρὰ νείατον ὦμον ἀνέσχεν·
δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῶι.
Αἴας δ' αὖ Φόρκυνα δαΐφρονα Φαίνοπος υἱόν
Ἱπποθόωι περιβάντα μέσην κατὰ γαστέρα τύψεν·
ῥῆξε δὲ θώρηκος γύαλον, διὰ δ' ἔντερα χαλκός
315 ἤφυσ'· ὃ δ' ἐν κονίηισι πεσὼν ἕλε γαῖαν ἀγοστῶι.

Lex. s.v. **291** (–χαρ.) Arn ad O 449–51a **295** (–κόρυς) ApS 158.16; (ἤρικε) id. 84.29; H. η 782; (ἱπποδ.) ApS 92.10 **297** (–ἀνέδρ.) H. ε 219; (αὐλόν) id. α 8310 **301**a Strab. 13.3.2 **304**–7a sch N 643a; **306** (ὃ δὲ–)–7a sch O 515b; **306** (Σχ.–) sch B 517d; **307**b Arn ad B 520 **312** (–δαΐφρ.) Choer. in Thd. i.270.11; (Φόρκ.) Hdn ad P 218a[1] **314** (–γύ.) ApS 89.15

289 εἷλκε Ω: ἕλκε *h*.—cf. ad N 383 **290** τένοντας Ω*: -ντε F G.—cf. ad Π 587 **292** ἱεμένων Ar Ω*: -νω(ι) (nov. Did) D Tλ R G.—cf. ad O 450 **293** ἐπαΐξας 636 Ω: ἀπ- *h* **295** ἤρικε 636 tt sch[D] Ω*: -πε T R[a]? **296** ἔγχεΐ vel -εϊ Ω **301** Λαρίσης 636 Z D F[a] T Tλ: -ίσσης t Ω*.—cf. ad B 841 **302** θρέπτρα (Ar) 636 Z Ω*: -πτα *h* W.—cf. ad Δ 478 **304** δ' αὖτ' 636 t Ω*: αὖτ' rr: δ' αὖ B C: δ' ἄντ' V **306** Σχεδίον (Hdn) Ω: proparox. *h* **307** Φωκήων 636 tt Ω: -είων ApH[γρ] ap. Eust. **308** ναιετάασκε 636 Ω*: -άεσκε G **312** δ' αὖ 636 t Ω: αὖ? Nauck

χώρησαν δ' ὑπό τε πρόμαχοι καὶ φαίδιμος Ἕκτωρ·
Ἀργεῖοι δὲ μέγα ἴαχον, ἐρύσαντο δὲ νεκρούς,
Φόρκυν θ' Ἱππόθοόν τε, λύοντο δὲ τεύχε' ἀπ' ὤμων.
ἔνθά κεν αὖτε Τρῶες ἀρηϊφίλων ὑπ' Ἀχαιῶν
320 Ἴλιον εἰσανέβησαν ἀναλκίῃσι δαμέντες,
Ἀργεῖοι δέ κε κῦδος ἕλον καὶ ὑπὲρ Διὸς αἶσαν
κάρτεϊ καὶ σθένεϊ σφετέρωι· ἀλλ' αὐτὸς Ἀπόλλων
Αἰνείαν ὤτρυνε, δέμας Περίφαντι ἐοικώς
κήρυκ' Ἠπυτίδηι, ὅς οἱ παρὰ πατρὶ γέροντι
325 κηρύσσων γήρασκε, φίλα φρεσὶ μήδεα εἰδώς·
{τῶι μιν ἐεισάμενος προσέφη Διὸς υἱὸς Ἀπόλλων·}
"Αἰνεία, πῶς ἂν καὶ ὑπὲρ θεὸν εἰρύσσαισθε
Ἴλιον αἰπεινήν; ὡς δὴ ἴδον ἀνέρας ἄλλους
κάρτεΐ τε σθένεΐ τε πεποιθότας ἠνορέηι τε
330 πλήθεΐ τε σφετέρωι καὶ ὑπερδέα δῆμον ἔχοντας.
ἡμῖν δὲ Ζεὺς μὲν πολὺ βούλεται ἢ Δαναοῖσιν
νίκην· ἀλλ' αὐτοὶ τρεῖτ' ἄσπετον οὐδὲ μάχεσθε."
ὣς ἔφατ'· Αἰνείας δ' ἑκατηβόλον Ἀπόλλωνα
ἔγνω ἐσάντα ἰδών, μέγα δ' Ἕκτορα εἶπε βοήσας·
335 "Ἕκτορ τ' ἠδ' ἄλλοι Τρώων ἀγοὶ ἠδ' ἐπικούρων,
αἰδὼς μὲν νῦν ἧδέ γ', ἀρηϊφίλων ὑπ' Ἀχαιῶν
Ἴλιον εἰσαναβῆναι ἀναλκίῃσι δαμέντας.
ἀλλ' ἔτι γάρ τίς φησι θεῶν ἐμοὶ ἄγχι παραστάς
Ζῆν' ὕπατον μήστωρα μάχης ἐπιτάρροθον εἶναι·
340 τώ ῥ' ἰθὺς Δαναῶν ἴομεν, μηδ' οἵ γε ἕκηλοι

318a Choer. in Thd. i.270.12 **322** al. (σφετ.) Phot. Lex. s.v. **324**a Hdn ii.9.26 et ad K 258e; Choer. in Thd. i.295.15; Epm. κ 26; (Ἠπ.) H. η 711 **327** (ὑπὲρ θεόν) id. υ 401; Phot. Lex. s.v. **329–30** Eudoc. 1849–50; **330** sch Thuc. 4.10.5; **330**b Hdn i.521.11; H. υ 361; (ὑπερδ.) ApS 159.10; Phot. Lex. s.v. **333** (Αἰν.–)–4b sch A 199–200

316 (= Δ 505, Π 588) om. T **317** μέγα B E T G[a]: μέγ' Ω* **318** Φόρκυν θ' t Ω*: -υνά θ' G: -υν F[a] N, -υν' H.—cf. ad 218 **319** ἔνθά sic Ω (ἐνθά E) **320** ἀναλκίη(ι)σι ApH[γρ] ap. Eust. Ω*: -κεί- 43 F T R W.—cf. ad Z 74 **322** κάρτεϊ sic Ω (κρά- F) **324** κήρυκ' Turnebus: -υκι tt (pro dactylo, perperam) Z Ω.—cf. ad Γ 349, H 272 **326** deest in 43 230: hab. 636 Ω Διὸς υἱὸς 636 Ω*: ἑκάεργος D H.—cf. ad H 23, O 253 **327** εἰρύσσαισθε 43 Ω*: -ύσαισθε 636 W[s] G: -ύσεσθε D R: ἐ ί ρύσασθε W[t]: ἐρύσσασθε T **329** κάρτεΐ vel -εϊ Z Ω (κρά- F) **330** πλήθεΐ vel -εϊ 230 Ω ὑπερδέα 43 230 tt sch[D] Ω (-δεᾶ Z F[c], -δεὰ C E): ὑπὲρ Δία Brocks (cf. 321, 327) **331** ἡμῖν 230 636 Ω*: ὑμῖν W O **334** βοήσας 230 636 Ω* G[γρ]: παραστάς 233 *b* G (ex N 725 al.; cf. 338) **335** Ἕκτόρ W **336** ἧδέ vel ἧδε D *b* T[a] G[a]:]δέ 230 **337** ἀναλκίη(ι)σι Ω* G[s]: -κεί- 230 D F T G.—cf. ad 320 **339** Ζῆν D: cf. ad Θ 22 **340** τώ N: τῶ(ι) Ω

Πάτροκλον νηυσὶν πελασαίατο τεθνηῶτα."
ὣς φάτο, καί ῥα πολὺ προμάχων ἐξάλμενος ἔστη·
οἳ δ' ἐλελίχθησαν καὶ ἐναντίοι ἔσταν Ἀχαιῶν.
ἔνθ' αὖτ' Αἰνείας Λειώκριτον οὔτασε δουρί,
345 υἱὸν Ἀρίσβαντος, Λυκομήδεος ἐσθλὸν ἑταῖρον.
τὸν δὲ πεσόντ' ἐλέησεν ἀρηΐφιλος Λυκομήδης,
στῆ δὲ μάλ' ἐγγὺς ἰών, καὶ ἀκόντισε δουρὶ φαεινῶι,
καὶ βάλεν Ἱππασίδην Ἀπισάονα ποιμένα λαῶν
ἧπαρ ὑπὸ πραπίδων, εἶθαρ δ' ὑπὸ γούνατ' ἔλυσεν,
350 ὅς ῥ' ἐκ Παιονίης ἐριβώλακος εἰληλούθει
καὶ δὲ μετ' Ἀστεροπαῖον ἀριστεύεσκε μάχεσθαι.
τὸν δὲ πεσόντ' ἐλέησεν ἀρήϊος Ἀστεροπαῖος,
ἴθυσεν δὲ καὶ ὅ πρόφρων Δαναοῖσι μάχεσθαι·
ἀλλ' οὔ πως ἔτι εἶχε, σάκεσσι γὰρ ἔρχατο πάντηι
355 ἑσταότες περὶ Πατρόκλωι, πρὸ δὲ δούρατ' ἔχοντο.
Αἴας γὰρ μάλα πάντας ἐπώιχετο πολλὰ κελεύων·
οὔτέ τιν' ἐξοπίσω νεκροῦ χάζεσθαι ἀνώγει
οὔτέ τινα προμάχεσθαι Ἀχαιῶν ἔξοχον ἄλλων,
ἀλλὰ μάλ' ἀμφ' αὐτῶι βεβάμεν σχεδόθεν τε μάχεσθαι.
360 ὣς Αἴας ἐπέτελλε πελώριος· αἵματι δὲ χθὼν
δεύετο πορφυρέωι, τοὶ δ' ἀγχηστῖνοι ἔπιπτον
νεκροί, ὁμοῦ Τρώων καὶ ὑπερμενέων ἐπικούρων
καὶ Δαναῶν· οὐδ' οἳ γὰρ ἀναιμωτεί γ' ἐμάχοντο,
παυρότεροι δὲ πολὺ φθίνυθον, μέμνηντο γὰρ αἰεί
365 ἀλλήλοις καθ' ὅμιλον ἀλεξέμεναι φόνον αἰπύν.
ὣς οἳ μὲν μάρναντο δέμας πυρός· οὐδέ κε φαίης
οὔτέ ποτ' ἠέλιον σόον ἔμμεναι οὔτε σελήνην,

357 (χάζ.) H. χ 8 **359** EtG β 79; **359**a ApS 50.33; (βεβ.) H. β 403 **361**b–**2** (–Τρώων καὶ Ἀχαιῶν) ApS 5.20 **363** (ἀναιμ.) H. (Cyr.) α 4329 **366** (οὐδέ–)–**8**a [Plut.] Hom. 2.108.2; **368**a Hdn ad T 87a

341 τεθνηῶτα 43 233 Ω*: -θνει- 230 D B[c] C E[s] F G **342** προμάχων 230 Ω: πρὸ φίλων *b* **344** Λειώκριτον Ω* T[s]: Λειό- D T[t] **346** ἀρηΐφιλος 43 230 Ω: φιλοπτόλεμος N[γρ] Λυκομήδης Ω: Μενέλαος 230 *b* (ex E 561) **348** Ἀπισάονα 43 230 Ω (cf. Λ 578): Ἀμυθάονα rr **349** (damn. Payne Knight) om. R[a] rr: hab. 43 230 Ω* **354** εἶχε 43 77 Ω: εἶκε Brandreth (cf. ad H 217) **357** et **358** οὔτέ sic Ω **359**–Σ 192 deest D τε 43 t *b* F T: δὲ R W G **361** τοὶ Ω: οἳ t ἀγχηστῖνοι 43 77 t *b* F[c?] T[c] R[s] W: -ιστῆνοι T[a] R G: -ιστῖνοι C[c] F[a]?: -ιστειῖνοι Z.—cf. Praef. xxix **363** ἀναιμωτεί 43 W[a] rr: -τί 77 (αναίμ-) t Z Ω* γε μάχοντο B E F T W **364–5** ath. Zen, debuit et 363 **365** καθ' Ω: ἀν' 43 1402 1403 *b* φόνον 43 sch[T] *b* F T G: πόνον 230 R W, deprec. sch[T] (Did?) **367** οὔτέ sic Z Ω (οὐτέ E), ουτε[1403: οὐδέ t ποτ' 43 t Z Ω: malim τότ' vel που σόον 43 77[uv] t Z Ω: σῶν M N: σάον Payne Knight.—cf. ad A 117 οὐδὲ t[vl]

ἠέρι γὰρ κατέχοντο †μάχης ἐπί θ'† ὅσσοι ἄριστοι
ἕστασαν ἀμφὶ Μενοιτιάδηι κατατεθνηῶτι.
370 οἱ δ' ἄλλοι Τρῶες καὶ ἐϋκνήμιδες Ἀχαιοί
εὔκηλοι πολέμιζον ὑπ' αἰθέρι, πέπτατο δ' αὐγή
ἠελίου ὀξεῖα, νέφος δ' οὐ φαίνετο πάσης
γαίης οὐδ' ὀρέων. μεταπαυόμενοι δ' ἐμάχοντο,
ἀλλήλων ἀλεείνοντες βέλεα στονόεντα,
375 πολλὸν ἀφεσταότες· τοὶ δ' ἐν μέσωι ἄλγε' ἔπασχον
ἠέρι καὶ πολέμωι, τείροντο δὲ νηλέϊ χαλκῶι,
ὅσσοι ἄριστοι ἔσαν. δύο δ' οὔ πω φῶτε πεπύσθην,
ἀνέρε κυδαλίμω, Θρασυμήδης Ἀντίλοχός τε,
Πατρόκλοιο πεσόντος ἀμύμονος, ἀλλ' ἔτ' ἔφαντο
380 ζωὸν ἐνὶ πρώτωι ὁμάδωι Τρώεσσι μάχεσθαι.
τὼ δ' ἐπιοσσομένω θάνατον καὶ φύζαν ἑταίρων
νόσφιν ἐμαρνάσθην, ἐπεὶ ὣς ἐπετέλλετο Νέστωρ,
ὀτρύνων πόλεμόνδε μελαινάων ἀπὸ νηῶν.
τοῖς δὲ πανημερίοις ἔριδος μέγα νεῖκος ὀρώρει
385 ἀργαλέης· καμάτωι δὲ καὶ ἱδροῖ νωλεμὲς αἰεί
γούνατά τε κνῆμαί τε πόδες θ' ὑπένερθεν ἑκάστου
χεῖρές τ' ὀφθαλμοί τε παλάσσετο μαρναμένοισιν
ἀμφ' ἀγαθὸν θεράποντα ποδώκεος Αἰακίδαο.
ὡς δ' ὅτ' ἀνὴρ ταύροιο βοὸς μεγάλοιο βοείην
390 λαοῖσιν δώηι τανύειν, μεθύουσαν ἀλοιφῆι,
δεξάμενοι δ' ἄρα τοί γε διαστάντες τανύουσιν
κυκλόσ', ἄφαρ δέ τε ἰκμὰς ἔβη, δύνει δέ τ' ἀλοιφή
πολλῶν ἑλκόντων, τάνυται δέ τε πᾶσα διάπρο,

370a + **371**a sch P 368d; **371**a EtG s.v. εὔκηλος **373**b sch^{D} P 371 **374** ApD Synt. 60.5 **375** Eudoc. 1756 **385** (καμ.–)–**6** (–παλ.) Porph. Il. 331.21 Schr.; **385** (καμ.–) Choer. in Thd. i.248.38 **387**a Epm. χ 30 **389–95**a Porph. Il. 267.11 Schr.; **390** (μεθ.–) ApS 110.14; H. μ 574; **391** Eudoc. 1873; **392** (ἰκμάς) H. (Cyr.) ι 479; Orio 77.7

368 μάχης ἐπί 43 (επει) 77 (έπι) sch^{A} Ω* (ἔπι T, contra monet sch^{T}): μάχηι ἔνι Arph: μάχηι ἔπι (cf. sch^{bT}) *b*, μάχη ἐπεί W: exspectaveris e.g. ὀμίχληι (cf. 649) θ' ὅσσοι (Arph?) 43 sch^{bT} Ω*,]ι 230 (cf. 377): θ' ὅσσον (Ar) sch^{AT} R^{a}: τόσσον Zen **369** κατα–τεθνηῶτι 43$^{?}$ Ω*: -θνει- 230 B C E^{s} F^{s} G (-ῶτα) **373** δὲ μάχοντο F T W **375** τοὶ 230 Ω: οι 43 1404 **379** πεσόντος 233 *b* (cf. 10): θανόντος 230 Ω*.—cf. ad H 476 **383** ἀπὸ 1405 Ω: ε]πι 230 **384** ορωρεν 1405 **385** ἱδρόϊ Brandreth (praestat -οῖ, cf. 745; Chantr. I 211): ἱδρῶ(ι) tt Ω **387** μαρναμένοισιν *b* F W: -οιϊν Ar(?) *b* T R G (-νοϊν) **392** κυκλόσ' Ptol Hdn 1394 sch^{D} Ω*: κύκλος Ar (cl. O 305) Y: -ωι Zen.—cf. ad Δ 212 δύνη Z Y R **393** διάπρο dedi (Praef. xix): διὰ πρὸ G, διαπρὸ Ω*

ὣς οἵ γ' ἔνθα καὶ ἔνθα νέκυν ὀλίγηι ἐνὶ χώρηι
395 εἵλκεον ἀμφότεροι· μάλα δέ σφισιν ἔλπετο θυμός,
Τρωσὶν μὲν ἐρύειν προτὶ Ἴλιον, αὐτὰρ Ἀχαιοῖς
νῆας ἔπι γλαφυράς. περὶ δ' αὐτοῦ μῶλος ὀρώρει
ἄγριος· οὐδέ κ' Ἄρης λαοσσόος οὐδέ κ' Ἀθήνη
τόν γε ἰδοῦσ' ὀνόσαιτ', οὐδ' εἰ μάλα μιν χόλος ἵκοι.
400 τοῖον Ζεὺς ἐπὶ Πατρόκλωι ἀνδρῶν τε καὶ ἵππων
ἤματι τῶι ἐτάνυσσε κακὸν πόνον· οὐδ' ἄρα πώ τι
εἴδεε Πάτροκλον τεθνηότα δῖος Ἀχιλλεύς.
πολλὸν γάρ ῥ' ἀπάνευθε νεῶν μάρναντο θοάων,
τείχει ὕπο Τρώων· τό μιν οὔ ποτε ἔλπετο θυμῶι
405 τεθνάμεν, ἀλλὰ ζωὸν ἐνιχριμφθέντα πύλῃσιν
ἂψ ἀπονοστήσειν, ἐπεὶ οὐδὲ τὸ ἔλπετο πάμπαν,
ἐκπέρσειν πτολίεθρον ἄνευ ἕθεν, οὐδὲ σὺν αὐτῶι.
πολλάκι γὰρ τό γε μητρὸς ἐπεύθετο νόσφιν ἀκούων,
ἥ οἱ ἀπαγγέλλεσκε Διὸς μεγάλοιο νόημα·
410 δὴ τότε γ' οὔ οἱ ἔειπε κακὸν τόσον, ὅσσον ἐτύχθη,
μήτηρ, ὅττί ῥά οἱ πολὺ φίλτατος ὤλεθ' ἑταῖρος.
οἳ δ' αἰεὶ περὶ νεκρὸν ἀκαχμένα δούρατ' ἔχοντες
νωλεμὲς ἐγχρίμπτοντο καὶ ἀλλήλους ἐνάριζον.
ὧδε δέ τις εἴπεσκεν Ἀχαιῶν χαλκοχιτώνων·
415 "ὦ φίλοι, οὐ μὰν ἧμιν ἐϋκλεὲς ἀπονέεσθαι
νῆας ἔπι γλαφυράς, ἀλλ' αὐτοῦ γαῖα μέλαινα
πᾶσι χάνοι· τό κεν ἧμιν ἄφαρ πολὺ κέρδιον εἴη,
εἰ τοῦτον Τρώεσσι μεθήσομεν ἱπποδάμοισιν
ἄστυ πότι σφέτερον ἐρύσαι καὶ κῦδος ἀρέσθαι."

394 (ὀλίγηι–) H. ο 537 **395a** Choer. in Thd. ii.47.30; (εἵλκ.) Hdn ad N 543a[1] **397** (μῶλος) ApS 114.19; H. (Cyr.) μ 2035 **399b** ApD Pron. 84.28 **405** (ζωὸν–) Did ad P 413 **408** (ἐπεύθ.) cf. H. ε 5573 **415** Epm. η 19 **417** (τό κεν–λώϊον) sch A 349c **419** (ἐρύσαι) Apio 237.20; H. ε 6104

395 εἵλκεον Ar(?) 1394 tt* Ω*, εἷλκον Porph.: ἕλκεον W ἔλπετο Ω*: ἤλπ- Y, ἤλπ- G H **396** μὲν Y W: μέν ῥ' *b* F T R G ποτὶ rr **397** ἔπι Wolf, ἐπὶ vel ἐπι Ω*: ἀνὰ (nov. Eust.) Y R G^{γρ}.—cf. ad K 389, P 453 μῶλος tt sch^{D} Ω*: νεῖκος (et 398 ἄγριον) C **402** εἴδεε Platt: ἤ(ι)δεε Ω τεθνηότα B E T: -ειότα C E^{s} F W, -ειῶτα R G **403** γάρ ῥ' Ω: γὰρ *h*.—cf. ad Ξ 30 **404–25** om. Zen **404** ὕπο r: ὑπὸ Ω **406** ἤλπετο H **408** τό γε *b* F T G$^{c?}$: τόδε R W ἀκούων 1406^{t} Ω*: -ειν B C: -σας 230 1406^{s} **410** οὐκ ἔστι περισσός sch^{T} (cl. E 53), nimirum grammatico alicui contradicens **411** obelum praefigit G, del. Payne Knight (cf. 655) **413** ἐγχρίμπτοντο E^{s} T^{λ} *h* G, ἐνχρίπτ- h139^{E445} quidam ap. sch^{T}: ἐχρίμπτ- Ω* **415** μὰν 230 t Ω: μὴν 230^{s} N^{c} ὔμμιν N **416** ἔπι Wolf: ἐπὶ vel ἐπι Ω **419** πότι P: ποτὶ vel ποτι Ω.—v. ad 287 ἐρύσαι tt Ω: -ύειν H

420 ὣς δέ τις αὖ Τρώων μεγαθύμων αὐδήσασκεν·
“ὦ φίλοι, εἰ καὶ μοῖρα παρ’ ἀνέρι τῶιδε δαμῆναι
πάντας ὁμῶς, μή πώ τις ἐρωείτω πολέμοιο.”
ὣς ἄρα τις εἴπεσκε, μένος δ’ ὄρσασκεν ἑκάστου.
ὣς οἱ μὲν μάρναντο, σιδήρειος δ’ ὀρυμαγδός
425 χάλκεον οὐρανὸν ἷκε δι’ αἰθέρος ἀτρυγέτοιο.
ἵπποι δ’ Αἰακίδαο μάχης ἀπάνευθεν ἐόντες
κλαῖον, ἐπεὶ δὴ πρῶτα πυθέσθην ἡνιόχοιο
ἐν κονίηισι πεσόντος ὑφ’ Ἕκτορος ἀνδροφόνοιο.
ἦ μὰν Αὐτομέδων, Διώρεος ἄλκιμος υἱός,
430 πολλὰ μὲν ἂρ μάστιγι θοῆι ἐπεμαίετο θείνων,
πολλὰ δὲ μειλιχίοισι προσηύδα, πολλὰ δ’ ἀρειῆι·
τὼ δ’ οὔτ’ ἂψ ἐπὶ νῆας ἐπὶ πλατὺν Ἑλλήσποντον
ἠθελέτην ἰέναι, οὔτ’ ἐς πόλεμον μετ’ Ἀχαιούς,
ἀλλ’ ὥς τε στήλη μένει ἔμπεδον, ἥ τ’ ἐπὶ τύμβωι
435 ἀνέρος ἑστήκηι τεθνηότος ἠὲ γυναικός,
ὣς μένον ἀσφαλέως περικαλλέα δίφρον ἔχοντες,
οὔδει ἐνισκίμψαντε καρήατα, δάκρυα δέ σφιν
θερμὰ κατὰ βλεφάρων χαμάδις ῥέε μυρομένοισιν
ἡνιόχοιο πόθωι· θαλερὴ δ’ ἐμιαίνετο χαίτη
440 ζεύγλης ἐξεριποῦσα παρὰ ζυγὸν ἀμφοτέρωθεν.
μυρομένω δ’ ἄρα τώ γε ἰδὼν ἐλέησε Κρονίων,

421 (εἰ–τῶιδε) sch P 240–3 **424–5** [Plut.] Hom. 2.95.2; Anon. in Stob. 1.22.2; **424**b–**5** Porph. Hom. 25.17 Sod.; **424**b sch A.R. 2.115; H. σ 595; **425** Eudoc. 268; (χάλκ. οὐρ.) Procl. in Crat. 77.1; id. in Remp. i.127.2; id. in Tim. i.143.9 **427** sch Π 245a **429**b Hdn ii.493.20 **431** ApS 42.16; sch [Aesch.] Prom. 172; (ἀρειῆι) H. (Cyr.) α 7108 **432** (πλατ.–) ApS 132.8; H. π 2492 **434** (–ἔμπ.) sch Theoc. 2.110c; (ἥ τ’–)–**435** sch α 1 (p.6.19 Ludw.) **437–8** Eudoc. 2103–4; **437** (ἐνισκ.) H. ε 3125 **439** (χαίτη) id. χ 26

420 ath. Ar (hunc solum teste sch[T] ad 404–25; 420–3 ci. Heyne, 420–2 van Leeuwen) ὣς δέ 234 Ω* (ὦς E F[a]): ὧδ̣ε 230 V: ὧδε δέ W.—cf. ad T 153 **422** πω Ω*: που G: πως *b* **423** ὄρσασκεν 230 1407 Ω*: ὤρσ- C R ἑκάστου Ω*: ἕκαστος C: ἑταίρου G[γρ] **424** ὀρυγμαδός B[a] C F[a] R G **429** Αὐτομέδων γε G O **431** προσηύδα t* fere Ω (μετ- W ut solet),]δα 230: κελεύων ApS **434** μένηι Wecklein SBAW 1908(2).64 **435** ἑστήκη(ι) 230 r (ci. Hermann Opusc. II 43): -κει Ω (εἱστ- C W).—cf. χ 469[vl] τεθνηότος B E T W, -ηῶ- R: -ειό- C E[s] F, -ειῶ- G **436** ἔχοντες B R W G: -ντε C E F T **437** ἐνὶ vel ἐνισκίμψαντε tt Z Ω*: -σκήψ- T G σφιν *b* G: σφι t Ω* **438** μυρομένοισιν (t) Ω: -οιϊν H rr.—cf. ad 387, 441 **439** πόθω(ι) Ω: ποθῆ V rr δ’ ἐμιαίνετο W G N: δὲ μ- Ω* **440** ἀμφοτέρωθ̣εν 230 R G[γρ], agn. Eust. 1113.11: -ωσε *b* T W: -οισι(ν) *b* F T[gl] G.—cf. ad O 669 **441** μυρομένω δ’ ἄρα τώ F R W: -νους … τούς (= T 340) *b* T G

κινήσας δὲ κάρη προτὶ ὃν μυθήσατο θυμόν·
“ἆ δειλώ, τί σφῶϊ δόμεν Πηλῆϊ ἄνακτι
θνητῶι, ὑμεῖς δ᾽ ἐστὸν ἀγήρω τ᾽ ἀθανάτω τε;
445 ἦ ἵνα δυστήνοισι μετ᾽ ἀνδράσιν ἄλγε᾽ ἔχητον;
οὐ μὲν γάρ τί πού ἐστιν ὀϊζυρώτερον ἀνδρός
πάντων, ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει.
ἀλλ᾽ οὐ μὰν ὑμῖν γε καὶ ἅρμασι δαιδαλέοισιν
Ἕκτωρ Πριαμίδης ἐποχήσεται· οὐ γὰρ ἐάσω.
450 ἦ οὐχ ἅλις, ὡς καὶ τεύχε᾽ ἔχει καὶ ἐπεύχεται αὔτως;
σφῶϊν δ᾽ ἐν γούνεσσι βάλω μένος ἠδ᾽ ἐνὶ θυμῶι,
ὄφρα καὶ Αὐτομέδοντα σαώσετον ἐκ πολέμοιο
νῆας ἔπι γλαφυράς. ἔτι γάρ σφισι κῦδος ὀρέξω,
454 κτείνειν, εἰς ὅ κε νῆας ἐϋσσέλμους ἀφίκωνται.”
456 ὣς εἰπὼν ἵπποισιν ἐνέπνευσεν μένος ἠΰ·
τὼ δ᾽ ἀπὸ χαιτάων κονίην οὖδάσδε βαλόντε
ῥίμφ᾽ ἔφερον θοὸν ἅρμα μετὰ Τρῶας καὶ Ἀχαιούς,
τοῖσι δ᾽ ἔπ᾽ Αὐτομέδων μάχετ᾽ ἀχνύμενός περ ἑταίρου,
460 ἵπποις ἀΐσσων ὥς τ᾽ αἰγυπιὸς μετὰ χῆνας.
ῥέα μὲν γὰρ φεύγεσκεν ὕπεκ Τρώων ὀρυμαγδοῦ,
ῥεῖα δ᾽ ἐπαΐξασκε πολὺν καθ᾽ ὅμιλον ὀπάζων.
ἀλλ᾽ οὐχ ᾕρει φῶτας, ὅτε σεύαιτο διώκειν·
οὐ γάρ πως ἦν οἶον ἐόνθ᾽ ἱερῶι ἐνὶ δίφρωι

442 Eudoc. 1336 **443–4** ‘Hdn.’ Fig. 62; **443** (ἆ δειλώ) Apio 210.8; H. α [1035], 1041; **444** (ὑμεῖς–) Did ad B 447b/c **446–7** [Pl.] Axioch. 367d; Plut. Mor. 496b; Eudoc. 1183–4; Stob. 4.34.47; **446**b–**7** Dio Prus. 33.1; Plut. Mor. 500b; **447** (ὅσσα–) Iul. Or. 2.130b; Eudoc. 20; sch Soph. Tr. 1160; (ἕρπ.) H. (Cyr.) ε 5989 **448–9** ‘Hdn.’ Fig. 36 **450** ApS 170.14 **452** Hdn ad Θ 18b^{1} **453**b ApD Pron. 98.15; Hdn ad Δ 2c **461** sch Heph. 321.21 **464** (ἱερῶι) Phot. Lex. ι 66

444 ἀγήρω tt Ω: v. ad M 323 **445** ἦ F^{s} W^{a}: ἢ Ω* ἔχητον 230 Ω: -τε *h* **446** που tt* Ω: ποτ᾽ [Plato] Stob. **447** ὅσσά B^{a} C E F T R^{c} W G ἔπι r: ἐπὶ vel ἐπι Z Ω **449** οὐ γὰρ ἐάσω 230 t Ω: οὐδέ τις ἄλλος quidam ap. sch^{T} (ἵνα μὴ ζητῶμεν τοὺς ἵππους: contradixerunt alii) V rr **450** ἦ B^{x} F^{s} T W^{a}: ἢ Ω* ἐπεύχεται 230^{s} Ω: ἀγάλλεται 230^{t} t (cf. 473, Σ 132) **451** βάλω *b* F R G, βάλλω T: βαλῶ W **453** ἔπι Wolf: ἐπὶ vel ἐπι 1409 Ω*: ἀνὰ R.—cf. ad 397 σφισι tt Ω: σφι(ν) *h* **455** (= Λ 194) add. C^{2} F T R^{m} W G: deest in 230 1409 *b* R^{t} O **456** ἐνέπνευσεν μένος ἠΰ Ar 230 1409 1410 Ω (cf. Ω 442): μένος πολυθαρσὲς ἐνῆκεν, | αὐτὸς δ᾽ Οὔλυμπόνδε μετ᾽ ἀθανάτοισι βεβήκει Zen (-άτους ἐβεβήκει La Roche) **458** ῥίμφ᾽ ἔφερον (= Λ 533) 230 Ω* T^{γρ}: ῥίμφα φ- F T R **459** ἔπ᾽ r: ἐπ᾽ Ω **461** ῥέα ‘omnes’ Didymi 1406 t B E F T G: ῥεῖα 1409 (om. γὰρ) *h* C R W ὕπεκ dedi (Praef. xix): ὑπ᾽ ἐκ fere Ω (ὑπὲκ B^{c}, ὑπεκ C) ὀρυγμα–δοῦ C F^{a} R G **462** ἐπαΐξασκε 1409 Ω*: -εσκε *b* **463** ὅτε σεύαιτο rr, -ετο Z: ὅτ᾽ ἐσσ- Ω (-αιτο W: -ετο T R G: -ατο F: -οντο *b*)

465 ἔγχει ἐφορμᾶσθαι καὶ ἐπίσχειν ὠκέας ἵππους.
ὀψὲ δὲ δή μιν ἑταῖρος ἀνὴρ ἴδεν ὀφθαλμοῖσιν,
Ἀλκιμέδων, υἱὸς Λαέρκεος Αἱμονίδαο.
στῆ δ' ὄπιθεν δίφροιο καὶ Αὐτομέδοντα προσηύδα·
"Αὐτόμεδον, τίς τοί νυ θεῶν νηκερδέα βουλὴν
470 ἐν στήθεσσιν ἔθηκε, καὶ ἐξέλετο φρένας ἐσθλάς,
οἷον πρὸς Τρῶας μάχεαι πρώτωι ἐν ὁμίλωι
μοῦνος, ἀτάρ τοι ἑταῖρος ἀπέκτατο, τεύχεα δ' Ἕκτωρ
αὐτὸς ἔχων ὤμοισιν ἀγάλλεται Αἰακίδαο;"
τὸν δ' αὖτ' Αὐτομέδων προσέφη Διώρεος υἱός·
475 "Ἀλκίμεδον, τίς τάρ τοι Ἀχαιῶν ἄλλος ὁμοῖος
ἵππων ἀθανάτων ἐχέμεν δμῆσίν τε μένος τε;
εἰ μὴ Πάτροκλος θεόφιν μήστωρ ἀτάλαντος
ζωὸς ἐών· νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει.
ἀλλὰ σὺ μὲν μάστιγα καὶ ἡνία σιγαλόεντα
480 δέξαι, ἐγὼ δ' ἵππων ἀποβήσομαι, ὄφρα μάχωμαι."
ὣς ἔφατ', Ἀλκιμέδων δὲ βοηθόον ἅρμ' ἐπορούσας
καρπαλίμως μάστιγα καὶ ἡνία λάζετο χερσίν,
Αὐτομέδων δ' ἀπόρουσε. νόησε δὲ φαίδιμος Ἕκτωρ,
αὐτίκα δ' Αἰνείαν προσεφώνεεν ἐγγὺς ἐόντα·
485 "Αἰνεία, Τρώων βουληφόρε χαλκοχιτώνων,
ἵππω τώδ' ἐνόησα ποδώκεος Αἰακίδαο
ἐς πόλεμον προφανέντε σὺν ἡνιόχοισι κακοῖσιν.
τώ κεν ἐελποίμην αἱρησέμεν, εἰ σύ γε θυμῶι
σῶι ἐθέλοις, ἐπεὶ οὐκ ἂν ἐφορμηθέντέ γε νῶϊ
490 τλαῖεν ἐναντίβιον στάντες μαχέσασθαι ἄρηϊ."
ὣς ἔφατ'· οὐδ' ἀπίθησεν ἐῢς πάϊς Ἀγχίσαο.

465 (ἐπισχ.) H. ε 5278 **466** Eudoc. 817, cf. 748, 2279 **469** (Αὐτόμ.) Hdn ad Γ 182b; (νηκ.) H. (Cyr.) ν 463; cf. Phot. Lex. s.v. **476** (δμ.) H. δ 2066 **478** Eudoc. 1245

465 ἐπίσχειν Ar Hdn Ω*: ἐπισχεῖν Ptol 230 t[cod] Z W **467** Αἱμονίδαο 230 1409 R (αἱ-) G: Ἁρμ- Ω* (cf. E 60) **469** Αυ]τομεδων 230[a] **473** ὤμοισιν 1409 (ομ-) Ω: -οιϊν r **475** τ' ἄρ T W, τάρ dedi (cf. Praef. xxix): γάρ 636 1409 Ω* **476** ἀθανάτων 230 1409 Ω: ὠκυπόδων G[c] **477** μήστωρ 636 1409 Ω: μῆτιν G[γρ] **478** αὖ 636 1409 t Ω*: δ' αὖ R V: (Ϝ') αὖ van Leeuwen, at cf. X 436 κιχάνει 230 636 t Ω*: κάλυψε(ν) 1410 *b*.—cf. ad 672 **480–2** om., 480 cum **480*a*** (= E 228) mg. rest. 636 **481** βοηθόον Ar sch[D] Ω*: βοῆι θοὸν "οἱ ἀπὸ τῆς σχολῆς" Z R: βοηθόος Peppmüller cl. N 477, at cf. [Hes.] fr. 30.6 **482** λάζυτο? Nauck, cf. ad E 840 **488** τώ F T R W G[c]: τῶ(ι) *b* G[a] **489** ἐθέλοις 1409 *b* F W G: -εις 636 T R.—cf. ad Ψ 894; ο 435 οὐκ ἂν 1409 Ω*: οὔ κεν W O.—cf. ad N 289 **491** πάϊς Ω: παῖς H O

τὼ δ' ἰθὺς βήτην βοέῃς εἰλυμένω ὤμους
αὔῃσι στερεῇσι, πολὺς δ' ἐπελήλατο χαλκός.
τοῖσι δ' ἅμα Χρομίος τε καὶ Ἄρητος θεοειδής
495 ἤϊσαν ἀμφότεροι· μάλα δέ σφισιν ἔλπετο θυμός
αὐτώ τε κτενέειν ἐλάαν τ' ἐριαύχενας ἵππους·
νήπιοι, οὐδ' ἄρ' ἔμελλον ἀναιμωτεί γε νέεσθαι
αὖτις ἀπ' Αὐτομέδοντος. ὃ δ' εὐξάμενος Διὶ πατρί
ἀλκῆς καὶ σθένεος πλῆτο φρένας ἀμφὶ μελαίνας.
500 αὐτίκα δ' Ἀλκιμέδοντα προσηύδα, πιστὸν ἑταῖρον·
"Ἀλκίμεδον, μὴ δή μοι ἀπόπροθεν ἰσχέμεν ἵππω,
ἀλλὰ μάλ' ἐμπνείοντε μεταφρένωι· οὐ γὰρ ἐγώ γε
Ἕκτορα Πριαμίδην μένεος σχήσεσθαι ὀΐω,
πρίν γ' ἐπ' Ἀχιλλῆος καλλίτριχε βήμεναι ἵππω
505 νῶϊ κατακτείναντα, φοβῆσαί τε στίχας ἀνδρῶν
Ἀργείων, ἤ κ' αὐτὸς ἐνὶ πρώτοισιν ἁλοίη."
ὣς εἰπὼν Αἴαντε καλέσσατο καὶ Μενέλαον·
"Αἴαντ' Ἀργείων ἡγήτορε καὶ Μενέλαε,
ἤτοι μὲν τὸν νεκρὸν ἐπιτράπεθ', ὅσσοι ἄριστοι,
510 ἀμφ' αὐτῶι βεβάμεν καὶ ἀμύνεσθαι στίχας ἀνδρῶν,
νῶϊν δὲ ζωοῖσιν ἀμύνετε νηλεὲς ἦμαρ·
τῆιδε γὰρ ἔβρισαν πόλεμον κάτα δακρυόεντα
Ἕκτωρ τ' Αἰνείας θ', οἳ Τρώων εἰσὶν ἄριστοι.
ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται·
515 ἥσω γὰρ καὶ ἐγώ, τὰ δέ κεν Διὶ πάντα μελήσει."
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,

499 ead. 1598 **504** Epm. κ 151 **512a** sch Ω 139a **514** (al.) sch Eur. Pho. 705; **514b** Epicharm. 229 Kai. (parod.); Diog. Sinop. ap. D.L. 6.67; sch O 9; Q.S. 7.71; Greg. Naz. carm. 2.2.7.299; Themist. in Phys. CAG v(2).108.17; H. θ 439; Procl. in Remp. ii.227.12; Philop. in Phys. CAG xvi/xvii.529.9; Simpl. in Phys. CAG ix.552.12; Procop. De bellis 3.10.13; Genesius Reg. 3 (PG 109.1056a) **515a** Hdn ad Ψ 886a, Ω 235a; Choer. in Thd. ii.126.9; EtG s.v. ἦμα; (ἥσω) H. η 926

492 εἰλυμένω Ω: -με]νοι 636 **493** αὔη(ι)σι Ω: -σιν Z σ]ṭερẹ́[ησι 636 **494** Χρομίος (Hdn) B E T R[a]: proparox. Ω* **495** ἔλπετο 1411 *b* W: ἤλπ- Ω* **496** κτανέειν rr; cf. Praef. xxxii **497** ἀναιμωτεί W[a]: -τί 1411 Ω* **498** αὖθις C **501** ἵππω *b* F T: -ους Ω*.—cf. ad Θ 290 **502** ἐγώ γε Bekker: ἔγωγε Ω **505** κατακτείναντα 230 1412 Ω*: -κτεῖναί τε G[c?] τε 230 Ω: δὲ Ar? (sch[T]) **506** ἁλοίη Z (ἀ-) *b* W V: -ώ(ι)η(ι) Ω*: δαμείη rr **509** ὅσσοι Ω*: οἵ πε˻ρ 230 R W **510** ἀμύνεσθαι 230 Ω*: -ασθαι C **512** κάτα δακρυόεντα fere Ω: πο]λυδ[ακρυν] Αχαιω[ν 230 **513** τ' *b* F T: om. R W G.—cf. ad 534 **514** θεῶν tt* Z Ω: θεοῦ (Greg.) Procop. Genes.: Διὸς Themist. Simpl. Philop. κεῖται tt* Z Ω: κείσθω Greg. Procl. **515** μελήσει 230 636 Ω*: -σῃ C

καὶ βάλεν Ἀρήτοιο κατ' ἀσπίδα πάντοσ' ἐίσην·
ἣ δ' οὐκ ἔγχος ἔρυτο, διάπρο δὲ εἴσατο χαλκός,
νειαίρηι δ' ἐν γαστρὶ διὰ ζωστῆρος ἔλασσεν.
520 ὡς δ' ὅτ' ἂν ὀξὺν ἔχων πέλεκυν αἰζήϊος ἀνήρ
κόψας ἐξόπιθεν κεράων βοὸς ἀγραύλοιο
ἶνα τάμηι διὰ πᾶσαν, ὃ δὲ προθορὼν ἐρίπησιν,
ὣς ἄρ' ὅ γε προθορὼν πέσεν ὕπτιος· ἐν δέ οἱ ἔγχος
νηδυίοισι μάλ' ὀξὺ κραδαινόμενον λύε γυῖα.
525 Ἕκτωρ δ' Αὐτομέδοντος ἀκόντισε δουρὶ φαεινῶι·
ἀλλ' ὃ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος,
πρόσσω γὰρ κατέκυψε, τὸ δ' ἐξόπιθεν δόρυ μακρόν
οὔδει ἐνισκίμφθη, ἐπὶ δ' οὐρίαχος πελεμίχθη
ἔγχεος· ἔνθα δ' ἔπειτ' ἀφίει μένος ὄβριμος Ἄρης.
530 καί νύ κε δὴ ξιφέεσσ' αὐτοσχεδὸν ὡρμηθήτην,
εἰ μή σφω' Αἴαντε διέκριναν μεμαῶτε,
οἵ ῥ' ἦλθον καθ' ὅμιλον ἑταίρου κικλήσκοντος.
τοὺς ὑπὸ ταρβήσαντες ἐχώρησαν πάλιν αὖτις
Ἕκτωρ τ' Αἰνείας τε ἰδὲ Χρομίος θεοειδής,
535 Ἄρητον δὲ κατ' αὖθι λίπον δεδαϊγμένον ἦτορ
κείμενον. Αὐτομέδων δὲ θοῶι ἀτάλαντος Ἄρηϊ
τεύχεά τ' ἐξενάριξε καὶ εὐχόμενος ἔπος ηὔδα·
"ἦ δὴ μὰν ὀλίγον γε Μενοιτιάδαο θανόντος
κῆρ ἄχεος μεθέηκα χερείονά περ καταπεφνών."
540 ὣς εἰπὼν ἐς δίφρον ἑλὼν ἔναρα βροτόεντα
θῆκ', ἀνὰ δ' αὐτὸς ἔβαινε, πόδας καὶ χεῖρας ὕπερθεν
αἱματόεις, ὥς τίς τε λέων κατὰ ταῦρον ἐδηδώς.

517 (–ἀσπ.) + **518a** + **519** Did ad Π 467c **520** (αἰζ.) H. (Cyr.) α 1827 **522a** Choer. in Ps. 64.6 **524** (νηδ.) ApS 116.13; H. (Cyr.) ν 442; (κραδ.) H. κ 3908 **531**(–διέκρ.) Hdn ad H 546b[1]; **531a** ApD Pron. 88.24 **535** EtG α 1167 **539** Hdn ad Π 827; **539b** id. ad A 80c; Epm. μ 72, π 84 **540** sch E 297b **542** [Plut.] Hom. 2.30.2; **542b** sch E 161; ApD Synt. 384.6, 446.12; Alex. Fig. iii.38.11 Sp.; Choer. in Thd. ii.92.27; Epm. κ 148; (κατὰ–) Hdn ad Γ 440; Syr. in Hermog. i.17.1; (ἐδηδώς) H. ε 456

517 πάντοσ' ἐίσην 636 *b*: -σε ἴσην Ω* **518** διάπρο dedi (Praef. xix): διαπρὸ 636 B C F[c] W, διὰ πρὸ Ω* χαλκός 636 Ω*: καὶ τῆς *b* W.—cf. ad E 538 **529** damn. Payne Knight; cf. ad Π 613 **530** ὡρμηθήτην 230[s] Ω* (ὁρμ- B E) (cf. E 12): -ήθησαν R G H (cf. N 496, 526): οὐτάζοντο 230[t] H[γρ] V (= H 273) **531** σφω' ApD Hdn B E F[a] W, σφῶ' F[c] G: σφω C T R, σφὼ M N[c], σφῶ N[a] **533** αὖθις C **534** τ' *b* F T: δ' G: om. R W.—cf. ad 513 τε ἰδὲ Voss ad Hymn. Cer. 191: τ' ἠδὲ Ω Χρομίος (Hdn) Ω*: proparox. C F W[a] G **535** δεδαϊγμένον t sch[D] Ω (cf. Σ 236): -νοι Heyne **539** καταπεφνών Tyr: parox. Ar Hdn tt Ω.—cf. ad Π 827 **541** ἀνὰ Ω: ἀν [444] *b*

ἂψ δ' ἐπὶ Πατρόκλωι τέτατο κρατερὴ ὑσμίνη
ἀργαλέη πολύδακρυς· ἔγειρε δὲ νεῖκος Ἀθήνη
545 οὐρανόθεν καταβᾶσα· προῆκε γὰρ εὐρύοπα Ζεύς
ὀρνύμεναι Δαναούς, δὴ γὰρ νόος ἐτράπετ' αὐτοῦ.
ἠΰτε πορφυρέην ἶριν θνητοῖσι τανύσσηι
Ζεὺς ἐξ οὐρανόθεν, τέρας ἔμμεναι ἢ πολέμοιο
ἢ καὶ χειμῶνος δυσθαλπέος, ὅς ῥά τε ἔργων
550 ἀνθρώπους ἀνέπαυσεν ἐπὶ χθονί, μῆλα δὲ κήδει,
ὣς ἣ πορφυρέηι νεφέληι πυκάσασα ἓ' αὐτήν
δύσετ' Ἀχαιῶν ἔθνος, ἔγειρε δὲ φῶτα ἕκαστον.
πρῶτον δ' Ἀτρέος υἱὸν ἐποτρύνουσα προσηύδα,
ἴφθιμον Μενέλαον, ὃ γάρ ῥά οἱ ἐγγύθεν ἦεν,
555 εἰσαμένη Φοίνικι δέμας καὶ ἀτειρέα φωνήν·
"σοὶ μὲν δή, Μενέλαε, κατηφείη καὶ ὄνειδος
ἔσσεται, εἴ κ' Ἀχιλῆος ἀγαυοῦ πιστὸν ἑταῖρον
τείχει ὕπο Τρώων ταχέες κύνες ἑλκήσουσιν.
ἀλλ' ἔχεο κρατερῶς, ὄτρυνε δὲ λαὸν ἅπαντα."
560 τὴν δ' αὖτε προσέειπε βοὴν ἀγαθὸς Μενέλαος·
"Φοίνιξ, ἄττα γεραιὲ παλαιγενές, εἰ γὰρ Ἀθήνη
δοίη κάρτος ἐμοί, βελέων δ' ἀπερύκοι ἐρωήν·
τώ κεν ἐγώ γ' ἐθέλοιμι παρεστάμεναι καὶ ἀμύνειν
Πατρόκλωι· μάλα γάρ με θανὼν ἐσεμάσσατο θυμόν.
565 ἀλλ' Ἕκτωρ πυρὸς αἰνὸν ἔχει μένος, οὐδ' ἀπολήγει
χαλκῶι δηιόων· τῶι γὰρ Ζεὺς κῦδος ὀπάζει."

545 (προῆκε) H. (Cyr.) π 3450 **547** 'Aët.' Plac. 3.5.2 ([Plut.] Plac. 894b, Stob. 1.30.1) **548** (ἐξ οὐρ.) Prisc. Inst. 5.75 **549** (–δυσθ.) ApS 61.9; (δυσθ.) H. δ 2579 **550** sch Pind. Pyth. 4.263b; sch Theoc. 4.10c; (κήδει) H. (Cyr.) κ 2454 **551** (πυκ.–) ApD Pron. 80.3, Synt. 194.4; Hdn ad I 342a[1]; sch Θ 124b[1] **556–7** (ἔσσ.) ApD Synt. 179.10; (κατηφ.) H. κ 1795 **564** (ἐσεμ.–) id. ε 6185; (ἐσεμ.) ApS 77.22; (ἐπεμ.) H. ε 4393

545 (et **546**?) ath. Zen, τινὲς οὐδὲ γράφουσιν **547** ἶριν 230 444 t* sch[bTD] Ω: νε–φέλην Stob. (ex 551) **550** ἀνέπαυσεν 230 t* Ω: ἀπέπ- sch-Pind. r χθονί 230[c] tt Ω: -να 230[a] **551** ἕ' αὐτήν Payne Knight, ἓ αὐ- tt B[a], ἓ αὐ- E: ἑαυ- Ω*, εαυ- 230: ἑωυ- Zen.—v. ad Ξ 162 **552** δύσετ' 230 Ω: -σατ' V **553** Ἀτρέως R ἐποτρύνουσα προσηύδα Ω (μετηῦδα W), -νασα προσ- *h*: -νουσ επος ηυδα 230 **554** ἦεν Ω: ἦλθεν 230 O **558** ὕπο Wolf: ὑπὸ vel ὑπο 1413 Ω ἑλκήσουσιν Z Ω (-κύσ- C T, cf. ad X 336): -σωσι rr: ελκησ[230 **561** Φοίνιξ Z N O: Φοῖ- Ω παλαιγενές sch[D] Ω*: διοτρεφές (= I 607) 230 W V εἰ 1415 Ω: ạι 230 **562** δωη 230[a] **563** τώ Allen: τῶ(ι) Z Ω ἐγώ γ' Bekker: ἔγωγ' 1413 Ω παρεστάμεναι Ω*: παριστ- G.—cf. ad O 255 **564** ἐσεμάσσατο 230 tt Z Ω T[λ]: ἐπεμ- rr.—cf. ad Υ 425 **566** γὰρ 501c Ω: δ[ε 230 ὀπάζει 230 sch[D] Ω (cf. Θ 141): ε[[ι]]δωκεν 501c

ὣς φάτο· γήθησεν δὲ θεὰ γλαυκῶπις Ἀθήνη,
ὅττί ῥα οἷ πάμπρωτα θεῶν ἠρήσατο πάντων.
ἐν δὲ βίην ὤμοισι καὶ ἐν γούνεσσιν ἔθηκεν,
570 καί οἱ μυίης θάρσος ἐνὶ στήθεσσιν ἐνῆκεν,
ἥ τε καὶ ἐργομένη μάλα περ χροὸς ἀνδρομέοιο
ἰχανάαι δακέειν· λαρόν τέ οἱ αἷμ' ἀνθρώπου·
τοίου μιν θάρσεος πλῆσε φρένας ἀμφὶ μελαίνας,
βῆ δ' ἐπὶ Πατρόκλωι, καὶ ἀκόντισε δουρὶ φαεινῶι.
575 ἔσκε δ' ἐνὶ Τρώεσσι Ποδῆς, υἱὸς Ἠετίωνος,
ἀφνειός τ' ἀγαθός τε, μάλιστα δέ μιν τίεν Ἕκτωρ
δήμου, ἐπεί οἱ ἑταῖρος ἔην φίλος εἰλαπιναστής·
τόν ῥα κατὰ ζωστῆρα βάλε ξανθὸς Μενέλαος
ἀΐξαντα φόβονδε, διάπρο δὲ χαλκὸν ἔλασσεν,
580 δούπησεν δὲ πεσών. ἀτὰρ Ἀτρείδης Μενέλαος
νεκρὸν ὕπεκ Τρώων ἔρυσεν μετὰ ἔθνος ἑταίρων.
Ἕκτορα δ' ἐγγύθεν ἱστάμενος ὤτρυνεν Ἀπόλλων,
Φαίνοπι Ἀσιάδηι ἐναλίγκιος, ὅς οἱ ἁπάντων
584 ξείνων φίλτατος ἔσκεν, Ἀβυδόθι οἰκία ναίων·
586 "Ἕκτορ, τίς κέ σ' ἔτ' ἄλλος Ἀχαιῶν ταρβήσειεν,

568 Eudoc. 1797 **569** ead. 686, 716 **570–2** ead. 1661–3; **570** Chrysipp. (SVF ii.253.6) ap. Gal. Plac. Hipp. et Plat. 3.2.13; [Plut.] Hom. 2.85.1; (θάρσος) Luc. Dial. 7.5; **571** (ἀνδρομ.) H. α 4762; **572**a Hdn ad E 256b; (ἰ[σ]χ.) H. ι 1049, cf. 1133; (λαρόν) ApS 107.5; H. (Cyr.) λ 340; Phot. Lex. λ 101 **573** Choer. in Thd. i.358.15; (–πλῆσεν) sch O 4c **575–7** Ath. 236c; **575** (Ποδ.) Hdn i.65.10; **577** (ἐπεί–) sch Ω 6–9b, α 238; Poll. 6.36; (εἰλαπ.) H. (Cyr.) ε 853

568 ῥα οἷ Bekker: ῥά οἱ Ω **569** ὤμοισι 230 Ω: -οιϲ 501c γούνεσσιν 230 1415 F T^{a} W: -ασσιν 501c B E T^{c}, -ασιν t C R G **570** ἐνῆκεν Eudoc. Ω: ἀν- O: ἔθηκεν 501c tt* *h* (ex 569): ε[.]ηκεν 230.—cf. ad Π 691 **571** ἐργομένη t Z Ω*: εἰργ- 501c W V: ἐεργ- F **572** ἰχανάαι (Hermann ad Aesch. Suppl. 816; Wack. KS 778; Bechtel Lexil. 182) Z: ἰσχ- tt Ω.—cf. ad Ψ 300; θ 288 v.l. ant. λαρὸν 501c tt sch^{D} Ω: λ̣ι̣α̣ρ̣ο̣[ν] 230 cum ss. illegibili τέ 230 Ω: δέ r Eust. **573** θάρσεος sch-O^{A}: -ευς 230 sch-O^{T} Choer. Z Ω*: -ους 501c C: θράσεος Christ (cl. Ξ 416): -ευς sch-O^{b}: -ους sch-O^{F} πλῆσε F R W: -εν 230 501c Ω* **574**(*ab*) καὶ ἀκόντισε 230 1415 Ω: μεγα̣λητορι τον δ εκιχανεν | [κε]ιμενον αμφι δε μιμ βελ̣ε̣ω̣ν ορυμαγδος ορωρει | [στ]η δε παρ αυτον ιων και ακο̣ν̣τι- σε 501c **575** ἔσκε δ' ἐνὶ 230 646 T$^{\lambda}$ Ω* G^{m}: ἦν δέ τις ἐν (= E 9, K 314, cf. N 663) 501c t G Ποδῆς Hdn Ω*: -ὴς *b* F^{a} R^{a} G^{a}: Πόδης Ath.^{A} υἱὸς 230 t Ω: [π]αις 501c.—cf. ad E 612 **576** α]φνηος 501c **578** denuo adest A κατὰ ζωστῆρα 646 Ω: κατ ασπιδα δουρι 501c βάλε Ω: -εν 230 501c 1416: ἔβαλε H O **578*ab*** (= E 538 sq.) add. 501c **579** διάπρο G^{a} O^{a}: διαπρὸ vel διὰ πρὸ fere Ω **581** ὕπεκ dedi: ὑπ' ἐκ Ω*, ὑπεκ B ἔρυσεν 230^{c} Ω: ε̣ρυεμ̣ 230^{a} **582** ut supra Ar 230 646 1415 1416 Ω (ὄτρυνεν rr): Ἕκτορα δὲ †φρένας διος† Ἄρης ὄτρυνε μετελθών Zen, ubi φρένα δῖος Villoison, φρένα θοῦρος La Roche (cf. E 461), φρένας οὖλος vel ἠλὸς Erbse **585** (= [326]) add.

οἷον δὴ Μενέλαον ὑπέτρεσας, ὃς τὸ πάρος περ
μαλθακὸς αἰχμητής; νῦν δ' οἴχεται οἶος ἀείρας
νεκρὸν ὕπεκ Τρώων· σὸν δ' ἔκτανε πιστὸν ἑταῖρον
590 ἐσθλὸν ἐνὶ προμάχοισι, Ποδῆν υἱὸν Ἠετίωνος."
ὣς φάτο· τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα,
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῶι.
καὶ τότ' ἄρα Κρονίδης ἕλετ' αἰγίδα θυσανόεσσαν
μαρμαρέην, Ἴδην δὲ κατὰ νεφέεσσι κάλυψεν·
595 ἀστράψας δὲ μάλα μεγάλ' ἔκτυπε, τὴν δ' ἐτίναξεν,
νίκην δὲ Τρώεσσι δίδου, ἐφόβησε δ' Ἀχαιούς.
πρῶτος Πηνέλεως Βοιώτιος ἦρχε φόβοιο·
βλῆτο γὰρ ὦμον δουρί, πρόσω τετραμμένος αἰεί,
ἄκρον ἐπιλίγδην· γράψεν δέ οἱ ὀστέον ἄχρις
600 αἰχμὴ Πουλυδάμαντος, ὃ γάρ ῥ' ἔβαλε σχεδὸν ἐλθών.
Λήϊτον αὖθ' Ἕκτωρ σχεδὸν οὔτασε χεῖρ' ἐπὶ καρπῶι,
υἱὸν Ἀλεκτρυόνος μεγαθύμου, παῦσε δὲ χάρμης·
τρέσσε δὲ παπτήνας, ἐπεὶ οὐκέτι ἔλπετο θυμῶι
ἔγχος ἔχων ἐν χειρὶ μαχήσεσθαι Τρώεσσιν.
605 Ἕκτορα δ' Ἰδομενεὺς μετὰ Λήϊτον ὁρμηθέντα
βεβλήκει θώρηκα κατὰ στῆθος παρὰ μαζόν·
ἐν καυλῶι δ' ἐάγη δολιχὸν δόρυ, τοὶ δ' ἐβόησαν
Τρῶες. ὃ δ' Ἰδομενῆος ἀκόντισε Δευκαλίδαο

588a Pl. Symp. 174c, Resp. 411b; sch Z 51, Λ 251a, P 26; Dio Prus. 2.39, 11.105; Ath. 178c; Iul. Or. 2.84d; Choric. 124.10, 222.12; w4 xii 7? **590** (Ποδ.) Hdn ad O 302b[1] **591** Cic. Fam. 13.15.1; (τὸν δ'–) Choer. in Thd. i.358.19; (τὸν δ'–ἐκάλ.) Porph. Il. 22.11, Od. 49.6 Schr.; (ἄχ. νεφ.) H. α 8842 **593–6** Porph. Il. 42.1 Schr.; **593** (–αἰγ.) sch O 229b; **594** (Ἴδην–) sch Δ 167c; **595** Eudoc. 1971; (–ἔκτ.) [Plut.] Hom. 2.111.3 **598** (πρόσω τετρ.) sch P 597a **599a** ApS 73.26; Luc. Dial. 8.36; H. λ 962; Epm. π 99; Lex. αἱμ σ 3a; (ἐπιλ.) sch χ 278; H. ε 4938; Phot. Lex. ε 1620 **607** (–δόρυ) sch Υ 265a[1]; **607a** Epm. ε 185

C[2] T[m] R[m] W[2] N H O V: deest in 230 646 1415 1416 Ω Διὸς υἱὸς H V: ἑκάεργος ceteri.—cf. ad 326 **587** περ 230 1415 Ω*: γε Z A V.—cf. ad N 465 **589** ὕπεκ dedi: ὑπ' ἐκ Ω*, ὑπὲκ B[c], ὑπεκ F **590** προμάχοισι Ω: Τρωεσσι (ex 575) 230 Ποδῆν Ω*: -ὴν *b* R[a] W[a]: parox. N.—cf. ad 575 υἱὸν 230 Ω: υἷ' Bentley (cf. N 185, 792): παῖν Nauck (cf. ad 575) **593** τότ' ἄρα 230 t* Ω: τότε δὴ Porph. θυσανόεσσαν F: θυσσ- 230 Ω* **594** μαρμαρέην 230[c] sch[bTD] Ω: σμερδαλέην 230[a] t **595** τὴν Ar tt Ω: γῆν Zen **597** ἦρχε 230 1417 Ω: ἦρξε rr **599** ἐπιλίγδην 230 tt Z A[λ] Ω: ἐπιλλ- rr ἄχρις 230 1417 sch[A] Ω*: ἄχρι G[c?] **600** γάρ ῥ' 230 Ω*: γὰρ W G[c]: γάρ (Ϝ') Brandreth εβαλεν 230 **603** ἔλπετο Ar[ab] 230[c] Ω*: ἤλπ- (nov. Did) 230[a] F R G **604** ἔγχος 230 Ω*: ἕλκος W **607** et δὲ ἄγη agn. Eust. τοὶ 230[c] Ω: οι 230[a] δ' ἐβόησαν Ar (nisi potius δὲ β-) Ω*: δ' ἐφόβηθεν (nov. Ar) 230 *b* F[a] V **608** Δευκαλίδαο 230 Porph. Ω: δουρὶ φαεινῶ V (ex 574): Μηριόναο Grashof Über d. Fuhrwerk bei Hom. u. Hes. (1846) 16

δίφρωι ἐφεσταότος· τοῦ μέν ῥ' ἀπὸ τυτθὸν ἅμαρτεν,
610 αὐτὰρ ὁ Μηριόναο ὀπάονά θ' ἡνίοχόν τε
Κοίρανον, ὅς ῥ' ἐκ Λύκτου ἐϋκτιμένης ἕπετ' αὐτῶι—
πεζὸς γὰρ τὰ πρῶτα λιπὼν νέας ἀμφιελίσσας
ἤλυθε, καί κεν Τρωσὶ μέγα κράτος ἐγγυάλιξεν,
εἰ μὴ Κοίρανος ὦκα ποδώκεας ἤλασεν ἵππους,
615 καὶ τῶι μὲν φάος ἦλθεν, ἄμυνε δὲ νηλεὲς ἦμαρ,
αὐτὸς δ' ὤλεσε θυμὸν ὑφ' Ἕκτορος ἀνδροφόνοιο—
τὸν βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατος, ἐκ δ' ἄρ' ὀδόντας
ὦσε δόρυ πρυμνόν, διὰ δὲ γλῶσσαν τάμε μέσσην·
ἤριπε δ' ἐξ ὀχέων, κατὰ δ' ἡνία χεῦεν ἔραζε.
620 καὶ τά γε Μηριόνης ἔλαβεν χείρεσσι φίλῃσιν
κύψας ἐκ πεδίοιο, καὶ Ἰδομενῆα προσηύδα·
"μάστιε νῦν, εἵως κε θοὰς ἐπὶ νῆας ἵκηαι·
γινώσκεις δὲ καὶ αὐτός, ὅ τ' οὐκέτι κάρτος Ἀχαιῶν."
ὣς ἔφατ', Ἰδομενεὺς δ' ἵμασεν καλλίτριχας ἵππους
625 νῆας ἔπι γλαφυράς· δὴ γὰρ δέος ἔμπεσε θυμῶι.
οὐδ' ἔλαθ' Αἴαντε μεγαλήτορε καὶ Μενέλαον
Ζεύς, ὅτε δὴ Τρώεσσι δίδου ἑτεραλκέα νίκην.
τοῖσι δὲ μύθων ἦρχε μέγας Τελαμώνιος Αἴας·
"ὢ πόποι, ἤδη μέν κε καὶ ὃς μάλα νήπιός ἐστιν
630 γνοίη, ὅτι Τρώεσσι πατὴρ Ζεὺς αὐτὸς ἀρήγει·
τῶν μὲν γὰρ πάντων βέλε' ἅπτεται, ὅς τις ἀφήηι,
ἢ κακὸς ἠ' ἀγαθός, Ζεὺς δ' ἔμπης πάντ' ἰθύνει,
ἡμῖν δ' αὔτως πᾶσιν ἐτώσια πίπτει ἔραζε.
ἀλλ' ἄγετ' αὐτοί περ φραζώμεθα μῆτιν ἀρίστην,
635 ἠμὲν ὅπως τὸν νεκρὸν ἐρύσσομεν, ἠδὲ καὶ αὐτοί

610 (ὀπάονα) H. ο 973 **612a** sch P 613 **617a** Nic ad P 612–16 **622** (μάστιε) H. μ 357 **632** (ἰθ.) H. ι 408; Phot. Lex. ι 79 **633** (ἐτώ.) H. (Cyr.) ε 6673

609 δίφρω(ι) 230 Ω: -ου Grashof μέν Ω: γαρ 230 ἄπο W V **611** Λύτου 230 R W **613** κεν [230] T R G: κε Porph. A^{λ} Ω*: γε W.—cf. Praef. xxvi **618** πρυμνόν sch^{AbT} Ω (cf. E 339): -ούς Düntzer (cf. E 292) μέσσην Ω: χαλκος 230 **619** ἐξ ὀχέων 230^{c} Ω: εξοπισω 230^{a} **622** εἵως 230 Ω ικοιο 230^{a} **623** γινώσκεις Ω: γειν- 230 **625** ἔπι F: ἐπὶ Ω* **626** Αἴαντε μεγαλήτορε Naber Qu. Hom. 192 (cf. 507 sq., 531, 668 sq., et ad K 53): -ντα -ορα Ar 230 Ω **627** ὅ τε van Leeuwen Τρώεσσι δίδου 230 A^{λ} Ω*: -εσσ' ἐδίδου C **629** ὦ A F^{a} G^{a}: ὢ Ω* μάλα 230 Ω* (= H 401): μέγα W **630** αὐτὸς ἀρήγει Ω: αὐτὸς ἀμύνει A^{γρ} (-οι cod.): κῦδος ὀπάζει *b* V (cf. 566): κυδος αρ[ηγει 230 **631** ἀφήηι Franke: -είη Ar^{a} B^{s} E^{s} T W (-ῃ), -ίη *b*, alterutrum 230: -ίει R G^{r}: ἐφείη(ι) Ar^{b} A^{s} *b* F: -ίηι A^{t} **632** ἠ' Fick: ἢ Ω **634** ἀρίστην 230^{c} Ω: incertum quid 230^{a}, an [αμεινω]?

χάρμα φίλοις ἑτάροισι γενώμεθα νοστήσαντες,
οἵ που δεῦρ' ὁρόωντες ἀκηχέατ', οὐδ' ἔτι φασίν
Ἕκτορος ἀνδροφόνοιο μένος καὶ χεῖρας ἀάπτους
σχήσεσθ', ἀλλ' ἐν νηυσὶ μελαίνῃσιν πεσέεσθαι.
640 εἴη δ' ὅς τις ἑταῖρος ἀπαγγείλειε τάχιστα
Πηλείδῃ, ἐπεὶ οὔ μιν ὀΐομαι οὐδὲ πεπύσθαι
λυγρῆς ἀγγελίης, ὅτι οἱ φίλος ὤλεθ' ἑταῖρος.
ἀλλ' οὔ πῃ δύναμαι ἰδέειν τοιοῦτον Ἀχαιῶν·
ἠέρι γὰρ κατέχονται ὁμῶς αὐτοί τε καὶ ἵπποι.
645 Ζεῦ πάτερ, ἀλλὰ σὺ ῥῦσαι ὑπ' ἠέρος υἷας Ἀχαιῶν,
ποίησον δ' αἴθρην, δὸς δ' ὀφθαλμοῖσιν ἰδέσθαι,
ἐν δὲ φάει καὶ ὄλεσσον, ἐπεί νύ τοι εὔαδεν οὕτως."
ὣς φάτο· τὸν δὲ πατὴρ ὀλοφύρατο δάκρυ χέοντα,
αὐτίκα δ' ἠέρα μὲν σκέδασεν καὶ ἀπῶσεν ὀμίχλην,
650 ἠέλιος δ' ἐπέλαμψε, μάχη δ' ἐπὶ πᾶσα φαάνθη.
καὶ τότ' ἄρ' Αἴας εἶπε βοὴν ἀγαθὸν Μενέλαον·
"σκέπτεο νῦν, Μενέλαε διοτρεφές, αἴ κεν ἴδηαι
ζωὸν ἔτ' Ἀντίλοχον, μεγαθύμου Νέστορος υἱόν·
ὄτρυνον δ' Ἀχιλῆϊ δαΐφρονι θάσσον ἰόντα
655 εἰπεῖν, ὅττί ῥά οἱ πολὺ φίλτατος ὤλεθ' ἑταῖρος."
ὣς ἔφατ', οὐδ' ἀπίθησε βοὴν ἀγαθὸς Μενέλαος,
βῆ δ' ἰέναι ὥς τίς τε λέων ἀπὸ μεσσαύλοιο,
ὅς τ' ἐπεὶ ἄρ κε κάμῃσι κύνας τ' ἄνδράς τ' ἐρεθίζων,

637 (–ἀκηχ.) Epm. α 311; (νηυσὶν ἀκ.) EtG α 324 e Methodio; (ἀκ.) H. α 2360 **642** Eudoc. 1237 **645–7a** Auct. π. ὕψ. 9.10; **645–6** Iul. Ep. 53.439a; **645a** + **646** (–ὀφθ.) Hdn ad Γ 280a; **645** (ἀλλὰ σὺ ῥ.) + **646a** Lib. Ep. 1145.4 (xi.239.15 F.); **646** Eudoc. 866; EtG α 1565; **646a**, **647a** Choer. in Thd. ii.241.32; **647a** sch Eur. Pho. 727 **649–50** Plut. Mor. 948e e Chrysippo (SVF ii.141.19); **649** Eudoc. 909; **650** (φα.) H. φ 4

636 γενώμεθα Ω: γενοί- 230 V **637** δεῦρ' Ar 230^{a} Ω*: νῦν (nov. Did) 230^{c}? t F^{a} T W ἀκηχέατ' 230 rr (cf. M 179; Chantr. I 435): -χέδατ' tt Z Ω οὐδ' ἔτι P: οὐδέ τι Ω **638** damn. Heyne, habuit Ar; cf. I 234 sq. χεῖρας ἀάπτους 230 Ω (cf. ad A 567): ?Εκτορ]ος εγχος 672 **641** μιν 1418 Ω: μεν 230 πεπύσθαι Ω*: πυθέσθαι 230 Z T R W **643** οὔ πῃ(ι) A^{λ} Ω: οὔ πω quidam ap. sch^{T} (sic Allen: οὕτω cod.) rr **644** κατέχονται 230 672 A^{λ} Ω (cf. 368): κεκάλυπται A^{γρ} **646** (ποίησον) δ' 230 tt* Ω: τ' Hdn (t) ἰδέσθαι 230 tt Ω (cf. 643): ὁρᾶσθαι A^{γρ} **647** οὕτως Ω: -ωι 230 **648** ὀλοφύρατο 230 Ω*: -ετο R^{a} G **649** ἀπῶσεν 230 310 t* Ω: -ώσατ' Eudoc. **650** ἐπέλαμψε t Ω: ἀπ- 230 rr πᾶσα 230 310 Ω: πᾶσι t rr φαάνθη 230 tt Ω: cf. ad A 200 **654** θάσσον N rr: θᾶ- Ω **655** ὅτί A, ὅττι Ω* **657–67** damn. Wilamowitz Il. u. H. 150 n.2 (**659–64** = Λ 550–5) **658** (ἡ διπλῆ) ὅτι ὁ κέ περισσός Arn: 'quidamne igitur olim ἐπεὶ ἄν κε?' van Leeuwen cl. Λ 187, N 127, Ω 437 utrum κε κάμῃσι (Ω) an κεκ- ambigebat Ar; cf. ad A 168, H 5 ἄνδράς sic A

οἵ τέ μιν οὐκ εἰῶσι βοῶν ἐκ πῖαρ ἑλέσθαι
660 πάννυχοι ἐγρήσσοντες· ὃ δὲ κρειῶν ἐρατίζων
ἰθύει, ἀλλ' οὔ τι πρήσσει· θαμέες γὰρ ἄκοντες
ἀντίον ἀΐσσουσι θρασειάων ἀπὸ χειρῶν
καιόμεναί τε δεταί, τάς τε τρέει ἐσσύμενός περ,
ἠῶθεν δ' ἀπὸ νόσφιν ἔβη τετιηότι θυμῶι·
665 ὣς ἀπὸ Πατρόκλοιο βοὴν ἀγαθὸς Μενέλαος
ἤϊε πόλλ' ἀέκων· περὶ γὰρ δίε, μή μιν Ἀχαιοί
ἀργαλέου πρὸ φόβοιο ἕλωρ δηΐοισι λίποιεν.
πολλὰ δὲ Μηριόνηι τε καὶ Αἰάντεσσ' ἐπέτελλεν·
"Αἴαντ' Ἀργείων ἡγήτορε Μηριόνη τε,
670 νῦν τις ἐνηείης Πατροκλῆος δειλοῖο
μνησάσθω· πᾶσιν γὰρ ἐπίστατο μείλιχος εἶναι
ζωὸς ἐών· νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει."
ὣς ἄρα φωνήσας ἀπέβη ξανθὸς Μενέλαος,
πάντοσε παπταίνων ὥς τ' αἰετός, ὅν ῥά τέ φασιν
675 ὀξύτατον δέρκεσθαι ὑπουρανίων πετεηνῶν,
ὅν τε καὶ ὑψόθ' ἐόντα πόδας ταχὺς οὐκ ἔλαθε πτώξ
θάμνωι ὕπ' ἀμφικόμωι κατακείμενος, ἀλλά τ' ἐπ' αὐτῶι
ἔσσυτο, καί τέ μιν ὦκα λαβὼν ἐξείλετο θυμόν·
ὣς τότε σοί, Μενέλαε διοτρεφές, ὄσσε φαεινώ
680 πάντοσε δινείσθην πολέων κατὰ ἔθνος ἑταίρων,
εἴ που Νέστορος υἱὸν ἔτι ζώοντα ἴδοιτο.
τὸν δὲ μάλ' αἶψ' ἐνόησε μάχης ἐπ' ἀριστερὰ πάσης
θαρσύνονθ' ἑτάρους καὶ ἐποτρύνοντα μάχεσθαι.
ἀγχοῦ δ' ἱστάμενος προσέφη ξανθὸς Μενέλαος·

670–1 (μνησ.) sch A 307b, P 1–2a[1], ρ 134; Epm. η 9; **671** (πᾶσιν–) ApS 163.28; Plut. Mor. 31f **674–5** Eudoc. 913–14; **675** (δέρκ.) H. δ 674 **676–7** (–κατακ.) Philop. De opif. mundi 6.14; **676** id. in De an. CAG xv.386.8; **676**a sch Σ 488b; (καὶ ὑψ. ἐόντα οὐκ–) Porph. Abst. 3.8; (πτώξ) H. π 4265; Phot. Lex. s.v.; **677** (ἀμφικ.) H. α 4044

659 ἑλέσθαι (= Λ 550) 1418 Z Ω: αγεσθ[310 **660** κρειῶν: cf. ad Λ 551 **662** ἀντίον (Ar ad Λ 553) R G O: -οι 230 Ω* **663** τρέει Heyne: τρεῖ 310 Ω, τρεις 230 **664** τετιηότι θυμῶι 230 310 1419 Ω: τετιημένος ἦτορ A[γρ].—cf. Λ 555/6 **666** ἀέκων A πέρι R **668** ἐπέτελλεν 310 Ω: (-εσσι) κέλευε V rr: πελασσε (ss. αι) 230 **671** μνησάσθω 230 tt* Ω: μεμνήσθω sch-A εφιστατο 230 **672** αὖ 230 Ω*: δ' αὖ R: γὰρ C κιχάνει 230 Ω: κάλυψεν H.—cf. ad 478 **676–8** om. 230[a] **677** ὕπ' van Leeuwen: ὑπ' Ω **679** σοὶ 230 Ω (σοι D): an τοι? v. ad Ψ 600 **680** δινείσθην 230 672 Z Ω*: -ήσθην R, -ίσθην A κατὰ 230[a] Ω*: μετὰ 230[c] W **681** ἴδοιτο Ar[ab] Ω*: -οιντο quidam ap. sch[b] (Did?): -οιο "οἱ ἀπὸ τῆς σχολῆς" R G[c] N H: -ηαι 230 rr **682** αἶψ' ἐνόησε 230 Ω: αἶψα ν-*h* **683***a* (= 118) add. 672 H O **684** προσέφη ξανθὸς Μενέλαος 672 Ω: ἔπεα πτερόεντα προσηύδα 230 rr

685 “ Ἀντίλοχ’, εἰ δ’ ἄγε δεῦρο, διοτρεφές, ὄφρα πύθηαι
λυγρῆς ἀγγελίης, ἣ μὴ ὤφελλε γενέσθαι.
ἤδη μέν σε καὶ αὐτὸν ὀΐομαι εἰσορόωντα
γινώσκειν, ὅτι πῆμα θεὸς Δαναοῖσι κυλίνδει,
νίκη δὲ Τρώων· πέφαται δ’ ὤριστος Ἀχαιῶν,
690 Πάτροκλος, μεγάλη δὲ ποθὴ Δαναοῖσι τέτυκται.
ἀλλὰ σύ γ’ αἶψ’ Ἀχιλῆϊ θέων ἐπὶ νῆας Ἀχαιῶν
εἰπεῖν, αἴ κε τάχιστα νέκυν ἐπὶ νῆα σαώσηι
γυμνόν· ἀτὰρ τά γε τεύχε’ ἔχει κορυθαιόλος Ἕκτωρ.”
ὣς ἔφατ’, Ἀντίλοχος δὲ κατέστυγε μῦθον ἀκούσας·
695 δὴν δέ μιν ἀμφασίη ἐπέων λάβε, τὼ δέ οἱ ὄσσε
δακρυόφι πλῆσθεν, θαλερὴ δέ οἱ ἔσκετο φωνή.
ἀλλ’ οὐδ’ ὣς Μενελάου ἐφημοσύνης ἀμέλησεν,
βῆ δὲ θέειν· τὰ δὲ τεύχε’ ἀμύμονι δῶκεν ἑταίρωι,
Λαοδόκωι, ὅς οἱ σχεδὸν ἔστρεφε μώνυχας ἵππους.
700 τὸν μὲν δάκρυ χέοντα πόδες φέρον ἐκ πολέμοιο,
Πηλεΐδηι Ἀχιλῆϊ κακὸν ἔπος ἀγγελέοντα·
οὐδ’ ἄρα σοί, Μενέλαε διοτρεφές, ἤθελε θυμός
τειρομένοις ἑτάροισιν ἀμυνέμεν, ἔνθεν ἀπῆλθεν
Ἀντίλοχος—μεγάλη δὲ ποθὴ Πυλίοισιν ἐτύχθη—
705 ἀλλ’ ὅ γε τοῖσιν μὲν Θρασυμήδεα δῖον ἀνῆκεν,
αὐτὸς δ’ αὖτ’ ἐπὶ Πατρόκλωι ἥρωϊ βεβήκει,
στῆ δὲ παρ’ Αἰάντεσσι θέων, εἶθαρ δὲ προσηύδα·
“κεῖνον μὲν δὴ νηυσὶν ἔπι προέηκα θοῆισιν,
ἐλθεῖν εἰς Ἀχιλῆα πόδας ταχύν. οὐδέ μιν οἴω

688 (κυλ.) H. (Cyr.) κ 4497; Phot. Lex. κ 1189; EtG s.v. **689**b sch P 155b; EtG s.v. πρόσφατον (Philox. fr. 163 Th.); (πέφ.) H. π 2101 **694** (Ἀντ.–μῦθον) ApS 145.28; **694**b Arn ad O 183; (κατέστ.) ApS 96.2; H. (Cyr.) κ 1696 **695–6** Eudoc. 2107–8; **695** (–λάβε) sch Eur. Andr. 1077; EtG α 705; (ἀμφ.) ApS 29.8; H. (Cyr.) α 3902 **697** (ἐφημ.) ApS 80.3

685 εἰ δ’ E F G, εἴ δ’ B C^{c} T R $W^{c?}$: ἤδ’ C^{a} V: αἲ δ’ 230 A N: ἴδ’ A^{m} ὄφρα Ω: αι κε 230 **686** ὤφελλε 230 Ω (-ελε B^{a} R): -ειλε Nauck **687** μέν σε Ω: μὲν σὲ rr **688** γινώσκειν Ω: γειν- 230: γιγν- rr κυλίνδει (non -ινδεῖ) Ar Hdn Ω **690** δὲ Ω: τε 230 **692** τ̣ε̣θ̣ε̣λ̣οντα 230, mg. επι νηα διχ(ως) σαώση(ι) Ω: -σει rr: -σαι 230 **693** κορυθαίολος C **695** ἀμφασίη tt Z A F R^{c} W^{a} G^{a} (cf. A.R. 2.409 al.; Bion. fr. 1.1; Menophilum Supp. Hell. 558.6): ἀφ- T^{λ} Ω*.—v.l. eadem δ 704 **696** δα–κρυόφι W: -φιν 230 t Ω* ἔσκετο quidam ante Did in δ 705 (prob. Schulze Kl. Schr. 368 sq.; Bechtel Lexil. 142; Schwyzer 652 n.5): ἔσχ- Ar 230 t Z Ω **697** ὣς (Hdn) B^{a}? E: ὡς A, ὧς Ω* **701** κακων $230^{a?}$ αγγελλοντα 230 **703** ἀμυνέμεν Ω (cf. Σ 129): -νειν 230 **705** ἀνῆκεν Ω* (ἀνῆ- A): ἐν- R W **707** θέων Ω*: κιὼν W V.—cf. ad M 353 **708** ἔπι προέηκα B: ἐπὶ πρ- G, ἐπιπρ- Ω*.—cf. ad Σ 58, 439 **709** οὐδέ μιν

710 νῦν ἰέναι, μάλα περ κεχολωμένον Ἕκτορι δίωι·
οὐ γάρ πως ἂν γυμνὸς ἐὼν Τρώεσσι μάχοιτο.
ἡμεῖς δ' αὐτοί περ φραζώμεθα μῆτιν ἀρίστην,
ἠμὲν ὅπως τὸν νεκρὸν ἐρύσσομεν, ἠδὲ καὶ αὐτοί
Τρώων ἐξ ἐνοπῆς θάνατον καὶ κῆρα φύγωμεν."
715 τὸν δ' ἠμείβετ' ἔπειτα μέγας Τελαμώνιος Αἴας·
"πάντα κατ' αἶσαν ἔειπες, ἀγακλεὲς ὦ Μενέλαε.
ἀλλὰ σὺ μὲν καὶ Μηριόνης ὑποδύντε μάλ' ὦκα
νεκρὸν ἀείραντες φέρετ' ἐκ πόνου· αὐτὰρ ὄπισθεν
νῶϊ μαχησόμεθα Τρωσίν τε καὶ Ἕκτορι δίωι,
720 ἶσον θυμὸν ἔχοντες, ὁμώνυμοι, οἳ τὸ πάρος περ
μίμνομεν ὀξὺν ἄρηα παρ' ἀλλήλοισι μένοντες."
ὣς ἔφαθ'· οἳ δ' ἄρα νεκρὸν ἀπὸ χθονὸς ἀγκάζοντο
ὕψι μάλα μεγάλως. ἐπὶ δ' ἴαχε λαὸς ὄπισθεν
Τρωϊκός, ὡς εἴδοντο νέκυν αἴροντας Ἀχαιούς·
725 ἴθυσαν δὲ κύνεσσιν ἐοικότες, οἵ τ' ἐπὶ κάπρωι
βλημένωι ἀΐξωσι πρὸ κούρων θηρητήρων·
εἵως μέν τε θέουσι διαρραῖσαι μεμαῶτες,
ἀλλ' ὅτε δή ῥ' ἐν τοῖσιν ἑλίξεται ἀλκὶ πεποιθώς,
ἄψ τ' ἀνεχώρησαν διά τ' ἔτρεσαν ἄλλυδις ἄλλος·
730 ὣς Τρῶες εἵως μὲν ὁμιλαδὸν αἰὲν ἕποντο,

714? (ϕυγωμεν) w2.1 **716** ApS 15.26; (–ἀγακλ.) Porph. Hom. 94.5 Sod.; **716**a sch^{D} Z 333; EtG α 244 **720** (–ὁμών.) Macr. Sat. 5.15.13; Olymp. in Cat. CAG xii(1).29.20; Philop. in Cat. CAG xiii(1).17.30; Elias in Cat. CAG xviii(1).200.17; [Elias] in Porph. Isag. 39.31; **720**a Iul. Or. 8.241d **722**b–**3**a ApS 5.7; **722** (ἀγκ.) H. (Cyr.) α 524, [527]; **723** Eudoc. 1877; **723**b–**4** Hdn/Choer. ap. EtG α 235 (Erbse iv.427); **723**b–**4** (Τρω.) Did ad P 607c^{1}

230^{c} Ω: ου μιν 230^{a}: οὐδέ Ϝ' Christ: ἦ μιν (… Ἀτρείωνι, deleto 711) Wilamowitz Il. u. H. 151 n.1, poterat et ἦ τέ μιν cl. Λ 763; cf. Cauer Grundfragen^{3} 680 n.15 οἴω O: ὀΐω Ω: οιωι 230 **710** Ἕκτορι δίωι 230 Ω: Ἀτρείωνι A^{m} (cf. Ω 395) **714** φύγωμεν 230 A *h*: -οιμεν Ω* **720–1** susp. Wack. KS 541 **720** ἔχοντες 230 tt* A$^{\lambda}$ Ω: -ντε Macr. (cf. N 704) ὁμώνυμοι 230^{a}? 230^{s}? tt Ω: -μω (Ahrens) 230^{c}? οἳ 230^{c} Ω: ως 230^{a}: ὢ Ahrens **721** μένοντες Ar 230 Ω: -ντε Arph rr (cf. E 572) **723** μάλα 230 tt Ω: μέγαν Bothe cl. Π 776 al. ἐπὶ δ'–736 γλαφυράς damn. Wilamowitz Il. u. H. 152 sq. ὄπισθε(ν) 230^{t} tt Ω: Αχαιων 230$^{\gamma\rho}$ **724** αἴροντας A^{m} *b* F T: αἴραντας 230 t (ᾱιρ-) A Y (αἴ̄ρ-): ἄραντας R W G **726** ἀΐξωσι 230 Ω: -ουσι *h* **727** εἵως T$^{\lambda}$ H O: ἕως Nic 230 Ω μέν τε Payne Knight: μὲν γάρ τε 230 Ω **728** ὅτε δή (Pamph Hdn) "ἡ κοινή" (sch^{p235}) Ω: ὁτεδή Ar.—cf. Hdn ad A 493; h94 ad Φ 1 **729–61** excidit folium in A **729–32** ter scripsit 230 **729** (ἄψ) τ' 230$^{2.3}$ Ω*: δ' H: om. 230^{1} [502] *b*.—cf. ad Γ 35 διά – ἄλλ(ος) fere 230^{1} 235 Ω: ωχρος τε μιν ειλε παρεια(ς) (ex Γ 35) 230^{2} (-ειας) 230^{3} (-εια) (διά) τ' Ω: δ' 230^{1} H ἄλλος 235 Ω (= Λ 486): -η 230^{1} r: -ως O **730** εἵως 230 502 Ω: τῆος Nauck (cf. ad O 277)

νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν,
ἀλλ' ὅτε δή ῥ' Αἴαντε μεταστρεφθέντε κατ' αὐτούς
σταίησαν, τῶν δὲ τρέπετο χρώς, οὐδέ τις ἔτλη
πρόσσω ἀΐξας περὶ νεκροῦ δηριάασθαι.
735 ὣς οἵ γ' ἐμμεμαῶτε νέκυν φέρον ἐκ πολέμοιο
νῆας ἔπι γλαφυράς· ἐπὶ δὲ πτόλεμος τέτατό σφιν
ἄγριος ἠΰτε πῦρ, τό τ' ἐπεσσύμενον πόλιν ἀνδρῶν
ὄρμενον ἐξαίφνης φλεγέθει, μινύθουσι δὲ οἶκοι
ἐν σέλαϊ μεγάλωι, τὸ δ' ἐπιβρέμει ἲς ἀνέμοιο·
740 ὣς μὲν τοῖς ἵππων τε καὶ ἀνδρῶν αἰχμητάων
ἀζηχὴς ὀρυμαγδὸς ἐπήϊεν ἐρχομένοισιν.
οἳ δ' ὥς θ' ἡμίονοι κρατερὸν μένος ἀμφιβαλόντες
ἕλκωσ' ἐξ ὄρεος κατὰ παιπαλόεσσαν ἀταρπόν
ἢ δοκὸν ἠὲ δόρυ μέγα νήϊον, ἐν δέ τε θυμός
745 τείρεθ' ὁμοῦ καμάτωι τε καὶ ἱδροῖ σπευδόντεσσιν,
ὣς οἵ γ' ἐμμεμαῶτε νέκυν φέρον. αὐτὰρ ὄπισθεν
Αἴαντ' ἰσχανέτην, ὥς τε πρὼν ἰσχάνει ὕδωρ
ὑλήεις, πεδίοιο διαπρύσιον τετυχηώς,
ὅς τε καὶ ἰφθίμων ποταμῶν ἀλεγεινὰ ῥέεθρα
750 ἴσχει, ἄφαρ δέ τε πᾶσι ῥόον πεδίονδε τίθησιν
πλάζων, οὐδέ τί μιν σθένεϊ ῥηγνῦσι ῥέοντες·
ὣς αἰεὶ Αἴαντε μάχην ἀνέεργον ὀπίσσω
Τρώων. οἳ δ' ἅμ' ἕποντο, δύω δ' ἐν τοῖσι μάλιστα,

734 (δηρίσ.) H. (Cyr.) δ 921 **738a** Epm. ε 100; (μιν. δέ) H. μ 1402/6 **741** Eudoc. 1824 **742–6** ead. 2077–81; **742–3** sch Ψ 111b; **743** (ἀταρπ.) EtG α 1343 **747b** ApS 136.30; Epm. χ 17; (πρών) H. π 4147 **751** (πλαζ.) id. π 2429; (οὐδε-) [Plut.]

733 σταίησαν, τῶν δὲ 230 502 Ω: σταῖεν, τῶν δ' αὖτε L. Dindorf (cf. Wack. Unt. 62; Chantr. I 463) δὲ τρέπετο 230 502 Z Ω* (-εται C), δ' ἐτρ- F: δὲ τράπ- vel δ' ἐτράπ- *h* **734** πρόσσω 230 Ω: ......]ψ 502 δηριάασθαι Z *h* G V: δηρίσασθαι 230 (-ρεισ-) t Ω* **735** οἵ 230 Ω*: τώ R γ' ἐμμεμαῶτε 230 502[c] Ω* (-τες C): γε μεμ- 502[a] F[a] Y R.—cf. ad 746, N 785 **736** (νῆας) ἔπι Wolf: ἐπὶ vel ἐπι Ω σφιν 230 Ω: σφι *h* **737** πόλιν Ω: πονον 230 **738** φλεγέθη Y R[a]? mg. ⟦φ⟧ινυθε[.] ss. μ(ιν-) 230 **740** αἰχμητάων Ω*: ἀσπιστ- 230 F T (cf. Θ 214): θωρηκτ- V **741** ὀρυμαγδὸς 230 t Ω*: -γμαδ- C F[a] R G αρχομε[νοισι]ν 230 **742** αντιβαλόντεσ Y **745** ἱδροῖ Brandreth: -ῶ(ι) 230 t Ω.—cf. ad 385 **746** ὣς οἵ γ' ἐμμεμαῶτε (= 735) Ar t Ω*: ὣς οἵ γε μεμ- (nov. Did) Y R G: ω[ς] ο[ι] μιν (sc. μεν) [μ]εμ- 230: οἳ μὲν ἄρ' ἐμμ- quidam ap. sch[T] (Did?) **747** τε t Ω: περ *h* ἰσχάνει 230 tt Ω*: -νη Y **748** δι[α. . . .]ιον ss. πρυ 230, aliud quid fuerat τετυχηώς Heraclides Miles. (ap. Eust. 1700.40) T[t] r: -ηκώς [230]? Z Ω* T[s]: -ηκὸσ O.—cf. Schwyzer 774; Chantr. I 428 **751** τι Arph 230 t[vl] F Y R W: τε t[vl] *b* T G μιν 230 t Ω: μὴν Arph ῥηγνῦσι Ar Hdn t Ω*: proparox. E[s] Y R[a] W, fort. recte, cf. KB II 192; Schwyzer 664 sq.; Chantr. I 471

Αἰνείας τ' Ἀγχισιάδης καὶ φαίδιμος Ἕκτωρ·
755 τῶν δ' ὥς τε ψαρῶν νέφος ἔρχεται ἠὲ κολοιῶν,
οὖλον κεκλήγοντες, ὅτε προΐδωσιν ἰόντα
κίρκον, ὅ τε σμικρῇσι φόνον φέρει ὀρνίθεσσιν,
ὣς ἄρ' ὑπ' Αἰνείαι τε καὶ Ἕκτορι κοῦροι Ἀχαιῶν
οὖλον κεκλήγοντες ἴσαν, λήθοντο δὲ χάρμης.
760 πολλὰ δὲ τεύχεα καλὰ πέσον περί τ' ἀμφί τε τάφρον
φευγόντων Δαναῶν· πολέμου δ' οὐ γίνετ' ἐρωή.
Σ ὣς οἳ μὲν μάρναντο δέμας πυρὸς αἰθομένοιο·
Ἀντίλοχος δ' Ἀχιλῆϊ πόδας ταχὺς ἄγγελος ἦλθεν.
τὸν δ' ηὗρε προπάροιθε νεῶν ὀρθοκραιράων,
τὰ φρονέοντ' ἀνὰ θυμόν, ἃ δὴ τετελεσμένα ἦεν,
5 ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
"ὤι μοι ἐγώ, τί ταρ αὖτε κάρη κομόωντες Ἀχαιοί
νηυσὶν ἔπι κλονέονται ἀτυζόμενοι πεδίοιο;
μὴ δή μοι τελέσωσι θεοὶ κακὰ κήδεα θυμῶι,
ὥς ποτέ μοι μήτηρ διεπέφραδε, καί μοι ἔειπεν
10 Μυρμιδόνων τὸν ἄριστον ἔτι ζώοντος ἐμεῖο
χερσὶν ὕπο Τρώων λείψειν φάος ἠελίοιο.
ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱός,
σχέτλιος· ἦ τ' ἐκέλευον ἀπωσάμενον δήιον πῦρ

Hom. 2.12.6 **755** Gell. 13.21.25; (-νέφ.) sch O 690–5; (ὥς τε ψ.) sch Π 583; (ψ.–ἔρχ.) Choer. in Thd. i.296.19; (ψ.) sch Φ 347b; cf. H. ψ 68; (ἠὲ κολ.) H. (Cyr.) η 173; (κολ.) H. κ 3030 **756** (οὖλον) sch P 755b **757** (κίρκ.) Phot. Lex. κ 742 **760–1** (φευγ.) sch Σ 148c; (περί τ' ἀμφί τε) H. π 1906 **Σ 3** (ὀρθοκ.) EtG s.v. **9b** grammaticus ap. Eust. 118.15; (διεπ.) ApS 58.34; H. δ 1620 **10a** Arn ad P 80; sch Pind. Ol. 9.107a **12** [Plut.] Hom. 2.28.2; Hdn i.520.3; Choer. in Ps. 30.16; Epm ad A 2b[1]; **12a** ApD Adv. 190.24, Coni. 256.18; Nic ad Φ 55–6; Orio 137.18

755 ψαρῶν 230 tt Ω, ψάρες Z: ψηρῶν (Nauck) r.—cf. ad Π 583 κολοιῶν 230 tt (κωλέων Hsch.[η], κλοιῶν id.[κ]) Ω, κολεοί Z: fort. olim κολωιῶν **756** προΐδωσιν ἰόντα Ω: -ωσι θοροντα 230 **757** ὅ τε *b* F[c] Y: ὅς τε F[a] G: ὅστις *h* T R: ο δε 230: ὅτι W σμικρῇ(ι)σι 230 Z Ω*: μικρ- T R φόνον φέρει Ω: φέρει φόνον 230 P: φέρει φόβον V **758** Αἰνείαν τε και Ἕκτορα T (non 230) **760–1** damn. Payne Knight; rhapsodi absolutionem esse ci. Leaf (quod et de 755–61 suspicari possis) **760** τάφρον 230 t Ω*: -ω Y R **761** γίνετ' Ω: γειν- 230: γίγν- rr **Σ 1** denuo adest A versum damn. Heyne **3** ηὗρε Fick: εὗρε 11 Ω **4** το 11[s] ἃ δὴ τετελεσμένα 11 86 Ω: ὃ ... -μένον Heyne **6** ὤι A *b* T W, ὥι Y: ὤ 11 Ω* ταρ 11 A, τὰρ F H: τ' ἂρ Ω*.—cf. Praef. xxix **7** ἔπι Hdn 11 A B[a] F: ἐπὶ vel ἐπι(-) Ω* (cf. A.R. 1.783, 3.687; Rengakos 109 sq.) **8–11** susp. Düntzer, **9–11** damn. idem (Aristarch 126) **8** κήδεα 11 86 Ω*: μή- A[a] *h* O θυμῶι 11 86 Ω: -οῦ *h* (cf. ξ 197) **9** διεπέφραδε 11 tt* Z Ω*: διαπ- Eust.: δ[ι .]π- 86: ἐπιπ- C **10–11** om. Rhi Arph **11** ὕπο Wolf: ὑπο 11, ὑπὸ vel ὑπο Ω **13** σχέτλιος 11 sch[b] Ω*: νήπιος W ἦ ϝ' Brandreth

νῆας ἔπ' ἂψ ἰέναι, μηδ' Ἕκτορι ἶφι μάχεσθαι."
15 ἕως ὃ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμόν,
τόφρα οἱ ἐγγύθεν ἦλθεν ἀγαυοῦ Νέστορος υἱός
δάκρυα θερμὰ χέων, φάτο δ' ἀγγελίην ἀλεγεινήν·
"ὤι μοι, Πηλέος υἱὲ δαΐφρονος, ἦ μάλα λυγρῆς
πεύσεαι ἀγγελίης, ἣ μὴ ὤφελλε γενέσθαι.
20 κεῖται Πάτροκλος, νέκυος δὲ δὴ ἀμφιμάχονται
γυμνοῦ· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαιόλος Ἕκτωρ."
ὣς φάτο· τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα.
ἀμφοτέρηισι δὲ χερσὶν ἑλὼν κόνιν αἰθαλόεσσαν
χεύατο κὰκ κεφαλῆς, χαρίεν δ' ἤισχυνε πρόσωπον·
25 νεκταρέωι δὲ χιτῶνι μέλαιν' ἀμφίζανε τέφρη.
{αὐτὸς δ' ἐν κονίηισι μέγας μεγαλωστὶ τανυσθείς
κεῖτο, φίληισι δὲ χερσὶ κόμην ἤισχυνε δαΐζων.}
δμωιαὶ δ', ἃς Ἀχιλεὺς ληΐσσατο Πάτροκλός τε,
θυμὸν ἀκηχέμεναι μεγάλ' ἴαχον, ἐκ δὲ θύραζε
30 ἔδραμον ἀμφ' Ἀχιλῆα δαΐφρονα, χερσὶ δὲ πᾶσαι
στήθεα πεπλήγοντο, λύθεν δ' ὑπὸ γυῖα ἑκάστης·
Ἀντίλοχος δ' ἑτέρωθεν ὀδύρετο δάκρυα λείβων,
χεῖρας ἔχων Ἀχιλῆος· ὃ δ' ἔστενε κυδάλιμον κῆρ.
{δείδιε γάρ, μὴ λαιμὸν ἀπαμήσειε σιδήρωι.}
35 σμερδαλέον δ' ὤιμωξεν· ἄκουσε δὲ πότνια μήτηρ
ἡμένη ἐν βένθεσσιν ἁλὸς παρὰ πατρὶ γέροντι.

14b sch Π 93b **17** Eudoc. 750 **18** (ἦ–)–**19a** ApS 7.11; **19** Eudoc. 752, 1236 **20–1** 'Trypho i' Trop. iii.202.10 Sp.; [Plut.] Hom. 2.83.1; Artem. 4.59 p.285.2 P.; **20** Simpl. in Cat. CAG viii.337.5; **20a** Plin. Ep. 4.11.12; sch O 9; Theo Progymn. 5 (80.4 Sp.) **22–4** Charito 1.4.6; **22** Plut. Mor. 455a; (νεφ. μέλ.) Aristid. Quint. 2.9 p.71.15 W.-I.; **23–4** Charito 5.2.4; Eudoc. 1800–1; **23–4a** Pl. Resp. 388b; **23** ApS 102.14; (κον.–) H. κ 3515; Aristid. Quint. 2.9 p.71.16 W.-I.; **24** (πρόσωπον) H. (Cyr.) π 3956 **25b** sch Σ 23b; (ἀμφ.–) H. (Cyr.) α 4017; (τέφρη) id. τ 719 **26–7** Eudoc. 820–1 **28** (ληΐσσ.) H. (Cyr.) λ 833; Phot. Lex. λ 249 **32b** ApS 108.3 **33a** + **34** (δείδιε γάρ) Nic ad Σ 33b; **34** Eudoc. 327; sch Eur. Med. 40; EtG s.v. δείδια; Epm. δ 69; **34a** ib. δ 78; (δείδ.) Hdn i.455.4; Epm. δ 2

14 νῆας ἔπ' ἂψ ἰέναι (nov. Did) 11 (εν ss. π') Ω* (cf. ad Φ 535): ἂψ ἐπὶ νῆας ἴμεν Arph Ar T H V (ἰέναι) (cf. Π 395, P 432, Σ 280): αψ επ[ι] νηας ϊναί 86 (ἵναι forma recens, cf. Schwyzer 674).—cf. ad Φ 297 **15** ἕως 11 86 Ω: εἷος Brandreth, ἦος Curtius **16** τόφρά 11 Ω **18** ὤι A *b* T W: ὤ 11 86 645 Ω* Πηλέως T[λ] Y R[a] **19** ή[[ν]] 11 ὤφελλε 11 Ω (-ελε Y G): -ειλε Nauck **21** κορυθαίολος C, -έολοσ Y **25** τέφρη 11[c] 239 tt* Ω*: -ης 11[a]: -ην Hsch.[α] W V: -η G **26–7** damn. Düntzer; cf. ad 461 **28** δμωιαὶ fere 11 239[c] W: -ωαὶ 239[a] Ω* δ' 11[s] 239 Ω: γ 11[t] **31** γυῖα ἑκάστης 11 (-ος ss. η) 239 Ω* G[γρ]: φαίδιμα γυῖα G **33** χεῖρας 239 t Ω: χειρος 11 **34** damn. Bothe ἀπαμήσειε Ar 239 647 T: ἀποτμήξειε Zen 11 tt Z Ω*

κώκυσέν τ' ἄρ' ἔπειτα· θεαὶ δέ μιν ἀμφαγέροντο
πᾶσαι, ὅσαι κατὰ βένθος ἁλὸς Νηρηΐδες ἦσαν.
{ἔνθ' ἄρ' ἔην Γλαύκη τε Θάλειά τε Κυμοδόκη τε,
40 Νησαίη Σπειώ τε Θόη θ' Ἁλίη τε βοῶπις
Κυμοθόη τε καὶ Ἀκταίη καὶ Λιμνώρεια
καὶ Μελίτη καὶ Ἴαιρα καὶ Ἀμφιθόη καὶ Ἀγαυή
Δωτώ τε Πρωτώ τε Φέρουσά τε Δυναμένη τε
Δεξαμένη τε καὶ Ἀμφινόμη καὶ Καλλιάνειρα,
45 Δωρὶς καὶ Πανόπη καὶ ἀγακλειτὴ Γαλάτεια
Νημερτής τε καὶ Ἀψευδὴς καὶ Καλλιάνασσα·
ἔνθα δ' ἔην Κλυμένη Ἰάνειρά τε καὶ Ἰάνασσα,
Μαῖρα καὶ Ὠρείθυια ἐϋπλόκαμός τ' Ἀμάθεια,
ἄλλαί θ' αἳ κατὰ βένθος ἁλὸς Νηρηΐδες ἦσαν.}
50 τῶν δὲ καὶ ἀργύφεον πλῆτο σπέος· αἳ δ' ἅμα πᾶσαι
στήθεα πεπλήγοντο. Θέτις δ' ἐξῆρχε γόοιο·
"κλῦτε, κασίγνηται Νηρηΐδες, ὄφρ' εὖ πᾶσαι
εἴδετ' ἀκούουσαι, ὅσ' ἐμῶι ἔνι κήδεα θυμῶι.
ὤι μοι ἐγὼ δειλή, ὤι μοι δυσαριστοτόκεια,
55 ἥ τ' ἐπεὶ ἂρ τέκον υἱὸν ἀμύμονά τε κρατερόν τε,
ἔξοχον ἡρώων, ὃ δ' ἀνέδραμεν ἔρνεϊ ἶσος,
τὸν μὲν ἐγὼ θρέψασα φυτὸν ὣς γουνῶι ἀλωῆς

37 (κώκ.) H. (Cyr.) κ 4798; (ἀμφαγ.) H. α 3887 **38** (βένθος) id. β 516 **39** (Θάλ.) Apio 240.28 **40a** sch Lyc. 397 **43b** Hdn ii.919.23 **45a** EtG s.v. Δωρίς **46** Choer. in Thd. i.162.25 **49** Did/Arn ad Σ 39–49 **50** (–σπ.) Hdn ii.847.15; EtG α 1127/8; Epm. ε 104; (ἀργ.) H. (Cyr.) α 7082 **51** (γόοιο) id. γ 839 **52** (–Νηρ.) sch A 538b; (ὄφρ'–)–**53a** Hdn ad Θ 18b[1] **54** Pl. Resp. 388c; Max. Tyr. 5.5, 18.5; Procl. in Remp. i.123.15; (δυσαρ.) Did ad X 431c[1/3]; ApS 60.27; sch A 415a; H. (Cyr.) δ 2530; Phot. Lex. δ 800 **56b** Did in Dem. xiv 19; ApS 77.8; Ael. V.H. 12.14; sch ζ 163 **57** (–ὥς) Epm. ε 178; **57a** Nic ad Σ 56

37 κώκυσέν 11 (t) Ω: ωιμωξεν (ex 35) 239 τ' 239 Ω: δ' 11 ἀμφ' ἀγέροντο fere A Y R W G **39–49** ath. Zen Ar: om. 𝔄 teste Callistr **39** ἄρ' (ἂρ) ἔην A[λ] Ω*: ἄρα ἦν 11 *h* G V Γλαύκη sic parox. Ar Hdn 11 Ω **40** Θόη (non θοὴ) Ar Hdn[uv] 11 647 Ω θ' Ἁλίη Ar Hdn[uv] 11 647 Ω: Θαλίη nov. Hdn.—v. adn. meam ad Hes. Th. 245 **42** om. 647 Ἀγαυή sic Hdn (ad I 150) 11 Ω: parox. Nauck **43** Δυναμένή 11 **44** Δεξαμένη Hdn Ω: -μενή quidam ante Hdn 11 **46** Νημερτής et Ἀψευδής sic (non parox.) Ar 11 Ω **47** ε]νθ' αρα ην (cf. ad 39) 11 Κλυμένη 11 Ω: -νη τ' H **48** Ἀμάθεια R[c] W H V: -θυια 11 647 1424 h88 Ω* (-θυα Y).—cf. adn. meam ad Hes. Th. 260 **49** ἄλλαί sic A W ἦσαν 11 647 t Ω (= 38): εἰσίν Lehrs **52** εὖ 11 Ω (εὒ Y): ἔϋ Ludwich (ἐΰ Heyne) **53** ἔνι (vel ἐνὶ) Ar Ω: ἔπι Arph **54** ὤι (prius) 11[c] A *b* T W: ὤ 11[a] Ω* ὤι (alterum) 1422 A *b* T W: ὤ [11] Ω* **55** init. υ]ιον[1422 **57** ἀλωιῆς A, ἀλωιῆς B T[λ]

νηυσὶν ἔπι προέηκα κορωνίσιν Ἴλιον εἴσω
Τρωσὶ μαχησόμενον· τὸν δ' οὐχ ὑποδέξομαι αὖτις
60 οἴκαδε νοστήσαντα δόμον Πηλήϊον εἴσω.
ὄφρα δέ μοι ζώει καὶ ὁρᾶι φάος ἠελίοιο,
ἄχνυται, οὐδέ τί οἱ δύναμαι χραισμῆσαι ἰοῦσα.
ἀλλ' εἶμ', ὄφρα ἴδωμι φίλον τέκος ἠδ' ἐπακούσω
ὅττί μιν ἵκετο πένθος ἀπὸ πτολέμοιο μένοντα."
65 ὣς ἄρα φωνήσασα λίπε σπέος· αἳ δὲ σὺν αὐτῆι
δακρυόεσσαι ἴσαν, περὶ δέ σφισι κῦμα θαλάσσης
ῥήγνυτο. ταὶ δ' ὅτε δὴ Τροίην ἐρίβωλον ἵκοντο,
ἀκτὴν εἰσανέβαινον ἐπισχερώ, ἔνθα θαμειαί
Μυρμιδόνων εἴρυντο νέες ταχὺν ἀμφ' Ἀχιλῆα.
70 τῶι δὲ βαρὺ στενάχοντι παρίστατο πότνια μήτηρ,
ὀξὺ δὲ κωκύσασα κάρη λάβε παιδὸς ἑοῖο,
καί ῥ' ὀλοφυρομένη ἔπεα πτερόεντα προσηύδα·
"τέκνον, τί κλαίεις; τί δέ σε φρένας ἵκετο πένθος;
ἐξαύδα, μὴ κεῦθε. τὰ μὲν δή τοι τετέλεσται
75 ἐκ Διός, ὡς ἄρα δὴ πρίν γ' ηὔχεο χεῖρας ἀνασχών,
πάντας ἐπὶ πρύμνηισιν ἀλήμεναι υἷας Ἀχαιῶν
σεῖ' ἐπιδευομένους παθέειν τ' ἀεκήλια ἔργα."
τὴν δὲ βαρὺ στενάχων προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
"μῆτερ ἐμή, τὰ μὲν ἄρ μοι Ὀλύμπιος ἐξετέλεσσεν·
80 ἀλλὰ τί μοι τῶν ἦδος, ἐπεὶ φίλος ὤλεθ' ἑταῖρος,
Πάτροκλος, τὸν ἐγὼ περὶ πάντων τῖον ἑταίρων,
ἶσον ἐμῆι κεφαλῆι; τὸν ἀπώλεσα, τεύχεα δ' Ἕκτωρ

58a Hdn ad Σ 7ab **59**b–**60** (–Πηλ.) Arn ad Π 222b; **59**b sch Σ 57b **61**a Epm. μ 77 **70–1** [Plut.] Hom. 2.148.2; **70**a Hdn ad A 364b[1]; **71–2** Eudoc. 2044/8; **71**a Arn ad Ξ 418a; (κωκ.) H. (Cyr.) κ 4797 **76** EtG α 463 **77** (ἀεκ.) H. α 1323; EtG α 102 **80**a sch Π 647 (Porph. Il. 216.11 Schr.) **81**a (τῖον–) H. τ 935 **82**a Aristid. Or. 4.1; [Plut.] Hom. 2.151.2; Choric. 172.12

58 ἔπι προέηκ[α 11: ἐπὶ πρ- B, ἐπιπρ- Ω*.—cf. ad P 708 **61** ζώει 11 t Ω*: -η(ι) C T Y R.—cf. ad 442 **63** ἴδωμι 11 (ex ει-) R[a] G: -ωμ Y: -ωμαι W: -οιμι Ω* **64** ὅττί sic A *b*, ὀττί T νιν (ss. μ) 11 ἀπὸ Ar Hdn 11 A B F[a]: ἄπο (deprec. Hdn) Ω* **66** σφι-σι 11 Ω* (σφίσι G): σφι *b* **68** ἀκτὴν 11 Z Ω*: -ήνδ' R: -ὴν δ' rr εἰσανέβαινον 11 A[λ] Ω* (εἰσ ἀν- B): -έβησαν A (εἰς ἀν- A[a]? A[γρ]): ἐξανέβησαν Cauer (cf. ad Ω 97) ἐπι-σχερώ Hdn 11 (ex -ωι) Ω* (ἐπὶ σχ- C): -ρῶ Z Y R G.—cf. ad Λ 668 **71** ἑοῖο 11 tt Ω*: ἑῆος R, agn. Eust.—cf. ad 138, A 393 **75** ὡς 11 Ω (ὣς B F R): ὧ(ι) *b* ηὔχεο Fick: εὔ- 11 1427 Ω **77** σεῖ' Fick: σεῦ 11 Ω ἀεκήλια Ar Ptol Alexio pro etymologia fal-sa ἔργα 11[s] Ω: μετρα 11[t] **80** ἦδος (Hdn) Ω* (εἶ- Y): ἧ- (Trypho) T[a]? R.—cf. ad A 576 **81** πέρι R H

δηιώσας ἀπέδυσε πελώρια, θαῦμα ἰδέσθαι,
καλά· τὰ μὲν Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα
85 ἤματι τῶι, ὅτε σὲ βροτοῦ ἀνέρος ἔμβαλον εὐνῆι.
αἴθ' ὄφελες σὺ μὲν αὖθι μετ' ἀθανάτηις ἁλίῃσιν
ναίειν, Πηλεὺς δὲ θνητὴν ἀγαγέσθαι ἄκοιτιν·
νῦν δ' ἵνα καὶ σοὶ πένθος ἐνὶ φρεσὶ μυρίον εἴη
παιδὸς ἀποφθιμένοιο, τὸν οὐχ ὑποδέξεαι αὖτις
90 οἴκαδε νοστήσαντ', ἐπεὶ οὐδ' ἐμὲ θυμὸς ἄνωγεν
ζώειν οὐδ' ἄνδρεσσι μετέμμεναι, αἴ κε μὴ Ἕκτωρ
πρῶτος ἐμῶι ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσηι,
Πατρόκλοιο δ' ἕλωρα Μενοιτιάδεω ἀποτείσηι."
τὸν δ' αὖτε προσέειπε Θέτις κατὰ δάκρυ χέουσα·
95 "ὠκύμορος δή μοι, τέκος, ἔσσεαι, οἷ' ἀγορεύεις·
αὐτίκα γάρ τοι ἔπειτα μεθ' Ἕκτορα πότμος ἑτοῖμος."
τὴν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
"αὐτίκα τεθναίην, ἐπεὶ οὐκ ἄρ' ἔμελλον ἑταίρωι
κτεινομένωι ἐπαμῦναι· ὃ μὲν μάλα τηλόθι πάτρης
100 ἔφθιτ', ἐμέο δ' ἐδέησεν ἀρῆς ἀλκτῆρα γενέσθαι.
νῦν δ' ἐπεὶ οὐ νέομαί γε φίλην ἐς πατρίδα γαῖαν,

84 (τὰ–δόσαν) + **85** sch Π 867c; **84** (τὰ–) Arn ad P 492a; **85** (ἀνέρος–) Nic ad Σ 88–90 **86–7** ApD Synt. 353.10; **86** (ἁλί.) H. α 3003; **87** (ναί.) H. (Cyr.) ν 17 **88** (μυρίον) ApS 114.12; H. μ 1899 **89a** Epm. φ 44 **91** (–μετ.) Eudoc. 1399 **93** (ἕλωρα) H. ε 2250 **95–9** Aeschin. 1.150; **95** (Callisth. ad Alex.) D.L. 5.5; (Diog. Sinop.) id. 6.53; (–ἔσσ.) sch O 440–1; **96 + 98a + 104** (παρὰ–) Pl. Apol. 28cd (unde Eus. P.E. 13.10.2); **96 + 98–9a** Cic. Att. 9.5.3; **96** sch T 407b; Procl. in Remp. i.149.19; (–πότ.) sch X 359; (πότ.) H. π 3149; **98a** sch I 401c; **99** (ἐπαμ.) H. (Cyr.) ε 4161 **100** (–ἄρεω) EtG α 1143; (ἔφθ.) H. (Cyr.) ε 7469; (ἐμεῖο–) Porph. Hom. 105.13 Sod.; Choer. in Ps. 178.5; (ἐμεῖο–ἀρῆς) Did ad Ξ 485a; ApS 62.14; **100b** id. 41.27 **101** Hdn ii.553.2; Choer. in Ps. 120.13; (οὐ νέ.) H. (Cyr.) ο 1790

83 ἀπέδυσε 11 1429 Ω: -λυσε quidam ap. sch^{T} cl. Π 804 **86** αἴθ' Ar A A$^{\lambda}$ *b* (cf. A 415, Γ 40, al.): ὡς (nov. Did) 11 t A^{m} Ω* (cf. Γ 173, 428, al.) **87** θνητὴν 11^{c} 86 Ω: -των 11^{a} **88** εἴη 11 (ex εηη) Ω*,]η 237: εἴηι (Leaf) W **90** ἄνωγε 11 86 237 Ω*: ἀνώγει A *b* Y.—cf. ad 176 **92** πρῶτος 11 1429 sch^{bT} A$^{\lambda}$ Ω: -ον Herwerden Quaestiunc. 33 ὑπὸ quidam ante Hdn Ω, ὑπο 1429, υπο 11: ὕπο Hdn τυπεὶς 11 1429 Z Ω (= Λ 433): δαμεὶς r ἀπὸ sic (vel ἀπο) Hdn 11 Ω **93** Μενοιτιάδεω 9 11 A^{m} Ω*: -δαο Z$^{?}$ A W: -δα' rr.—cf. ad Π 554 ἀποτείσῃ Y (-σηι Fick): -τίσῃ(ι) 9 11 Ω*: -τίσει Z **94** αὖτε προσέειπε 9 11 1429 Ω (αὖτισ Y): ἠμείβετ' ἔπειτα A$^{\gamma\rho}$.—cf. ad H 33 Θέτις 9 11 1429 Ω: θεὰ rr **97** ut supra 9 11 86 1429 Ω: τὴν δ' αὖτε προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς t **98** ἄρ' (ἂρ) ἔμελλον fere 9 11 (⟦γ⟧αρ) 1429 tt Ω (cf. E 205, 686): ἄρα μέλ–λον Hermann Orph. 694 **99** ut supra 9 11 1430 Ω: ὅ μοι πολὺ φίλτατος ἔσκεν (nec plura) t **100** ἐμεῦ δὲ δέησεν Thiersch (ἐμέο La Roche Unt. I 102, δ' ἐδέησεν Grashof): ἐμεῖο δὲ δῆσεν Hdn Did-Ξ Porph. 11 86 1429 Ω, δ' ἔδησεν Ptol$^{?}$ Parmeniscus 9 tt*

οὐδέ τι Πατρόκλωι γενόμην φάος οὐδ' ἑτάροισιν
τοῖς ἄλλοις, οἳ δὴ πολέες δάμεν Ἕκτορι δίωι,
ἀλλ' ἧμαι παρὰ νηυσὶν ἐτώσιον ἄχθος ἀρούρης,
105 τοῖος ἐὼν οἷος οὔ τις Ἀχαιῶν χαλκοχιτώνων
ἐν πολέμωι· ἀγορῆι δέ τ' ἀμείνονές εἰσι καὶ ἄλλοι.—
ὡς ἔρις ἔκ τε θεῶν ἔκ τ' ἀνθρώπων ἀπόλοιτο
καὶ χόλος, ὅς τ' ἐφέηκε πολύφρονά περ χαλεπῆναι,
ὅς τε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο
110 ἀνδρῶν ἐν στήθεσσιν ἀέξεται ἠΰτε καπνός,
ὡς ἐμὲ νῦν ἐχόλωσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν ἀχνύμενοί περ,
θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκηι.—
νῦν δ' εἶμ', ὄφρα φίλης κεφαλῆς ὀλετῆρα κιχείω,
115 Ἕκτορα. κῆρα δ' ἐγὼ τότε δέξομαι, ὁππότε κεν δή
Ζεὺς ἐθέληι τελέσαι ἠδ' ἀθάνατοι θεοὶ ἄλλοι.
οὐδὲ γὰρ οὐδὲ βίη Ἡρακλῆος φύγε κῆρα,
ὅς περ φίλτατος ἔσκε Διὶ Κρονίωνι ἄνακτι,
ἀλλά ἑ μοῖρ' ἐδάμασσε καὶ ἀργαλέος χόλος Ἥρης·
120 ὣς καὶ ἐγών, εἰ δή μοι ὁμοίη μοῖρα τέτυκται,
κείσομ' ἐπεί κε θάνω. νῦν δὲ κλέος ἐσθλὸν ἀροίμην,

104–5 Aristid. Or. 28.25; [Plut.] Hom. 2.142.2; **104** Plut. Mor. 465f; (ἧμαι) H. (Cyr.) η 414; **104b** Luc. Dial. 24.29; Areth. ad Pl. Theaet. 176d; EtG α 246; (ἐτ. ἄχθ.) sch Pl. l.c.; sch Luc. p.13.1 R.; (ἄχθ. ἀρ.) Porphyr. in Hor. Epist. 1.14.26; EtG α 1514; cf. Philon. De spec. leg. 3.50 (v.164.7 C.–W.), Clem. Paed. 3.30.1; **105–6** Plut. Mor. 471f; **106** Aristid. Or. 28.29; (ἀγορῆι–) sch T 219 **107–10** Porph. Hom. 71.1 Sod.; **107** Hclt. (DK 22 A 22) ap. Arist. Eth. Eud. 1235a26, Plut. Mor. 370d, cf. Numen. p.94.3 L.; Theocr. Chius ap. Stob. 2.2.19; [Plut.] Hom. 2.134.2; Choric. 176.12; Simpl. in Cat. CAG viii.412.26; (ἔκ τε–) Philod. De bono rege xxix.13; **108–10** Chrysipp. (SVF ii.252.12, 39) ap. Gal. Plac. Hipp. et Plat. 3.2.12, 4.1.10; **108** id. (SVF ii.251.21) ib. 3.7.52; (καὶ χ.) sch Σ 107a[1]; (ὅς–)–**109** Pl. Phileb. 47e; **109–10** Chrysipp. (SVF ii.241.33) ap. Gal. Plac. Hipp. et Plat. 3.2.2; (–ἀέξ.) Arist. Rh. 1378b5; **109–10a** Aspas. in Eth. CAG xix(1).44.9; **109** Arist. Rh. 1370b11 **111a** Epm. ε 181 **112–13** [Plut.] Hom. 2.129.4; **112** Cic. Att. 7.1.9, 10.12a.1; w34 ii 12 **114** (ὀλετ.) H. (Cyr.) ο 526?; Phot. Lex. s.v. **115** (κῆρα–δέξ.) Hdn ii.358.6, 644.23 (Choer. in Thd. i.322.24) **117–19** [Luc.] Dial. 82.14; Porph. Il. 105.21 Schr.; **117–18** w23 i 5 (lacera); **117** w5; **117a** sch E 22b **121** Philod. De bono rege xlii 5; w5 (lacerum); Eudoc. 1594

Z T[λ] (prob. Wack. KS 219; Schwyzer 752 n.3) ἀρῆς "ἐν τοῖς εἰκαιοτέροις" (Did) Ptol Hdn 9 11 1429 tt* sch[D] Ω: Ἄρεω Ar EtG A[s]: Ἄρεως (*b*) vel -εος (T) quidam teste sch[bT] (errante u.v.): Ἄρης Parmeniscus Choer. H[c] O[c].—cf. ad Ξ 485 **104** ἐτώσιον 9 11 tt* Ω: (-σι) κορωνίσιν Plato **105–6** damn. Heyne, **106** potius susp. Leaf **107** ὣς W O ἔκ τ' 9 11 (εκ τ[ε ⟦θν⟧ητων⟧ ανθρωπων) tt* Ω: καὶ Aristot. **111** ὣς B F W G **119** μοῖρ' ἐδάμασσε 11 647 tt Ω: μοῖρα δ- 9 *b* **120** ὣς 11 B C F T R: ὡς Ω*

καί τινα Τρωϊάδων καὶ Δαρδανίδων βαθυκόλπων
ἀμφοτέρῃσιν χερσὶ παρειάων ἁπαλάων
δάκρυ' ὀμορξαμένην ἀδινὰ στοναχῆσαι ἐφείην,
125 γνοῖεν δ' ὡς δὴ δηρὸν ἐγὼ πολέμοιο πέπαυμαι.
μηδέ μ' ἔρυκε μάχης φιλέουσά περ· οὐδέ με πείσεις."
τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ Θέτις ἀργυρόπεζα·
"ναὶ δὴ ταῦτά γε, τέκνον, ἐτήτυμον· οὐ κακόν ἐστιν
τειρομένοις ἑτάροισιν ἀμυνέμεν αἰπὺν ὄλεθρον·
130 ἀλλά τοι ἔντεα καλὰ μετὰ Τρώεσσιν ἔχονται
χάλκεα μαρμαίροντα. τὰ μὲν κορυθαιόλος Ἕκτωρ
αὐτὸς ἔχων ὤμοισιν ἀγάλλεται· οὐδέ ἕ φημι
δηρὸν ἐπαγλαΐεσθαι, ἐπεὶ φόνος ἐγγύθεν αὐτῶι.
ἀλλὰ σὺ μὲν μή πω καταδύσεο μῶλον ἄρηος,
135 πρίν γ' ἐμὲ δεῦρ' ἐλθοῦσαν ἐν ὀφθαλμοῖσιν ἴδηαι·
ἠῶθεν γὰρ νέομαι ἅμ' ἠελίωι ἀνιόντι
τεύχεα καλὰ φέρουσα παρ' Ἡφαίστοιο ἄνακτος."
ὣς ἄρα φωνήσασα πάλιν τράπεθ' υἷος ἑοῖο,
καὶ στρεφθεῖσ' ἁλίῃσι κασιγνήτῃσι μετηύδα·
140 "ὑμεῖς μὲν νῦν δῦτε θαλάσσης εὐρέα κόλπον,
ὀψόμεναί τε γέρονθ' ἅλιον καὶ δώματα πατρός,
καί οἱ πάντ' ἀγορεῦσαι· ἐγὼ δ' ἐς μακρὸν Ὄλυμπον
εἶμι παρ' Ἥφαιστον κλυτοτέχνην, αἴ κ' ἐθέλῃσιν
υἱεῖ ἐμῶι δόμεναι κλυτὰ τεύχεα παμφανόωντα."

122a Hdn i.552.21; (Τρω. βαθ.) H. β 59; (βαθ.) ApS 50.27; EtG β 5 **123b** Hdn i.291.19; id. ad Γ 35c; Epm. π 125 **124** Hdn ad A 364b^{2}; (ἀδ. στον.) Apio 212.15 **125** (γν.) H. (Cyr.) γ 722 **128** w5 (lacerum); (–γε) sch Σ 429–31 **131** (χάλκ.) sch Σ 128–9a **132** (οὐδέ–)–3 sch Σ 334–5a **134** w5 (lacerum) **136** (νεῦμαι) H. ν 388 **137a** ApS 94.20 **140–1** Paus. 3.21.9; **141** (–ἅλ.) sch Σ 38; (ὀψ. δώμ. π.) sch Σ 63; (ἅλ.) H. α 3027

124 δάκρυ' Ω*: -υ 9 11 86 237 T Y W.—cf. ad I 433 ἀδινὰ (vel ἁ-) (nov. Did) 11 (ex -αν) t* A^{s} T W R (cf. Ψ 225, Ω 123, η 274, ω 317): -νὸν Ar Apio 9 Z Ω* στοναχῆσαι tt 9 11 Ω*: στεν- R **125** πέπαυμαι 9 11 Ω*: πεπαύμην W **127** θεὰ Θέτις ἀργυρόπεζα 9 Ω: Θετις κατα δακρυ χεουσα 11 (ex 94) **128** ταῦτά Nic 9 11 86 t Ω*: τοῦτό R G^{γρ} agn. Eust. post ἐτήτυμον (sicubi quidem) interpungere iubet Nic: post τέκνον Leaf ἐτήτυμον 9 11 w5 Ω: -μα· Ahrens Kl. Schr. I 141 **131** κορυθαίολος 9 C, -έολοσ Y **133** ἐπαγλαΐεσθαι Wackernagel (v. Praef. xxxi), -ϊεσθαι 11^{a}: -ϊεῖσθαι 9 11^{c} t Z Ω (ἀπαγλ- *h*) αὐτῶ(ι) 9 11 t Ω*: -οῦ C **136** νεομαι Z: νεῦμαι Ar 9 11 86 t Ω **138** τρεπεν 1431 ἑοῖο Ω*: ἑῆος 9 11 502a A^{γρ} Y R W G^{a}.—cf. ad 71, A 393 **139** προσηΰδα Y **142** ἀγορεῦσαι Zen, haud improbat Did (cf. Schwyzer–Debr. 381 infra; Chantr. II 316): -εύσατ' Ar 9 11 86 1431 Ω (-εύσαιτ' Y) **144** υἱεῖ 9 11 1430 A^{λ} Ω*: υἷϊ W H: υἱέ' (Rzach) rr: υἱέϊ μοι Nauck.—cf. ad 458, Φ 34, X 302

145 ὣς ἔφαθ', αἳ δ' ὑπὸ κῦμα θαλάσσης αὐτίκ' ἔδυσαν·
ἣ δ' αὖτ' Οὔλυμπόνδε θεὰ Θέτις ἀργυρόπεζα
ἤϊεν, ὄφρα φίλωι παιδὶ κλυτὰ τεύχε' ἐνείκαι.
τὴν μὲν ἄρ' Οὔλυμπόνδε πόδες φέρον· αὐτὰρ Ἀχαιοί
θεσπεσίωι ἀλαλητῶι ὑφ' Ἕκτορος ἀνδροφόνοιο
150 φεύγοντες νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.
οὐδέ κε Πάτροκλόν περ ἐϋκνήμιδες Ἀχαιοί
ἐκ βελέων ἐρύσαντο νέκυν, θεράποντ' Ἀχιλῆος·
αὖτις γὰρ δὴ τόν γε κίχον λαός τε καὶ ἵπποι
Ἕκτωρ τε Πριάμοιο πάϊς φλογὶ εἴκελος ἀλκήν.
155 τρὶς μέν μιν μετόπισθε ποδῶν λάβε φαίδιμος Ἕκτωρ
ἑλκέμεναι μεμαώς, μέγα δὲ Τρώεσσιν ὁμόκλα·
τρὶς δὲ δύ' Αἴαντες, θοῦριν ἐπιειμένοι ἀλκήν,
νεκροῦ ἀπεστυφέλιξαν. ὃ δ' ἔμπεδον ἀλκὶ πεποιθώς
ἄλλοτ' ἐπαΐξασκε κατὰ μόθον, ἄλλοτε δ' αὖτε
160 στάσκε μέγα ἰάχων, ὀπίσω δ' οὐ χάζετο πάμπαν·
ὡς δ' ἀπὸ σώματος οὔ τι λέοντ' αἴθωνα δύνανται
ποιμένες ἄγραυλοι μέγα πεινάοντα δίεσθαι,
ὥς ῥα τὸν οὐκ ἐδύναντο δύω Αἴαντε κορυστά
Ἕκτορα Πριαμίδην ἀπὸ νεκροῦ δειδίξασθαι.
165 καί νύ κεν εἴρυσσέν τε καὶ ἄσπετον ἤρετο κῦδος,
εἰ μὴ Πηλείωνι ποδήνεμος ὠκέα Ἶρις
ἄγγελος ἦλθε θέουσ' ἀπ' Ὀλύμπου θωρήσσεσθαι,
κρύβδα Διὸς ἄλλων τε θεῶν· πρὸ γὰρ ἧκέ μιν Ἥρη·

148a Arn ad Σ 369 **156b** EtG s.v. ὁμοκλή (Philox. fr. 155 Th.) **159** (κατὰ μ.) H. (Cyr.) κ 1271 **160** (ὀπίσω δ' οὐ χ.) cf. sch B 113b **162b** Epm. τ 6 **164** al. (δειδ.) H. δ 389, 435 **168** (κρύβ.) H. (Cyr.) κ 4241

146 ἣ δ' αὖτ' 11 1430 Ω: ἡ μὲν αρ' 9 (cf. 148) **147** ἐνείκαι 9 11 Ω* (-νεῖ- A F^{a} T^{a}): -οι T^{s} rr: -η(ι) 1431 Y W^{c} G **148–50** damn. Düntzer; cf. Wilamowitz Il. u. H. 167 n.2 **149** Ἕκτορος ἀνδροφόνοιο 9 11 1431 Ω: Ἕκτορι καὶ Διὶ πατρί V (= O 637) **151** οὐδέ κε 9 11 1430 Ω (ουδέ περ Y): οὐδ' ἄρα $A^{\gamma\rho}$ **153–65** susp. Leaf **153** τόν γε 9 11 Ω*: τόνδε 1430 C T Y W κίχον 9 11 Ω*: (γ') ἔκιχον G λαός 9 11 86 Ω (cf. I 708): -οί A^{s} **154** φλογὶ Ar 9 11 86 1432 Ω (cf. N 330): συῒ Zen (cf. Δ 253, P 281) **155** τρὶς μέν μιν Ar 9 11 1430 Ω: ὅς μιν τρὶς Zen φαίδιμος Ἕκτωρ Ar 9 11 86 Ω: καὶ μέγ' ἀΰτει Zen **156** μέγα δὲ Τρώεσσιν ὁμόκλα Ar 9 11 86 1432 t (μετὰ) Z Ω: κεφαλὴν δέ ἑ θυμὸς ἀνώγει | πῆξαι ἀνὰ σκολόπεσσι ταμόνθ' ἁπαλῆς ἀπὸ δειρῆς Zen (cf. ad 174) **160** ἰάχων Ar 9 11 Ω (cf. ad E 302): ἀχέων Zen (cf. Richardson ad Hymn. Cer. 479) **162** πεινάοντα 9 86 t^{vl} Ω: -ώοντα t^{vl} δίεσθαι sic proparox. Hdn 9 11 Z Ω **163** κορυστὰ 9 11 Ω: -αὶ *b* **164** δειδίξασθαι 11 Ω*: -εσθαι 9 T **165** εἴρυσσέν 9 11 Ω*: -υσέ(ν) *b* T Y (ἠρ-) R W: cf. etiam ad Γ 373 ἤρετο Brandreth: -ατο 9 11 (ἤ-) 86 Ω (ἤιρ- A T G).—v. ad Ξ 510 **168** damn. C.A.J. Hoff-

ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα·
170 "ὄρσεο, Πηλείδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν·
Πατρόκλωι ἐπάμυνον, οὗ εἵνεκα φύλοπις αἰνή
ἕστηκε πρὸ νεῶν, οἳ δ' ἀλλήλους ὀλέκουσιν,
οἳ μὲν ἀμυνόμενοι νέκυος πέρι τεθνηῶτος,
οἳ δὲ ἐρύσσασθαι προτὶ Ἴλιον ἠνεμόεσσαν
175 Τρῶες ἐπιθύουσι. μάλιστα δὲ φαίδιμος Ἕκτωρ
ἑλκέμεναι μέμονεν· κεφαλὴν δέ ἑ θυμὸς ἄνωγεν
πῆξαι ἀνὰ σκολόπεσσι ταμόνθ' ἁπαλῆς ἀπὸ δειρῆς.
ἀλλ' ἄνα, μηδ' ἔτι κεῖσο· σέβας δέ σε θυμὸν ἱκέσθω
Πάτροκλον Τρωιῆισι κυσὶν μέλπηθρα γενέσθαι.
180 σοὶ λώβη, αἴ κέν τι νέκυς ἠισχυμμένος ἔλθηι."
τὴν δ' ἠμείβετ' ἔπειτα ποδάρκης δῖος Ἀχιλλεύς·
"Ἶρι θεά, τίς τάρ σε θεῶν ἐμοὶ ἄγγελον ἧκεν;"
τὸν δ' αὖτε προσέειπε ποδήνεμος ὠκέα Ἶρις·
"Ἥρη με προέηκε, Διὸς κυδρὴ παράκοιτις·
185 οὐδ' οἶδε Κρονίδης ὑψίζυγος οὐδέ τις ἄλλος
ἀθανάτων, οἳ Ὄλυμπον ἀγάννιφον ἀμφινέμονται."
τὴν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
"πῶς ταρ ἴω μετὰ μῶλον; ἔχουσι δὲ τεύχε' ἐκεῖνοι.
μήτηρ δ' οὔ με φίλη πρίν γ' εἴα θωρήσσεσθαι,
190 πρίν γ' αὐτὴν ἐλθοῦσαν ἐν ὀφθαλμοῖσιν ἴδωμαι·
στεῦτο γὰρ Ἡφαίστοιο πάρ' οἰσέμεν ἔντεα καλά.

171 sch Π 1a **175** (ἐπιθ.) ApS 73.18; **175b–9** Procl. in Remp. i.150.23; **175b–7** Porph. Il. 267.6 Schr.; **178** ApS 30.20; Eudoc. 679, cf. 803; **178a** ApD Coni. 233.17; (ἄνα) H. (Cyr.) α 4184; (σέβας) H. σ 312 **180** (λώβη) Apio 246.9 **182** Macr. Sat. 5.9.1 **184** (κυδρή) H. (Cyr.) κ 4425 **191** (–πάρ' οἰσ.) Hdn i.487.4; id. ad B 150b^{1}, I 456b, Σ 400b, Φ 588b^{1}

mann Qu. Hom. II (1848) 140 sq.; cf. 181–6 **171** Πατρόκλωι 9 11 86 t Ω: -ου Ar N.—cf. ad Π 522 **173** πέρι *b* Y R W G: περὶ vel περι Ω* τεθνηῶτος A^{s} B^{a} E F^{a} T: -θνει- 9 E^{s} Ω* **174** ἐρύσσασθαι 9 Z A$^{\lambda}$ A^{s} Ω* (-ύσα- Y R W^{a} G): -εσθαι 239 A^{t}.—cf. ad Φ 176 προτὶ 9 1432 Ω: ποτι 86 N ἠνεμόεσσαν Ar 9 Ω: αἰπὺ θέλοντες Zen qui **175–7** om. (cf. ad 156) **176** δέ tt Ω* (et Zen in 156): τέ 9 A B E ἄνωγε(ν) A$^{\gamma\rho}$ *b* Y R W: ἀνώγει 9 tt Ω*.—cf. ad 90 **178** μηδ' ἔτι 239^{c} tt* Ω*, μηδέτι 9 86 B^{c} F$^{c?}$ T Y R: μη–κέτι 239^{a} ApS ApD Z W G κεῖσο 9 239 1432 tt Ω: κεῖο Wack. Unt. 170 **180** ἠισ–χυμ(μ)ένος 9 1422 1432 Ω: αἰκισμένος T$^{\gamma\rho}$ ἔλθη(ι) Ω*: -ης 9: -οι C G^{s} **182** τάρ Ar^{a}, τ' ἄρ rr: γάρ Ar^{b} 9 t A$^{\lambda}$ Ω **182*a*** Τρωες α[(= 200? v. Apthorp ZPE 111 [1996] 146) add. 502a **185** οὐδ' … οὐδέ 11 647 Ω: ουτ' … ουτέ 9 **188** ταρ 9 11, τὰρ A C E F, τ' ἆρ Ω*: γὰρ T$^{\lambda}$ W H τεύχε' ἐκεῖνοι 9 Ω: -εα κεῖνοι Barnes **191** πάρ' οἰσέμεν Ar "ἡ παράδοσις" Ω*: παρ' οἰσ- Chaeris ApD *h*: παροισ- 9 647 A F^{a} T.—cf. Δ 97

ἄλλου δ' οὔ τεο οἶδα τέο κλυτὰ τεύχεα δύω,
εἰ μὴ Αἴαντός γε σάκος Τελαμωνιάδαο·
ἀλλὰ καὶ αὐτὸς ὅ γ', ἔλπομ', ἐνὶ πρώτοισιν ὁμιλεῖ,
195 ἔγχεϊ δηϊόων περὶ Πατρόκλοιο θανόντος."
τὸν δ' αὖτε προσέειπε ποδήνεμος ὠκέα Ἶρις·
"εὖ νυ καὶ ἡμεῖς ἴδμεν, ὅ τοι κλυτὰ τεύχε' ἔχονται.
ἀλλ' αὔτως ἐπὶ τάφρον ἰὼν Τρώεσσι φάνηθι,
αἴ κέ σ' ὑποδδείσαντες ἀπόσχωνται πολέμοιο.
200 {Τρῶες, ἀναπνεύσωσι δ' ἀρήϊοι υἷες Ἀχαιῶν
τειρόμενοι· ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο.}"
ἣ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη πόδας ὠκέα Ἶρις·
αὐτὰρ Ἀχιλλεὺς ὦρτο διίφιλος. ἀμφὶ δ' Ἀθήνη
ὤμοις ἰφθίμοισι βάλ' αἰγίδα θυσανόεσσαν·
205 ἀμφὶ δέ οἱ κεφαλῆι νέφος ἔστεφε δῖα θεάων
χρύσεον, ἐκ δ' αὐτοῦ δαῖε φλόγα παμφανόωσαν.
ὡς δ' ὅτε καπνὸς ἰὼν ἐξ ἄστεος αἰθέρ' ἵκηται
τηλόθεν ἐκ νήσου, τὴν δήϊοι ἀμφιμάχωνται,
οἳ δὲ πανημέριοι στυγερῶι κρίνωνται ἄρηϊ
210 ἄστεος ἐκ σφετέρου, ἅμα δ' ἠελίωι καταδύντι
πυρσοί τε φλεγέθουσιν ἐπήτριμοι, ὑψόσε δ' αὐγή
γίνεται ἀΐσσουσα περικτιόνεσσιν ἰδέσθαι,
αἴ κέν πως σὺν νηυσὶν ἀρῆς ἀλκτῆρες ἵκωνται,

194 (ὁμιλ.) H. (Cyr.) ο 724 **195a** Hdn ad P 65a **203** (ἀμφὶ–)–**4** (–αἰγ.) sch O 229b **207** sch Σ 110a **211** (πυρσοί) H. π 4469; (ἐπήτρ.) H. (Cyr.) ε 5357 **212** (περικτ.) H. π 1742

192 οὔ τευ fere 9 11 (τε[) Z (οὔτ' εὖ) Ω (οὔτ' εὗ W), οὔ τεο Payne Knight: οὐδέ τευ T$^{\lambda}$: οὔ θην rr τέο Bechtel ap. Robert 345: τεῦ ἂν 9 647 (τεὺ) 1429 Z Ω (ἂν om. R^{a}), τέ' ἂν Platt: τοῦ ἂν A$^{\lambda}$ r: ὅτευ Nauck **193** denuo adest D **194** πρώτοισιν 9 D Y R W G: Τρώεσσιν Ω*.—cf. ad Υ 338 **195** ἔγχεϊ sic 9 11 Ω praeter Y **197** ὅ τοι 9 Ω*: ὅτι *b* T Y G κλυτὰ Ar 9 Ω: καλὰ nov. Did **198** αὔτως (vel αὔ-) Ar 9 11 Z Ω: αὐτὸς Zen Arph *h*, haud improbat Did **199** ὑποδδείσαντες 9 Ω*: ὑποδεί- [11] Y^{a} W^{a} **200–1** (= Λ 800–1, Π 42–3) habent A *b* (sed A in pag. vv. duos supra normam continente), **200** solum Ω* (201 mg. add. R^{c} W^{2}): desunt in 9 11 [86]$^{?}$ [647]$^{?}$ 1429 N V, cf. ad 182*a*.—v. Apthorp ZPE 111 (1996) 141–8 **203** ἀμφὶ δ' Ω*: αὐτὰρ 9 11 W H **204** θυσανόεσ-σαν D F T Y W^{c}? G: θυσσ- 9 Ω* **207** καπνὸς ἰὼν ἐξ ἄστεος Ar$^{ab?}$ 9 11 1429 t sch^{D} Ω: πῦρ ἐπὶ πόντον ἀριπρεπὲς Ar postea teste DThr ap. Did (ex coniectura? cf. Wilamowitz Il. u. H. 168 n. 2; Cauer Grundfragen^{3} 66) **208** ἀμφιμάχωνται Hermann Opusc. II 55: -ονται 9 647 Ω (ἀμφὶ μ- B^{c}) **209** οἳ δὲ Heyne: οἵ τε 9 11 1425 Ω κρίνωνται 9 647 A F: -ονται Ω* **210** ἄστεος ἐκ σφετέρου Ar 9 11 (ἐκ) 239 1425 Ω: ἄστυ πέρι σφέτερον Zen (περὶ T: ποτὲ A: ποτὶ Villoison) **211** ἐπήτριμοι Hdn 9 Z Ω: oxyt. Ptol **212** γίνεται 11 Ω: γίγν- 9 V: γειν- 1425: an τείν-? **213** ἀρῆς Wolf: ἄρεως

ὣς ἀπ' Ἀχιλλῆος κεφαλῆς σέλας αἰθέρ' ἵκανεν.
215 στῆ δ' ἐπὶ τάφρον ἰὼν ἀπὸ τείχεος, οὐδ' ἐς Ἀχαιούς
μίσγετο· μητρὸς γὰρ πυκινὴν ὠπίζετ' ἐφετμήν.
ἔνθα στὰς ἤϋσ', ἀπάτερθε δὲ Παλλὰς Ἀθήνη
φθέγξατ'· ἀτὰρ Τρώεσσιν ἐν ἄσπετον ὦρσε κυδοιμόν.
ὡς δ' ὅτ' ἀριζήλη φωνή, ὅτε τ' ἴαχε σάλπιγξ
220 ἄστυ περιπλομένων δηίων ὕπο θυμοραϊστέων,
ὣς τότ' ἀριζήλη φωνὴ γένετ' Αἰακίδαο.
οἳ δ' ὡς οὖν ἄϊον ὄπα χάλκεον Αἰακίδαο,
πᾶσιν ὀρίνθη θυμός· ἀτὰρ καλλίτριχες ἵπποι
ἂψ ὄχεα τρόπεον, ὄσσοντο γὰρ ἄλγεα θυμῶι,
225 ἡνίοχοι δ' ἔκπληγεν, ἐπεὶ ἴδον ἀκάματον πῦρ
δεινὸν ὑπὲρ κεφαλῆς μεγαθύμου Πηλείωνος
δαιόμενον· τὸ δ' ἔδαιε θεὰ γλαυκῶπις Ἀθήνη.
τρὶς μὲν ὑπὲρ τάφρου μεγάλ' ἴαχε δῖος Ἀχιλλεύς,
τρὶς δ' ἐκυκήθησαν Τρῶες κλειτοί τ' ἐπίκουροι.
230 ἔνθα δὲ καὶ τότ' ὄλοντο δυώδεκα φῶτες ἄριστοι
ἀμφὶ σφοῖς ὀχέεσσι καὶ ἔγχεσιν. αὐτὰρ Ἀχαιοί
ἀσπασίως Πάτροκλον ὕπεκ βελέων ἐρύσαντες
κάτθεσαν ἐν λεχέεσσι· φίλοι δ' ἀμφέσταν ἑταῖροι
μυρόμενοι, μετὰ δέ σφι ποδώκης εἵπετ' Ἀχιλλεύς
235 δάκρυα θερμὰ χέων, ἐπεὶ εἴσιδε πιστὸν ἑταῖρον

216 (ὠπ.) ApS 171.16; H. ω 268 **219** ApS 140.10; sch[h76] Λ 699 (iii.119 E.); Porph. Hom. 25.11 Sod.; (ἀριζ.) ApS 44.4; H. (Cyr.) α 7207; (ἴαχε σ.) sch Ω 480–2a[1] **222** Porph. Hom. 25.14 Sod.; (ἄϊον) H. α 2038; (ὄπα χ.) Porph. Hom. 32.18 Sod. **224** (ὄσσ.) H. (Cyr.) ο 1444 **225** D.H. Comp. 93; **225**a Orio 57.20; Epm. π 146 **228–9** (–Τρ.) sch Σ 35–6 **230–1** (–ἔγχ.) cf. Dion. Prus. 2.57; **231**a ApD Pron. 111.22 **233** Eudoc. 2031

(nov. Did?) 9 239 647 Ω*: ἄρεος Z C R: Ἄρεω Ar.—cf. ad 100, Ξ 485 **216** πυκινὴν 9 239 647[c] Ω: κρ]ατερην 647[a] **219** σάλπιγξ 9 1433 tt Z Ω: -ιξ 647 **220** ὕπο C: ὑπὸ vel ὑπο 9 (υπὸ) Ω* θυμοραϊστέων 9 647 1433 Z Ω (-στῶν Y W): θυμορρ- r.—cf. ad N 544 **222** χάλκεον Ar 9 647 1435 t Ω: -έην Zen Αἰακίδαο 9 239[t] 647 1433 Ω: αὐδήσαντος 239[s] V (cf. Π 76) **224** τρόπεον 9 647[c] 1435 Z Ω: -έοντ' 647[a] N **226** ὑπὲρ 9 1434 Ω*: ὑπ' ἐκ T O **227** δ' ἔδαιε 648 A[m] Ω*: δὲ δαῖε 1435 A *b* F[c] (cf. 206): δαίδεε Y **229** δ' ἐκυκήθησαν Ω*: δὲ κυκ- 9 Z D Y R W G κλειτοί 9 86 239 648 Ω*: κλη- Y: κλεινοί W **230** damn. Payne Knight καὶ τότ' ... φῶτες Ar 9 86 239 Ω: κοῦροι ... πάντες Zen **231** ἀμφὶ σφοῖς ὀχέεσσι Ar 9 t Z Ω: ξίφεσσι (lege ξιφέεσσι) A[γρ]: οἷσιν ἐν βελέεσσι Zen (‹γ'› ἐν?) ἔγχεσιν 9 86[?] 648 Ω*: ἔντεσιν W:]εσιν 239: ἅρμασιν M **232** ἀσπασίως 9 Ω: ἀσπάσιοι? Nauck ὕπεκ dedi (Praef. xix): υπεκ 9 648 Y, ὑπὲκ B[c], ὑπεκ C T, ὑπ' ἐκ fere Ω* **233** ἀμφέσταν 9 t Ω*: -έστασαν A (ἀμφ') C Y R W **234** σφι 9 648 Ω*: σφισι *b*

κείμενον ἐν φέρτρωι, δεδαϊγμένον ὀξέϊ χαλκῶι,
τόν ῥ' ἤτοι μὲν ἔπεμπε σὺν ἵπποισιν καὶ ὄχεσφιν
ἐς πόλεμον, οὐδ' αὖτις ἐδέξατο νοστήσαντα.
ἠέλιον δ' ἀκάμαντα βοῶπις πότνια Ἥρη
240 πέμψεν ἐπ' Ὠκεανοῖο ῥοὰς ἀέκοντα νέεσθαι·
ἠέλιος μὲν ἔδυ, παύσαντο δὲ δῖοι Ἀχαιοί
φυλόπιδος κρατερῆς καὶ ὁμοιίοο πτολέμοιο.
Τρῶες δ' αὖθ' ἑτέρωθεν ἀπὸ κρατερῆς ὑσμίνης
χωρήσαντες ἔλυσαν ὑφ' ἅρμασιν ὠκέας ἵππους.
245 ἐς δ' ἀγορὴν ἀγέροντο πάρος δόρποιο μέδεσθαι·
ὀρθῶν δ' ἑσταότων ἀγορὴ γένετ', οὐδέ τις ἔτλη
ἕζεσθαι· πάντας γὰρ ἔχε τρόμος, οὕνεκ' Ἀχιλλεύς
ἐξεφάνη· δηρὸν δὲ μάχης ἐπέπαυτ' ἀλεγεινῆς.
τοῖσι δὲ Πουλυδάμας πεπνυμένος ἦρχ' ἀγορεύειν
250 Πανθοίδης· ὃ γὰρ οἶος ὅρα πρόσσω καὶ ὀπίσσω·
Ἕκτορι δ' ἦεν ἑταῖρος, ἰῆι δ' ἐν νυκτὶ γένοντο,
ἀλλ' ὃ μὲν ἂρ μύθοισιν, ὃ δ' ἔγχεϊ πολλὸν ἐνίκα·
ὅ σφιν ἔϋ φρονέων ἀγορήσατο καὶ μετέειπεν·
"ἀμφὶ μάλα φράζεσθε, φίλοι· κέλομαι γὰρ ἐγώ γε
255 ἄστυδε νῦν ἰέναι, μὴ μίμνειν ἠῶ δῖαν
ἐν πεδίωι παρὰ νηυσίν· ἑκὰς δ' ἀπὸ τείχεός εἰμεν.
ὄφρα μὲν οὗτος ἀνὴρ Ἀγαμέμνονι μήνιε δίωι,
τόφρα δὲ ῥηΐτεροι πολεμίζειν ἦσαν Ἀχαιοί·
χαίρεσκον γὰρ ἐγώ γε θοῇς ἐπὶ νηυσὶν ἰαύων,

236a ApS 162.8; Hdn ii.942.33; Epm. χ 30; (ἐν φ.) H. (Cyr.) ε 2557; (φ.) H. φ 323 **239–40** Hclt. Alleg. 8.8; Iul. Or. 4.137b; **239a** + πότν. Ἡ.–**40** (–ῥοάς) Procl. in Crat. 94.7; **239a** ApS 20.8; (ἀκάμ.) H. α 2253; **240** (–ῥοάς) sch E 6b; (ἀέκ.–) H. (Cyr.) α 1325 **245** (μέδ.) H. μ 509; Phot. Lex. μ 176 **247** (ἕζ.) H. (Cyr.) ε 599 **248** (ἐξεφ.) H. ε 3808 **250b** sch A 343 **251a** Porph. Il. 77.14 Schr.; **251b** Hdn ad Z 422a[1], Π 173a; Orio 124.5 **252** Nic ad T 218–19 **254–5a** + **256b** Strab. 13.1.36; **254** Eudoc. 1560; (κέλ.–)–**5a** sch Σ 287a; **255** sch Heph. 265.13 **258** (ῥηΐτ.–) Lib. Ep. 1256.1 (xi.330.17 F.); (ῥηΐτ.) H. ρ 251 **259a** Choer. in Thd. ii.144.35; Epm. π 179; (ἰαύ.) ApS 89.27; H. (Cyr.) ι 103

239 δ' ἀκάμαντα 9 648? tt (τ' Iul., γὰρ Hclt.) Z A$^{\lambda}$ Ω*: μὲν ἔπειτα A$^{\gamma\rho}$ W **240** πέμψεν 9 tt Ω*: -πεν (ex 237?) A *b* ἀέκοντα A **242** ὁμοιίοο fere Payne Knight: -ίου 9 Ω πτολέμοιο 9 Ω*: πολ- R **243** αὖθ' 9 A^{c} Ω*: αὖ A^{a} ἀπὸ κρατερῆς ὑσμίνης 9 Ω: ἐπι θρωσμῶι πεδίοιο A$^{\gamma\rho}$ (= Λ 56) **247** ἑζέσθαι Leaf ἔχε 9 Ω (-εν Y): ἕλε A^{s} H τρόμος Ar 9 Ω: (-εν) φόβος Zen.—cf. ad T 14 **252** ἔγχεϊ sic 648 Ω: -ει 9 **253** ὅ Ω*: ὅς 9 R W ἔϋ φρονέων Fick: ἐϋφρ- A *b* T: ευφρ- 9: εὖ φρ- Ω* **254** ἐγώ γε Bekker: ἔγωγε Ω **258** πολεμίζειν 9 648 t Ω: -ιζέμεν Z rr **259** γὰρ 9 tt Ω: μὲν Düntzer ἐγώ γε Bekker: ἔγωγε Ω

260 ἐλπόμενος νῆας αἱρησέμεν ἀμφιελίσσας.
νῦν δ' αἰνῶς δείδοικα ποδώκεα Πηλείωνα·
οἷος ἐκείνου θυμὸς ὑπέρβιος, οὐκ ἐθελήσει
μίμνειν ἐν πεδίωι, ὅθι περ Τρῶες καὶ Ἀχαιοί
ἐν μέσωι ἀμφότεροι μένος ἄρηος δατέονται,
265 ἀλλὰ περὶ πτόλιός τε μαχήσεται ἠδὲ γυναικῶν.
ἀλλ' ἴομεν προτὶ ἄστυ, πιθέσθε μοι· ὧδε γὰρ ἔσται.
νῦν μὲν νὺξ ἀπέπαυσε ποδώκεα Πηλείωνα
ἀμβροσίη· εἰ δ' ἄμμε κιχήσεται ἐνθάδ' ἐόντας
αὔριον ὁρμηθεὶς σὺν τεύχεσιν, εὖ νύ τις αὐτόν
270 γνώσεται· ἀσπασίως γὰρ ἀφίξεται Ἴλιον ἱρήν
ὅς κε φύγηι, πολλοὺς δὲ κύνες καὶ γῦπες ἔδονται
{Τρώων. αἲ γὰρ δή μοι ἀπ' οὔατος ὧδε γένοιτο}.
εἰ δ' ἂν ἐμοῖς ἐπέεσσι πιθώμεθα κηδόμενοί περ,
νύκτα μὲν εἰν ἀγορῆι σθένος ἕξομεν, ἄστυ δὲ πύργοι
275 ὑψηλαί τε πύλαι σανίδες τ' ἐπὶ τῆις ἀραρυῖαι
μακραὶ ἐΰξεστοι ἐζευγμέναι εἰρύσσονται·
πρῶϊ δ' ὑπηοῖοι σὺν τεύχεσι θωρηχθέντες
στησόμεθ' ἂμ πύργους. τῶι δ' ἄλγιον, αἴ κ' ἐθέλησιν
ἐλθὼν ἐκ νηῶν περὶ τείχεος ἄμμι μάχεσθαι·
280 ἂψ πάλιν εἶσ' ἐπὶ νῆας, ἐπεί κ' ἐριαύχενας ἵππους
παντοίου δρόμου ἄσηι ὑπὸ πτόλιν ἠλασκάζων·
εἴσω δ' οὔ μιν θυμὸς ἐφορμηθῆναι ἐάσει,
οὐδέ ποτ' ἐκπέρσει. πρίν μιν κύνες ἀργοὶ ἔδονται."

261 Choric. 134.11 **264** (μένος ἄρ.) ApS 111.14 **266** Eudoc. 509 **268** (ἀμβρ.) H. α 3523 **270** (ἀφίξ.) H. (Cyr.) α 8696 **272** (ἀπ' οὔ.) id. α 6756 **273** cf. Eudoc. 507 **274** (εἰν–ἕξ.) H. ε 963 **278** (ἄλγ.) id. α 2801 **280** (ἂψ πάλιν) ApS 50.5 **281** (ἠλάσκ.) Orio 70.1 **283** sch A 29b; Porph. Od. 46.8 Schr.

262 ἐκείνου 9 Ω: κείνου r Eust.—cf. ad O 94 οὐκ 9 647 648 Ω (cf. ο 212): οὐδ' rr **263** περ 9 647 648 Ω: τ]ε 1427 **264** ἄρηος 9 647 648 t Ω*: -εος Z A *b* Y R **265–83** damn. Payne Knight post Heyne, **266–83** Düntzer **265** μαχήσεται 9 647 648 1427 A^{λ} Ω: μαχέσσ- $A^{\gamma\rho}$ **266** προτὶ 9 Ω: ποτὶ t rr πιθέσθε Tyr V: proparox. Hdn 647 Ω.—cf. Wack. KS 866 **270** ἀσπασίως 9 Ω: -άσιος Cobet Misc. crit. 295 **272–6** susp. Leaf **272** damn. Bekker Hom. Bl. II 31 cl. X 454 ἀπ' οὔατος fere t Z A^{λ} Ω (απούατος 9, απουạṭος 647): ἀπούατος quidam ap. sch^{D}, cf. Call. fr. 315 Pf. = Hec. 122 Hollis; Rengakos 147 **273** πιθώμεθα 9 647 Ω: -οίμεθα 1427 $A^{\gamma\rho}$ rr (-οίατο ὡς ἀγορεύω t) **275** τ' 648 A F T Y: δ' 9 Ω* **276** εἰρύσσονται 239 Ω*: -ύσο- 9 D R **277** πρῶϊ fere Ω: cf. ad Θ 530 ὑπηοῖοι (vel ὑπ' ἠ-) Ω*: ὑπ' ἠοῖ fere C Y R: ὑπ' ἠῶ(ι)οι rr.—cf. ad 303, Θ 530 **278** ἀμ Ω*: ἀν 9 E *h*, ἂν D: om. Y κ' ἐθέλη(ι)σιν 9 Ω*: κε θ- D C Y **281** ἄση(ι) 9 Z A^{λ} Ω*: -ει C ἠλασκάζων 9 t Z Ω*: ἀλυσκ- *b*

τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη κορυθαιόλος Ἕκτωρ·
285 "Πουλυδάμα, σὺ μὲν οὐκέτ' ἐμοὶ φίλα ταῦτ' ἀγορεύεις,
ὃς κέλεαι κατὰ ἄστυ ἀλήμεναι αὖτις ἰόντας.
ἦ οὔ πω κεκόρησθε ἐελμένοι ἔνδοθι πύργων;
πρὶν μὲν γὰρ Πριάμοιο πόλιν μέροπες ἄνθρωποι
πάντες μυθέσκοντο πολύχρυσον πολύχαλκον,
290 νῦν δὲ δὴ ἐξαπόλωλε δόμων κειμήλια καλά,
πολλὰ δὲ δὴ Φρυγίην καὶ Μηιονίην ἐρατεινήν
κτήματα περνάμεν' ἵκει, ἐπεὶ μέγας ὠδύσατο Ζεύς.
νῦν δ' ὅτε πέρ μοι ἔδωκε Κρόνου πάϊς ἀγκυλομήτεω
κῦδος ἀρέσθ' ἐπὶ νηυσὶ θαλάσσηι τ' ἔλσαι Ἀχαιούς,
295 νήπιε, μηκέτι ταῦτα νοήματα φαῖν' ἐνὶ δήμωι·
οὐ γάρ τις Τρώων ἐπιπείσεται, οὐ γὰρ ἐάσω.
ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες.
νῦν μὲν δόρπον ἕλεσθε κατὰ στρατὸν ἐν τελέεσσιν
καὶ φυλακῆς μνήσασθε καὶ ἐγρήγορθε ἕκαστος·
300 Τρώων δ' ὃς κτεάτεσσιν ὑπερφιάλως ἀνιάζει,
συλλέξας λαοῖσι δότω καταδημοβορῆσαι·
τῶν τινα βέλτερόν ἐστιν ἐπαυρέμεν ἤ περ Ἀχαιούς·
πρωῒ δ' ὑπηοῖοι σὺν τεύχεσι θωρηχθέντες
νηυσὶν ἔπι γλαφυρῆισιν ἐγείρομεν ὀξὺν ἄρηα.
305 εἰ δ' ἐτεὸν παρὰ ναῦφιν ἀνέστη δῖος Ἀχιλλεύς,
ἄλγιον, αἴ κ' ἐθέλησι, τῶι ἔσσεται· οὔ μιν ἐγώ γε
φεύξομαι ἐκ πολέμοιο δυσηχέος, ἀλλὰ μάλ' ἄντην

285 Choer. in Thd. i.115.7, 131.17; (οὐκέτι–) Choric. 134.15 **288** (μέρ.) H. μ 886; Phot. Lex. μ 289 **289**b Dio Prus. 33.20 **292** (περν.) H. π [1764], 1978; **292**b Did ad B 111b; (ὠδύσ.) H. ω 65; Orio 169.11 **297–8** (–στρ.) Did ad Z 71a^{1}/b; **298** w4 xiii 17/sch Thuc. 2.22.2 **301** (καταδημ.) H. κ 1060 **307** (ἐκ(?) πολ. δυσ.) EtG s.v. δυσηχής

284 κορυθαίολος 9 C, -έολοσ Y **285** Πουλυδάμα Ar 9 t Ω: -μαν "ἔδει" Did.—v. Praef. xxxiv **287** κεκόρησθε Ar 9 Z Ω (-εσθε G, -ησται Y): -ησθον Zen ἐελμένοι 9 sch^{bT} Z Ω: ἐεργμένοι rr **291** δὲ δὴ 239 A^{λ} A^{c} Ω: δὲ A^{a}: δὲ καὶ 9 **292** ἵκει 9 Ω*: ἥκει *h* R^{a} **293** πέρ 9 239 647 Ω: δή *h* πάϊς Bekker: παῖς Ω **294** θαλάσσηι τ' 9 Ω: καὶ ἀμφ' ἅλα Heyne cl. A 409 **296** οὐ γὰρ (ἐάσω) 9 Ω (cf. P 449): οὔτ' ἄρ' Bothe **297** ἐγὼ 9 t Ω*: εγῶν Y, ἐγὼν rr.—cf. ad Ξ 370 **299** ἕκαστος 9 Ω (= H 371): -οι A^{s} *h* **303** πρωῒ 9 Ω*: πρῶι B.—cf. ad Θ 530 ὑπηοῖοι (vel ὑπ' ἠ-) 9 647$^{?}$ Ω*: ὑπ' ἠοῖ C Y (υπήοι) R.—cf. ad 277, Θ 530 **304** ἔπι Wolf: επὶ 9, ἐπὶ vel ἐπι Ω **306** κ' ἐθέλη(ι)σι (cf. 278) 9 239 647 sch^{bT} Ω (κε θ- D): κ' ἔλθησι (cf. 279) Herwerden RPh 2 (1878) 195 τῶ(ι) 9 239 Ω*: τὼ V: τωι Bentley (de metro cf. Γ 205, Ψ 791): τὸ *h*: om. W ἐγώ γε Bekker: ἔγωγε Ω

στήσομαι, ἤ κε φέρησι μέγα κράτος ἦ κε φεροίμην.
ξυνὸς Ἐνυάλιος· καί τε κτενέοντα κατέκτα."
310 ὣς Ἕκτωρ ἀγόρευ', ἐπὶ δὲ Τρῶες κελάδησαν,
νήπιοι, ἐκ γάρ σφεων φρένας εἵλετο Παλλὰς Ἀθήνη·
Ἕκτορι μὲν γὰρ ἐπήινησαν κακὰ μητιόωντι,
Πουλυδάμαντι δ' ἄρ' οὔ τις, ὃς ἐσθλὴν φράζετο βουλήν.
δόρπον ἔπειθ' εἵλοντο κατὰ στρατόν· αὐτὰρ Ἀχαιοί
315 παννύχιοι Πάτροκλον ἀνεστενάχοντο γοῶντες.
τοῖσι δὲ Πηλείδης ἁδινοῦ ἐξῆρχε γόοιο,
χεῖρας ἐπ' ἀνδροφόνους θέμενος στήθεσσιν ἑταίρου,
πυκνὰ μάλα στενάχων, ὥς τε λὶς ἠϋγένειος,
ὧι ῥά θ' ὑπὸ σκύμνους ἐλαφηβόλος ἁρπάσηι ἀνήρ
320 ὕλης ἐκ πυκινῆς, ὃ δέ τ' ἄχνυται ὕστερος ἐλθών,
πολλὰ δέ τ' ἄγκε' ἐπῆλθε μετ' ἀνέρος ἴχνι' ἐρευνῶν,
εἴ ποθεν ἐξεύροι· μάλα γὰρ δριμὺς χόλος αἱρεῖ·
ὣς ὃ βαρὺ στενάχων μετεφώνεε Μυρμιδόνεσσιν·
"ὢ πόποι, ἦ ῥ' ἅλιον ἔπος ἔκβαλον ἤματι κείνωι
325 θαρσύνων ἥρωα Μενοίτιον ἐν μεγάροισιν·
φῆν δέ οἱ εἰς Ὀπόεντα περικλυτὸν υἱὸν ἀπάξειν

308 (ἤ κε–) Porph. Hom. 132.16 Sod. **309** Hclt. Alleg. 31.4; Aristid. Or. 3.463; Luc. Dial. 15.10; Clem. Strom. 6.2.6.3; sch Pind. Nem. 4.50a; sch Thuc. 7.61.3; H. ο 758; Orio 106.22; **309**a Arist. Rh. 1395a15; Cic. Att. 7.8.4; Aristid. l.c.; Ael. fr. 80; Philostr. Vit. Ap. 7.14; Porph. Hom. 132.11 Sod.; sch Γ 342b; sch Thuc. 4.18.3 **312** (ἐπήιν.) sch Σ 313 **316** (ἁδινοῖο γόοιο) ApS 9.4; H. α 1141 **317** 'Trypho ii' Trop. 21 (CQ 15.245) **318–20**a Gell. 13.7.5; **318**a Hdn ad B 155a, α 320; Epm. π 144; **319** (σκύμ.) H. σ 1177; (ἐλαφηβ.) ApS 66.1; H. (Cyr.) ε 1912; Phot. Lex. ε 567; EtG s.v. **321** (ἄγκ.) H. (Cyr.) α 525 **322** Eudoc. 1517 **324–9** Aeschin. 1.144; **324** (ἅλ.–) Porph. Il. 144.27 Schr.; **326** (φῆν) H. φ 354; **327** ApS 15.23; **327**b H. α 2095; (λαχ.) H. (Cyr.) λ 459; **328–9** Porph. Il. 105.25 Schr.; **328** w5 (lacerum); **329** id.; (ἐρεῦσαι) H. ε 5761

308 φέρη(ι)σι 239 t^{vl} Ω: -οιτο 9 t^{vl} (ex N 486) ἦ Bekker: ἤ Ω φεροίμην 9 239 t Ω: φέρωμι Naber Qu. Hom. 96 **309** τε 9 239 tt* Ω: τὸν $Aristid.^{vl}$ Luc. κτενεόντα (Cobet Misc. crit. 330) r: κταν- 9 239 tt Ω: κτον- Z.—cf. Praef. xxxii **311** σφεων 9 11 239 Ω (σφέων D F *h* G): σφι van Leeuwen.—cf. Z 234 et ad I 377, T 137 εἵλετο Παλλὰς Ἀθήνη 11 239 Ω: εξελετο Ζευς 9 (cf. Z 234, T 137) deficiente metro **312** ἐπή(ι)νησαν 9 11 239 t Ω*: -νεσσαν R, -νεσα T^{λ} **313** τις 9 239 Ω: τι Epaphroditus rr **315** ἀνεστενάχοντο 9 11^{c} Ω: ἀναστ- 11^{a} r γοῶντες (cf. 355, ι 467) 9 11 Ω: βοῶντες *h*:]ωντες 239: (ἀνεστέναχον) γοάοντες Fick, praestabat γοόωντες (cf. E 413, κ 209, al.): an γόοντες (cf. Z 500)? **317** ἀνδροφόνους 'omnes' Didymi 9 11 t Z Ω (cf. Ψ 18): -ου alii olim u.v. **318** πυκνὰ 11 239 tt A^{λ} Ω (= Φ 417): πολλὰ 9 (ex 321?): δηθὰ disertim EtM 263.27 λὶς (Ar) Ω*: λῖς B^{c} F W.—cf. ad Λ 239, O 275, P 109 **319** ἁρπάση(ι) 9 11 t Ω*: -σει C R **323** μετεφώνεε 9 11 $A^{γρ}$ Ω*: -νει A *b* W.—cf. ad Φ 152 **324** ὢ 9 A^{λ} A D F^{a} G^{c}: ὢ Ω* **326–421** deest E; **326–93** deest D

Ἴλιον ἐκπέρσαντα λαχόντά τε ληΐδος αἶσαν.
ἀλλ' οὐ Ζεὺς ἄνδρεσσι νοήματα πάντα τελευτᾶι·
ἄμφω γὰρ πέπρωται ὁμοίην γαῖαν ἐρεῦσαι
330 αὐτοῦ ἐνὶ Τροίηι, ἐπεὶ οὐδ' ἐμὲ νοστήσαντα
δέξεται ἐν μεγάροισι γέρων ἱππηλάτα Πηλεύς
οὐδὲ Θέτις μήτηρ, ἀλλ' αὐτοῦ γαῖα καθέξει.
νῦν δ' ἐπεὶ οὖν, Πάτροκλε, σέ' ὕστερος εἶμ' ὑπὸ γαῖαν,
οὔ σε πρὶν κτερίω, πρὶν Ἕκτορος ἐνθάδ' ἐνεῖκαι
335 τεύχεα καὶ κεφαλήν, μεγαθύμου σεῖο φονῆος·
δώδεκα δὲ προπάροιθε πυρῆς ἀποδειροτομήσω
Τρώων ἀγλαὰ τέκνα, σέθεν κταμένοιο χολωθείς.
τόφρα δέ μοι παρὰ νηυσὶ κορωνίσι κείσεαι αὔτως,
ἀμφὶ δέ σε Τρωιαὶ καὶ Δαρδανίδες βαθύκολποι
340 κλαύσονται νύκτας τε καὶ ἤματα δάκρυ χέουσαι,
τὰς αὐτοὶ καμόμεσθα βίηφί τε δουρί τε μακρῶι
πιείρας πέρθοντε πόλις μερόπων ἀνθρώπων."
ὣς εἰπὼν ἑτάροισιν ἐκέκλετο δῖος Ἀχιλλεύς
ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, ὄφρα τάχιστα
345 Πάτροκλον λούσειαν ἄπο βρότον αἱματόεντα·
οἱ δὲ λοετροχόον τρίποδ' ἵστασαν ἐν πυρὶ κηλέωι,
ἐν δ' ἄρ' ὕδωρ ἔχεαν, ὑπὸ δὲ ξύλα δαῖον ἑλόντες.
γάστρην μὲν τρίποδος πῦρ ἄμφεπε, θέρμετο δ' ὕδωρ.
αὐτὰρ ἐπεὶ δὴ ζέσσεν ὕδωρ ἐνὶ ἤνοπι χαλκῶι,

333–5 Aeschin. 1.148; **334** (ἐνεῖκαι) ApS 68.32; H. ε 2872; **335** (σεῖο φ.) H. (Cyr.) σ 335 **336** (ἀποδειρ.) id. α 6290 **337a** cf. Plut. Mor. 287b **342** (–πολ.) Epm. π 139 **344** (–τρίπ.) sch N 181; Apio 218.10 **346** id. 218.12 **348** (–ἄμφ.) Poll. 2.175; **348a** id. 2.168; EtG s.v. γάστρα (Philox. fr. 78 Th.); (θέρμ.–) EtG s.v.; Epm. ε 162 **349** (ζ.–) sch Θ 555b[1]

327 λαχόντά sic 11 A B C T R W G **329** ἐρεῦσαι 9 11 tt* Z Ω: ἐρεύθειν Aeschin.: -σειν rr **333** νῦν δ' 9 11 239 1438 Ω: ἀλλ' t Πάτροκλε 9 11 239 1438 Ω: φίλ' ἑταῖ–ρε t σέ' Fick post Payne Knight: σεῦ 9 11 86 647 t Ω **334** κτερίω Buttmann: -ιῶ 11 1438 t Z Ω*: -ιω 9 239: -εῶ B: -ηῶ Y.—cf. ad Λ 455; Praef. xxxi πρὶν T W: πρίν γ' 9 [11] [647] t Ω*.—cf. ad Π 840 ἐνεῖκαι 9 11 t^{vl} Ω*: ἐνείκω 1428 t^{vl} *h* Y **335** σεῖο 9 86 1439 tt Ω: σοῖο 11 (ex σῖο) P.—cf. ad Ω 486 **338** δέ μοι 11 1438 Ω: ḍ'εμοι 86 νευσ[ι 239 αὔτως (vel αὔ-) 'omnes' Didymi 9 1439 Ω: οὔτως olim alii **340** νύκτάς A T W G **341** αὐτοὶ 9 11 1438 Ω: -ὼ Herwerden **342** πόλις 11^{c} (πο]λ[[ε]]ιc) H^{a}: -εις 9 11^{a} t Ω H^{c}.—cf. Praef. xxxiv **344** πυρὶ 9 tt Z Ω*: -ρῆ C^{a} R **345** Πάτροκλον 9 11 Ω (cf. Π 667 sq.): -ου r^{γρ} ἄπο 11 A T R W: απο 9, ἀπο vel ἀπὸ Ω* **346** ἵστασαν 9 11 t Ω*: ἕστ- W H M.—cf. ad M 56 **347** ἔχεαν 9 11 239 Ω*: ἔχευαν 11^{s} Y, χεῦαν *h*: ἔχεον (Payne Knight) r^{c}.—cf. ad Ω 799; vv.ll. eaedem θ 436 **349** ζέσ(σ)εν (= κ 360) 9 11 t Ω*: -σαν 239 Y W R ἐνὶ 9 11 239 t Ω*: ἐν W: ἐπὶ C R

350 καὶ τότε δὴ λοῦσάν τε καὶ ἤλειψαν λίπ' ἐλαίωι,
ἐν δ' ὠτειλὰς πλῆσαν ἀλείφατος ἐννεώροιο·
ἐν λεχέεσσι δὲ θέντες ἑανῶι λιτὶ κάλυψαν
ἐς πόδας ἐκ κεφαλῆς, καθύπερθε δὲ φάρεϊ λευκῶι.
  παννύχιοι μὲν ἔπειτα πόδας ταχὺν ἀμφ' Ἀχιλῆα
355 Μυρμιδόνες Πάτροκλον ἀνεστενάχοντο γοῶντες.
Ζεὺς δ' Ἥρην προσέειπε, κασιγνήτην ἄλοχόν τε·
"ἔπρηξας καὶ ἔπειτα, βοῶπι πότνια Ἥρη,
ἀνστήσασ' Ἀχιλῆα πόδας ταχύν. ἦ ῥά νυ σεῖο
ἐξ αὐτῆς ἐγένοντο κάρη κομόωντες Ἀχαιοί."
360 τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη·
"αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες;
καὶ μὲν δή πού τις μέλλει βροτὸς ἀνδρὶ τελέσσαι,
ὅς περ θνητός τ' ἐστὶ καὶ οὐ τόσα μήδεα οἶδεν·
πῶς δὴ ἐγώ γ', ἥ φημι θεάων ἔμμεν ἀρίστη,
365 ἀμφότερον, γενεῆι τε καὶ οὕνεκα σὴ παράκοιτις
κέκλημαι, σὺ δὲ πᾶσι μετ' ἀθανάτοισιν ἀνάσσεις,
οὐκ ὄφελον Τρώεσσι κοτεσσαμένη κακὰ ῥάψαι;"
  ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Ἡφαίστου δ' ἵκανε δόμον Θέτις ἀργυρόπεζα
370 ἄφθιτον ἀστερόεντα, μεταπρεπέ' ἀθανάτοισιν,
χάλκεον, ὅν ῥ' αὐτὸς ποιήσατο Κυλλοποδίων.
τὸν δ' ηὗρ' ἱδρώοντα, ἑλισσόμενον περὶ φύσας,

351–3 Eudoc. 2036, 2034–5; **351** Porph. Hom. 55.15 Sod.; EtG α 442; (ὠτ.) H. ω 479; **351**b Choer. in Thd. i.349.26; **352** ib. 377.35; **352**b ApS 61.28; EtG λ 124; (ἑανῶι λ.) sch Γ 385; H. ε 25; (ἑαν.) Ael. Dion. ε 1; (λιτί) ApS 108.35; H. λ 1149; **353**b sch Σ 352b **356** Plut. Mor. 736f; Sext. Pyrrh. hyp. 3.205 **357**a Zenodorus ap. sch Σ 356b; sch Σ 168a; (ἔπρ.) H. (Cyr.) ε 5541 **363** Eudoc. 1835, 2131 **367** Zenodorus l.c.; sch O 16b; (–κοτ.) sch Eur. Med. 1; (ὄφ.) H. ο 1951; (ῥάψ.) id. ρ 163 **370** Eudoc. 2339 **371** (Κυλλ.) Porph. Hom. 61.9 Sod.; H. (Cyr.) κ 4518 **372** (φύσας) H. φ 1043?

351 ἐννεώροιο 9 11 tt Z Ω: ἐννώ- Fick **352** λιτὶ Ar Hdn Ω*: λῖτι quidam ante Hdn 11 239 (?vel λῖτι) W G, λίτι Z Y **355** ἀνεστενάχοντο γοῶντες 9 11 239 Ω: cf. ad 315 **356–68** damn. Zenodorus **356** προσέειπε 9 11 239 t* Ω (= Π 432): ἐκάλεσσε Plut. **357** βοῶπι 11 Ω* (fort. praestat -ώπι): -ῶπις 9 239 *h* F Y W G, -ώπις r.—v. ad Θ 471 **358** ἀνστήσασ' 9 11 Ω: possis ἄνστησας.—de ἀνστ- cf. Praef. xxvi **361** ἔειπες 11 239 Ω*: -ας R **362** βροτὸς 239 Ω: κότον Brandreth (cf. A 82) **363** τ' ἐστὶ 11 C^{c} F T Y W: ἐστὶ Ω*: ἔηι t **364** ἐγώ γ' Bekker, ἔγωγ' 11 A^{λ} Ω, alterutrum Ar: ἐγών Zen.—v.l. eadem ε 177 ἔμμεν 11 239 T: ἔμμεν' Ω*, -εναι R W: ειναι 86 **365** σὴ 239 Ω: δ̣η 86 **367** ῥάψαι 11 239 1440 tt* Z Ω* $G^{\gamma\rho}$: ῥέξαι Zenodorus[vl] G H O **369** Ἡφαίστου 11 239 Ω: -οιο rr **372** ηὗρ' Fick: ἕυρ' 11, εὗρ' 239 A^{λ} Ω

σπεύδοντα· τρίποδας γὰρ ἐείκοσι πάντας ἔτευχεν
ἑστάμεναι περὶ τοῖχον ἐϋσταθέος μεγάροιο.
375 χρύσεα δέ σφ' ὑπὸ κύκλα ἑκάστωι πυθμένι θῆκεν,
ὄφρα οἱ αὐτόματοι θεῖον δυσαίατ' ἀγῶνα
ἠδ' αὖτις πρὸς δῶμα νεοίατο, θαῦμα ἰδέσθαι.
οἳ δ' ἤτοι τόσσον μὲν ἔχον τέλος, οὔατα δ' οὔ πω
δαιδάλεα προσέκειτο· τά ῥ' ἤρτυε, κόπτε δὲ δεσμούς.
380 ὄφρ' ὅ γε ταῦτ' ἐπονεῖτο ἰδυίῃσι πραπίδεσσιν,
{τόφρα οἱ ἐγγύθεν ἦλθε θεὰ Θέτις ἀργυρόπεζα·}
τὴν δὲ ἴδε προμολοῦσα Χάρις λιπαροκρήδεμνος
καλή, τὴν ὤπυιε περικλυτὸς Ἀμφιγυήεις,
ἔν τ' ἄρα οἱ φῦ χειρὶ ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
385 "τίπτε, Θέτι τανύπεπλε, ἱκάνεις ἡμέτερον δῶ;
αἰδοίη τε φίλη τε, πάρος γε μὲν οὔ τι θαμίζεις.
ἀλλ' ἕπεο προτέρω, ἵνα τοι πὰρ ξείνια θείω."
ὣς ἄρα φωνήσασα πρόσω ἄγε δῖα θεάων.
τὴν μὲν ἔπειτα καθεῖσεν ἐπὶ θρόνου ἀργυροήλου
390 καλοῦ δαιδαλέου, ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν·
κέκλετο δ' Ἥφαιστον κλυτοτέχνην εἶπέ τε μῦθον·
"Ἥφαιστε, πρόμολ' ὧδε· Θέτις νύ τι σεῖο χατίζει."
τὴν δ' ἠμείβετ' ἔπειτα περικλυτὸς Ἀμφιγυήεις·

374 al. (ἐϋστ.) ApS 79.28; H. ε 7204 **375** Poll. 10.79; Epm. κ 150; **375**a EtG s.v. ὑπὸ κύκλα; (ὑπόκ.) H. υ 674 **376** Eudoc. 457, 1346; (αὐτόμ.–) cf. Arist. Pol. 1253b36; ApS 6.5; sch Aesch. Sept. 219a/c; (δυσ.) H. δ 2509 **378** (–τέλος) Choer. in Ps. 112.7 **379** (ἤρτυε) H. η 842; (κόπτε–) id. κ 3567 **380** Eudoc. 747 **382**a Hdn ad Δ 151a; (λιπαροκ.) EtG λ 201 **385** sch Ω 476b **386**b ApS 86.14; sch A.R. 3.53–4b; (πάρος γε) H. π 991; (οὔ τι θαμ.) resp. Pl. Resp. 328c; (θαμ.) Apio 240.30; H. (Cyr.) θ 79 **390** (θρῆνυς) ApS 88.15; Orio 71.θ 9 **392** sch Pind. Isth. 6.53b; D.L. 3.5, 6.95 (parod.); **392**a ApS 136.23, 170.22; sch B 271a, ζ 218; (πρόμ.) H. π 3586 **393** (Ἀμφιγ.) Tat. ad Graec. 8.3; Porph. Hom. 61.8 Sod.

373 γὰρ 11^{c} Ω: μεν 11^{a} **375** ὑπὸ κύκλα Hdn 11 tt* $A^{λ}$ Ω*: ὑπόκυκλα quidam ante Hdn Poll. Hsch. Z W **376** ὄφρά 11 Ω, ὀφρά $A^{λ}$ οἱ (ne οἳ) et Ar θέιον 11 δυσαίατ' ἀγῶνα 239 Hsch. Eudoc. Z Ω* (-σέατ' Z T $T^{λ}$): δύσονται ἀγ- (ex H 298) 11 1440^{m} ApS sch-Aesch. $A^{γρ}$ Y (-σσ-) R H, δύσωνται ἀγ- *h* G O: δυσ[h90: κατὰ δῶμα νέοιντο (sic T: νέονται A) "ἐν ταῖς εἰκαιοτέραις", nimirum omisso v. 377 **380** ἰδυίη(ι)σι 11 (-σιν) Ω*, ἰδύη- B^{a} G: εἰδυί- $Eudoc.^{cod}$ C H^{c} V.—cf. ad A 608, Υ 12 **381** deest in 11 $[86]^{?}$ 239 647 (siglo ˥ in mg. apposito) A R W G: hab. A^{m} (ἐν ἄλλω καὶ οὗτος εὑρέθη, ἀπέστραπτο δέ) R^{m} W^{2} Ω*.—v. Apthorp 137–40, 154–5 τόφρά A^{m} B C F T W^{2}, τ'οφρά Y **385** Θέτι τανύπεπλε Ar 11 t Z Ω (Θέτις F^{a}): Θέτις τανύπεπλος Zen.—cf. adn. meam ad Hes. Th. 964 (ad fin.) ἡμέτερον δῶ Ar 11 239 Ω: -όνδε Zen.—cf. ad H 363 **388** πρόσω ἄγε 11 Ω* (Ϝ' ἄγε van Leeuwen): ἡγήσατο Y R W

“ἦ ῥά νύ μοι δεινή τε καὶ αἰδοίη θεὸς ἔνδον,
395 ἥ μ’ ἐσάωσ’, ὅτε μ’ ἄλγος ἀφίκετο τῆλε πεσόντα
μητρὸς ἐμῆς ἰότητι κυνώπιδος, ἥ μ’ ἐθέλησεν
κρύψαι χωλὸν ἐόντα. τότ’ ἂν πάθον ἄλγεα θυμῶι,
εἰ μή μ’ Εὐρυνόμη τε Θέτις θ’ ὑπεδέξατο κόλπωι,
Εὐρυνόμη, θυγάτηρ ἀψορρόου Ὠκεανοῖο.
400 τῆισι πάρ’ εἰνάετες χάλκευον δαίδαλα πολλά,
πόρπας τε γναμπτάς θ’ ἕλικας κάλυκάς τε καὶ ὅρμους,
ἐν σπῆϊ γλαφυρῶι· περὶ δὲ ῥόος Ὠκεανοῖο
ἀφρῶι μορμύρων ῥέεν ἄσπετος. οὐδέ τις ἄλλος
εἴδεεν οὔτε θεῶν οὔτε θνητῶν ἀνθρώπων,
405 ἀλλὰ Θέτις τε καὶ Εὐρυνόμη ἴσαν, αἵ μ’ ἐσάωσαν.
ἣ νῦν ἡμέτερον δόμον ἵκει· τώ με μάλα χρεὼ
πάντα Θέτι καλλιπλοκάμωι ζωάγρια τίνειν.
ἀλλὰ σὺ μὲν νῦν οἱ παράθες ξεινήϊα καλά,
ὄφρ’ ἂν ἐγὼ φύσας ἀποθείομαι ὅπλα τε πάντα.”
410 ἦ, καὶ ἀπ’ ἀκμοθέτοιο πέλωρ αἴητον ἀνέστη

394 (δεινή–) sch O 38 **398** sch A 571 **399**b Strab. 1.1.7; ApS 50.8; Hdn ad Δ 452a; sch Eur. Or. 1378; EtG α 1540; (ἀψ.) H. α 8974 **400** Procl. in Tim. i.146.29; (εἰνά.) H. ε 967 **401–2a** Syr. in Metaph. CAG vi(1).83.3; **401** Procl. in Remp. i.141.14; id. in Tim. ii.70.24; (–ἕλ.) Tat. ad Graec. 8.3; (γν. ἕλ.) ApS 55.14; H. (Cyr.) γ 713; (ἕλ.) Apio 235.8; Phot. Lex. ε 618; (κάλ.–) ApS 94.23; H. (Cyr.) κ 535; (κάλ.) Poll. 5.96; Phot. Lex. κ 132 **403a** cf. Clem. Paed. 1.40.1; (μορμ.) ApS 113.31; H. (Cyr.) μ 1676; Phot. Lex. μ 535 **405** ApS 93.11 **407** St. Byz. 693.16; (–καλλ.) Hdn ii.7.7 et ad Ξ 387a^{1}; Choer. in Thd. i.197.12, 378.7; (Θέτι καλλ.) Hdn ii.342.2; Choer. in Thd. i.371.30; (Θέτι) sch Ψ 500a, Ω 18a; Sophron. 381.27; (ζω.–) H. (Cyr.) ζ 207; (ζω.) ApS 81.9; Hdn ad Ξ 509c; H. ζ 206; Phot. Lex. ζ 63; (τίν.) H. τ 925? **409** (ὅπλα) id. ο 1029 **410** ApS 17.14; sch Σ 394a; (ἀκμοθ.) H. (Cyr.) α 2453; **410b** Arn ad Σ 416b; (πέλωρ αἴ.) sch Υ 36b; (πέλ.) H. π 1367; Phot. Lex. s.v.; (αἴ.) H. α [1831], 1840

394 denuo adest D τε 11^{c} 239 t Ω: γε 11^{a} **395** μ’ ἐσάωσ’ sic (non με σ-) 11 Ω **396** κυνώπιδος 11 239 Ω: βοώ- T^{γρ} ἐθέλησε 11 238 239 Ω: -εσκε rr **397** ἂν 11 239 Ω: ἂρ G^{γρ}, nov. Eust. **398** θ’ 11 239 t A^{s} A^{m} Ω*: δ’ A F: om. T^{a} **399** damn. Payne Knight **400** πάρ’ (deprec. Hdn) 11 Z R G: παρ’ Hdn Ω* πολλά Ar 11 238 239 t Ω: πάντα Zen Arph V rr (cf. A.R. 3.42 sq.; Rengakos 63).—cf. ad E 60, Ξ 179 **401** γναμπτάς 11 239 ApS Z Ω*: -απτάς tt* B F T **402** σπῆϊ 11 239 647 t Ω: σπέεϊ Payne Knight ρρόος C R **404** εἴδεεν Wackernagel: ἤιδεεν Ar 11 Ω: ἤιδειν (nov. Did) 647: ηδε[239.—cf. Praef. xxxiii ουδε θεων 11^{a} **405** μ’ ἐσάωσαν (non με σ-) 239 Ω **406** ἵκει 11 Ω*,]εικει 86,]κει· 239: ἵκετο W: ἥκει rr τώ D, τό Y: τῶ[[ι]] 11, τῶ(ι) Ω* χρεὼ 11 239 Ω*: χρεὼν C: χρειὼ G: χρὴ W V **407** ζωάγρια 11 86 tt Z Ω: ζωιά- Ar 239 τίνειν 239 tt Ω*: τεί- 11 A Y **409** ὅπλά F W G H, οπλά 86 **410** αἴητον proparox. Ptol Hdn 86 239 h139^{α235} Ω: oxyt. Z.—vox iam antiquis obscura, cf. Φ 395

χωλεύων, ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί.
φύσας μέν ῥ' ἀπάνευθε τίθει πυρός, ὅπλα τε πάντα
λάρνακ' ἐς ἀργυρέην συλλέξατο, τοῖς ἐπονεῖτο.
σπόγγωι δ' ἀμφὶ πρόσωπα καὶ ἄμφω χεῖρ' ἀπομόργνυ
415 αὐχένα τε στιβαρὸν καὶ στήθεα λαχνήεντα,
δῦ δὲ χιτῶν', ἕλε δὲ σκῆπτρον παχύ, βῆ δὲ θύραζε
χωλεύων· ὑπὸ δ' ἀμφίπολοι ῥώοντο ἄνακτι
χρύσειαι, ζωῆισι νεήνισιν εἰοικυῖαι.
τῆις ἐν μὲν νόος ἐστὶ μετὰ φρεσίν, ἐν δὲ καὶ αὐδή
420 καὶ σθένος, ἀθανάτων δὲ θεῶν ἄπο ἔργα ἴσασιν.
αἳ μὲν ὕπαιθα ἄνακτος ἐποίπνυον· αὐτὰρ ὃ ἔρρων
πλησίον, ἔνθα Θέτις περ, ἐπὶ θρόνου ἷζε φαεινοῦ,
ἔν τ' ἄρα οἱ φῦ χειρὶ ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
"τίπτε, Θέτι τανύπεπλε, ἱκάνεις ἡμέτερον δῶ;
425 αἰδοίη τε φίλη τε, πάρος γε μὲν οὔ τι θαμίζεις.
αὔδα ὅ τι φρονέεις· τελέσαι δέ με θυμὸς ἄνωγεν
{εἰ δύναμαι τελέσαι γε καὶ εἰ τετελεσμένον ἐστίν}."
τὸν δ' ἠμείβετ' ἔπειτα Θέτις κατὰ δάκρυ χέουσα·
"Ἥφαιστ', ἦ ἄρα δή τις, ὅσαι θεαί εἰσ' ἐν Ὀλύμπωι,
430 τοσσάδ' ἐνὶ φρεσὶν ἧισιν ἀνέσχετο κήδεα λυγρά,
ὅσσ' ἐμοὶ ἐκ πασέων Κρονίδης Ζεὺς ἄλγε' ἔδωκεν;
ἐκ μέν μ' ἀλλάων ἁλιάων ἀνδρὶ δάμασσεν,
Αἰακίδηι Πηλῆϊ, καὶ ἔτλην ἀνέρος εὐνήν
πολλὰ μάλ' οὐκ ἐθέλουσα· ὃ μὲν δὴ γήραϊ λυγρῶι

411 Eudoc. 818; (ὑπὸ–) ApS 41.23, 101.10, 139.29; Clem. Protr. 29.5; H. α 6946, κ 3106; (ῥώ.) id. ρ 573 **413** (λάρν.) ApS 107.7; H. (Cyr.) λ 339; cf. Phot. Lex. λ 102 **414** Epm. χ 30 **415** (λαχν.) H. λ 456; Phot. Lex. λ 128 **418** sch Pind. Ol. 7.95b; sch Theoc. 1.36/7b; sch Heph. 265.15; (ζω.–) EtG s.v. ἐοικυῖαι **421** (–ἐποίπ.) ApS 13.21; (ὕπαιθα) H. υ 222; (ἔρρων) H. (Cyr.) ε 6048 **431** (ἐκ–) sch Σ 435 **432–4a** sch Pind. Nem. 4.101b; **432–3a** ApS 21.28; **432** (ἀλλ.) H. α 3119; (ἁλι.) id. α 2977

411 ἀραιαί Hdn 11 A B C[c] F[a] T[s]: ἀρ- Z Ω*.—cf. Praef. xvii **412** ὅπλά C F W **413** συλλέξατο 11[c] 239[c] Ω: συνελέ- H rr: ελε- 11[a]: συ]νεξ- 239[a]: συν[86 **414** ἀπομόργνυ 11 Ω*: ἀπεμ- 239 t A B C F T[a] **418** ζωιῆισι A εἰοικυῖαι 11 tt* A B C Y: ἐοι- sch-Pind. Ω* **420** ἄπο 11 A C F[a] T[c] Y R: ἀπὸ vel ἀπο Z Ω* ἔργα 11 239 Z Ω*: ἔργ' B C T **421** fort. ὕπαιθα, cf. ad X 141 **422** denuo adest E ἷζε R W, ἶζε D: ἵζε 11 Ω* (ἵζε A, εἵζε Y) **424** Θέτι τανύπεπλε Ar 11 Ω (Θέτις F[a]): Θέτις τανύπεπλος Zen ἡμέτερον δῶ Ar 11 86 239 Ω: -όνδε Zen.—cf. ad 385 **426** ἄνω-γε(ν) 9 11 239 Ω: -ώγει A[γρ] rr **427** (= Ξ 196) deest in 9 11 239 R G H: hab. 86 sch[bT] Ω*.—cf. Apthorp 140 sq. ἔσται D[a] **429** εἶσ' *b* T R (at θεαί εισ' 9 11 86 239) **430** ἀνέσχετο 9 11 239 Z Ω*: ἀνάσχ- *b* F[c] **431** ἔδωκεν 9 11 239 t Ω: ἔθηκεν *h*.—cf. ad A 2, B 375

435 κεῖται ἐνὶ μεγάροις ἀρημένος, ἄλλα δέ μοι νῦν·
υἱὸν ἐπεί μοι δῶκε γενέσθαί τε τραφέμεν τε
ἔξοχον ἡρώων, ὃ δ' ἀνέδραμεν ἔρνεϊ ἶσος,
τὸν μὲν ἐγὼ θρέψασα φυτὸν ὣς γουνῷ ἀλωῆς
νηυσὶν ἔπι προέηκα κορωνίσιν Ἴλιον εἴσω
440 Τρωσὶ μαχησόμενον· τὸν δ' οὐχ ὑποδέξομαι αὖτις
{οἴκαδε νοστήσαντα δόμον Πηλήϊον εἴσω}.
ὄφρα δέ μοι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
ἄχνυται, οὐδέ τί οἱ δύναμαι χραισμῆσαι ἰοῦσα.
κούρην, ἣν ἄρα οἱ γέρας ἔξελον υἷες Ἀχαιῶν,
445 τὴν ἂψ ἐκ χειρῶν ἕλετο κρείων Ἀγαμέμνων·
ἤτοι ὃ τῆς ἀχέων φρένας ἔφθιεν, αὐτὰρ Ἀχαιούς
Τρῶες ἐπὶ πρύμνῃσιν ἐείλεον, οὐδὲ θύραζε
εἴων ἐξιέναι· τὸν δὲ λίσσοντο γέροντες
Ἀργείων, καὶ πολλὰ περικλυτὰ δῶρ' ὀνόμαζον.
450 ἔνθ' αὐτὸς μὲν ἔπειτ' ἠναίνετο λοιγὸν ἀμῦναι,
αὐτὰρ ὃ Πάτροκλον περὶ μὲν τὰ ἃ τεύχεα ἕσσεν,
πέμπε δέ μιν πόλεμόνδε, πολὺν δ' ἅμα λαὸν ὄπασσεν.
πᾶν δ' ἦμαρ μάρναντο περὶ Σκαιῇσι πύλῃσιν·
καί νύ κεν αὐτῆμαρ πόλιν ἔπραθον, εἰ μὴ Ἀπόλλων
455 πολλὰ κακὰ ῥέξαντα Μενοιτίου ἄλκιμον υἱόν
ἔκταν' ἐνὶ προμάχοισι καὶ Ἕκτορι κῦδος ἔδωκεν.
τούνεκα νῦν τὰ σὰ γούναθ' ἱκάνομαι, αἴ κ' ἐθέλῃσθα
†υἱεῖ ἐμῷ ὠκυμόρῳ† δόμεν ἀσπίδα καὶ τρυφάλειαν
καὶ καλὰς κνημῖδας ἐπισφυρίοις ἀραρυίας

435 (ἀρη.) id. α 7156 **446** (–ἔφθ.) Philox. fr. 619 Th.; (φρ. ἔφθ.) sch I 119b[1] **450** (ἠνήνατο) H. η 593 **453** sch^{D} K 252; Porph. Il. 148.31, 152.34 Schr. **456**a Hdn ad Z 205b **457** (ἱκάν.) H. ι 436 **458**a Hdn ad Π 177c[1]; (ἐμώκυμ.) EtG

435 μμεγαροις 11 **436** γενέσθαί τε sic A E T, -έσθεται Y; cf. ad H 199 **438** γου–νẹị 11^{a} **439** νευσιν 239 ἔπι προέηκα Hdn 11 (προἕ-) A T: ἐπὶ πρ- B F R, ἐπιπρ- Ω*.—cf. ad P 708 **441** (= 60) deest in 11 [86]? 239 G, "ἔν τισιν οὐ κεῖται" A: hab. 9 A (in pag. versu uno modum excedente) Ω*.—v. Apthorp 142–5 **442** ζώει 9 11 239 1427 Ω*: -η C T Y R W^{c}.—cf. ad 61 **444–56** ath. Ar: def. sch^{bT} **445** τήν Ϝ' van Leeuwen (contra Π 58) **448** δὲ λλίσσοντο 239 A: δ' ἐλλί- W, δ' ἐλί- A^{m} D R G.—cf. ad I 574 **450** ἠναίνετο 9 11 86 239 1341 Ω*: ἠνήνατο t D Y R, ἠνῄνετο G **452** δ' ἅμα 9 11 Ω* O^{γρ}: δέ οἱ C: δ' ὅ γε H O **453** περὶ 9 11 239 1341 Porph. Ω: ἐπὶ t* **456** ἐνὶ προμάχοισι 9 11 239 Ω: ἐπὶ προμάχων t ἔδωκε(ν) 9 11 239 1341^{c} Ω: όπαζẹ[1341^{a} **457** τὰ σὰ (= γ 92, δ 322) 9 11 239 Ω: τεὰ Payne Knight.—cf. ad A 207 κ' ἐθέλῃ(ι)σθα 11 239 Ω*: κε θ- A Y: κέθ- 9 1341 **458** υἱεῖ ἐμ'ὠκυμόρωι fere Hdn 9 (εμ'ωκ-) 11 (εμῶ'κ-) t Ω*: υἷι W? H Eust.: υἷ' rr: υἷί μοι ὠκ- Nauck (cf. A 505, β 50).—cf. ad 144 **459** om. 11^{a}

460 καὶ θώρηχ'· ὃ γὰρ ἦν οἱ, ἀπώλεσε πιστὸς ἑταῖρος
{Τρωσὶ δαμείς· ὃ δὲ κεῖται ἐπὶ χθονὶ θυμὸν ἀχεύων}."
τὴν δ' ἠμείβετ' ἔπειτα περικλυτὸς Ἀμφιγυήεις·
"θάρσει· μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.
αἲ γάρ μιν θανάτοιο δυσηχέος ὧδε δυναίμην
465 νόσφιν ἀποκρύψαι, ὅτε μιν μόρος αἰνὸς ἱκάνοι,
ὥς οἱ τεύχεα καλὰ παρέσσεται, οἷά τις αὖτε
ἀνθρώπων πολέων θαυμάσσεται, ὅς κεν ἴδηται."
ὣς εἰπὼν τὴν μὲν λίπεν αὐτοῦ, βῆ δ' ἐπὶ φύσας·
τὰς δ' ἐς πῦρ ἔτρεψε κέλευσέ τε ἐργάζεσθαι.
470 φῦσαι δ' ἐν χοάνοισιν ἐείκοσι πᾶσαι ἐφύσων,
παντοίην εὔπρηστον ἀϋτμὴν ἐξανιεῖσαι,
ἄλλοτε μὲν σπεύδοντι παρέμμεναι, ἄλλοτε δ' αὖτε,
ὅππως Ἥφαιστός τ' ἐθέλοι καὶ ἔργον ἄνοιτο.
χαλκὸν δ' ἐν πυρὶ βάλλεν ἀτειρέα κασσίτερόν τε
475 καὶ χρυσὸν τιμῆντα καὶ ἄργυρον· αὐτὰρ ἔπειτα
θῆκεν ἐν ἀκμοθέτωι μέγαν ἄκμονα, γέντο δὲ χειρί
ῥαιστῆρα κρατερόν, ἑτέρηφι δὲ γέντο πυράγρην.
ποίει δὲ πρώτιστα σάκος μέγα τε στιβαρόν τε
πάντοσε δαιδάλλων, περὶ δ' ἄντυγα βάλλε φαεινήν
480 τρίπλακα μαρμαρέην, ἐκ δ' ἀργύρεον τελαμῶνα.

s.v.; (ἀσπ.–)–460 ApD Synt. 123.6 + 122.8; **460** [Plut.] Hom. 2.59; Choer. in Ps. 9.18; **460a** Did ad A 336a; Polyb. Soloec. 286.19 Nauck **461** (Τρ. δαμ.) sch Ω 530 **463** w5 (lacerum); (μελ.) ApS 110.25; H. μ 756; Phot. Lex. μ 252 **464–5** Porph. Il. 105.29 Schr.; Eudoc. 767–8 **470** (χοάν.) ApS 168.17; H. χ 577; **470b** ApS 129.3 **471** Gal. De usu part. 4.2 (i.196.16 H.); sch Ar. Vesp. 36b; Eudoc. 50; (παντ., ἀϋτμ.) sch Σ 472–3; (εὔπρ.) ApS 79.14; H. (Cyr.) ε 7089; Phot. Lex. ε 2293 **473** Epm. α 87; (ἄνοιτο) H. α 5248 **474–5** (–ἄργ.) Dio Prus. 12.83; **474** Hclt. Alleg. 43.9; **474a** sch X 32a; **475** (–ἄργ.) Hdn ad I 605b/c[1]; Choer. in Thd. i.154.2, 239.22, 247.28, 360.24, 369.2; **475a** Hdn ad M 201d **476a** ApS 19.22; (ἀκμοθ.) H. α 2454; (ἄκμονα) Apio 215.18 **477a** ApS 138.12; Hdn i.48.5, ii.922.33; Choer. in Thd. i.322.8; (ῥαι.) H. ρ 72; **477b** EtG s.v. γέντο **479a** ApD Adv. 194.16; Hdn ad Π 515b **480** (τρίπλ.) ApS 155.10; H. τ 1415

460 ὃ Ar 9 11 tt Z Ω: ἃ quidam ap. sch[bT] V **461** damn. Düntzer; cf. ad 26–7 **463** τοι 9 11 239 Ω*: τι D: τι τοι *b* T: τ[1341: μοι F **465** ἱκάνοι 11 86 1341 tt Ω: -ει 9 *b* **466** παρέσσεται Ar 9 11 86 239 Ω: παρέξομαι Zen Arph (cf. A.R. 3.152; Rengakos 63 sq.) **467** θαυμάσσεται 9 11 86 239 A D G: -μάσε- Ω* **469** ἔτρεψε 9 11 239 Ω: ἔστρ- *h* κέλευσε 9 11 86 239 Ω: -ευε̣ 1341 τε 9 239 Ω*: δὲ 11 86 1341 *h* G **471** εὔπρηστον Ar 9 11 239[c] [h38] tt* Z Ω: -κτον (nov. Did) 239[a] Gal. **473** τ' 9 11 239 Ω*: γ' t D Y (γε θ-) R ἄνοιτο 9 11 239 Z Ω*: ἄνυτο Epm.[vl] F R G[c] (prob. Leaf), -ῦτο r **476** ἐν 9 11 1341 Ω*: ἐπ' t A[s] *b* **477** κρατερόν Zen A[s] D C F[a] T: -ρήν Ar 9 11 239 tt (-ταιήν Choer.) Ω* **480** ἐκ 9 11 239 Ω: ἐν *b* O

πέντε δ' ἄρ' αὐτοῦ ἔσαν σάκεος πτύχες· αὐτὰρ ἐν αὐτῶι
ποίει δαίδαλα πολλὰ ἰδυίῃσι πραπίδεσσιν.
ἐν μὲν γαῖαν ἔτευξ', ἐν δ' οὐρανόν, ἐν δὲ θάλασσαν,
ἠέλιόν τ' ἀκάμαντα σελήνην τε πλήθουσαν,
485 ἐν δὲ τὰ τείρεα πάντα, τά τ' οὐρανὸς ἐστεφάνωται,
Πληϊάδας θ' Ὑάδας τε τό τε σθένος Ὠρίωνος
Ἄρκτόν θ', ἣν καὶ Ἄμαξαν ἐπίκλησιν καλέουσιν,
ἥ τ' αὐτοῦ στρέφεται καί τ' Ὠρίωνα δοκεύει,
οἴη δ' ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο.
490 ἐν δὲ δύω ποίησε πόλις μερόπων ἀνθρώπων,
καλάς· ἐν τῆι μέν ῥα γάμοι τ' ἔσαν εἰλαπίναι τε,
νύμφας δ' ἐκ θαλάμων δαΐδων ὕπο λαμπομενάων
ἠγίνεον ἀνὰ ἄστυ, πολὺς δ' ὑμέναιος ὀρώρει·
κοῦροι δ' ὀρχηστῆρες ἐδίνεον, ἐν δ' ἄρα τοῖσιν

481 (–πτ.) Hdn ad M 295a; (πτ.) H. π 4260; **481b–2a** sch Σ 479; **482** sch Pind. Nem. 4.95c; w7 ii 5 (lacerum) **483–8** Eudoc. 8–13; **483–5** Hclt. Alleg. 48.5–7; [Iustin.] Cohort. ad Gr. 28; cf. Nonn. D. 25.388–94; **483 + 485** Clem. Paed. 3.99.3, Strom. 5.101.4 (unde Eus. P.E. 13.13.26); w43.3 (lacera); **483** Clem. Strom. 6.9.3; Ach. Tat. Isag. Arat. 29.30 M.; **484–6** ib. 30.5 M.; **484** Eudoc. 867; **484b** sch Σ 561; Epm. ε 104; (πλήθ.) H. π 2547; **485–7** Ath. 490c; **485** Orph. fr. 165.4; (τείρεα) ApS 150.29; H. τ 359; Orio 151.25; (ἐστ.) sch Σ 488a; H. ε 6381; **486–9** Porph. Il. 226.4 Schr.; **486** [Plut.] Hom. 2.106.1; sch ε 272; (Πλη.) H. π 2550; (Ὑάδες) Orio 156.23; Phot. Lex. s.v.; **487a**, **488** cf. Strab. 1.1.6; **488** ApS 29.14; Hdn i.20.9; sch Arat. 322; Choer. in Thd. i.272.35; **488b** sch Ar. Eq. 663 **489** Strab. 1.1.6; ApS 29.10, 15; [Plut.] Hom. 2.160; sch Arat. 26; (–ἄμμ.) Arist. Poet. 1461a20; (ἄμμ.) Apio 218.4 **491** Max. Tyr. 9.6; **491a** id. 26.9; **491b** cf. Luc. Dial. 24.16; (εἰλαπ.) H. (Cyr.) ε 852 **492–6** Eudoc. 538–9, 542–3, 547; **492b** Apio 102.8; sch Pind. Ol. 4.3h, 7.23b; w4 ix 5/sch Thuc. 2.13.7; (δ. ὕπο) cf. H. υ 595; (δαΐδ.) H. (Cyr.) δ 54; **493a** ApS 82.13; sch Heph. 320.15; (ἠγ.) H. η 73; **494–6** D.H. Ant. 7.72.8; **494** (–ἐδίν.) Luc. Dial. 45.13; **495** (–ἔχον) Arn ad K 13a(b); [Plut.] Hom. 2.147.3; (αὐλοί) cf. Ath. 16b; (αἱ δὲ–)–**496** sch Pind. Pyth. 2.85b; **496a** sch N 11b

481 ἐν 9 11 86 t Ω*: ἐπ' T G[γρ] **482** πολλ 9, -λλὰ 11 86 239 sch-Pind. Ω*: πάντα W ἰδυίῃ(ι)σι fere 11 239 Z (-σιν) Ω*: εἰδ- sch-Pind. 9 C **483–608** ath. Zen **483** ἔτευξ' 9 11 86 239 tt Z Ω: εθηκ 276 **485** δὲ τὰ 9 11 86 239 tt* Ω: δέ τε Achill. [Iustin.] Nonn. *h* V οὐρανὸς ἐστεφάνωται (= Hes. Th. 382) 9 11 86 239 1341 tt Z Ω: -νὸν ἐστεφάνωκε (?) Ar: -νὸν ἐστήρικται Zen (-νῶι? Düntzer, cf. Δ 443, Hymn. Merc. 11) **486** Ὠαρίωνος Heyne (item in 488) **487** ἄρκτόν sic A W G ἅμαξαν Hdn A D B: ἁμ- Y: ἄμ- Z A[λ] A[s] Ω*.—cf. Praef. xvii **488** ἥ τ' 9 11[c] 239 tt Z Ω: ἥδ 11[a] **489** οἴη 9 11 239 tt Ω, οἴη Z: οἶ· ἣ Crates ne parum curiosus sit poeta in astronomicis **490** πόλις A[a] (πολις δια του ι ειχε το αντιβολον A[m]) r: -εις 9 11 239 Ω*.—cf. Praef. xxxiv **491** μερρα 276 **492** νύμφας 9 11 239 1341 t Z Ω: -αι 276 ἐκ θαλάμων Ar 9 11 86 239 1341 t Z Ω: ἐς θαλάμους Zen, haud improbat Did ὕπο 11 Z r: ὑπὸ vel ὑπο 9 239 Ω **493** ηγἵνεον 11 (falso) ἀνὰ 11 239 276 1341 tt* Ω*: κατὰ ApS T Y ὑμέναιος 11 276 1341 t Z Ω: ορυμαγδος 239

495 αὐλοὶ φόρμιγγές τε βοὴν ἔχον· αἱ δὲ γυναῖκες
ἱστάμεναι θαύμαζον ἐπὶ προθύροισιν ἑκάστη.
λαοὶ δ' εἰν ἀγορῆι ἔσαν ἀθρόοι· ἔνθα δὲ νεῖκος
ὠρώρει, δύο δ' ἄνδρες ἐνείκεον εἵνεκα ποινῆς
ἀνδρὸς ἀποφθιμένου. ὃ μὲν ηὔχετο πάντ' ἀποδοῦναι
500 δήμωι πιφαύσκων, ὃ δ' ἀναίνετο μηδὲν ἑλέσθαι·
ἄμφω δ' ἱέσθην ἐπὶ ἵστορι πεῖραρ ἑλέσθαι.
λαοὶ δ' ἀμφοτέροισιν ἐπήπυον ἀμφὶς ἀρωγοί·
κήρυκες δ' ἄρα λαὸν ἐρήτυον. οἱ δὲ γέροντες
εἵατ' ἐπὶ ξεστοῖσι λίθοις ἱερῶι ἐνὶ κύκλωι,
505 σκῆπτρα δὲ κηρύκων ἐν χέρσ' ἔχον ἠεροφώνων·
τοῖσιν ἔπειτ' ἤϊσσον, ἀμοιβηδὶς δ' ἐδίκαζον.
κεῖτο δ' ἄρ' ἐν μέσσοισι δύω χρυσοῖο τάλαντα,
τῶι δόμεν, ὃς μετὰ τοῖσι δίκην ἰθύντατα εἴποι.
τὴν δ' ἑτέρην πόλιν ἀμφὶ δύω στρατοὶ εἵατο λαῶν
510 τεύχεσι λαμπόμενοι. δίχα δέ σφισιν ἥνδανε βουλή,.
ἠὲ διαπραθέειν ἢ' ἄνδιχα πάντα δάσασθαι
κτῆσιν ὅσην πτολίεθρον ἐπήρατον ἐντὸς ἔεργεν.

498 (ὠρ.) H. ω 389; (δύο–) Arn ad Ω 25–30; sch B 283; (ἄνδρες–) sch Ω 23; (ἐνείκ.) H. (Cyr.) ε 3105 **500a** Arn ad Σ 502a; **500b** EtG α 807 **501** Porph. Il. 239.1 Schr.; **501a** H. α 4161; (ἱέσθην) H. (Cyr.) ι 341; Phot. Lex. ι 68; **501b** ApS 93.2; (ἵστ.) Phot. Lex. ι 237 **502** (ἐπήπ.) H. (Cyr.) ε 4574; (ἀμφὶς ἀρ.) H. α 4100 **505** (ἠεροφ.) ApS 82.29; Porph. Od. 115.3 Schr.; H. η 201; Phot. Lex. ι 65 **506b** ApS 27.13; (ἀμοιβ.) H. α 3733 **507–8** Luc. Dial. 28.41 (parod.); **507** Poll. 9.54; **508b** Plut. Mor. 742a; (ἰθ.) ApS 90.21; H. (Cyr.) ι 412 **509–34** Porph. Hom. 25.26 Sod.; **509** Max. Tyr. 26.9; (εἵατο) sch O 10b; **510b** Hdn i.496.8; Porph. Hom. 30.18 Sod.; (δίχα) ApS 59.17;

495 φόρμιγγές 11 239 1341 tt* Ω: σύριγγές sch-K (ex K 13).—cf. [Hes.] Sc. 278/80 **496** προθύροισιν 11 239 276 tt* Ω*: -ρη(ι)σιν sch-Pind.[vl] *b* F Y **497** νεῖ–κος 11 1341 Z Ω: νικος 86 239 276 **499** ἀποφθιμένου Ar 11 239 276 1341 Ω: -κτα–μένου Zen "αἱ πλεῖσται", haud improbat Did ηὔχετο Fick: εὔ- 11 239 Z Ω **500** πιφαύσκων Z Ω*: πιφρ- 239[c] 276 1341 A: επιφρ- 11 239[a] **501** ἵστορι Hdn 11 239[c] 1341 tt* Z Ω: -ορα 239[a]: -ωρ ApS πεῖραρ 11 239 t* Ω*: -αν A[a] F[x] G: πιαρ 276 ApS, πεῖαρ Z ἑλέσθαι Ar 11 239 tt Ω: ἀρέσθαι Zen **502** ἀμφοτέροισιν Ar 11 239 1341 Ω: -ωθεν Zen Arph 𝔐.—cf. ad O 669 ἐπήπυον Ar 11 1341 t Z Ω (επίτυον Y): †ἐπί–πνυον 𝔐 (ἐποίπ- Buttmann): ερητυον (ex 503) 239 ἀρωγοί 11 86 239 t Z Ω: -γῶι 𝔐? (teste T: -γοί A) **503** δ ανạ ạσ̣τ̣υ̣ 239[a] (ex Γ 245, Θ 517) **505** ἠεροφώνων 11 239 276 tt* sch[AbTD] Ω*: ἱερο- Phot. (et Suda s.v.) Y (ἱερο-), prob. Ahrens Phil. 27 (1868) 590 sq., Schulze 211 cl. Rgv. 9.84.4 al. vā́cam iṣirā́m **506** τοῖσιν 11 86 239 1341 Z Ω*: τοῖ–σι δ' 276 *b* R, τοῖσιν δ' W ἀμοιβηδὶς Hdn 11 (-ηδιεδικ-) 239 Ω: -ηδὸν Ar[ab] Z rr: -αδὶς tt δ' ἐδίκαζον Z Ω*: δὲ δ- A B E **507** δύω Ω*: δύο 11 tt W.—cf. ad Ψ 269, 614 **508** εἴποι 11 239 Ω*: -η(ι) D C R W **509** δύω 11 239 Porph.[vl] Ω*: δύο 276 tt* Z T[λ] C W ηατο 239 λαοιν 11[a] **511** ἤ' Fick: ἢ 11, ἤ Ω **512** ἔεργεν Z A T G: ἐέργει 11 t A[s] Ω*

οἱ δ' οὔ πω πείθοντο, λόχωι δ' ὑπεθωρήσσοντο.
τεῖχος μέν ῥ' ἄλοχοί τε φίλαι καὶ νήπια τέκνα
515 ῥύατ' ἐφεσταότες, μετὰ δ' ἀνέρες οὓς ἔχε γῆρας,
οἱ δ' ἴσαν· ἦρχε δ' ἄρά σφιν Ἄρης καὶ Παλλὰς Ἀθήνη,
ἄμφω χρυσείω, χρύσεια δὲ εἵματα ἕσθην,
καλὼ καὶ μεγάλω σὺν τεύχεσιν, ὥς τε θεώ περ,
ἀμφὶς ἀριζήλω· λαοὶ δ' ὑπ' ὀλίζονες ἦσαν.
520 οἱ δ' ὅτε δή ῥ' ἵκανον, ὅθί σφισιν εἶκε λοχῆσαι,
ἐν ποταμῶι, ὅθι τ' ἀρδμὸς ἔην πάντεσσι βοτοῖσιν,
ἔνθ' ἄρα τοί γ' ἵζοντ' εἰλυμένοι αἴθοπι χαλκῶι.
τοῖσι δ' ἔπειτ' ἀπάνευθε δύω σκοποὶ εἵατο λαῶν
δέγμενοι, ὁππότε μῆλα ἰδοίατο καὶ ἕλικας βοῦς·
525 οἱ δὲ τάχα προγένοντο, δύω δ' ἅμ' ἕποντο νομῆες
τερπόμενοι σύριγξι, δόλον δ' οὔ τι προνόησαν.
οἱ μὲν τὰ προϊδόντες ἐπέδραμον, ὦκα δ' ἔπειτα
τάμνοντ' ἀμφὶ βοῶν ἀγέλας καὶ πώεα καλὰ
ἀργεννέων ὀΐων, κτεῖνον δ' ἔπι μηλοβοτῆρας.

511 ApD Coni. 220.27; **511**b–**12** Porph. Hom. 33.21 Sod.; **512** (ὅ]σην πτ.[) sch^{h89} fr. 15 (iv.325.8 E.); (ἐπήρ.) H. ε 4577; Phot. Lex. ε 1478; **513** Porph. Hom. 27.18/21, 28.12/14, 29.6–20 Sod.; **514–15** ib. 32.3–9; **515** (ἐφεστ.) ib. 34.15; **516** (οἱ δ' ἴ.) ib. 28.15, 29.21, 30.23; (ἦρχε–)–**517** Porph. Il. 245.23 Schr.; **518** (–τεύχ.) ApD Pron. 11.6; **519**a Apio 218.21; H. α 4101; **519**b St. Byz. 489.16; (ὑπολ.) H. υ 688; (ὀλ.) id. ο 559, cf. λ 985; **521** EtG α 1135; (ὅθι–) ApS 52.6; (ἀρδ.) id. 42.33; H. (Cyr.) α 7102; (βοτ.) id. β 856, [862]; **524** (ἰδοί.) H. ι 223; **525** (νομ.) H. (Cyr.) ν 633; **528** ApS 150.14; (τάμν. ἀμφί) H. τ 112; **529** (ἀργ.) ApS 41.30; H. α 7032; (μηλοβ.) H. (Cyr.) μ 1189; **530** Porph. Hom. 28.18 Sod.; **531** (–καθ.) ib. 28.23; EtG s.v. εἴρην; **531**a id. s.v. πρώειρα; (ἱράων) ApS 92.22; H. (Cyr.) ε 1001, ι 873; **533–7** Hclt. Alleg. 48.4; **534** Euboeus Supp. Hell. 411; sch Heph. 265.11; **535** Plut. Mor.

513 ὑπεθωρήσσοντο 86 239 tt Ω*: ὑποθ- 11 276 Z F R G **515** ῥύατ'· Parmeniscus ἐφεσταότες 11 86 239^{c} 1443^{c} t Z Ω*: ἀφ- 239^{a} 1443^{a} T^{a} ἀνέρες 11 86 239 1442 1443 t Ω*: -ας D W **516** ἄρά sic A G **517** χρύσειοι 11^{a} ἕσθην 11 Ω*, ἕστην W: ἧσ- 239 276 1443 t Z D F^{c} R^{a} G **519** om. 239^{a} ὑπ' ὀλίζονες Hdn 11 (ex ολεζοντες) t A B^{a}? C E T^{c}: ὑπολ- Z A$^{\lambda}$ Ω* (-λ⟦ε⟧ίζον⟦τ⟧ες R).—cf. [Hes.] Sc. 258; Leumann 72 ὀλείζονες (cf. R) Nauck Attice **520** ὅθί sic 11 Ω praeter R **521** ᾱρδμὸς Hdn A βοτοῖσιν 11^{c} tt sch^{bT} (γραπτέον) Z Ω*: βρο- 11^{a} 239 276 D Y R^{a} **523** ἧατο Y **524** δέγμενοι 11 86 239 t Ω: δέχμ- Cobet Misc. crit. 360, cf. ad B 794 **525** οἱ (vel οἰ) 11 86 239 t Ω: αἱ Bekker Hom. Bl. I 161 νομῆες 11 239 276 t Ω: -ῆε Arph? (Ahrens Kl. Schr. I 132) **526**–T 38 deest D τερπόμενοι Ar 11 86 239 t Ω: -μένω Arph r **527** ἐπέδραμον 11 86 239^{c} t Ω: ὑπ- 239^{a} r **528** πώεα καλά Ar 11 239 tt* Ω: πώεα μήλων ApS: πῶϋ μέγ' οἰῶν Zen, sc. omisso 529 **529** ἀργεννέων Thiersch: -ννῶν 11 86 tt Ω: -ννάων rr ὀΐων (Ω) sive οἰῶν, cf. Praef. xxiv τ'εδ'επι Y (invenerat τ' ἐπι ss. δ'ε) ἔπι dedi: ἐπι 11, ἐπὶ vel ἐπι Ω

530 οἳ δ' ὡς οὖν ἐπύθοντο πολὺν κέλαδον παρὰ βουσίν
εἰράων προπάροιθε καθήμενοι, αὐτίκ' ἐφ' ἵππων
βάντες ἀερσιπόδων μετεκίαθον· αἶψα δ' ἵκοντο,
στησάμενοι δ' ἐμάχοντο μάχην ποταμοῖο παρ' ὄχθας,
βάλλον δ' ἀλλήλους χαλκήρεσιν ἐγχείηισιν.
535 {ἐν δ' Ἔρις, ἐν δὲ Κυδοιμὸς ὁμίλεον, ἐν δ' ὀλοὴ Κήρ,
ἄλλον ζωὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον,
ἄλλον τεθνηῶτα κατὰ μόθον εἷλκε ποδοῖιν·
εἷμα δ' ἔχ' ἀμφ' ὤμοισι δαφοινεὸν αἵματι φωτῶν.}
ὡμίλεον δ' ὥς τε ζωοὶ βροτοὶ ἠδ' ἐμάχοντο,
540 νεκρούς τ' ἀλλήλων ἔρυον κατατεθνηῶτας.
ἐν δ' ἐτίθει νειὸν μαλακήν, πίειραν ἄρουραν
εὐρεῖαν τρίπολον· πολλοὶ δ' ἀροτῆρες ἐν αὐτῆι
ζεύγεα δινεύοντες ἐλάστρεον ἔνθα καὶ ἔνθα.
οἳ δ' ὁπότε στρέψαντες ἱκοίατο τέλσον ἀρούρης,
545 τοῖσι δ' ἔπειτ' ἐν χερσὶ δέπας μελιηδέος οἴνου
δόσκεν ἀνὴρ ἐπιών· τοὶ δὲ στρέψασκον ἀν' ὄγμους,
ἱέμενοι νειοῖο βαθείης τέλσον ἱκέσθαι.
ἣ δὲ μελαίνετ' ὄπισθεν, ἀρηρομένηι δὲ ἐώικει
χρυσείη περ ἐοῦσα· τὸ δὴ περὶ θαῦμα τέτυκτο.

1113a; sch A 287–9a; Porph. Il. 11.23 Schr.; w5 (lacerum); **536–7** Plut. Mor. 1010e; **536** Epm. α 281; (ἄουτον) H. (Cyr.) α 5694 **539** Gal. in Hipp. De artic. xviii(1).317 K. **541** Porph. Hom. 26.4 Sod. **542**a Poll. 1.223; (τρίπ.) ApS 155.3; H. τ 1418; (ἀροτ.) H. (Cyr.) α 7373 **543** (διν.–) EtG β 309; (ἐλ.) H. (Cyr.) ε 1884 **545**b Hdn ad Λ 385e[1] **546** (ἐπιών) H. (Cyr.) ε 5451; (ἀν' ὄγ.) id. α 5233; (ὄγ.) ApS 118.23; H. ο 51 **547** (νειοῖο–) Aelius Stilo fr. 21 p.63 Fun. **548** (μελ.) H. μ 632; **548**b–9a Porph. Il. 246.4 Schr.; **548** (ἀρηρ.) ApS 44.5; H. α 7165; **549**a sch Υ 272

530 παρὰ 11 Ω*: περὶ t G **531** εἰράων Ar [11] EtG A[λ] A R[s] G[s] O: ἱρ- vel ἰρ- 86 239 tt* Z A[m] Ω*: utrumque Hsch. **535–8** (≈ [Hes.] Sc. 156–9) damn. Düntzer **535** ὁμίλεον (cf. 539) 11 239 tt (vel ὡμ-) Ω: ἐθύνεον [Hes.] ὀλοὴ 11 239 w5 Ω: -οὸν tt* **536** νεώτατον et ἄωτον Bechtel Lexil. 340 **537** τεθνηῶτα Ar (-θνηι- teste A) B[a] E F[a] T R W: -θνει- (nov. Did) 11 86 239 tt T[λ] E[s] Ω* εἷλκε 276, εἵλκε [Hes.][cod.B]: ἕλκε 11 239 tt Ω [Hes.]* **538** δ' Ar 11 239 276 Ω [Hes.]: τ' 𝔐 δαφοινεὸν Hdn 11 Ω* [Hes.][vl]: proparox. 239[?] sch[T] Z F T R W [Hes.][vl]: parox. r **539** ὡμίλεον t A[a] F O[c]: -ευν 11 86 239[c] Z Ω* (-ευ B E): -ουν 239[a] N ἠδὲ μάχοντο *h* R W **540** κατατεθνηῶτας Ar 276 (-οτας) A[s] B[a] E F[a] T R: -θνει- (nov. Did) 11 239 E[s] Ω* **541** δ' ἐτίθει 11 T[λ] Ω*: δὲ τ- W **545** μελιηδέος οἴνου (γ 46) 11 86 239 t Ω: μέλανος οἴνοιο (ε 265, ι 196, 346) Bentley **546** τοὶ A *b*: οἳ 11 86 239 Ω* **548** δ' ἐμελαίνετ' R N ἀρηρομένηι 11 86 239 tt Ω* (cf. A.R. 3.1336): -ρεμένηι A ἐώικει: cf. ad Β 58 **549** πὲρι 11, περὶ vel περι 86 239 Ω: πέρι H θαῦμα τέτυκτο Ar 239 Ω*: θαῦμ' ἐτέ- (nov. Did) 11 86 Y R W

550 ἐν δ' ἐτίθει τέμενος βασιλήϊον· ἔνθα δ' ἔριθοι
ἤμων ὀξείας δρεπάνας ἐν χερσὶν ἔχοντες.
δράγματα δ' ἄλλα μετ' ὄγμον ἐπήτριμα πίπτον ἔραζε,
ἄλλα δ' ἀμαλλοδετῆρες ἐν ἐλλεδανοῖσι δέοντο.
τρεῖς δ' ἄρ' ἀμαλλοδετῆρες ἐφέστασαν· αὐτὰρ ὄπισθεν
555 παῖδες δραγμεύοντες, ἐν ἀγκαλίδεσσι φέροντες,
ἀσπερχὲς πάρεχον. βασιλεὺς δ' ἐν τοῖσι σιωπῆι
σκῆπτρον ἔχων ἑστήκει ἐπ' ὄγμου γηθόσυνος κῆρ·
κήρυκες δ' ἀπάνευθεν ὑπὸ δρυῒ δαῖτα πένοντο,
βοῦν δ' ἱερεύσαντες μέγαν ἄμφεπον· αἱ δὲ γυναῖκες
560 δεῖπνον ἐρίθοισιν λεύκ' ἄλφιτα πολλὰ πάλυνον.
ἐν δ' ἐτίθει σταφυλῆισι μέγα βρίθουσαν ἀλωήν
καλήν, χρυσείην, μέλανες δ' ἀνὰ βότρυες ἦσαν.
ἑστήκει δὲ κάμαξι διαμπερὲς ἀργυρέηισιν·
ἀμφὶ δὲ κυανέην κάπετον, περὶ δ' ἕρκος ἔλασσεν
565 κασσιτέρου. μία δ' οἴη ἀταρπιτὸς ἦεν ἐπ' αὐτήν,
τῆι νίσοντο φορῆες, ὅτε τρυγόωιεν ἀλωήν.
παρθενικαὶ δὲ καὶ ἠΐθεοι ἀταλὰ φρονέοντες

550 (βαθὺ λ.) sch Σ 561; (ἔριθοι) Poll. 1.221; H. (Cyr.) ε 5840 **551** (–δρεπ.) sch Σ 483–606; (ἤμων) H. (Cyr.) η 548; Phot. Lex. η 180 **552**b ApS 72.6; (ἐπήτρ.) H. (Cyr.) ε 4604 **553** (ἀμαλλ.) ApS 29.4; H. (Cyr.) α 3414; EtG α 581; **553**b H. (Cyr.) ε 2890; (ἐλλεδ.) id. ε 2151, [2164]; Orio 66.17; (δέοντο) H. (Cyr.) δ 654 **554** (ἀγκαλ.) id. α 531 **558** (–δρυΐ) sch A 334a^{1} **560** (ἐρίθ.) H. ε 5841a **561–5** (κασσ.) Porph. Il. 246.6 Schr.; **561** (σταφ.) Ath. 653b; (βρίθ.) H. (Cyr.) β 1149; **562**b Porph. Hom. 116.3 Sod.; **563** (κάμ.) H. κ 561, cf. 557; **564** (περὶ–) Porph. Hom. 132.23 Sod.; **565** (μία δ' οἴη) Hdn ad Z 422a^{1}; (ἀταρπ.) H. (Cyr.) α 8019/20; EtG α 1343 **566**a Epm. φ 38; (φορ.) H. φ 764; Phot. Lex. s.v. **567** [Plut.] Hom. 2.42.3; 'Hdn.' Fig. 3; (ἀταλ.) H. (Cyr.) α 7998; EtG α 1336

550 δὲ τίθει Y R W βασιλήϊον 11 86 A *b* F^{c} T^{γρ} R^{s} G: βαθυλήϊον vel βαθὺ λ- 239 t A^{γρ} A^{m} C^{c} F^{γρ} T^{λ} Ω* (cf. [Hes.] Sc. 288; A.R. 1.830; Leumann 68 n.35) **551***a* καρπὸν Ἐλευσινίης Δημήτερος ἀγλαοδώρου add. quidam teste Agallide ap. sch^{T}/Eust. ad Σ 483–606; cf. Eratosth. 16.18 Powell **552** πίπτον 86 t Ω*: -εν 11 239 W^{c} **557** ἑστή-κει Ar^{ab} Ω*: εἵστ- (nov. Did) 11 86 239 T^{λ} W G ὄγμου 11 86 Ω*: -ον Y (pro -ων?): -ους R G (ὤ-) **559** δ' 239 Ω: om. 11 **560** πολλὰ πάλυνον Z A^{c} Ω*: πολλ' ἀπ- A^{a}: πόλλ' ἐπ- 11 86 A^{m} F T^{λ}: (πόλλ' ἄλφιτα) λευκὰ π- Y W.—cf. ad Λ 640 **561** δὲ τίθει fere Y R W ἀλωήν 11 86 Ω* (ἁλ- C T^{a}): -ωιὴν A B E W (ἁλ- B^{a} E) **563** ἑστήκει (Ar) Z Ω*: εἵστ- 11 239 t C F W G ἀργυρέηισιν Ar 11 86 239 t Ω*: -οισιν Zen C F W.—v.l. eadem [Hes.] Sc. 299 **565** ἐπ' Ar 11 239 Ω*: ἐς Zen (prob. Did) 86 Y αὐτήν Zen 11 86 Ω*: -ῇ F (ss. ῶ) **566** νίσοντο 11 t *b* F R W: νισσ- 239 (-αντο a.c.): νείσ- A T Y O: νείσσ- G ἀλωήν 11 86 234 Ω* (ἁλ- C T^{a}): ἀλωιήν A B, ἁλ- E W **567** δὲ 11 239^{c} Ω*: τε 239^{a} tt G

πλεκτοῖς ἐν ταλάροισι φέρον μελιηδέα καρπόν·
τοῖσιν δ' ἐν μέσσοισι πάϊς φόρμιγγι λιγείηι
570 ἱμερόεν κιθάριζε, λίνον δ' ὑπὸ καλὸν ἄειδεν
λεπταλέηι φωνῆι· τοὶ δὲ ῥήσσοντες ἁμαρτῆ
μολπῆι τ' ἰυγμῶι τε ποσὶ σκαίροντες ἕποντο.
ἐν δ' ἀγέλην ποίησε βοῶν ὀρθοκραιράων·
αἱ δὲ βόες χρυσοῖο τετεύχατο κασσιτέρου τε,
575 μυκηθμῶι δ' ἀπὸ κόπρου ἐπεσσεύοντο νομόνδε
πὰρ ποταμὸν κελάδοντα, παρὰ ῥαδαλὸν δονακῆα.
χρύσειοι δὲ νομῆες ἅμ' ἐστιχόωντο βόεσσιν
τέσσερες, ἐννέα δέ σφι κύνες πόδας ἀργοὶ ἕποντο·
σμερδαλέω δὲ λέοντε δύ' ἐν πρώτηισι βόεσσιν
580 ταῦρον ἐρύγμηλον ἐχέτην· ὃ δὲ μακρὰ μεμυκώς
εἵλκετο, τὸν δὲ κύνες μετεκίαθον ἠδ' αἰζηοί.
τὼ μὲν ἀναρρήξαντε βοὸς μεγάλοιο βοείην
ἔγκατα καὶ μέλαν αἷμα λαφύσσετον· οἱ δὲ νομῆες
αὔτως ἐνδίεσαν, ταχέας κύνας ὀτρύνοντες,

568 ApS 148.34; H. τ 66; (ἐν ταλ.) H. (Cyr.) ε 3315 **569–70** Paus. 9.29.7; Eudoc. 548–9; **569b–70** [Plut.] Hom. 2.147.4; **570** (λίνον) Hcld. Pont. fr. 160 W.; H. λ 1064; Phot. Lex. λ 326 **571** (ῥήσσ.) ApS 138.28; H. (Cyr.) ρ 271 **572** sch N 571a (Porph. Il. 185.11 Schr.); **572a** + σκαίρ. Ath. 15d; **572a** ApS 93.17; (ἰυγμῶι τε) H. (Cyr.) ι 1110, cf. 1114; (σκαίρ.) Phot. Lex. s.v. **573–4** + **577** Porph. Il. 246.11 Schr.; **574** (–τετ.) Did ad O 187b; Epm. τ 67; **575** ApS 102.21; (κόπρ.) Apio 244.7; H. κ 3568; **576a** Hdn ad Φ 16a; **576b** EtG s.v. ῥαδαλόν; (ῥαδ. δον.) sch N 458a[1]; H. δ 2186; (ῥαδ.) ApS 138.10 (ubi lege ‹ῥαδανόν·› ῥαδινόν, cf. H.); (ῥαδ./ῥοδ.) H. ρ 13, 21, 27, 390 **579a** Porph. Hom. 48.14 Sod. **580a** EtG s.v. ἐρύγμηλος; (ἐρ.) H. ε 6072 **582–3** (–λαφ.) Epm. τ 55; **583** (–λαφ.) sch B 314a; sch[D] K 364 **584** Hdn ad Σ 162a[1], Ψ 475b; **584a** id. ad M 276c;

568 πλεκτοῖς ἐν (nov. Did) 11 239 tt Ω (= ι 247): -οῖσιν Ar[ab] **570** λίνον Ar Hdn 11 234 239 tt Z fere Ω (cf. Hymn. Merc. 502): -ος Zen (chordam intelligens, cf. φ 411): -ου h38 **571** ἁμαρτῆ (Ar) dedi, cf. ad E 656, Φ 162: ἁμαρτῆ(ι) (Hdn) A W: ὁμ- 11 234 239 Z A[m] Ω* (cf. Call. Hymn. 3.243; A.R. 1.538; Rengakos 123):]μαρτῆ 86 **572** ἰυγμῶι 11 234 239 h38 tt* Ω: ἰωγμῶι Z sch[hyp]: et ἰυχμ- Hsch.: ὀρχηθμῶι Ath. **576** παρὰ Arph (Ar) 11 88 234 239 t Ω (παραὶ C): διὰ Zen ῥαδαλὸν Zen (teste A EtG[B]: Ζηνόδωρος EtG[A]) sch-N EtG A[γρ] r: †ῥαδηλὸν Arph (teste A: Ἀρίσταρχος EtG; ῥαδαλὸν van der Valk, ῥαδινὸν Ludwich, cf. ApS): ῥαδạνος h38: ροị vel ραị 88: ῥοδανὸν 11 234 239 EtG[γρ] Z Ω: (Ῥοδανὸν) δονακῆεν quidam teste DThr ap. Did: et ῥαδαλὸν et ῥαδανὸν et ῥοδανὸν Hsch. **578** τέσσερες dedi (cf. Praef. xxxv): -αρες 11 234 239 Ω **579** σμερδαλέω δὲ λέοντε δύ' ἐν Ar[a] (δύο Ar[b], an δύω?) 11 234 (δυ]ω εν) 239 t Ω, δύω *h*: κυάνεοι δὲ λέοντες ‹ἐνὶ›(?) Zen (-εω δὲ λέοντε ‹δύ' ἐν› Villoison) (cf. 564, Λ 26, 39; [Hes.] Sc. 167, 249) πρώτηισι Ar 11 234 239 Ω*: -οισι A F **580** ἐρύγμηλον Hdn 11 234 Ω: oxyt. Tyr μεμυκώς 11 239 Ω: μεμηκώς 86 O **581** εἵλκετο (nov. Did) 239 W G: ἕλκ- Ar 11 A[λ] Ω* τὸν Ar 11 239 Ω* O[γρ]: τοὺς Zen: τὼ W O **582** ἀναρήξαντε 11 239 A G **584** αὔτως vel (αὔ-) Ar 11

585 οἱ δ' ἤτοι δακέειν μὲν ἀπετρωπῶντο λεόντων,
ἱστάμενοι δὲ μάλ' ἐγγὺς ὑλάκτεον ἔκ τ' ἀλέοντο.
ἐν δὲ νομὸν ποίησε περικλυτὸς Ἀμφιγυήεις
ἐν καλῆι βήσσηι μέγαν οἰῶν ἀργεννάων,
σταθμούς τε κλισίας τε κατηρεφέας ἰδὲ σηκούς.
590 ἐν δὲ χορὸν ποίκιλλε περικλυτὸς Ἀμφιγυήεις
τῶι ἴκελον, οἷόν ποτ' ἐνὶ Κνωσῶι εὐρείηι
Δαίδαλος ἤσκησεν καλλιπλοκάμωι Ἀριάδνηι.
ἔνθα μὲν ἠΐθεοι καὶ παρθένοι ἀλφεσίβοιαι
ὠρχέοντ', ἀλλήλων ἐπὶ καρπῶι χεῖρας ἔχοντες·
595 τῶν δ' αἳ μὲν λεπτὰς ὀθόνας ἔχον, οἳ δὲ χιτῶνας
εἵατ' ἐϋννήτους, ἦκα στίλβοντας ἐλαίωι.
καί ῥ' αἳ μὲν καλὰς στεφάνας ἔχον, οἳ δὲ μαχαίρας
εἶχον χρυσείας ἐξ ἀργυρέων τελαμώνων.
οἳ δ' ὁτὲ μὲν θρέξασκον ἐπισταμένοισι πόδεσσιν
600 ῥεῖα μάλ', ὡς ὅτε τις τροχὸν ἄρμενον ἐν παλάμηισιν
ἑζόμενος κεραμεὺς πειρήσεται, αἴ κε θέησιν·
ἄλλοτε δ' αὖ θρέξασκον ἐπὶ στίχας ἀλλήλοισιν.
πολλὸς δ' ἱμερόεντα χορὸν περιίσταθ' ὅμιλος

(ἐνδ.–) ApS 68.22; (ἐνδ.) sch Δ 171c^{1}; H. ε 2792 **585** (ἀπετρ.) EtG α 1020 **586** Epm. α 287 **588** sch Heph. 265.10 **589** Porph. Il. 328.9 Schr.; (κατηρ.) ApS 96.18; H. κ 1776; (σηκ.) ApS 141.8 **590–4** D.H. Ant. 7.72.9; Ath. 181a; **591–2** 'Hdn.' Fig. 65; **591** (ἐνὶ Κν.) H. (Cyr.) ε 3107; **592** cf. Luc. Dial. 45.13; **593–6** Eudoc. 582–5; **593–4** 'Hdn.' Fig. 3; **593** ApS 24.1; **593a** + **594** (ὠρχ.) sch Σ 590b; **593** (ἠϊθ. καὶ π.) + **594** (ὀρχ. χεῖρ. ἔχ.) sch Σ 514–15b; (ἠΐθ.) H. η 251; **593**b sch Hes. Op. 163a; EtG α 557/9; Epm. α 330; (ἀλφ.) sch Z 236a$^{2/3}$, Λ 244a^{1}, Ξ 491; sch Eur. Alc. 8; H. (Cyr.) α 3325/6; **596** (ἐϋνν.) sch A 448b **597–8** D.H. Ant. 7.72.9; Porph. Il. 246.16 Schr.; **597** Poll. 5.96; (–ἔχον) Arg. a Pind. Nem. **600–1** (–πειρ.) ApS 155.25; **600** Strab. 7.3.9; (ἄρμ.) Hdn ad A 486b; EtG α 1204 **602a** id. s.v. θρέξασκον **603–6** D.H. Ant. 7.72.9; Ath. 181a, d, cf. 180d; Eudoc. 578–81; **605** (δοιὼ–)–6a cf. Luc. Dial. 45.13; **606** (ἐδίν.) H. (Cyr.) ε 476

239 h38 Ω: οὕτως Zen ἐν δ' ἵεσαν Ptol Z rr ὀτρύνοντες 11 239 tt* Ω*: -αντες 86 ApS G inter **589** et **594** vv. septem habuit 51 **590** ποίκιλλε 11 239 tt Ω*: -ιλε T: ποίησε T^{λ} W **591** οἷόν Nic 239 Ω: οἷόν quidam ap. Nic ne deus hominem imitetur Κνωσῶ(ι) Hsch. A *b* Y: -σσ- 11 86 239 tt* Ω*.—cf. Praef. xxxii **592** Ἀριάδνηι Ar 11 86 239 tt Ω: Ἀριήδηι Zen (cf. Call. fr. 67.13, Pfeiffer ad loc.; Rengakos 85) **594** ὠρχέ–οντ' dedi: -εῦντ' 11 239 tt (ὀρχ- sch-Σ) Ω ἔχοντες 11 86 239^{c} tt* Z Ω: -ουσαι 239^{a} Dion. Ath. V (ex Hymn. Ap. 196?) **595** δ' om. 11^{a} 239^{a} λεπτὰς 11 86 239 t Ω: καλὰς A^{γρ} (ex 597) **596** εἵατ' 11 t Z Ω: εἶχον 239 O (cf. 598) ἐϋννήτους 11 239 t Ω*: εὐνή- Z Y (ss. ν) R W G **597–8** om. Arph 239^{a}, ath. Ar **597** καί ῥ' 11 239 tt* A^{λ} Ω: τῶν δ' (ex 595) Poll., τῶν Arg.-Pind. καλὰς 11 239 tt* Ω: πλεκτὰς Poll. **599** ὁτὲ B^{c} F^{c} W V: ὅτε Ω* **600** ῥεῖα μάλ' ὡς ὅτε τις 11 51 (ρηα) t* Ω: ὡς δ' ὅτε τις κεραμεὺς Strab. Z **601** θέη(ι)σι(ν) 51 Ω*: θέλ- 11 86 239 *b* Y O

604/5 τερπόμενοι· δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτούς
μολπῆς ἐξάρχοντες ἐδίνευον κατὰ μέσσους.
ἐν δ' ἐτίθει ποταμοῖο μέγα σθένος Ὠκεανοῖο
ἄντυγα πὰρ πυμάτην σάκεος πύκα ποιητοῖο.
αὐτὰρ ἐπεὶ δὴ τεῦξε σάκος μέγα τε στιβαρόν τε,
610 τεῦξ' ἄρα οἱ θώρηκα φαεινότερον πυρὸς αὐγῆς,
τεῦξε δέ οἱ κόρυθα βριαρὴν κροτάφοις ἀραρυῖαν,
καλήν, δαιδαλέην, ἐπὶ δὲ χρύσεον λόφον ἧκεν·
τεῦξε δέ οἱ κνημῖδας ἑανοῦ κασσιτέροιο.
αὐτὰρ ἐπεὶ πάνθ' ὅπλα κάμε κλυτὸς Ἀμφιγυήεις,
615 μητρὸς Ἀχιλλῆος θῆκε προπάροιθεν ἀείρας·
ἣ δ' ἴρηξ ὣς ἆλτο κατ' Οὐλύμπου νιφόεντος,
τεύχεα μαρμαίροντα παρ' Ἡφαίστοιο φέρουσα.
T Ἠὼς μὲν κροκόπεπλος ἀπ' Ὠκεανοῖο ῥοάων
ὤρνυθ', ἵν' ἀθανάτοισι φόως φέροι ἠδὲ βροτοῖσιν,
ἣ δ' ἐς νῆας ἵκανε θεοῦ πάρα δῶρα φέρουσα.
ηὗρε δὲ Πατρόκλωι περικείμενον ὃν φίλον υἱόν,

607 Clem. Strom. 6.9.3 608 (πὰρ πυμ.) H. π 1006; (πύκα ποι.) ApS 137.22; Hdn i.488.11; H. π 4320 609 (τεῦξε) id. τ 697 610b sch T 398a[1]; Choer. Trop. iii.253.1 Sp. 612 (δαιδ.) H. (Cyr.) δ 47 613b ApS 61.27; cf. Ael. Dion. ε 1; Hdn ii.912.22; sch Γ 385, Π 9a[1], Σ 352b; sch^{D} Ξ 178; H. ε 25 614 (ὅπλα) id. ο 1029 616b sch N 754b **T 1** sch Arat. 26 4 ApD Synt. 441.9; (–περικ.) Hdn i.482.5; (Πατρ. περικ.) sch T 284b

604/5 τερπόμενοι Ar 11 239 tt* Ω: -ος Ath. rr deinceps verba μετὰ δέ σφιν ἐμελπετο θεῖος ἀοιδός | φορμίζων (= δ 17/18) exemisse Aristarchum autumat Ath. (auctore Seleuco puto, = fr. 20 Müller), textui inseruit Wolf: desunt in 11 51 86 234? 239 tt* Ω (habet Eudocia in contextu plerumque ex Σ hausto, sed et δ 15 inserit).—numquam ea hic stetisse opinor; olim stetisse finxit is (Sel u.v.) qui contendit locum δ 15–19 ex Σ interpolatum esse, v. Ath. κατ' αὐτούς 11 51 86 239 tt Ω: καθ' αὐ- Diodorus Aristophaneus ap. Ath. **606** ἐξάρχοντες (= δ 19) 11 51 86 234 239 tt Ω: -ντε H: -ντος (incluso versu de ἀοιδῶι) flagit. Ath. (sc. Sel?), edidit Wolf **606*a*** εν δ εσ[αν σ]ụριγγε[ς, εσ]ạṿ κιθαρις (ex -ες) τ[ε] ḳαι ạ[υλοι add. 51 praefixo obelo **607** δὲ τίθει R W: δ' ἐτέθη B **608*a–d*** εν δε λιμην ετετυκτ̣[ο] ẹανου κασσιτερ̣[οιο] | κλυζ[ομ]ενωι ικẹ[λο]ς δοιω δ αναφυσιοω[ντες] | αργυ[ρεοι] δελφινες [ε]φοινεον ελλ[ο]πας [ιχθυς] | του δ̣ [υπ]ο χαλκε[ιοι] τ̣ρ̣ε̣ο̣ν̣ ι̣χ̣θ̣υ̣ες αụτα[ρ επ ακταις (≈ [Hes.] Sc. 207–9a + 211b–13) add. 51 praefixis διπλαῖς et fort. ad 608*a* etiam obelo **611** κόρυθα 11 234 239 1445 Ω* (in ras. R): κυνέην O: θώρηκα Y **612** ἐπὶ 11 234 Ω: περ[ι 239 **613** ἑανοῦ 11 234 239 tt Ω: -οὺς Z **615** Αχιλ]λειος 1445 θῆκε 11 239 Ω*: -εν 234 A G **616** ἡ θ ss. δ' 11 ἆλτο B^{a}: ᾶ- 11 234 239: ἇ- Ω*: ἅ- C R W **617** ut supra 86 234 1445 Ω*: τεύχεα καλὰ φέρουσα παρ' Ἡφαίστοιο ἄνακτος (= 137) 11 239 A^{γρ} F T: primum illud deinde hoc 88 **T 2** ὤρνυθ' Ω: ὄρ- rr **3** πάρα Hdn 1446 Ω*: παρὰ G **4** ηὗρε Fick: εὗ- t Ω περικείμενον Ptol Hdn Ω: πέρι κ- ApD rr

5 κλαίοντα λιγέως· πολέες δ' ἀμφ' αὐτὸν ἑταῖροι
μύρονθ'. ἣ δ' ἐν τοῖσι παρίστατο δῖα θεάων,
ἔν τ' ἄρα οἱ φῦ χειρὶ ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
"τέκνον ἐμόν, τοῦτον μὲν ἐάσομεν ἀχνύμενοί περ
κεῖσθαι, ἐπεὶ δὴ πρῶτα θεῶν ἰότητι δαμάσθη·
10 τύνη δ' Ἡφαίστοιο πάρα κλυτὰ τεύχεα δέξο,
καλὰ μάλ', οἷ' οὔ πώ τις ἀνὴρ ὤμοισι φόρησεν."
ὣς ἄρα φωνήσασα θεὰ κατὰ τεύχε' ἔθηκεν
πρόσθεν Ἀχιλλῆος· τὰ δ' ἀνέβραχε δαίδαλα πάντα.
Μυρμιδόνας δ' ἄρα πάντας ἕλε τρόμος, οὐδέ τις ἔτλη
15 ἄντην εἰσιδέειν, ἀλλ' ἔτρεσαν· αὐτὰρ Ἀχιλλεύς
ὡς εἶδ', ὥς μιν μάλλον ἔδυ χόλος, ἐν δέ οἱ ὄσσε
δεινὸν ὑπὸ βλεφάρων ὡς εἰ σέλας ἐξεφάανθεν·
τέρπετο δ' ἐν χείρεσσιν ἔχων θεοῦ ἀγλαὰ δῶρα.
αὐτὰρ ἐπεὶ φρεσὶν ᾗσι τετάρπετο δαίδαλα λεύσσων,
20 αὐτίκα μητέρα ἣν ἔπεα πτερόεντα προσηύδα·
"μῆτερ ἐμή, τὰ μὲν ὅπλα θεὸς πόρεν οἷ' ἐπιεικές
ἔργ' ἔμεν ἀθανάτων, μηδὲ βροτὸν ἄνδρα τελέσσαι.
νῦν δ' ἤτοι μὲν ἐγὼ θωρήξομαι· ἀλλὰ μάλ' αἰνῶς
δείδω, μή μοι τόφρα Μενοιτίου ἄλκιμον υἱόν
25 μυῖαι καδδῦσαι κατὰ χαλκοτύπους ὠτειλάς
εὐλὰς ἐγγείνωνται, ἀεικίσσωσι δὲ νεκρόν—
ἐκ δ' αἰὼν πέφαται—κατὰ δὲ χρόα πάντα σαπήηι."

9 (ἐπεὶ–) H. ε 4325 **10–13 + 18** Macr. Sat. 5.8.12; **10** (Ἡφ.–) Hdn ad T 3; **13** (τὰ δ' ἀνέβρ.) sch A 46; (ἀνέβρ.) [Plut.] Hom. 2.16.2; H. α 4208, 4786, [5034]; **16** Eudoc. 1614; (–χόλ.) sch Theoc. 3.40–2f; Choer. in Ps. 43.2; **17** Eudoc. 933; **18** ead. 297 **21** (–πόρεν) Apio 97.16; (πόρεν–) H. (Cyr.) π 3014 **25**a id. μ 1811; (καδδ.–) Erot. p.113.15 N.; (καδδ.) H. (Cyr.) κ 56; EtG s.v.; **25**b–**6**a id. s.vv. ἐγγείνωνται et εὐλάς; **25** (χαλκ.–) [Plut.] Hom. 2.16.3; (χαλκ.) H. (Cyr.) χ 113; **26** ApS 62.1; EtG α 101; **26**a ApS 78.34; (εὐλ.) H. (Cyr.) ε 6958; (ἐγγ.) H. ε 133, 2721; **26**b Nic ad T 27a **27** (αἰών) Apio 215.6

9 θεῶν ἰότητι 1447 t Z Ω: θεοῦ ὑπὸ χειρὶ Τ[γρ] **10** πάρα Hdn Ω: .ẹτα 1447 **13** ἀνέβραχε 1447 tt* Z Ω: -κραγε sch-A: -δραμε *h* **14** ἕλε τρόμος Ar 1447 Ω: -εν φόβος Zen.—cf. ad Σ 247 **16** εἶδ' Eudoc. Ω: ἴδεν (cf. Ξ 294) t* G, ἴδ' O: εἶδεν Choer. μάλλον Blass (A[a]?): μᾶ- Ω **17** βλεφάρων t Ω: -οις A[s] rr ἐξεφάανθεν Ar T[λ] Ω* (-θε C R): -φαάνθη (nov. Did) W H O: -φάενθεν Fick.—cf. ad A 200 **18** ἐν χείρεσσιν ἔχων tt sch[bT] Ω, legit u.v. Verg. Aen. 8.619: ὀφθαλμοῖσιν ὁρῶν Τ[γρ] **19** ᾗ(ι)σι τετάρπετο Z Ω*: -σιν ἑτέρ- W, -σιν ἑτάρ- rr **22** ἄνδρα 1448 Ω: ἀνδρὶ Naber Qu. Hom. 132 cl. Σ 362 **24** δείδω Ω*: δείδια (Nauck) G ἄλκιμον 1448 Ω (cf. Σ 455): ἀγλαὸν Τ[γρ] **26** ἐγγείνωνται Ar 504 tt A[λ] T[λ] Ω (ἐκγ- G): ἐγγίν- Zen h139[ε450] Z **27** σαπήη(ι) Ar Ω*, -ηίη E: -είη(ι) (nov. Did) 1448 C R G

τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ Θέτις ἀργυρόπεζα·
"τέκνον, μή τοι ταῦτα μετὰ φρεσὶ σῆισι μελόντων.
30 τῶι μὲν ἐγὼ πειρήσω ἀλαλκεῖν ἄγρια φῦλα,
μυίας, αἵ ῥά τε φῶτας ἀρηϊφάτους κατέδουσιν.
ἤν περ γὰρ κεῖταί γε τελεσφόρον εἰς ἐνιαυτόν,
αἰεὶ τῶιδ' ἔσται χρὼς ἔμπεδος, ἢ καὶ ἀρείων.
ἀλλὰ σύ γ' εἰς ἀγορὴν καλέσας ἥρωας Ἀχαιούς,
35 μῆνιν ἀποειπὼν Ἀγαμέμνονι ποιμένι λαῶν
αἶψα μάλ' ἐς πόλεμον θωρήσσεο, δύσεο δ' ἀλκήν."
ὣς ἄρα φωνήσασα μένος πολυθαρσὲς ἐνῆκεν·
Πατρόκλωι δ' αὖτ' ἀμβροσίην καὶ νέκταρ ἐρυθρόν
στάξε κατὰ ῥινῶν, ἵνα οἱ χρὼς ἔμπεδος εἴη.
40 αὐτὰρ ὃ βῆ παρὰ θῖνα θαλάσσης δῖος Ἀχιλλεύς
σμερδαλέα ἰάχων, ὦρσεν δ' ἥρωας Ἀχαιούς.
καί ῥ' οἵ περ τὸ πάρος γε νεῶν ἐν ἀγῶνι μένεσκον,
οἵ τε κυβερνῆται καὶ ἔχον οἰήϊα νηῶν
καὶ ταμίαι παρὰ νηυσὶν ἔσαν, σίτοιο δοτῆρες,
45 καὶ μὰν οἳ τότε γ' εἰς ἀγορὴν ἴσαν, οὕνεκ' Ἀχιλλεύς
ἐξεφάνη· δηρὸν δὲ μάχης ἐπέπαυτ' ἀλεγεινῆς.
τὼ δὲ δύω σκάζοντε βάτην Ἄρεος θεράποντε,
Τυδείδης τε μενεπτόλεμος καὶ δῖος Ὀδυσσεύς,
ἔγχει ἐρειδομένω· ἔτι γὰρ ἔχον ἕλκεα λυγρά·
50 κὰδ δὲ μετὰ πρώτηι ἀγορῆι ἵζοντο κιόντες.
αὐτὰρ ὃ δεύτατος ἦλθεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,

30 (ἀλ.) Hdn ad I 605d; H. (Cyr.) α 2753 **31** (αἵ ῥά–) Epm. ι 41, φ 6; (αἵ ῥα) H. α 2062; (ἀρηϊφ.) EtG α 1158 **33** Gal. in Hipp. Fract. xviii(2).435 K.; Eudoc. 2039 **36** (δυσ.–) H. δ 2652 **38**a sch Ξ 170b; (νέκτ.–)–**39**a Porph. Antr. 16; **39**b sch N 191e **42** ApS 6.4 **43** (οἰήϊα) id. 119.1; H. ο 222; Orio 115.11 **44**a sch B 212d **45** (–ἴσαν) sch O 16a **46** (δηρὸν–) sch Σ 125b; Porph. Il. 223.1 Schr. **47–8** 'Hdn.' Fig. 50; Choer. Trop. iii.249.6 Sp.; **47** (–βάτην) 'Trypho i' Trop. iii.202.29 Sp.; sch Ξ 38b **51** (δεύτ. ἦλθεν) sch Ψ 248; (δεύτ.) H. (Cyr.) δ 739; Orio 44.δ4

29 τοι 504 Ω*: μοι *b* F **30** τῶ(ι) 504 Ω: τῶν Eust. ἀλαλκεῖν Ar tt Ω*, ἀπαλαλκειν Z: ἀλαλκέμεν Arph T **32** ἤν [1449] Ω: εἴ rr κεῖταί 1449 Ω* (cf. Chantr. I 457): κῆ- sch^D A.—cf. ad Ω 554 **33** τῶ(ι)δ' t* A *b* T: τῶ(ι) γ' 1449 Ω*: τῶν Gal. **39** denuo adest D στάζε O P **39*a*** ἣ μὲν ἄρ' ὣς ἔρξασ' ἀπέβη Θέτις ἀργυρόπεζα add. 1449 B^m F^m G^m H, cf. sch^T μετὰ δὲ τὸ "ἔμπεδος εἴη" γράφεται (nec plura) **40** θαλάσσης Ω: ποδάρκης A^γρ V **41** ἥρωας (= 34) Ar Ω: ἐρίηρας Rhi Arph **42** μένεσκον t Ω*: νέεσκον G: γένοντο C **44** δοτῆρες Ω: δατ- Christ **45** μὰν Wack. Unt. 21: μὴν t Ω: μὲν (et τοὶ) van Leeuwen **47** δύω tt* Ω: δύο sch-Ξ Choer. Z P Ἄρεος [Hdn] *b* F R: -ηος G: -εως t* Ω* **49** ἕλκεα Ω*: ἄλγεα D C **50** ἵζοντο 240 Ω (ἷζον R): ἕζ-? Leaf κιόντες Ω: -ντε rr

ἕλκος ἔχων· καὶ γὰρ τὸν ἐνὶ κρατερῆι ὑσμίνηι
οὖτα Κόων Ἀντηνορίδης χαλκήρεϊ δουρί.
αὐτὰρ ἐπεὶ δὴ πάντες ἀολλίσθησαν Ἀχαιοί,
55 τοῖσι δ' ἀνιστάμενος μετέφη πόδας ὠκὺς Ἀχιλλεύς·
"Ἀτρείδη, ἦ ἄρ τι τόδ' ἀμφοτέροισιν ἄρειον
ἔπλετο, σοὶ καὶ ἐμοί, ὅ τε νῶϊ περ ἀχνυμένω κῆρ
θυμοβόρωι ἔριδι μενεήναμεν εἵνεκα κούρης;
τὴν ὄφελ' ἐν νήεσσι κατακτάμεν Ἄρτεμις ἰῶι
60 ἤματι τῶι, ὅτ' ἐγὼν ἑλόμην Λυρνησσὸν ὀλέσσας·
τώ κ' οὐ τόσσοι Ἀχαιοὶ ὀδὰξ ἕλον ἄσπετον οὖδας
δυσμενέων ὑπὸ χερσίν, ἐμεῖ' ἀπομηνίσαντος.
Ἕκτορι μὲν καὶ Τρωσὶ τὸ κέρδιον· αὐτὰρ Ἀχαιούς
δηρὸν ἐμῆς καὶ σῆς ἔριδος μνήσεσθαι ὀΐω.
65 ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν ἀχνύμενοί περ,
θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκηι.
νῦν δ' ἤτοι μὲν ἐγὼ παύω χόλον· οὐδέ τί με χρή
ἀσκελέως αἰεὶ μενεαινέμεν. ἀλλ' ἄγε θάσσον
ὄτρυνον πόλεμόνδε κάρη κομόωντας Ἀχαιούς,
70 ὄφρ' ἔτι καὶ Τρώων πειρήσομαι ἀντίος ἐλθών,
αἴ κ' ἐθέλωσ' ἐπὶ νηυσὶν ἰαύειν. ἀλλά τιν' οἴω
ἀσπασίως αὐτῶν γόνυ κάμψειν, ὅς κε φύγησιν
δηΐου ἐκ πολέμοιο ὑπ' ἔγχεος ἡμετέροιο."
ὣς ἔφαθ'· οἱ δ' ἐχάρησαν ἐϋκνήμιδες Ἀχαιοί
75 μῆνιν ἀπειπόντος μεγαθύμου Πηλείωνος.
τοῖσι δὲ καὶ μετέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων

56–7a Iul. Or. 2.50a; **56** (ἦ–) sch T 85b **59a** Epm. ν 46 **66** Eudoc. 1571 **67** (–χόλ.) ApS 168.20; (παύω χ.) sch T 75a; (οὐδ'–)–**68** (–μεν.) ApS 111.9; EtG α 1282; **68** (ἀσκ.) ApS 45.15; H. (Cyr.) α 7679; (μενε.) Apio 246.24 **71** (ἰαύ.) H. ι 99; (ἀλλά–)–**73a** Porph. Hom. 109.3 Sod.

53 Κόων Ω (cf. Λ 248, 256): Φερεκύδης (3 F 141) Κύνωνά φησιν sch[T] (cf. Wilamowitz Il. u. H. 188 n. 1) **56** ἦ Hdn Ω*: ἢ quidam ante Hdn D G[a] ἄρτι rr τόδ' tt Ω: τό γ' rr ἄρειον Ar tt Z Ω: ἄμεινον 𝔐 r: ὄνειαρ ✗ (cf. A.R. 4.1433; Rengakos 127).—cf. ad Z 479, O 641 **61** τώ Z W, τό D: τῶ(ι) Ω* **62** ἐμεῖ' Fick: ἐμεῦ Ω ἀπομηνί–σαντος Ar Ptol Hdn Ω: ἄπο μ- Nicias O[a]: ἐπιμ- Chamaeleo (sch[T]).—cf. ad H 230, I 426 **67** ἤτοι fere Ω: ἤδη t μὲν ἐγὼ παύω tt Ω* (παύσω O): παύω μὲν ἐγὼ *b* με EtG Ω: σε t* **68** θάσσον r: θᾶ- Ω **70** ἀντίος (nov. Did) *b* R W G (cf. Z 54, Υ 352): -ον Ar Ω* (cf. H 160, et ad Φ 150, X 113, 195) **72** αὐτὸν D ὅς t Ω: αἵ (ex H 118) *b* G **73** δηΐου A[γρ] Ω*: φεύγων t A *b* (cf. Ξ 81) **74** ἐχάρησαν Ω: ὁμάδησαν Herwerden **75** ἀπειπόντος Ar "αἱ πλείους" Ω*: ἀποειπ- (nov. Did) F T[λ] R W G (cf. 35), quo recepto ἀγαυοῦ Πηλ- Heyne **76–7** ut supra Arph Ar DSid Archias Epaphroditus ApS Ω:

αὐτόθεν ἐξ ἕδρης, οὐδ' ἐν μέσσοισιν ἀναστάς·
"ὦ φίλοι, ἥρωες Δαναοί, θεράποντες Ἄρηος,
ἑσταότος μὲν καλὸν ἀκουέμεν, οὐδὲ ἔοικεν
80 ὑββάλλειν· χαλεπὸν γὰρ ἐπισταμένωι περ ἐόντι.
ἀνδρῶν δ' ἐν πολλῶι ὁμάδωι πῶς κέν τις ἀκούσαι
ἢ εἴποι; βλάβεται δὲ λιγύς περ ἐὼν ἀγορητής.
Πηλεΐδηι μὲν ἐγὼν ἐνδείξομαι· αὐτὰρ οἱ ἄλλοι
σύνθεσθ' Ἀργεῖοι, μῦθόν τ' εὖ γνῶτε ἕκαστος.
85 πολλάκι δή μοι τοῦτον Ἀχαιοὶ μῦθον ἔειπον,
καί τέ με νεικείεσκον· ἐγὼ δ' οὐκ αἴτιός εἰμι,
ἀλλὰ Ζεὺς καὶ Μοῖρα καὶ ἠεροφοῖτις Ἐρινύς,
οἵ τέ μοι εἰν ἀγορῆι φρεσὶν ἔμβαλον ἄγριον ἄτην
ἤματι τῶι, ὅτ' Ἀχιλλῆος γέρας αὐτὸς ἀπηύρων.
90 ἀλλὰ τί κε ῥέξαιμι; θεὸς διὰ πάντα τελευτᾶι,
πρέσβα Διὸς θυγάτηρ Ἄτη, ἣ πάντας ἀᾶται,
οὐλομένη. τῆι μέν θ' ἁπαλοὶ πόδες· οὐ γὰρ ἐπ' οὔδει
πίλναται, ἀλλ' ἄρα ἥ γε κατ' ἀνδρῶν κράατα βαίνει

77 ApS 156.25; Porph. Hom. 110.8, 111.5 Sod.; **77a** cf. Polyb. 18.37.12; (αὐτ.) H. (Cyr.) α 8415; (ἐξ ἑ.) H. ε 3635 **79–82** Porph. Hom. 109.13 Sod.; Eudoc. 379–82; **79–80** ApS 156.23; **79** (–ἀκ.) Epm. κ 153; (ὑββ.) [Plut.] Hom. 2.10.1; Porph. Hom. 112.11 Sod.; H. υ 28; **81** ApS 156.31; Max. Tyr. 11.10; **82** (βλάβ.) H. β 648 **83–4** Porph. Hom. 113.21 Sod.; **83** (–ἐνδ.) sch Hes. Op. 502a; (ἐνδ.) H. (Cyr.) ε 2751 **85a** sch I 104a **86b–7** Max. Tyr. 13.8; Ammon. in De interpr. CAG iv(5).131.15; **87** Olymp. in Gorg. 131.12; (Μοῖρα) Apio 247.4; (ἠεροφ.) EtG s.v. **88** (ἄγρ.–) ApD Synt. 293.11; Epm. α 277 **90** Eudoc. 250 **91** sch Pind. Pyth. 2.52a; **91b** ApS 46.10; (ἀᾶται) id. 2.6; sch Ξ 271a^{1}; H. α 35 **92** (οὐλ.) sch T 91a; (τῆι–)–**93** Pl. Symp. 195d; cf. Luc. Podagra 185–7; **93** (πίλν.) H. π 2285; (ἀνδρῶν κρ.) Luc. Dial. 43.21; (κρ. β.) sch T 126

τοῖσι δ' ἀνιστάμενος μετέφη κρείων Ἀγαμέμνων | μῆνιν ἀναστενάχων καὶ ὑφ' ἕλκεος ἄλγεα πάσχων 𝔐ϗ, v. priorem tantum Zen: 77 ab Ar insertum esse putavit Alexander Cotyaeus, at imitatus est eum A.R. 1.343 (Rengakos 75) **79** ἑσταότος tt Z Ω: -τως quidam ap. sch^{bT} ἀκουέμεν (nov. Did) tt* Ω*: -ειν Ar ApS Epm. Z A$^{\lambda}$ A W G **80** ὑββάλλειν fere Z A^{s} Ω* (ὑβά- *b*): ὐββ- Hdn (ut Aeolicum) A ἐπισταμένωι περ ἐόντι Ar: -μενόν περ ἐόντα (nov. Did) tt Z Ω (cf. Π 620) **83** ἐγὼν tt Z Ω*: ἐγὼ A **84** μῦθόν τ' εὖ γνῶ–τε ἕκαστος Ω: ἠμὲν νέοι ἠδὲ γέροντες t **86** νεικείεσκον Ar Ω: -είουσιν Arph ϗ **87** ἠεροφοῖτις Hdn tt* Z Ω*: ἱερο- Olymp.: ἡ ἐρο- quidam ap. sch^{bT} EtG$^{\gamma\rho}$ T: †ἰροπῶτις vel εἰαροπῶτις quidam ap. sch^{T}.—cf. ad I 571 **90** κε Ar^{ab}: κεν (nov. Did) t Ω θεὸς διὰ Ar Ptol Did Hdn t Z Ω: θεόσδια Hellanicus (-δοτα interpretatus): θεὸς δ' ἴα scite Lesbocles (sch^{bT}): θεοὺς διὰ quidam ap. Did, quorum alii τελευτᾶι, alii τέτυκται **91** Ἄτη tt* Ω: Ἀάτη sch-Pind.^{vl} ἀᾶται Ω: ἄαται quidam ap. sch^{T} Z **92** τῆι Ar (teste A: Arph teste T) Ω: τῆς (nov. Did: Arph?) t O P οὔδει Ω: -εος t **93** ἀλλ' ἄρα ἥ γε t Ω (cf. [Hes.] Sc. 259): ἀλλ' ἄκρ' ἥ γε Kaibel Herm. 28 (1893) 59 cl. Rhian. fr. 1.17 sq. Pow. (v. Pfeiffer Hist. of Class. Scholarship I 149): ἀλλ' ἥ γ' ἄκρα Führer (ap. Pfeiffer 288)

βλάπτουσ' ἀνθρώπους· κατὰ δ' οὖν ἕτερόν γ' ἐπέδησεν.
95 καὶ γὰρ δή νύ ποτε Ζεὺς ἄσατο, τόν περ ἄριστον
ἀνδρῶν ἠδὲ θεῶν φασ' ἔμμεναι· ἀλλ' ἄρα καὶ τόν
Ἥρη θῆλυς ἐοῦσα δολοφροσύνῃς ἀπάτησεν
ἤματι τῶι, ὅτ' ἔμελλε βίην Ἡρακληείην
Ἀλκμήνη τέξεσθαι ἐϋστεφάνωι ἐνὶ Θήβηι.
100 ἤτοι ὅ γ' εὐχόμενος μετέφη πάντεσσι θεοῖσιν·
'κέκλυτέ μοι, πάντές τε θεοὶ πᾶσαί τε θέαιναι,
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσιν ἀνώγει.
σήμερον ἄνδρα φόωσδε μογοστόκος Εἰλείθυια
ἐκφανεῖ, ὃς πάντεσσι περικτιόνεσσιν ἀνάξει,
105 τῶν ἀνδρῶν γενεῆς, οἵ θ' αἵματος ἐξ ἐμοῦ εἰσιν.'
τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη·
'ψεύστης εἰς, οὐδ' αὖτε τέλος μύθωι ἐπιθήσεις.
εἰ δ' ἄγε νῦν μοι ὄμοσσον, Ὀλύμπιε, καρτερὸν ὅρκον,
ἦ μὲν τὸν πάντεσσι περικτιόνεσσιν ἀνάξειν,
110 ὅς κεν ἐπ' ἤματι τῶιδε πέσηι μετὰ ποσσὶ γυναικός
τῶν ἀνδρῶν, οἳ σῆς ἐξ αἵματός εἰσι γενέθλης.'
ὣς ἔφατο· Ζεὺς δ' οὔ τι δολοφροσύνην ἐνόησεν,
ἀλλ' ὄμοσεν μέγαν ὅρκον, ἔπειτα δὲ πολλὸν ἀάσθη.
Ἥρη δ' ἀΐξασα λίπε ῥίον Οὐλύμποιο,
115 καρπαλίμως δ' ἵκετ' Ἄργος Ἀχαιϊκόν, ἔνθ' ἄρα εἴδη
ἰφθίμην ἄλοχον Σθενέλου Περσηϊάδαο·
ἣ δ' ἐκύει φίλον υἱόν, ὃ δ' ἕβδομος ἑστήκει μείς.

94b ApS 96.28 **96** (ἀλλὰ–)–7a id. 153.22; (–Ἥρη) ApD Pron. 5.26; **97**a Hdn ad E 269c[1] **99** (Ἀλκμ.) EtG α 499 **103–4** (ἐκφ.) D.H. Comp. 36; **103** sch Pind. Ol. 3.51b; **104** Eudoc. 235 **105**b ApD Pron. 108.2, Synt. 224.10, 225.15; (ἐξ ἐμεῦ) ib. 227.9 **107** w5, w12 (lacerum); (ψευστήσεις) H. ψ 133 **110** Porph. Hom. 128.7 Sod., Od. 47.7 Schr.; **110**b sch A 357b, Σ 395a **111** sch T 105b; Eudoc. 236 **117**a Choer. in Thd. ii.150.28; **117**b Orio 192.28; Choer. in Thd. i.205.26; (μείς) H. (Cyr.) μ 614

94 ath. Ar γ'οὖν Z γε πέδησε(ν) T[λ] T R W **95** Ζεὺς Ar "ἅπασαι": Ζῆν' "αἱ εἰκαιότεραι" Ω **96** φασ' Ar fere Ω: φαμεν ϗ ἀλλ' ἄρα Ar ApD Ω: ἀλλά νυ Arph (cf. A.R. 2.855; Rengakos 90): ἀλλὰ ApS **101** μοι van Leeuwen: μευ Ω.—cf. Praef. xxxii πάντές sic r **102** ἀνώγει Ω*: (-σσι) κελεύει D F T R: -οι A[m].—cf. ad H 349 **103** φάωσδε, φάος δὲ Dion.[vv.ll.] **105** οἵ θ' Ar tt Ω: οἳ Arph ἐμοῦ quidam ap. ApD[108]: ἐμεῦ tt Ω: ἐμέ' Platt **107** ψεύστης εἰς quidam ante Hdn (ἐσσ' L. Meyer, cf. Chantr. I 286): ψευστήσεις Ar Hdn t sch[D] Ω.—cf. Soph. Ant. 1195; Eur. Or. 1609; Wack. KS 1604 μύθου D **108** αἳ δ' A[γρ] καρτερὸν Ω*: κρατ- A *b* R **110** κεν Ω: τις tt μετὰ tt* Z Ω: παρὰ sch-δ[vl] **114** λίπε 66 R: -εν Ω*.—cf. ad Ξ 225 ἔδει δὲ "λίπ' οὐρανὸν ἀστερόεντα", Ἀγαμέμνων γὰρ ὁ λέγων Arn **115** Ἀχαιϊκόν Ω*: -αϊκόν F R Ϝείδη Christ (-δει Nauck): ἤ(ι)δη Ω.—v. Praef. xxxiii **117** δεκύει A, δὲ κύει

ἐκ δ' ἄγαγε πρὸ φόωσδε καὶ ἠλιτόμηνον ἐόντα,
Ἀλκμήνης δ' ἀπέπαυσε τόκον, σχέθε δ' Εἰλειθυίας.
120 αὐτὴ δ' ἀγγελέουσα Δία Κρονίωνα προσηύδα·
'Ζεῦ πάτερ ἀργικέραυνε, ἔπος τί τοι ἐν φρεσὶ θήσω.
ἤδη ἀνὴρ γέγον' ἐσθλός, ὃς Ἀργείοισιν ἀνάξει,
Εὐρυσθεύς, Σθενέλοιο πάϊς Περσηϊάδαο,
σὸν γένος· οὔ οἱ ἀεικὲς ἀνασσέμεν Ἀργείοισιν.'
125 ὣς φάτο· τὸν δ' ἄχος ὀξὺ κατὰ φρένα τύψε βαθεῖαν,
αὐτίκα δ' εἷλ' Ἄτην κεφαλῆς λιπαροπλοκάμοιο
χωόμενος φρεσὶν ᾗσι, καὶ ὤμοσε καρτερὸν ὅρκον,
μή ποτ' ἐς Οὔλυμπόν τε καὶ οὐρανὸν ἀστερόεντα
αὖτις ἐλεύσεσθαι Ἄτην, ἣ πάντας ἀᾶται.
130 ὣς εἰπὼν ἔρριψεν ἀπ' οὐρανοῦ ἀστερόεντος
χειρὶ περιστρέψας· τάχα δ' ἵκετο ἔργ' ἀνθρώπων.
τὴν αἰεὶ στενάχεσχ', ὅθ' ἑὸν φίλον υἱὸν ὁρῷτο
ἔργον ἀεικὲς ἔχοντα ὑπ' Εὐρυσθῆος ἀέθλων.
ὣς καὶ ἐγών, ὅτε δὴ αὖτε μέγας κορυθαιόλος Ἕκτωρ
135 Ἀργείους ὀλέκεσκεν ἐπὶ πρυμνῇσι νέεσσιν,
οὐ δυνάμην λελαθέσθ' Ἄτης, ᾗ πρῶτον ἀάσθην.
ἀλλ' ἐπεὶ ἀασάμην καί μοι φρένας ἐξέλετο Ζεύς,
ἂψ ἐθέλω ἀρέσαι δόμεναί τ' ἀπερείσι' ἄποινα.
ἀλλ' ὄρσεο πόλεμόνδε, καὶ ἄλλους ὄρνυθι λαούς.

118 ApS 136.8; sch Π 188c(b¹); **118**a sch T 104a¹; sch A.R. 1.406; H. ε 1315; (ἠλιτ.) ApS 83.27; sch O 273b¹; H. η 379; Phot. Lex. η 130 **119** w5 (lacerum); (Εἰλ.) H. ε 862 **121** Procl. in Tim. iii.185.5 **123** sch Thuc. 1.9.2; Homerocent. ap. Iren. c.Haer. 1.9.4 et Epiphan. Panar. 31.29.8; (Εὐρ.) H. ε 7155 **124**a EtG α 99; (ἀει.) Apio 213.3 **125** Eudoc. 1248 **126–31** [Iustin.] Cohort. ad Gr. 28; **127** Eudoc. 1483; **131**a sch Pind. Ol. 10.86d **132**b Lib. Or. 25.65 (ii.568.21 F.); (ὁρῷτο) H. (Cyr.) ο 1392; Phot. Lex. s.v. **138** Plut. Mor. 460e; w5 (lacerum) **139** w5

D, κύει Z ἑστήκει A B E F T: εἱστ- t Aᵐ Ω*: ἱστ- Orio μείς Ar tt schᴰ Ω: μής ✘ Wˢ **119** Εἰλειθυίας t* Ω: -ης w5 **124** Ἀργείοισιν Ar 307 Ω*: ἀνθρώποισιν "κατ' ἐνίας τῶν ἐκδόσεων" G V **126–326** desunt folia in A **129** αὖθις h27 C R ἐλεύσεσθαι tt* Ω (-σθ' D R): -σᾳσθαι h27: ἐλέσθαι [Iustin.]ᵛˡ ἀᾶται: cf. ad 91 **130** εἰπών Ϝ' Brandreth **132** στενάχεσχ' Ω: στονάχιζε Z **134** δὴ Bekker: δ' Ω κορυθαίολος C **135** ὀλέκεσκεν D F G: ὄλεσκεν *b* W: ὤλ- Cᶜ T R πρυμνῇσι Bekker: proparox. Ω **136–40** obelos praefigit G, quos ad 137–41 rettulit Nicole **136** ᾗι 9 Ω*: ᾗν D F R: τὴν O Eust. **137** μοι G M: με D *h* H: μευ 9 Ω*, μεο Payne Knight.—cf. ad I 377, Σ 311, Ω 754 **137*a*** = versus I 119*a* ab Athenaeo traditus, quem perperam huc rettulit Eust. **139** ὄρσεο Payne Knight: -ευ 9 w5 Ω: ὄρσο πτολ- Nauck.—cf. ad Δ 264 ὄρνυθι 9 Ω (= O 475): -υε w5

140 δῶρα δ' ἐγὼν ὅδε πάντα παρασχέμεν, ὅσσα τοι ἐλθὼν
χθιζὸς ἐνὶ κλισίῃσιν ὑπέσχετο δῖος Ὀδυσσεύς.
εἰ δ' ἐθέλεις, ἐπίμεινον, ἐπειγόμενός περ ἄρηος,
δῶρα δέ τοι θεράποντες ἐμῆς παρὰ νηὸς ἑλόντες
οἴσουσ', ὄφρα ἴδηαι, ὅ τοι μενοεικέα δώσω."
145 τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
"Ἀτρεΐδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
δῶρα μὲν αἴ κ' ἐθέληισθα παρασχέμεν, ὡς ἐπιεικές,
ἤ τ' ἐχέμεν παρὰ σοί. νῦν δὲ μνησώμεθα χάρμης
αἶψα μάλ'—οὐ γὰρ χρὴ κλοτοπεύειν ἐνθάδ' ἐόντας
150 οὐδὲ διατρίβειν, ἔτι γὰρ μέγα ἔργον ἄρεκτον—
ὥς κέ τις αὖτ' Ἀχιλῆα μετὰ πρώτοισιν ἴδηται
ἔγχεϊ χαλκείωι Τρώων ὀλέκοντα φάλαγγας·
ὧς δέ τις ὑμείων μεμνημένος ἀνδρὶ μαχέσθω."
τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
155 "μὴ δὴ οὕτως, ἀγαθός περ ἐών, θεοείκελ' Ἀχιλλεῦ,
νήστιας ὄτρυνε προτὶ Ἴλιον υἷας Ἀχαιῶν
Τρωσὶ μαχησομένους, ἐπεὶ οὐκ ὀλίγον χρόνον ἔσται
φύλοπις, εὖτ' ἂν πρῶτον ὁμιλήσωσι φάλαγγες
ἀνδρῶν, ἐν δὲ θεὸς πνεύσηι μένος ἀμφοτέροισιν.
160 ἀλλὰ πάσασθαι ἄνωχθι θοῇς ἐπὶ νηυσὶν Ἀχαιούς
σίτου καὶ οἴνοιο· τὸ γὰρ μένος ἐστὶ καὶ ἀλκή.
οὐ γὰρ ἀνὴρ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
ἄκμηνος σίτοιο δυνήσεται ἄντα μάχεσθαι·
εἴ περ γὰρ θυμῶι γε μενοινάαι πολεμίζειν,

149 (οὐ–) ApS 101.3; (κλοτ.) H. κ 3039 **150**b Procl. in Tim. iii.145.17; (ἄρεκτον) ApS 44.6; H. (Cyr.) α 7120, cf. 7426 **153** (–μεμν.) ApD Pron. 95.30 **158** (ὁμιλ.) H. ο 685 **162–70** Porph. Il. 237.28 Schr.; **163** ApS 19.3; **163**a EtG α 339 (e Methodio); Epm. α 312 (bis, e Methodio); (σίτ.–ἄντα) ib.; (ἄκμ.) H. (Cyr.) α 2448; **165** (–βαρ.) Plut. Mor. 789d; (λάθ.–βαρ.) sch N 103e; **166**b ApS 51.29; EtG β 133 (Philox. fr. 393 Th.); Choer. in Thd. ii.103.17; **167–70** sch Z 260c; [Plut.] Hom. 2.206.2; **167** + **168**b–**9**a Ath. 40a; **167–8** Porph. Il. 101.3 Schr.; **167** Ath. 10d

140 ἐγὼν ὅδε Ω (ὧδε D): εγω τάδε 9 (τάδε et H rr) παρασχέμεν 9 *b* W: -σχεῖν b^{λ} T^{λ} Ω* ὅσσά Ω **143** παρὰ Ω*: ἀπὸ 9 F T **145** ut supra 66 Ω: τὸν δ' ημείβετ' επειτα ποδάρκης δῖος Αχιλλευς 9 **148** ἤ τ' 9 Ω*: εἴτ' C V παρὰ 9 Ω: πάρα Nic sch^{D} $sch^{T\gamma\rho}$ **150** ἄρεκτον 9 tt* Z Ω: ἄερκτον (van Gent) $Procl.^{vl}$ **151–3** damn. Bekker (153 iam Heyne) **152** ἔγχεϊ sic 9 Ω praeter G **153** ὧς δέ Ω*: ὧδέ 9 t *b* F^{c}: ὧδε δέ T^{λ} O.—cf. ad P 420 **155** δὴ (Bekker) Eust.: δ' 9 Ω **156** νήστιας 9 Ω: -τῖς Bekker.—cf. Chantr. I 217 sq. **157** μαχησομένους 9 Ω*: -σαμ- D **160** Ἀχαιούς 9 1451 Ω*: -ῶν D^{a} O **163** ἄκμηνος Ar tt Ω: oxyt. Theo (fr. 16 Guhl) ap. EtG: properisp. alii ibid. **164** πολεμίζειν 9 1451 t Ω*: πτ- C T Y

165 ἀλλά τε λάθρηι γυῖα βαρύνεται, ἠδὲ κιχάνει
δίψα τε καὶ λιμός, βλάβεται δέ τε γούνατ' ἰόντι.
ὃς δέ κ' ἀνὴρ οἴνοιο κορεσσάμενος καὶ ἐδωδῆς
ἀνδράσι δυσμενέεσσι πανημέριος πολεμίζηι,
θαρσαλέον νύ οἱ ἦτορ ἐνὶ φρεσίν, οὐδέ τι γυῖα
170 πρὶν κάμνει, πρὶν πάντας ἐρωῆσαι πολέμοιο.
ἀλλ' ἄγε λαὸν μὲν σκέδασον καὶ δεῖπνον ἄνωχθι
ὅπλεσθαι· τὰ δὲ δῶρα ἄναξ ἀνδρῶν Ἀγαμέμνων
οἰσέτω ἐς μέσσην ἀγορήν, ἵνα πάντες Ἀχαιοί
ὀφθαλμοῖσιν ἴδωσι, σὺ δὲ φρεσὶ σῆισιν ἰανθῆις.
175 ὀμνυέτω δέ τοι ὅρκον ἐν Ἀργείοισιν ἀναστάς,
176 μή ποτε τῆς εὐνῆς ἐπιβήμεναι ἠδὲ μιγῆναι·
178 καὶ δὲ σοὶ αὐτῶι θυμὸς ἐνὶ φρεσὶν ἵλαος ἔστω.
αὐτὰρ ἔπειτά σε δαιτὶ ἐνὶ κλισίηις ἀρεσάσθω
180 πιείρηι, ἵνα μή τι δίκης ἐπιδευὲς ἔχηισθα.
Ἀτρείδη, σὺ δ' ἔπειτα δικαιότερος καὶ ἐπ' ἄλλωι
ἔσσεαι· οὐ μὲν γάρ τι νεμεσσητὸν βασιλῆα
ἄνδρ' ἀπαρέσσασθαι, ὅτε τις πρότερος χαλεπήνηι."
τὸν δ' αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
185 "χαίρω σεο, Λαερτιάδη, τὸν μῦθον ἀκούσας·
ἐν μοίρηι γὰρ πάντα διίκεο καὶ κατέλεξας.
ταῦτα δ' ἐγὼν ἐθέλω ὀμόσαι, κέλεται δέ με θυμός,
οὐδ' ἐπιορκήσω πρὸς δαίμονος. αὐτὰρ Ἀχιλλεύς
μιμνέτω αὖθι τέως περ, ἐπειγόμενός περ ἄρηος,

171 (σκέδ.) ApS 142.20 **172** (ὅπλ.) H. ο 1031 **173** (ἵνα–)–4a sch T 174a[1] **175** w5 **178** Eudoc. 139, 1669 **179** (ἀρεσ.) ApS 44.7; H. α 7127 **180** (πι.) ApS 131.26; H. π 2256 **182** (οὐ–)–3 Porph. Hom. 106.11 Sod.; **183** (ἀπαρ.) sch T 179 **185** sch T 175–6; w5 (lacerum) **186** Eudoc. 2286 **188** (–δαίμ.) Hdn ad Γ 279b **189** w5 (lacerum); (τέως) sch T 190b

165 ἠ δὲ D[c] **166** δίψά Ω ἰόντι (= ν 34) 9 tt* Ω: -ος Porph. **168** πανημέριος 9 tt* Ω: -ον Porph.[101] **169** οἱ 9 tt* Ω*: τοι [Plut.] T: om. R **170** ἐρωῆσαι 9 Ω: -ήσαι quidam ap. sch[bT] **172** ὅπλεσθαι 9 t Z Ω (cf. Ψ 159): ὁπλεῖσθαι Fick post Payne Knight, cf. ζ 73; Schwyzer 723; Chantr. I 311, 351 **174** φρεσὶ σῆισιν 9 T[λ] Ω*: -σὶν ἧισιν T *h* G.—cf. ad Ξ 221 et adn. meam ad Hes. Op. 381 post h.v. lac. unius versus stat. Düntzer; subaudi fere τοῖσι δ' ἐπ' ἐξαγέτω Βρισηΐδα καλλιπάρηον **177** (= I 276) add. *b* T R[m] W: deest in 9 D *h* F Y G ἢ B[t] E W[c?]: ἦ B[s] C T R[m] ἤ τ' ... ἤ τε W: ἤ τ' ... ἠδὲ B E T: ἠδ' ... ἠδὲ C R[m] **178** ἔστω 9 Ω* R[s]: ἔσται *b* Y R[t] **183** ἀπα–ρέσσασθαι 9 tt Ω (-εσθαι W): ἐπ- Z *h* πρότερος 9 Ω: -ον t **185** σεο dedi: σευ 9 w5, σεῦ t Ω **188** δαίμονος 9 Z Ω*: -ας W: -α t r **189** τέως περ "ἐν ταῖς εἰκαιοτέραις" 9 w5 Ω*: τέως Ar: τέως γε *h*: τέως δὲ, R: τέως καὶ rr: αὐτόθι τεῖος Hermann Elem. doctr. metr. 16 (τῆος Nauck), cf. Wack. KS 1539 sq.

190 μίμνετε δ' ἄλλοι πάντες ἀολλέες, ὄφρα κε δῶρα
ἐκ κλισίης ἔλθησι καὶ ὅρκια πιστὰ τάμωμεν.
σοὶ δ' αὐτῶι τόδ' ἐγὼν ἐπιτέλλομαι ἠδὲ κελεύω·
κρινάμενος κούρητας ἀριστῆας Παναχαιῶν
δῶρα ἐμῆς παρὰ νηὸς ἐνεικέμεν, ὅσσ' Ἀχιλῆϊ
195 χθιζὸν ὑπέστημεν δώσειν, ἀγέμεν τε γυναῖκας.
Ταλθύβιος δέ μοι ὦκα κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν
κάπρον ἑτοιμασάτω ταμέειν Διί τ' Ἠελίωι τε."
τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
"Ἀτρείδη κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
200 ἄλλοτέ περ καὶ μάλλον ὀφέλλετε ταῦτα πένεσθαι,
ὁππότε τις μεταπαυσωλὴ πολέμοιο γένηται
καὶ μένος οὐ τόσον ἦσιν ἐνὶ στήθεσσιν ἐμοῖσιν.
νῦν δ' οἳ μὲν κέαται δεδαϊγμένοι, οὓς ἐδάμασσεν
Ἕκτωρ Πριαμίδης, ὅτε οἱ Ζεὺς κῦδος ἔδωκεν,
205 ὑμεῖς δ' ἐς βρωτὺν ὀτρύνετον. ἦ τ' ἂν ἐγώ γε
νῦν μὲν ἀνώγοιμι πτολεμίζειν υἷας Ἀχαιῶν
νήστιας ἀκμήνους, ἅμα δ' ἠελίωι καταδύντι
τεύξεσθαι μέγα δόρπον, ἐπὴν τεισαίμεθα λώβην.
πρὶν δ' οὔ πως ἂν ἐμοί γε φίλον κατὰ λαιμὸν ἰείη
210 οὐ πόσις οὐδὲ βρῶσις, ἑταίρου τεθνηῶτος,
ὅς μοι ἐνὶ κλισίηι δεδαϊγμένος ὀξέϊ χαλκῶι
κεῖται ἀνὰ πρόθυρον τετραμμένος, ἀμφὶ δ' ἑταῖροι
μύρονται· τό μοι οὔ τι μετὰ φρεσὶ ταῦτα μέμηλεν,

192 Eudoc. 1275 **193–5a** Strab. 10.3.8; **193** (κούρ.) Phot. Lex. κ 1026 **201a** Choer. in Heph. 207.7 **202** Eudoc. 655 **203** (δεδ.) ApS 57.25 **205** (δ' ἐς βρ.) H. (Cyr.) δ 697; (βρ.) id. β 1285 **207a** ApS 19.4 **209** (ἰείη) H. ι 256 **211–12** (κεῖται) sch Ψ 28; **212** (ἀνὰ πρ. τετρ.) H. α 4522

190 ὄφρά Ω κε Ω: τα 9 **194** ἐμῆς 9 1297 *b* F^{c} W G^{a}: δ' ἐμῆς 9^{c} Ω*: τ' ἐμῆς Heyne: θοῆς t: ἀμῆς Peppmüller (ἀ- debuit; cf. ad Z 441, K 448; Wack. Unt. 52 n. 1) ἐνεικέμεν sch^{T} D Y (-νη-) R W: -άμεν rr: ἐνεγκέμεν 9 T^{λ} Z Ω* (prob. Wack. Unt. 111 sq.): -εῖν t **195** χθιζὸν 9 Z Ω: -οὶ t (cf. 141) τε 9 *h* C W: δὲ Ω* **200** μάλλον (Blass) Y: μᾶ- 9 Ω* **201** μεταπαυσωλὴ Z Ω* (cf. P 373): μετὰ π- t (-λὴν) R G (cf. B 386) **205** δ' ἐς Ar 9 t^{ordo} Ω: δὲ "κατ' ἔνια" et t^{cod} ὀτρύνετον 9 sch^{bT} Ω (-τον; B): -ετε Barnes ἐγώ γε Bekker: ἔγωγε 9 Ω **206** πτολεμίζειν Ω*: πολ- 9 T R W **207** νήστιας 9 t T^{λ} Ω: -ῑς Bekker, cf. ad 156 ἀκμήνους 9 Ω: cf. ad 163 **208** τεύξεσθαι 9 Ω* (cf. Ameis–Hentze ad H 29 sq.; Chantr. II 311): -ασθαι *b* μέγα 9 Ω*: μετὰ quidam ap. sch^{T} *b* Y τεισαίμεθα Monro–Allen: τισ- 9 Z Ω (τησ- Y) **209** ἐμοί γε Bekker: ἔμοιγε 9 Ω ἰείη Hdn t T^{λ} Ω* (ηείη Y, ἴη G): ἱ- sch^{D} B E: ἰῆναι C **210** τεθνηῶτος B^{a} E F T Y: -θνει- 9 E^{s} Ω*: -θνε- G **211** κλισίη(ι) t Ω: -ηις 9, -ησι r ὀξέϊ 9 t Ω*: αἴθοπι D **213** τό μοι 9 Z Ω*: τῶ(ι) μοι Y R W G: τῶι μ' van Leeuwen Mn. 13 (1885) 191

ἀλλὰ φόνος τε καὶ αἷμα καὶ ἀργαλέος στόνος ἀνδρῶν."
215 τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
"ὦ Ἀχιλεῦ, Πηλῆος υἱέ, μέγα φέρτατ' Ἀχαιῶν,
κρέσσων εἰς ἐμέθεν καὶ φέρτερος οὐκ ὀλίγον περ
ἔγχει, ἐγὼ δέ κε σεῖο νοήματί γε προβαλοίμην
πολλόν, ἐπεὶ πρότερος γενόμην καὶ πλείονα οἶδα·
220 τώ τοι ἐπιτλήτω κραδίη μύθοισιν ἐμοῖσιν.
αἶψά τε φυλόπιδος πέλεται κόρος ἀνθρώποισιν,
ἧς τε πλείστην μὲν καλάμην χθονὶ χαλκὸς ἔχευεν,
ἀμητὸς δ' ὀλίγιστος, ἐπὴν κλίνησι τάλαντα
Ζεύς, ὅς τ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται.
225 γαστέρι δ' οὔ πώς ἐστι νέκυν πενθῆσαι Ἀχαιούς·
λίην γὰρ πολλοὶ καὶ ἐπήτριμοι ἤματα πάντα
πίπτουσιν. πότε κέν τις ἀναπνεύσειε πόνοιο;
ἀλλὰ χρὴ τὸν μὲν καταθάπτειν ὅς κε θάνησιν
νηλέα θυμὸν ἔχοντας, ἐπ' ἤματι δακρύσαντας,
230 ὅσσοι δ' ἂν πολέμοιο περὶ στυγεροῖο λίπωνται,
μεμνῆσθαι πόσιος καὶ ἐδητύος, ὄφρ' ἔτι μάλλον
ἀνδράσι δυσμενέεσσι μαχώμεθα νωλεμὲς αἰεί,
ἑσσάμενοι χροῒ χαλκὸν ἀτειρέα. μηδέ τις ἄλλην

214 Porph. Il. 271.7 Schr. **216**a, **217–19** (πολλόν) Aristid. Or. 28.26–7; **217–37** [D.H.] Ars 9.16; **217–19** ib. iterum; **217** Nic ad T 218–19; Eudoc. 392, 2120; **218** (ἐγὼ–) Philod. De bono rege xxi 9; (προβαλ.) ApS 136.24; **219** (ἐπεὶ–γεν.) Simpl. in Cat. CAG viii.419.19; **220** Eudoc. 2199; **221–4** Porph. Il. 236.12 Schr.; **221–3**a Aristid. Quint. 2.9 p.71.4 W.-I.; **221** + **222**b–**4** Cocondr. Trop. iii.235.11 Sp.; **221** (κόρος) H. (Cyr.) 3653; **222–4** w22 i 27 (lacera); **222–4** (Ζεύς) Hclt. Alleg. 5.15; **222** ApS 85.1; 'Trypho i' Trop. iii.193.12 Sp.; H. η 875; **223**a Hdn ii.17.7; (ἀμ.) sch Ω 165a; H. α 3648; (ὀλίγ.) id. ο 543; (κλίν.–) id. κ 3002; **224** [Iustin.] Cohort. ad Gr. 2; **225** (–πενθ.) + **228–31** (–ἐδητ.) Philod. De bono rege fr. 10.19; **225** Luc. Dial. 40.24; Stob. 4.56.4; **226–9** vertit Cic. Tusc. 3.65 (p.352 Mü.); **226** Eudoc. 1547; **228–9** [Plut.] Hom. 2.134.1, 189.2; Stob. 4.55.8; **229** (νηλέα θ.) Hdn i.521.12; (ἐπ' ἤμ.) Lib. Or. 17.34 (ii.220.10 F.); **231** (–ἐδητ.) Eudoc. 76; **234** (ὀτρ.) ApS 123.29; H. ο 1522; (ἰσχ.) cf. ApS 93.8; H. ι 1050

214 φόνος 9 t Ω: πόνος *h* **216** Πηλῆος rr: -έως 9 t D Y: -έος Ω*.—cf. ad Π 21 **217** κρέσσων Blass: κρεί- 9 tt Ω **218** γε 9 [Dion.] T^λ T W: κε(ν) tt* Ω* **220** τώ D Y: τῶ(ι) Ω* **221** αἶψά τε tt* Z T^λ Ω*: αἶψα δε 9: αἶψά κε R: καὶ δὴ Cocondr. **222** ἔχευεν 9 tt* Ω: ἔλεψεν Aristid. Quint. **223** ἀμητὸς tt Y W V: proparox. Hdn 9 Z Ω*, cf. sch 221–4a ὁ καιρὸς τοῦ ἀμᾶν, βαρυτόνως ... ὀξύνεται δὲ αὐτὸς ὁ καρπός (quod huc quadrat); contrarie sch^D, [Ammon.] Diff. 38, v. Nickau ad loc.; v.l. sim. Hes. Op. 384 **229** ἐπ' 9 tt Ω: ἰῶ Z δακρύσαντας 9 tt* Z Ω: δάκρυ χέοντας [Dion.] **230** πέρι Y **231** μάλλον Blass (-ων Y): μᾶ- 9 Ω **232** νωλεμὲς 9 t Ω*: νηλεὲς D **233** τις ἄλλην 9 t Ω: τιν' ἄλλων T^λ

λαῶν ὀτρυντὺν ποτιδέγμενος ἰσχαναάσθω,
235 ἥδε γὰρ ὀτρυντύς· κακὸν ἔσσεται, ὅς κε λίπηται
νηυσὶν ἔπ' Ἀργείων· ἀλλ' ἀθρόοι ὁρμηθέντες
Τρωσὶν ἔφ' ἱπποδάμοισιν ἐγείρομεν ὀξὺν ἄρηα."
ἦ, καὶ Νέστορος υἷας ὀπάσσατο κυδαλίμοιο
Φυλείδην τε Μέγητα Θόαντά τε Μηριόνην τε
240 καὶ Κρειοντιάδην Λυκομήδεα καὶ Μελάνιππον·
βὰν δ' ἴμεν ἐς κλισίην Ἀγαμέμνονος Ἀτρείδαο.
αὐτίκ' ἔπειθ' ἅμα μῦθος ἔην, τετέλεστο δὲ ἔργον·
ἑπτὰ μὲν ἐκ κλισίης τρίποδας φέρον, οὕς οἱ ὑπέστη,
αἴθωνας δὲ λέβητας ἐείκοσι, δώδεκα δ' ἵππους·
245 ἐκ δ' ἄγον αἶψα γυναῖκας ἀμύμονα ἔργ' εἰδυίας
ἕπτ', ἀτὰρ ὀγδοάτην Βρισηΐδα καλλιπάρηον·
χρυσοῦ δὲ στήσας Ὀδυσεὺς δέκα πάντα τάλαντα
ἦρχ', ἅμα δ' ἄλλοι δῶρα φέρον κούρητες Ἀχαιῶν.
καὶ τὰ μὲν ἐν μέσσηι ἀγορῆι θέσαν, ἂν δ' Ἀγαμέμνων
250 ἵστατο· Ταλθύβιος δὲ θεῶι ἐναλίγκιος αὐδήν
κάπρον ἔχων ἐν χειρὶ παρίστατο ποιμένι λαῶν.
Ἀτρείδης δὲ ἐρυσσάμενος χείρεσσι μάχαιραν,
ἥ οἱ πὰρ ξίφεος μέγα κουλεὸν αἰὲν ἄωρτο,
κάπρου ἀπὸ τρίχας ἀρξάμενος, Διὶ χεῖρας ἀνασχών
255 ηὔχετο· τοὶ δ' ἄρα πάντες ἐπ' αὐτόφιν εἵατο σιγῆι

238 sch[D] Ε 334; (ὀπάσσ.) H. (Cyr.) ο 977 **239a** Arn ad K 175ab, N 692b; Hdn ad O 302b[1] **242** Plut. Mor. 782c; Eudoc. 714, 908, 960 **245–6** Arn ad I 131; **246** (–Βρισ.) id. ad I 638; (ἀτὰρ ὀγδ.) sch I 130b **247** ApS 149.5; [Plut.] Hom. 2.28.1; (δέκα–) sch H 161b, O 189c (Porph. Il. 203.10 Schr.), θ 258 **248** (ἅμα–) ApS 103.16; sch I 529(c)d; (δῶρα–) Strab. 10.3.8; (κούρ. Ἀχ.) Hdn ad I 529b; Choer. in Thd. i.160.26; (κούρ.) H. κ 3845 **249** (ἂν δ'–)–**50** (ἵστ.) sch T 77c; **250** (Ταλθ.–)–**1** Ath. 660d **255** Eudoc. 1212, 1386

234 ποτιδέγμενος 9 Ω*: προτι- t G O -δέχμενος Cobet, cf. ad B 794 ἰσχαναάσθω 9 Ω*: -άασθαι tt Y **235** ἥδε t D B[a] E T[a] post ὀτρυντύς interpungunt C T **236** ἔπ' Barnes: ἐπ' 9 t Ω*: (-σὶ) παρ' *b* W G ὁρμηθέντες 9 Ω: κοσμη- t **237** ἔφ' Rzach: ἐφ' 9 Ω **239** Μέγητα Ar 9 tt Ω*: Μέγην τε Zen W rr.—cf. ad N 692 Μηριόνην–**240** Λυκομήδεα om. *b* **242** δὲ 9 1452 tt Ω: τε Passow De comparationibus Hom. (1852) 39, cf. Hymn. Merc. 46, Hdt. 3.134.6, 9.92.1 **245** αἶψα 9 Ω: ἑπτὰ (cf. I 128) Zen teste Arn ad I 131 qui falli videtur ἀμύμονα Zen(?) 9 Ω*, prob. sch[bT]: -νας D E[a] T[s] R[c] G.—cf. ad I 128 ἔργ' εἰδυίας Zen 9 1452 Ω: cf. ad I 128 **246** ἕπτ', ἀτὰρ ὀγδοάτην Ar 9 Ω: ἕξ, ἀτὰρ ἑβδομάτην Zen.—cf. ad I 130 **248** Ἀχαιῶν 9 1452 tt* Ω: -οί Strab. rr **249** ἂν 9 t Ω*: ἐν Y **250** αὐδήν 9 t Ω T[γρ]: ἄντην T **251** χειρὶ 9 241 Ω*: χερσὶ t *b* W **253** ἄωρτο 9 T[A] Ω*: ἄορτο D *b* Y.—cf. ad Γ 272 **254** ἀνίσχων G[γρ] **255** ηὔχετο van Leeuwen: εὔ- 9 t Ω ἄρα Ω*: ἅμα 9 Y H[s] V ἐπ' 9 T[A] Ω*: ὑπ' t *b* Y R W G: ἀπ' Z

Ἀργεῖοι κατὰ μοῖραν, ἀκούοντες βασιλῆος.
εὐξάμενος δ' ἄρα εἶπεν ἰδὼν εἰς οὐρανὸν εὐρύν·
"ἴστω νῦν Ζεὺς πρῶτα, θεῶν ὕπατος καὶ ἄριστος,
Γῆ τε καὶ Ἠέλιος καὶ Ἐρινύες, αἵ θ' ὑπὸ γαῖαν
260 ἀνθρώπους τείνυνται, ὅτις κ' ἐπίορκον ὀμόσσηι,
μὴ μὲν ἐγὼ κούρηι Βρισηΐδι χεῖρ' ἐπένεικα,
οὔτ' εὐνῆς πρόφασιν κεχρημένος οὔτέ τε' ἄλλου,
ἀλλ' ἔμεν' ἀπροτίμαστος ἐνὶ κλισίηισιν ἐμῆισιν.
εἰ δέ τι τῶνδ' ἐπίορκον, ἐμοὶ θεοὶ ἄλγεα δοῖεν
265 πολλὰ μάλ', ὅσσα διδοῦσιν, ὅτις σφ' ἀλίτηται ὀμόσσας."
ἦ, καὶ ἀπὸ στόμαχον κάπρου τάμε νηλέϊ χαλκῶι.
τὸν μὲν Ταλθύβιος πολιῆς ἁλὸς ἐς μέγα λαῖτμα
ῥῖψ' ἐπιδινήσας, βόσιν ἰχθύσιν· αὐτὰρ Ἀχιλλεύς
ἀνστὰς Ἀργείοισι φιλοπτολέμοισι μετηύδα·
270 "Ζεῦ πάτερ, ἦ μεγάλας ἄτας ἄνδρεσσι διδοῖσθα.
οὐκ ἂν δή ποτε θυμὸν ἐνὶ στήθεσσιν ἐμοῖσιν
Ἀτρείδης ὤρινε διαμπερές, οὐδέ κε κούρην
ἦγεν ἐμεῖ' ἀέκοντος, ἀμήχανος. ἀλλά ποθι Ζεύς
ἤθελ' Ἀχαιοῖσιν θάνατον πολέεσσι γενέσθαι.
275 νῦν δ' ἔρχεσθ' ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν ἄρηα."
ὣς ἄρ' ἐφώνησεν, λῦσεν δ' ἀγορὴν αἰψηρήν.
οἳ μὲν ἄρ' ἐσκίδναντο ἑὴν ἐπὶ νῆα ἕκαστος,
δῶρα δὲ Μυρμιδόνες μεγαλήτορες ἀμφεπένοντο,

259 (–Ἐρ.) Porph. Il. 114.14 Schr. **260** (τίν.) ApS 153.7; H. τ 928; Phot. Lex. s.v. **261** Epm. μ 10 **262–3** Eudoc. 215–16; **263** Lex. αἱμ α 139; (ἀπροτ.) ApS 40.28; H. α 6715, 6855; EtG α 1087 **264** sch A.R. 2.260 **266–8** (–ἰχθ.) Paus. 5.24.11; **267** (λαῖτμα) ApS 106.27; **268** (βόσιν ἰχθ.) id. 52.22 **269** (ἀνστάς) EtG α 909 **276**b ApS 17.20, 150.8; sch Θ 399b, Ψ 287b **278** (ἀμφεπ.) H. α 3921

259 Ἐριννύες 9 D C R αἵ 9 Ω: οἵ quidam ap. sch^{T}.—cf. ad Γ 278 γαῖαν 9 Ω*: γαίη(ι) *b* **260** τείνυνται Wack. Unt. 77–81 (cf. Praef. xxxv sq.), τείνονται rr: τίνυνται 9 Ω, -ονται H V, -ωνται Z: τίννυνται tt ὅτις 9 D: ὅστις Z Ω* **261** ἐπένεικα D Y R W: -ενῆκα G: -ενείκαι 9, -ενίκαι Z, -ενεῖκαι t Ω* **262** οὔτέ sic Ω, ουτέ 9 τε' Platt (τεο Payne Knight): τευ 9 t Ω **265** ὅτίς B^{c}, ὅτις Z F^{c} *b*: ὅτι D *b* (ὅτί B E) T^{A} T (ὅτί) R G^{a}: ὅστις F^{a} Y W, ὅστι G^{c}: ἀτι 9: ὅ τέ (La Roche Unt. II 129) r (contra μ 40, π 228, al.) **266** στόμαχον 9 Z Ω (cf. Γ 292): σφάραγον t (-ου codd.) **268** ῥῖψ' Eust.: ῥίψ' Ω **269** ἀνστὰς t D F Y R G: ἀναστὰς Ω* **270** διδοῖσθα quidam ap. sch^{bT} B^{c} T^{c} (cf. Chantr. I 470; Sihler 460): proparox. alii ap. sch^{bT} (ὡς Αἰολικόν) Z Ω* **272** ὤρινε Ω*: ὤτρυνε C G **273** ἐμεῖ' Fick: ἐμεῦ Ω ἄκοντος P ἀμήχανον (... θάνατον) quidam ap. sch^{T} **276** λῦσεν (vel λύσεν) tt* Ω: -σαν ApS^{17} r αἰψηρήν Ar tt Ω*: λαιψ- Z D (-ραν) W^{c}? G.—v.l. ead. β 257 **277** ἄρα σκίδναντο *b* ἐπὶ Ω*: κατὰ G V ἕκαστος (= Ψ 3) 1452 Ω: -οι Cauer cl. Ω 1

βὰν δ' ἐπὶ νῆα φέροντες Ἀχιλλῆος θείοιο.
280 καὶ τὰ μὲν ἐν κλισίῃσι θέσαν, κάθεσαν δὲ γυναῖκας,
ἵππους δ' εἰς ἀγέλην ἔλασαν θεράποντες ἀγαυοί.
Βρισηῒς δ' ἄρ' ἔπειτ' ἰκέλη χρυσῆι Ἀφροδίτηι,
ὡς ἴδε Πάτροκλον δεδαϊγμένον ὀξέϊ χαλκῶι,
ἀμφ' αὐτῶι χυμένη λίγ' ἐκώκυε, χερσὶ δ' ἄμυσσεν
285 στήθεά τ' ἠδ' ἀπαλὴν δειρὴν ἰδὲ καλὰ πρόσωπα.
εἶπε δ' ἄρα κλαίουσα γυνὴ εἰκυῖα θεῆισιν·
"Πάτροκλέ μοι δειλῆι πλεῖστον κεχαρισμένε θυμῶι,
ζωὸν μέν σε ἔλειπον ἐγὼ κλισίηθεν ἰοῦσα,
νῦν δέ σε τεθνηῶτα κιχάνομαι, ὄρχαμε λαῶν,
290 ἂψ ἀνιοῦσ'· ὥς μοι δέχεται κακὸν ἐκ κακοῦ αἰεί.
ἄνδρα μὲν ὧι ἔδοσάν με πατὴρ καὶ πότνια μήτηρ
εἶδον πρὸ πτόλιος δεδαϊγμένον ὀξέϊ χαλκῶι,
τρῖς τε κασιγνήτους, τούς μοι μία γείνατο μήτηρ,
κηδείους, οἳ πάντες ὀλέθριον ἦμαρ ἐπέσπον.
295 οὐδὲ μὲν οὐδέ μ' ἔασκες, ὅτ' ἄνδρ' ἐμὸν ὠκὺς Ἀχιλλεύς
ἔκτεινεν, πέρσεν δὲ πόλιν θείοιο Μύνητος,
κλαίειν, ἀλλά μ' ἔφασκες Ἀχιλλῆος θείοιο
κουριδίην ἄλοχον θήσειν ἄξειν τ' ἐνὶ νηυσίν
ἐς Φθίην, δαίσειν δὲ γάμον μετὰ Μυρμιδόνεσσιν.
300 τώ σ' ἄμοτον κλαίω τεθνηότα, μείλιχον αἰεί."
ὣς ἔφατο κλαίουσ', ἐπὶ δὲ στενάχοντο γυναῖκες,

282b Luc. Dial. 50.24, cf. 43.8; Lib. Ep. 325.1 (x.304.8 F.) **284–5** Eudoc. 2041–2; **284a** Hdn ad T 4ab; Epm. χ 31; (ἄμυσσε) H. (Cyr.) α 3872 **286** Luc. Dial. 50.24 **287–300** [D.H.] Ars 9.13; **287** DThr Ars p.21.3; (-πλ.) sch Eur. Or. 142; **287a** ApD Pron. 53.19; Heph. p.5.17 C.; (Π. μοι) Charax in AB 1153; **288** sch Soph. El. 1126; **290** (ὥς–) Stob. 4.40.9; **291** sch α 1 (p.6.5 Ludw.); **294** ApS 98.31; (κηδ.) H. κ 2459; Phot. Lex. κ 647; **295–7** (κλ.) Strab. 13.1.7; **295a** EtG s.v. ἑάφθη (Erbse iii.504); Epm. ε 185; **296** (πέρσεν–) Strab. 13.3.1; Hdn i.60.28 et ad O 302b[1]; Choer. in Thd. i.158.15; (πόλιν Μ.) H. π 2780; **300** Eudoc. 2064; (μείλ.) Choric. 434.16

280 κάθεσαν *h* (cf. Praef. xxxi): -ισαν Ω **282–302** damn. Heyne **282** χρυσῆι T[A] Ω: -σέηι Barnes **284** λίγ' ἐκώκυε t Ω: λίγα κ- Z (λιγὰ) *h* **285** ἰδὲ 447 t Ω: καὶ H **287** Πάτροκλέ μοι tt* T[A] Ω*: -κλ' ἐμοὶ [Dion.] E rr.—de enclitico post vocativum cf. Hymn. Ven. 1; Certamen ap. Plut. Mor. 154a; Hippon. 128.1 W. **288** σε [Dion.] T[A] Ω*, σ' t* R: σέ γ' Barnes: σ' ἔτ' Grashof ἔλειπον [Dion.] Ω*: ἔλιπον t* D T[A] **289** σε Ω: τε t τεθνηῶτα E F T: -θνει- t E[s] F[s] Ω* **293** τρῖς dedi (cf. Praef. xxxvi): τρεῖς t Ω τούς Ω*: οὕς t *h* W **294** οἳ tt Ω*: θ' οἳ T: an τοὶ? ἐπέσπον 504a tt Z Ω* (proparox. F): -ων C **295–300** obelis not. T G, fort. ath. Ar **298** τ' 447 t T[A] Ω*: δ' D R G ἐνὶ t Ω*: ἐν T[A] G: ἐπὶ 447 F[a]:]ι 504a **300** τώ t[cod] rr: τῶ(ι) Ω τεθνηότα tt B F[c]: -θνηκότα E: -θνειότα 447 C F[a] T: -θνειῶτα Ω* **301** δὲ στενάχοντο Ω*: δ' ἐστεν- *b*: δὲ στον- G O

Πάτροκλον πρόφασιν, σφῶν δ' αὐτέων κήδε' ἑκάστη.
αὐτὸν δ' ἀμφὶ γέροντες Ἀχαιῶν ἠγερέθοντο
λισσόμενοι δειπνῆσαι· ὃ δ' ἠρνεῖτο στοναχίζων·
305 "λίσσομαι, εἴ τις ἐμοί γε φίλων ἐπιπείθεθ' ἑταίρων,
μή με πρὶν σίτοιο κελεύετε μηδὲ ποτῆτος
ἄσασθαι φίλον ἦτορ, ἐπεί μ' ἄχος αἰνὸν ἱκάνει,
δύντα δ' ἐς ἠέλιον μενέω καὶ τλήσομαι ἔμπης."
ὣς εἰπὼν ἄλλους μὲν ἀπεσκέδασεν βασιλῆας,
310 δοιὼ δ' Ἀτρείδα μενέτην καὶ δῖος Ὀδυσσεύς,
Νέστωρ Ἰδομενεύς τε γέρων θ' ἱππηλάτα Φοίνιξ,
τέρποντες πυκινῶς ἀκαχήμενον· οὐδέ τι θυμῶι
τέρπετο, πρὶν πολέμου στόμα δύμεναι αἱματόεντος.
μνησάμενος δ' ἀδινῶς ἀνενείκατο φώνησέν τε·
315 "ἦ ῥά νύ μοί ποτε καὶ σύ, δυσάμμορε, φίλταθ' ἑταίρων,
αὐτὸς ἐνὶ κλισίηι λαρὸν παρὰ δεῖπνον ἔθηκας
αἶψα καὶ ὀτραλέως, ὁπότε σπερχοίατ' Ἀχαιοί
Τρωσὶν ἔφ' ἱπποδάμοισι φέρειν πολύδακρυν ἄρηα·
νῦν δὲ σὺ μὲν κεῖσαι δεδαϊγμένος, αὐτὰρ ἐμὸν κῆρ
320 ἄκμηνον πόσιος καὶ ἐδητύος, ἔνδον ἐόντων,
σῆι ποθῆι. οὐ μὲν γάρ τι κακώτερον ἄλλο πάθοιμι,
οὐδ' εἴ κεν τοῦ πατρὸς ἀποφθιμένοιο πυθοίμην,
ὅς που νῦν Φθίηφι τέρεν κατὰ δάκρυον εἴβει
χήτει τοιοῦδ' υἷος· ὃ δ' ἀλλοδαπῶι ἐνὶ δήμωι
325 εἵνεκα ῥιγεδανῆς Ἑλένης Τρωσὶν πολεμίζω.

302 (–αὐτῶν) sch δ 184; **302a** sch T 339a; Plut. Mor. 546e; (πρόφ.–) Charito 8.5.2 **304** sch Ω 129b; Eudoc. 71 **307a** (+ Λ 780b) EtG α 1259 **309** (ἀπεσκ.) ApS 38.14 **313** (πολέμου στ.) sch [Aesch.] Prom. 726; sch Soph. O.C. 131; Poll. 2.100 **314** ApS 34.28; (ἀδ.–) Apio 212.17; (ἀνεν.) H. (Cyr.) α 4890 **315** (–δυσάμμ.) sch Ω 6–9b **317a** ApS 123.28; H. (Cyr.) α 2208 **319** (τὸ δ' ἐμὸν κῆρ)–**20** (–ἐδητ.) Epm. α 312 **321** (οὐ–) Epict. 4.10.35 **323b** ApS 63.21; Orio 154.17; Choer. in Ps. 17.26; (εἴβει) H. ε 729; Phot. Lex. ε 177 **324** (ἀλλοδ.) ApS 24.16 **325** (–Ἑλ.) [Ammon.] Diff. 362; Epm. ε 42; (ῥιγ. Ἑλ.) ApS 138.33; sch Γ 242a; (ῥιγ.) Plut. Mor. 22c, 735f; H. ρ 299; Orio 140.22

302 fort. σφέων (Bolling), v. ad M 155 αὐτέων Rzach: -τῶν 504a tt Z Ω **304** στοναχίζων Eudoc. O V: στεν- 504a t* Ω.—cf. Praef. xxxv **305** ἐμοί γε F: ἔμοιγε Ω* ἐπιπείθεθ' Ω: επεπ- 504a **310** Ἀτρείδα T^λ Ω*: -εῖδαι 504a D R W G **311** Νέστωρ τ' *b* Φοίνιξ D^a? O^x: Φοῖ- Ω*.—cf. Praef. xxi **314** ἀνενείκατο Z Ω: -νήκ- tt*: -νέγκ- Hsch. **316** κλισίηι Ω*: -η(ι)σι F T.—cf. ad 211 **318** ἔφ' Barnes: ἐφ' Ω **319** κεῖαι Wack. Unt. 170 ἐμὸν t Ω*: ἐμοὶ *b* T (cf. δ 548) **322** τοῦ 1454 sch^bT Ω: οὗ Brugman Ein Problem 46 **324** χήτει (non -εϊ) Z Ω **325** Τρωσὶ πτολεμίζω H

{ἠὲ τόν, ὃς Σκύρωι μοι ἐνιτρέφεται φίλος υἱός,
εἴ που ἔτι ζώει γε Νεοπτόλεμος θεοειδής.
πρὶν μὲν γάρ μοι θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει
οἶον ἐμὲ φθείσεσθαι ἀπ' Ἄργεος ἱπποβότοιο
330 αὐτοῦ ἐνὶ Τροίηι, σὲ δέ τε Φθίηνδε νέεσθαι,
ὡς ἄν μοι τὸν παῖδα θοῆι σὺν νηῒ μελαίνηι
Σκυρόθεν ἐξαγάγοις καί οἱ δείξειας ἕκαστα,
κτῆσιν ἐμὴν δμῶάς τε καὶ ὑψερεφὲς μέγα δῶμα.
ἤδη γὰρ Πηλῆά γ' ὀΐομαι ἢ κατὰ πάμπαν
335 τεθνάμεν, ἤ που τυτθὸν ἔτι ζώοντ' ἀκάχησθαι
γήραΐ τε στυγερῶι καὶ ἐμὴν ποτιδέγμενον αἰεί
λυγρὴν ἀγγελίην, ὅτ' ἀποφθιμένοιο πύθηται.}"
ὣς ἔφατο κλαίων, ἐπὶ δὲ στενάχοντο γέροντες
μνησάμενοι, τὰ ἕκαστος ἐνὶ μεγάροισιν ἔλειπον.
340 μυρομένους δ' ἄρα τούς γε ἰδὼν ἐλέησε Κρονίων,
αἶψα δ' Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα·
"τέκνον ἐμόν, δὴ πάμπαν ἀποίχεαι ἀνδρὸς ἑῆος.
ἦ νύ τοι οὐκέτι πάγχυ μετὰ φρεσὶ μέμβλετ' Ἀχιλλεύς;
κεῖνος ὅ γε προπάροιθε νεῶν ὀρθοκραιράων
345 ἧσται ὀδυρόμενος ἕταρον φίλον· οἳ δὲ δὴ ἄλλοι
οἴχονται μετὰ δεῖπνον, ὃ δ' ἄκμηνος καὶ ἄπαστος.
ἀλλ' ἴθι οἱ νέκταρ τε καὶ ἀμβροσίην ἐρατεινήν

326 sch Eur. Andr. 14 **328** (ἐώλπει) H. (Cyr.) ε 7737 **329** (–Ἄργ.) sch Γ 75a **333** (–ὑψ.) EtG s.v. κτῆσιν; **333**a sch Π 175c[1] **345** (οἳ–)–**6** EtG α 959 (Philox. fr. 641 Th.); **346** (ἄπ.) ApS 37.33; H. (Cyr.) α 5830

326–37 damn. Payne Knight; cf. ad Ω 466 sq. **326** ἠὲ τὸν ὃς t Ω: η τον ος εν 662: ηετωτον Z ἔνι R W **327** denuo adest A versum ath. Arph (teste Callistr) Ar; τεκμήριον δὲ τῆς διασκευῆς τὸ καὶ ἑτέρως φέρεσθαι τὸν στίχον, "εἴ που ἔτι ζώει γε Πυρῆς ἐμός, ὃν κατέλειπον" Did (Πύρης Wilamowitz Kl. Schr. v(2).123, quod deprecatus erat Meineke Analecta Alex. 245; cf. V. Schmidt Sprachl. Unters. z. Herondas (1968) 61–9) **328** ἐώλπει t Z Ω*: ἐόλ- T R[a]? **329** φθείσεσθαι Bolling post Brugmann (cf. Praef. xxxvi), φθ⟦ε⟧ι⟦ε⟧εσθα[ι (ss. ι̣ σ̣ ε̣) 1454: φθί- t Ω ἄπ' R **330** δέ τε Ω*: δέ τι R: δέ τοι O: δέτ[1454: δ' ἔτι? Ruijgh Autour de τε épique (1971) 699 **331** σὺν 1454 A[γρ] Ω*: ἐνὶ A C, ἐν Z B E.—cf. La Roche Unt. II 141 **333** (= η 225, τ 526) damn. Christ δμῶάς Ar tt Ω*: δμωιάς fort. nov. Did, δμωάσ R ὑψερεφὲς A F G: ὑψηρ- t Ω*: ὑψϊρ- C[c] **334–7** damn. Nitzsch **335** ἀκάχησθαι "ἡ παράδοσις" ante Hdn Ω* (cf. Wack. KS 1175): properisp. Ptol 9 R G **336** ποτιδέγμενον Ω*: προτι- 9 D G -δέχμενον Cobet, cf. ad B 794 **338** δὲ στενάχοντο 1454 Ω*: δ' ἐστ- *b* W **339** μμεγάροισιν W H ἔλειπον sch[T]? W Eust.: -πε(ν) 9 Ω*: ἔλιπεν D **342** ἀνδρὸς 9 Ω* G[s]: παιδὸς W G[t]: υἷος r ἑῆος Ar 9 sch[bT] Ω (ἐ- D G): ἑοῖο Zen r.—cf. ad A 393 **346** μετὰ 9 Z Ω: κατὰ Cobet Misc. crit. 398, cf. ad A 424

στάξον ἐνὶ στήθεσσ', ἵνα μή μιν λιμὸς ἵκηται."
ὣς εἰπὼν ὤτρυνε πάρος μεμαυῖαν Ἀθήνην·
350 ἣ δ' ἅρπηι εἰκυῖα τανυπτέρυγι λιγυφώνωι
οὐρανοῦ ἐκκατέπαλτο δι' αἰθέρος. αὐτὰρ Ἀχαιοί
αὐτίκα θωρήσσοντο κατὰ στρατόν· ἣ δ' Ἀχιλῆϊ
νέκταρ ἐνὶ στήθεσσι καὶ ἀμβροσίην ἐρατεινήν
στάξ', ἵνα μή μιν λιμὸς ἀτερπὴς γούναθ' ἵκηται·
355 αὐτὴ δὲ πρὸς πατρὸς ἐρισθενέος πυκινὸν δῶ
ᾤχετο. τοὶ δ' ἀπάνευθε νεῶν ἐχέοντο θοάων·
ὡς δ' ὅτε ταρφειαὶ νιφάδες Διὸς ἐκποτέονται
ψυχραὶ ὑπὸ ῥιπῆς αἰθρηγενέος Βορέαο,
ὣς τότε ταρφειαὶ κόρυθες λαμπρὸν γανόωσαι
360 νηῶν ἐκφορέοντο καὶ ἀσπίδες ὀμφαλόεσσαι
θώρηκές τε κραταιγύαλοι καὶ μείλινα δοῦρα.
αἴγλη δ' οὐρανὸν ἷκε, γέλασσε δὲ πᾶσα πέρι χθών
χαλκοῦ ὑπὸ στεροπῆς· ὑπὸ δὲ κτύπος ὤρνυτο ποσσίν
ἀνδρῶν. ἐν δὲ μέσοισι κορύσσετο δῖος Ἀχιλλεύς.
365 {τοῦ καὶ ὀδόντων μὲν καναχὴ πέλε, τὼ δέ οἱ ὄσσε
λαμπέσθην ὡς εἴ τε πυρὸς σέλας, ἐν δέ οἱ ἦτορ
δῦν' ἄχος ἄτλητον· ὃ δ' ἄρα Τρωσὶν μενεαίνων

350 EtG α 1221; **350a** ApS 42.32; (ἅρπηι) Hdn ad Φ 37–8a, 38; H. (Cyr.) α 7404; (λιγυφ.) cf. Phot. Lex. λ 303 **351** (-αἰθ.) Arn ad Α 497b[2]; (κατέπ.) H. κ 1651, [1660] **355** Eudoc. 2337; (πυκ.) Apio 99.20 **357** sch Arat. 1 (pp.41.17, 43.11, 46.8 Mart.); (ταρφ.) Hdn ad Ε 502b; H. (Cyr.) τ 221 **361** (κραταιγ.) ApS 103.31; H. κ 3987 **362** Eudoc. 284, 453; **362b–3a** Porph. Hom. 50.19 Sod.; **362b** ApD Synt. 446.16; Prisc. Inst. 14.17; Cocondr. Trop. iii.232.18 Sp. **364** (ἐν δὲ–)–8a Aristid. Or. 28.107; **365** (καν.) H. (Cyr.) κ 636; **367** (ἄτλ.) ApS 46.30; H. (Cyr.) α 8113

349 ὄτρυνε r **350** ἅρπη(ι) Hdn Z Ω*: ἅ- D T R τανυπτέρυγι t Z Ω: -πτερύγω H[a] **351** ut supra 9 Ω: δι αι]θερọ[ς] ạτρυγẹτ[οιο· |a αυε δ εποτρυ]ν[ουσα κ]α[ι] Ạρ̣γειοισι κελẹ[υεν |b δεινον] φθẹγξạμ̣ενη περι δ̣[ε στοναχιζετο] γαια |c ατ[ρ]υ̣γετος δε θα[λασσα υπο δ ηχεεν] ουρεạ μ̣ạκ̣ρα |d δεινον [υπο κλαγγης] Γλαυκωπ̣ι̣δ̣ος̣ αυταρ Ạ[χαιοι h130 ex 𝔐 u.v. (suppl. Haslam, qui in 351*c* τε pro δε ci.; 351*d* possis [ὑπ' ὀβρίμης sive ὑπὸ βρίμης cl. Hymn. 28.10) **354** ἵκηται 9 1453 Ω* (cf. 348): ἵκοιτο W **355** δὲ 9 t Ω: δ' αὖ A[γρ].—cf. ad Φ 466 **357** ταρφειαὶ Ar Ptol Hdn "ἡ παράδοσις" 9 Ω: properisp. Chaeris ap. h130 (proparox. Arph ibid.? v. Haslam P. Oxy. lxv 41).—v. Praef. xxi ἐκποτέονται 9 tt* Ω*: -έωνται W: -όωνται sch-Arat.[41]: ἔκποτονται Z **358** ὑπὸ 9 Z W: ὑπαὶ Ω*.—cf. ad Μ 462 ῥριπῆς Y W **359** γανόωσαι 9 Ω: παμφωσαι Z **361** hic ferunt 9 1453 Ω: ante 360 *h* O: damn. Leaf post Reichel (Hom. Waffen[2] 85 sq.) **362** πέρι Heyne: περι vel περὶ Ω **363** ὑπὸ στεροπῆς 9 t Ω*: ὑπ' ἀστ- D (cf. ad Κ 154) ὤρνυτο 9 Ω*: ὄρν- AO **365–8** ath. Ar (at post paenituit teste DSid); ad 365 cf. [Hes.] Sc. 164

δύσετο δῶρα θεοῦ, τά οἱ Ἥφαιστος κάμε τεύχων.}
κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκεν
370 καλάς, ἀργυρέοισιν ἐπισφυρίοις ἀραρυίας·
δεύτερον αὖ θώρηκα περὶ στήθεσσιν ἔδυνεν·
ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον
χάλκεον· αὐτὰρ ἔπειτα σάκος μέγα τε στιβαρόν τε
{εἵλετο, τοῦ δ' ἀπάνευθε σέλας γένετ' ἠΰτε μήνης}.
375 ὡς δ' ὅτ' ἂν ἐκ πόντοιο σέλας ναύτῃσι φανήῃ
καιομένοιο πυρός, τό τε καίεται ὑψόθ' ὄρεσφιν
σταθμῶι ἐν οἰοπόλωι, τοὺς δ' οὐκ ἐθέλοντας ἄελλαι
πόντον ἔπ' ἰχθυόεντα φίλων ἀπάνευθε φέρουσιν,
ὣς ἀπ' Ἀχιλλῆος σάκεος σέλας αἰθέρ' ἵκανεν
380 καλοῦ δαιδαλέου. περὶ δὲ τρυφάλειαν ἀείρας
κρατὶ θέτο βριαρήν· ἣ δ' ἀστὴρ ὣς ἀπέλαμπεν
ἵππουρις τρυφάλεια, περισσείοντο δ' ἔθειραι
χρύσεαι, ἃς Ἥφαιστος ἵει λόφον ἀμφὶ θαμειάς.
πειρήθη δὲ ἕ' αὐτοῦ ἐν ἔντεσι δῖος Ἀχιλλεύς,
385 εἴ οἱ ἐφαρμόσσειε καὶ ἐντρέχοι ἀγλαὰ γυῖα·
τῶι δ' εὖτε πτερὰ γίνετ', ἄειρε δὲ ποιμένα λαῶν.
ἐκ δ' ἄρα σύριγγος πατρώϊον ἐσπάσατ' ἔγχος
βριθὺ μέγα στιβαρόν· τὸ μὲν οὐ δύνατ' ἄλλος Ἀχαιῶν
πάλλειν, ἀλλά μιν οἶος ἐπίστατο πῆλαι Ἀχιλλεύς,
390 Πηλιάδα μελίην, τὴν πατρὶ φίλωι πόρε Χείρων

374b sch T 398a[1] **376**b Epm. υ 34 **381**b sch T 398a[1] **385** Iul. Or. 2.53c **386** Dio Prus. 35.7; **386**a Did ad Γ 10b; Plut. Mor. 77b; Porph. Il. 82.18 Schr. **387** ApS 147.6; (σύρ.) H. (Cyr.) σ 2774; Phot. Lex. s.v. **388**a + **389** (οἶος–) Strab. 10.1.13; **388**b–**9** Porph. Il. 238.20 Schr.

368 δύσετο 9 Ω (-σσ- T): -ατο t **374** damn. Heyne (cf. Γ 335, Π 136) **375** φανήῃ(ι) fere 9 B E T, -ήιηι A: -είῃ Ω* (-είῃ W) **376** καιομένοιο 9 Ω: αἰθο- Nauck τε Ar t T G (cf. P 737): δὲ (nov. Did) 9 Ω* (cf. Σ 227) **378** ἔπ' van Leeuwen: ἐπ' 9 Ω **379** σάκεος Ω: κεφαλης 9 (ex Σ 214) **382–3** (≈ X 315 sq.) damn. Payne Knight **383** χρύσεαι 9 Ω*: -ειαι A *b* G **384** δὲ ἕ' (ϝέ') Heyne: δ' ἕο Ar[ab] Hdn Ω*: δ' ἑοῦ Zen (cf. ad B 239): δὲ οἷ Ptol, δέ οἱ quidam ap. Hdn 1455 T[c] W G, δ' ἕοι T[a] (cf. ad N 495), δαί οι Y: δ' ἐϝέ' van Leeuwen (cf. Schwyzer 609).—cf. Chantr. I 148; Sihler 376 sq. **385** εἴ οἱ Ω*: εἰ οἷ (Bekker) V, εἰ οἱ G γυῖα t Ω: δῶρα *h* **386** εὖτε Ar olim Porph. 9 Z A[m] Ω*: εὖ G: ηὖτε A, ἠΰτε H O: αὖτε Ar postea "αἱ ἀπὸ τῶν πόλεων" tt* W V: ὥστε Arph r.—cf. ad Γ 10 γίνετ' tt* Ω*, -οντο Z: γεινε[τ 1455: γένετ' W: γίγνετ' 9 Plut. **387–91** obelis notati in A G, cf. ad 388–91 **387** ἐσπάσατ' ἔγχος 9 Ω: ἔγχος ἔρυσσεν t **388–91** (= Π 141–4) ath. Ar: hic habuit Zen, sed ἐν ταῖς ἄλλαις aberant teste Did **390** πόρε 9 A[γρ] *h*: τάμε Ω.—cf. ad Π 143

Πηλίου ἐκ κορυφῆς φόνον ἔμμεναι ἡρώεσσιν.
ἵππους δ' Αὐτομέδων τε καὶ Ἄλκιμος ἀμφιέποντες
ζεύγνυον· ἀμφὶ δὲ καλὰ λέπαδν' ἕσαν, ἐν δὲ χαλινούς
γαμφηλῇς ἔβαλον, κατὰ δ' ἡνία τεῖναν ὀπίσσω
395 κολλητὸν ποτὶ δίφρον. ὃ δὲ μάστιγα φαεινήν
χειρὶ λαβὼν ἀραρυῖαν ἐφ' ἵπποιιν ἀνόρουσεν
Αὐτομέδων· ὄπιθεν δὲ κορυσσάμενος βῆ Ἀχιλλεύς,
τεύχεσι παμφαίνων ὥς τ' Ἠλέκτωρ Ὑπερίων,
σμερδαλέον δ' ἵπποισιν ἐκέκλετο πατρὸς ἑοῖο·
400 "Ξάνθέ τε καὶ Βαλίε, τηλεκλυτὰ τέκνα Ποδάργης,
ἄλλως δὴ φράζεσθε σαωσέμεν ἡνιοχῆα
ἂψ Δαναῶν ἐς ὅμιλον, ἐπεί χ' ἕωμεν πολέμοιο,
μηδ' ὡς Πάτροκλον λίπετ' αὐτόθι τεθνηῶτα."
τὸν δ' ἄρ' ὑπὸ ζυγόφι προσέφη πόδας αἰόλος ἵππος
405 Ξάνθος, ἄφαρ δ' ἤμυσε καρήατι, πᾶσα δὲ χαίτη
ζεύγλης ἐξεριποῦσα παρὰ ζυγὸν οὖδας ἵκανεν·
αὐδήεντα δ' ἔθηκε θεὰ λευκώλενος Ἥρη·
"καὶ λίην σ' ἔτι νῦν γε σαώσομεν, ὄβριμ' Ἀχιλλεῦ·
ἀλλά τοι ἐγγύθεν ἦμαρ ὀλέθριον· οὐδέ τοι ἡμεῖς
410 αἴτιοι, ἀλλὰ θεός τε μέγας καὶ Μοῖρα κραταιή.
οὐδὲ γὰρ ἡμετέρηι βραδυτῆτί τε νωχελίηι τε

392 (–Ἄλκ.) Polyb. Fig. iii.106.13 Sp.; (ἀμφιέπ.) H. α 4012 **398** (παμφ.–) Eudoc. 283; **398**b Orio 22.20; (Ὑπερ.) ApS 158.29 **400** Arn ad Π 150bc; ApS 43.35; (τηλ.) H. (Cyr.) τ 764 **401** (–σαωσ.) H. α 3191 **402**b ApS 80.28; H. ε 4332, 4365; Orio 59.2; EtG α 69 et s.v. μεστός; Epm. ι 56, 59; Lex. αἱμ ε 28; (ἕωμεν) H. ε 7738 **403** Hdn ad Θ 18b^{1} **404** (ζυγ.) H. θ 320; (πόδας–) sch^{D} M 167; Porph. Hom. 12.14, 13.16 Sod.; id. Od. 127.6 Schr. **407** Erot. p.14.15 N.; Gal. in Hipp. Epid. iii 3.78; Porph. Od. 57.16 Schr.; **407**a Arn ad T 418a; sch ε 334; Procl. in Crat. 94.15; Cyr. c.Iul. 3 p.86 (PG 76.632d) **411** (νωχ.) H. (Cyr.) ν 815

391 ἐκ κορυφῆς (nov. Did) 9 1455 Ω: ἐν κορυφῆις Ar^{ab} A^{s}.—cf. ad Π 144 **392** τε καὶ 9 Ω: ἠδ' t ἀμφιέποντες 9 t Ω*: -ντε C G **393** ζεύγνυον Ar (διὰ τοῦ ō) 9 Ω*: -υσαν W O V: aut hoc aut -υεν nov. Did.—cf. ad Ω 783 ἕσαν A B C F^{x}: ε- D, ἕ- Ω* **394** τεῖναν 9 Ω*: -εν *b* F^{a}: -ον V, -ων D^{a}? **395** προτι 9 **396** ἵπποιιν 9 Ω*: -οισιν *b* F^{c} **398** παμφαίνων 9 t Ω* (cf. Z 513): λαμπόμενος D T R (cf. P 214) **400** Ξάν–θέ sic Ω praeter R Βαλίε A$^{\lambda}$ Ω: Βάλιε *h*: alterutrum 9 tt: Βαλία rr.—cf. ad Π 149 **401** ἡνιοχῆα h130? Ω*: -ῆας 9 A^{m} D F R W **402** Δαναῶν 9 Ω: λαῶν A$^{\gamma\rho}$ (= H 218) χ' ἕωμεν A^{m} T^{x} R^{c}, χ' ἕο- F^{a} H, χέο- R^{a} G$^{\gamma\rho}$: χ' ἑῶ- Hdn EtG^{avl} Epm^{59} A *b* F^{c} W G: χεω- Z (et χθῶ-) D, χεο- Hsch.^{4365}: κ' ἐῶ- tt* O: κ' ἕο- C$^{\gamma\rho}$: κτῶ- Hsch.^{4332} πτο–λέμοιο G **403** αὐτόθι 9 t A$^{\gamma\rho}$ A^{m} Ω*: -τοῦ A *b* W.—cf. ad Ξ 119 τεθνηῶτα A^{s} B^{a} E R: -θνει- 9 t E^{s} Ω* **404** ζυγοφι 9: -όφιν t Z Ω **406** παρὰ 9 Ω* (= P 440): περὶ W Eust. **407** ath. Ar λευκώλενος Ἥρη 9 tt* Ω: γλαυκῶπις Ἀθήνη Erot. **411** (βραδυτῆτί) τε 9 Ω*: γε R W G

Τρῶες ἀπ' ὤμοιιν Πατρόκλου τεύχε' ἕλοντο,
ἀλλὰ θεῶν ὥριστος, ὃν ἠΰκομος τέκε Λητώ,
ἔκταν' ἐνὶ προμάχοισι καὶ Ἕκτορι κῦδος ἔδωκεν.
415 νῶϊ δὲ καί κεν ἅμα πνοιῆι Ζεφύροιο θέοιμεν,
τήν περ ἐλαφροτάτην φασ' ἔμμεναι· ἀλλὰ σοὶ αὐτῶι
μόρσιμόν ἐστι θεῶι τε καὶ ἀνέρι ἶφι δαμῆναι."
ὣς ἄρα φωνήσαντος Ἐρινύες ἔσχεθον αὐδήν.
τὸν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
420 "Ξάνθε, τί μοι θάνατον μαντεύεαι; οὐδέ τί σε χρή.
εὖ νύ τοι οἶδα καὶ αὐτός, ὅ μοι μόρος ἐνθάδ' ὀλέσθαι,
νόσφι φίλου πατρὸς καὶ μητέρος· ἀλλὰ καὶ ἔμπης
οὐ λήξω, πρὶν Τρῶας ἄδην ἐλάσαι πολέμοιο."
ἦ ῥα, καὶ ἐν πρώτοις ἰάχων ἔχε μώνυχας ἵππους.
Υ ὣς οἳ μὲν παρὰ νηυσὶ κορωνίσι θωρήσσοντο
ἀμφὶ σέ, Πηλέος υἱέ, μάχης ἀκόρητοι Ἀχαιοί,
Τρῶες δ' αὖθ' ἑτέρωθεν ἐπὶ θρωσμῶι πεδίοιο.
Ζεὺς δὲ Θέμιστα κέλευσε θεοὺς ἀγορήνδε καλέσσαι
5 κρατὸς ἀπ' Οὐλύμποιο πολυπτύχου· ἣ δ' ἄρα πάντηι
φοιτήσασα κέλευσε Διὸς πρὸς δῶμα νέεσθαι.
οὔτέ τις οὖν ποταμῶν ἀπέην, νόσφ' Ὠκεανοῖο,
οὔτ' ἄρα νυμφάων, ταί τ' ἄλσεα καλὰ νέμονται
καὶ πηγὰς ποταμῶν καὶ πίσεα ποιήεντα·
10 ἐλθόντες δ' ἐς δῶμα Διὸς νεφεληγερέταο
ξεστῆις αἰθούσηισιν ἐνίζανον, ἃς Διὶ πατρί

415–16 (–ἔμμ.) sch A.R. 2.276–7b; **415** Plut. Aet. phys. 34 (Latine servatum) **417** Eudoc. 1414 **418** Arn ad T 407a **420** (–μαντ.) Porph. Hom. 98.11 Sod.; Cyr. l.c. **421** Eudoc. 1691 **Υ 1 + 3** Porph. Il. 331.1 Schr.; **1** (–κορ.) Epm. ν 46; **1a** Hdn ad η 39 **2** ApS 20.22; [Plut.] Hom. 2.57.3; **2a** Hdn ad Υ 152a **4 + 5** (ἣ δ'–)–**6** Procl. in Crat. 49.21; **4 + 5/6** (πάντηι φοιτ.) id. in Tim. iii.201.3; **4** ApS 86.34; [Plut.] Hom. 2.119.2; sch Λ 807b; Procl. in Remp. i.107.5; **4a** Choer. in Thd. i.154.36, 197.21; (κέλ. + καλ.)–**5a** Nic ad Υ 5a **7–8a** Luc. Dial. 21.6 (parod.); **7** Arn ad Φ 195a^{1}; sch Eur. Or. 1378; **8b–9** Plut. Mor. 415f; **9b** Choer. Orth. 248.1; (πίσεα π.) H. π 1262, 2354; Orio 138.25; Epm. τ 6, υ 31; (πίσ.) ApS 129.21; (ποι.) H. π 2708

413 Λητώ 9 Ω: cf. Praef. xxxii **415** θέοιμεν 1456 t Z B^{s} Ω*: -ωμεν A^{s} B C E^{s} **416–17** ath. Ar **416** την 9: ἥν Ω: τόν et ἐλαφρότατόν t **418** Ἐρινύες 242 Z Ω*: -ιννν- C R **421** τοι 9 t Ω: τὸ Brandreth **423** πολέμοιο 9 1456 Ω: κακότητος T^{λ} (cf. ε 290) **Υ 2** ἀκόρητοι t* T^{s} W^{x} H O: -ον ApS 9 Z Ω*: utrumque nov. Nic *3a* Ἕκτορι θωρήσσοντο μετὰ πρώτοισιν ἐόντι add. C^{s} **4** Θέμιστα Ar sch^{b} 9 tt Z Ω*: -στι T^{λ} T κέλευσε 9 tt* (ἐκέλ- [Plut.]) Ω*: -ευε Choer. C **7** οὔτέ sic Ω*, οὐτέ D **8** ταί τ' 9 Ω*, τέ τ' Y: τέ Z: αἵ τ' t A *b* F **9** πείσεα ApS Plut. 9 Z *b* F^{c} Y R^{a}: et hoc et πίσεα Hsch. **11** αἰθούσση(ι)σιν 9 A B E ἐνίζανον Ar Z A *b* G: ἐφ- Zen 9 A^{γρ}

Ἥφαιστος ποίησεν ἰδυίῃσι πραπίδεσσιν.
ὣς οἳ μὲν Διὸς ἔνδον ἀγηγέρατ'· οὐδ' Ἐνοσίχθων
νηκούστησε θεᾶς, ἀλλ' ἐξ ἁλὸς ἦλθε μετ' αὐτούς,
15 ἷζε δ' ἄρ' ἐν μέσσοισι, Διὸς δ' ἐξείρετο βουλήν·
"τίπτ' αὖτ', Ἀργικέραυνε, θεοὺς ἀγορήνδε κάλεσσας;
ἦ τι περὶ Τρώων καὶ Ἀχαιῶν μερμηρίζεις;
τῶν γὰρ νῦν ἄγχιστα μάχη πόλεμός τε δέδηεν."
τὸν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
20 "ἔγνως, Ἐννοσίγαιε, ἐμὴν ἐν στήθεσι βουλήν,
ὧν ἕνεκα ξυνάγειρα· μέλουσί μοι ὀλλύμενοί περ.
ἀλλ' ἤτοι μὲν ἐγὼ μενέω πτυχὶ Οὐλύμποιο
ἥμενος, ἔνθ' ὁρόων φρένα τέρψομαι· οἱ δὲ δὴ ἄλλοι
ἔρχεσθ', ὄφρ' ἂν ἵκησθε μετὰ Τρῶας καὶ Ἀχαιούς,
25 ἀμφοτέροισι δ' ἀρήγεθ', ὅπηι νόος ἐστὶν ἑκάστου.
εἰ γὰρ Ἀχιλλεὺς οἶος ἐπὶ Τρώεσσι μαχεῖται,
οὐδὲ μίνυνθ' ἕξουσι ποδώκεα Πηλείωνα.
καὶ δέ τί μιν καὶ πρόσθεν ὑποτρομέεσκον ὁρῶντες·
νῦν δ', ὅτε δὴ καὶ θυμὸν ἑταίρου χώεται αἰνῶς,
30 δείδω μὴ καὶ τεῖχος ὑπὲρ μόρον ἐξαλαπάξηι."
ὣς ἔφατο Κρονίδης, πόλεμον δ' ἀλίαστον ἔγειρεν.
βὰν δ' ἴμεναι πόλεμόνδε θεοί, δίχα θυμὸν ἔχοντες·
Ἥρη μὲν μετ' ἀγῶνα νεῶν καὶ Παλλὰς Ἀθήνη

13 (Διὸς ἔνδον) Procl. in Remp. i.90.24, 165.19 **14** (νηκ.) H. (Cyr.) ν 466; Phot. Lex. s.v.; **14b** sch O 8b **15a** Plut. Mor. 617b **16–17** [Plut.] Hom. 2.119.2 **20–1** id. 2.115.2; 20 Chrysipp. (SVF ii.254.27) ap. Gal. Plac. Hipp. et Plat. 3.2.19 **22–3** (–τέρψ.) [Plut.] Hom. 2.114.3; **22b** cf. Procl. in Tim. i.73.5; **23** (τέρψ.) ApS 151.32; H. τ 568 **24** Procl. in Tim. iii.227.24 **25–28** (–ὑπὲρ) sch[h94] Φ 229–32 (v.99.26 E.); **25–6** sch Φ 229–30; **25** sch O 234; Porph. Il. 115.24 Schr.; Procl. in Remp. i.107.10; **25a** EtG α 756; **26–7a** Arn ad Υ 125–8a; sch Υ 23b **29** (θυμὸν–) Arn ad N 403a[2]; (χώ.) H. χ 855 **30** sch Υ 125–8b; Epm. υ 41; (μὴ–) EtG s.v. ὑπέρμορα; (ὑπὲρ μ.) H. υ 434; (ἐξαλ.) id. ε 3579 **31** Procl. in Crat. 49.30 **33** Porph. Hom. 107.14 Sod.

Ω*: ἐνίδρανον quidam ap. sch[AT] **12** ποίησεν ἰδυίη(ι)σι Ar Ω: ποίησ' εἰδ- (nov. Did) 9, -ησεν εἰδ- C[a].—cf. ad A 608, Σ 380 **15** ἷζε B[c] E T R: ἵ- Ω*: ἱ- 9 ἐξείρετο 9 Ω*: -ήρετο C R.—cf. ad A 513 **16** ἀγορήνδ' ἐκάλεσσας t F H **18** τω γαρ 9 **26** μαχεῖται 9 w5 tt* Ω*: μάχηται (van Leeuwen) C[a] W, -ῆται Y O[c]: -εται Arn(t)[cod] **28** τί Ar T W (δ' ἔτι): τέ (nov. Did) 9 1457 Ω* **30** ὑπὲρ μόρον Heliodorus Hdn Ω*: ὑπέρμορον Arph (Ar testibus ApS Eust.) "καὶ οἱ πλείους" Ptol EtG Z T W V **30*a–c*** οὐ μέν τοι μοῖρ' ἐστὶν ἔτι ζωοῦ Ἀχιλῆος | Ἰλίου ἐκπέρσαι εὖ ναιόμενον πτολίεθρον· | πέρσει δουράτεός <θ'> ἵππος καὶ μῆτις Ἐπειοῦ pro v. 30 (immo potius post eum, vel pro 28–30) legebant quidam ap. sch[T] **31** ἔγειρε(ν) 9 Z Ω*: ὄρινε W (ex Ω 760) **32** ἴμεναι 9 1457 Ω*: ἰέναι Y G: ἴμεν W

ἠδὲ Ποσειδάων γαιήοχος ἠδ' ἐριούνης
35 Ἑρμείας, ὃς ἐπὶ φρεσὶ πευκαλίμῃσι κέκασται·
Ἥφαιστος δ' ἅμα τοῖσι κίε σθένεϊ βλεμεαίνων,
χωλεύων, ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί·
ἐς δὲ Τρῶας Ἄρης κορυθαιόλος, αὐτὰρ ἅμ' αὐτῶι
Φοῖβος ἀκερσεκόμης ἠδ' Ἄρτεμις ἰοχέαιρα
40 Λητώ τε Ξάνθός τε φιλομμειδής τ' Ἀφροδίτη.
εἵως μέν ῥ' ἀπάνευθε θεοὶ θνητῶν ἔσαν ἀνδρῶν,
τέως Ἀχαιοὶ μὲν μέγα κύδανον, οὕνεκ' Ἀχιλλεύς
ἐξεφάνη, δηρὸν δὲ μάχης ἐπέπαυτ' ἀλεγεινῆς,
Τρῶας δὲ τρόμος αἰνὸς ὑπήλυθε γυῖα ἕκαστον
45 δειδιότας, ὅθ' ὁρῶντο ποδώκεα Πηλείωνα
τεύχεσι λαμπόμενον, βροτολοιγῶι ἶσον Ἄρηϊ·
αὐτὰρ ἐπεὶ μεθ' ὅμιλον Ὀλύμπιοι ἤλυθον ἀνδρῶν,
ὦρτο δ' Ἔρις κρατερὴ λαοσσόος, αὖε δ' Ἀθήνη,
στᾶσ' ὁτὲ μὲν παρὰ τάφρον ὀρυκτὴν τείχεος ἐκτός,
50 ἄλλοτ' ἐπ' ἀκτάων ἐριδούπων μακρὸν ἄϋτει·
αὖε δ' Ἄρης ἑτέρωθεν, ἐρεμνῆι λαίλαπι ἶσος,
ὀξὺ κατ' ἀκροτάτης πόλιος Τρώεσσι κελεύων,
ἄλλοτε πὰρ Σιμόεντι θέων ἐπὶ Καλλικολώνηι.
ὣς τοὺς ἀμφοτέρους μάκαρες θεοὶ ὀτρύναντες

34 (ἠδ'–)–5 (Ἑρμ.) EtG s.v. ἐριούνιος; 34 (ἐρι.) H. (Cyr.) ε 5871 38 (–κορ.) sch^{D} B 381 39 ApS 19.26; Cocondr. Trop. iii.237.11 Sp.; 39a [Plut.] Hom. 2.24.2; Tat. ad Graec. 21; (ἀκερσ.) H. (Cyr.) α 2335; EtG α 312 41 (lacerum) sch^{h40} B 812 (i.172.101 E.) 49–50 Eudoc. 927–8 51–3 Strab. 13.1.35; 51–2 Porph. Il. 44.15 Schr.; 51 Choer. in Ps. 128.3; 51a Orus π. πολυσημ. λέξεων ap. Reitz. Gesch. 343.15; Epm. α 375; (αὖε δ' Ἄρ.) Orio 13.19; (αὖε) EtG α 1434; 52 Dio Prus. 2.57; 53 (Σιμ.) H. σ 666; 53b id. θ 438; (Καλλ.) id. κ 476

35 ἐπὶ 9 1458 Ω*: ἐνὶ D T Y R κέκασται Ar *b* Y G: -στο (nov. Did) 9 Ω*.—cf. ad B 448, E 739 37 ἀραιαί A B E F^{a}?: ἀρ- Ω*.—cf. Praef. xvii 38 κορυθαίολος C Y 40 Λητώ 9 243 Ω, Λητ]ῶ 1458: cf. Praef. xxxii Ξάνθός sic A D B^{a} C E R W G φιλομ(μ)ειδής 9 243 Ω: Διὸς θυγάτηρ sch^{Tγρ}.—cf. ad Ξ 193, Φ 416 41 εἵως 9 243 Ω: εἷος Brandreth: ἧος Nauck 42 τέως 243 Ω: τειως 9: τεῖος r: τῆος Nauck: τόφρα δ' A^{γρ} μέγα κύδανον 9 243 *b* W: μέγ' ἐκ- Z Ω* 43 ἐπέπαυτ' 243 Ω (= Σ 248, Τ 46): απέπ- 9 r 44 ὑπήλυθε 9 243 Ω*: ἐπ- A *b* F^{c}.—cf. ad H 215 49 ὅτε 9 A C^{a} F^{a} T Y R^{a} G ἐκτός (= I 67) 9 243 t Ω*: ἐντός A 51 αὖε 9 tt* Ω: ὦρτο (ex 48) Strab. ἐρεμ–νῆι λαίλαπι ἶσος 9 243 1459 tt* Z Ω: ἐνὶ κρατερῆι ὑσμίνῃ Choer. 52 πόλιος 9 tt Ω*: -εως D:]μυθος 1459 53 πὰρ 9 t Ω: περ 243 Σιμόεντι 9 t Ω: -εντα Renner θέων quidam ante Ar (sc. Arph?) Herodicus Hdn 9 B^{c} C F^{c} T Y R G: θεῶν Ar Hsch. Ω*.—cf. ad Ω 74 ἐπὶ Ptol "ἡ παράδοσις" Hdn Ω: ἔπι quidam ante Hdn 54 τοὺς 9 [243] Ω*: τούς γ' G ὀτρύναντες Ω*: -οντες 9 A^{s} T Y R

55 σύμβαλον, ἐν δ' αὐτοῖς ἔριδα ῥήγνυντο βαρεῖαν.
δεινὸν δ' ἐβρόντησε πατὴρ ἀνδρῶν τε θεῶν τε
ὑψόθεν· αὐτὰρ ἔνερθε Ποσειδάων ἐτίναξεν
γαῖαν ἀπειρεσίην ὀρέων τ' αἰπεινὰ κάρηνα,
πάντες δ' ἐσσείοντο πόδες πολυπίδακος Ἴδης
60 καὶ κορυφαὶ Τρώων τε πόλις καὶ νῆες Ἀχαιῶν·
ἔδδεισεν δ' ὑπένερθεν ἄναξ ἐνέρων Ἀϊδωνεύς,
δείσας δ' ἐκ θρόνου ἆλτο καὶ ἴαχε, μή οἱ ὕπερθεν
γαῖαν ἀναρρήξειε Ποσειδάων ἐνοσίχθων,
οἰκία δὲ θνητοῖσι καὶ ἀθανάτοισι φανείη
65 σμερδαλέ' εὐρώεντα, τά τε στυγέουσι θεοί περ.
τόσσος ἄρα κτύπος ὦρτο θεῶν ἔριδι ξυνιόντων.
ἤτοι μὲν γὰρ ἔναντα Ποσειδάωνος ἄνακτος
ἵστατ' Ἀπόλλων Φοῖβος, ἔχων ἰὰ πτερόεντα,
ἄντα δ' Ἐνυαλίοιο θεὰ γλαυκῶπις Ἀθήνη·

55 (ἐν δ'–) Porph. Il. 185.4 Schr. **58** Eudoc. 912, 1972 **59–60** Clem. Paed. 3.13.5; **59–60** (καὶ κορ.) w22 ii 48 (lacera); Aristid. Quint. 2.9 p.70.16 W.-I.; **59** 'Trypho i' Trop. iii.192.7 Sp.; Anon. Trop. iii.228.10 Sp.; Porph. in Cat. CAG iv(1).67.12; Eudoc. 1980; Simpl. in Cat. CAG viii.32.30; Philop. in Cat. CAG xiii(1).126.6; **59**b Choer. Trop. iii.246.15 Sp.; (πόδες Ἴδης) Clem. Strom. 8.24.8; H. π 2668; Ascl. in Metaph. CAG vi(2).353.27; Olymp. in Gorg. 180.23; (πολυπ.–) H. π 2906 **60*a*–5** Auct. π. ὕψ. 9.6; **60*a*** (–οὐρ.) Philostr. Her. 2.19 (162.32 K.); **61–5** Macr. Sat. 5.16.13; **61–2** (–ἴαχε) Eudoc. 1985–6; **61** Luc. Dial. 38.10; Eudoc. 2105; **61**b sch O 225b; Eudoc. 2136; Epm. ν 39, cf. ε 44; (ἔνεροι) ApS 69.1; (Ἀϊδ.) H. α 1802; **62–3** Cosmas in Greg. Naz. PG 38.496; **64–5** Pl. Resp. 386d; **65** Arn ad O 183; Plut. Mor. 940e; Sext. Math. 1.291; Procl. in Remp. i.122.7; (σμερδ.) Porph. Hom. 52.19 Sod.; (εὐρώ.) ApS 79.23; H. (Cyr.) ε 7159; **65**b sch A.R. 2.627–8; cf. Plot. 5.1.2 **66–72** [Iustin.] Cohort. ad Gr. 2; **66** Nonn. D. 36.106; **67–74** cf. Procl. in Tim. i.78.27; **67–73** Hclt. Alleg. 52.3; Cyr. c.Iul. 1 p.27 (PG 76.541d); **67–8 + 70 + 73** id. ib. 544b; **67–8**a Hclt. Alleg. 56.1; **68** (ἰά) H. (Cyr.) ι 1; **69**a Hdn in AO ii.466.27; id. ad Υ 70ab; **70–1**a Hclt. Alleg. 57.1; Porph. Il. 106.22 Schr.; **70** EtG s.v. ἠλακάτη; **70**b H. η 307; (χρυσ.) id. χ 783; (κελ.) id. κ 2126; Phot. Lex. κ 547; (κελ.)–**71**a ApS 97.31; **72** Luc. Dial. 21.40; **72**a Hdn ad Υ 70a; (σῶκος) ApS 148.15; Porph. Od. 130.6 Schr.; H. σ 3065; Orio 142.7; (ἐρι.) ApS 76.16; Aristid. Or. 2.423; H. ε 5873; Orio 63.35; **73** Hclt.

55 αὐτοὶ Wecklein SBAW 1908(2).73 (cl. B 578) **56** δὲ βρόντησε (9) A W **57** ἔνερθε (nov. Did) Ω: νέρθε Ar 9 r.—cf. ad E 898, O 225 **59** πολυπίδακος Ar 9 w22 (-πειδ-) Eudoc. A *b* T G: -δάκου (nov. Did) tt* Ω*: corrupte Hsch.—cf. ad Ξ 157 **60** πόλις 9 A^{s} A^{m} Ω* (cf. N 18*a*, Π 69): -εις Clem. A^{t} **60*a*** ἀμφὶ δ' ἐσάλπιγξεν μέγας οὐρανὸς Οὔλυμπός τε (cf. Φ 388, E 750) add. Auct. π. ὕψ., cf. Philostr. **61** ἔδδεισεν 9 243 tt Ω*: ἔδει- Y ἐνέρων 9 tt Z Ω*: ἀνέρων B^{a} D F^{a} R^{a}: ἀνδρῶν rr **62** ἆλτο Y rr: ἂ- 9: ἆ- Ω*: ἅ- C R W: ὦρτο 𝔐 $A^{\gamma\rho}$ T^{λ} (cf. Λ 645, Ω 515) ὕπερθε 9 Cosmas Ω: ενερθεν Macr.: ἔπειτα t* **64** φανείη tt* C R G, φαεινη Macr.: φανήη(ι) 9 Ω*, -ήιηι A **66–74** damn. Payne Knight (67–74 iam Heyne) **66** τοσ]σον 1460

70 Ἥρηι δ' ἀντέστη χρυσηλάκατος κελαδεινὴ
Ἄρτεμις ἰοχέαιρα, κασιγνήτη Ἑκάτοιο·
Λητοῖ δ' ἀντέστη σῶκος ἐριούνιος Ἑρμῆς,
ἄντα δ' ἄρ' Ἡφαίστοιο μέγας ποταμὸς βαθυδίνης,
ὃν Ξάνθον καλέουσι θεοί, ἄνδρες δὲ Σκάμανδρον.
75 ὣς οἳ μὲν θεοὶ ἄντα θεῶν ἴσαν· αὐτὰρ Ἀχιλλεὺς
Ἕκτορος ἄντα μάλιστα λιλαίετο δῦναι ὅμιλον
Πριαμίδεω· τοῦ γάρ ῥα μάλιστά ἑ θυμὸς ἀνώγει
αἵματος ἆσαι Ἄρηα, ταλαύρινον πολεμιστήν.
Αἰνείαν δ' ἰθὺς λαοσσόος ὦρσεν Ἀπόλλων
80 ἀντία Πηλείωνος, ἐνῆκε δέ οἱ μένος ἠΰ·
υἱέϊ δὲ Πριάμοιο Λυκάονι εἴσατο φωνήν·
{τῶι μιν ἐεισάμενος προσέφη Διὸς υἱὸς Ἀπόλλων·}
"Αἰνεία, Τρώων βουληφόρε, ποῦ τοι ἀπειλαί,
ἃς Τρώων βασιλεῦσιν ὑπίσχεο οἰνοποτάζων,
85 Πηλείδεω Ἀχιλῆος ἐναντίβιον πτολεμίξειν;"
τὸν δ' αὖτ' Αἰνείας ἀπαμειβόμενος προσέειπεν·
"Πριαμίδη, τί με ταῦτα καὶ οὐκ ἐθέλοντα κελεύεις,
ἀντία Πηλείωνος ὑπερθύμοιο μάχεσθαι;
οὐ μὲν γὰρ νῦν πρῶτα ποδώκεος ἄντ' Ἀχιλῆος
90 στήσομαι, ἀλλ' ἤδη με καὶ ἄλλοτε δουρὶ φόβησεν
ἐξ Ἴδης, ὅτε βουσὶν ἐπήλυθεν ἡμετέρηισιν,
πέρσε δὲ Λυρνησσὸν καὶ Πήδασον· αὐτὰρ ἐμὲ Ζεὺς
εἰρύσαθ', ὅς μοι ἐπῶρσε μένος λαιψηρά τε γοῦνα.

Alleg. 58.1; **73a** Hdn in AO ii.466.26; id. ad Υ 70a; **74** Pl. Crat. 391e; Arn ad Θ 560a; sch[D] Α 403; Max. Tyr. 22.5; Procl. in Tim. i.274.1 **75** (αὐτὰρ–)–**6** Simpl. in De caelo CAG vii.561.32; (αὐτὰρ–ἄντα) Hdn in AO ii.466.28; **76a** sch Υ 180–6b; Porph. Il. 243.21 Schr.; (λιλ.) Orio 92.28 **83** Prisc. Inst. 18.271; (–βουλ.) Strab. 13.1.7 **84** (οἰνοπ.) Ath. 460c; Poll. 6.22; Phot. Lex. s.v. **90** (ἀλλ'–) sch Ρ 24–7 **92** (–Πήδ.) Strab. 13.1.7; Did ad Φ 86e; sch Κ 429b

70 ἀντέστη Hdn 9 1460 Ω: ἄντ' ἔστη quidam ante Hdn, qui monet ἄντα semper cum genitivo construi: ἀντέσχεν EtG **71** ἰοχέαιρα 9 1460 (ειοκ-) tt* Ω: ἀγροτέρη ApS **72** σῶκος Hdn 1460 Z Ω: σῶικ- quidam ante Hdn (contra τὴν παράδοσιν et 243): σωκὸς Tyr Ἑρμῆς 9 tt Ω: -έης Rzach **74** Σκάμανδρον 9 tt Z Ω: Κά- rr.—cf. Praef. xxxv **77** ἑ Ar *b* F[c] (cf. Θ 322): γε (nov. Did) 9 243 Ω* **79** ιθυς κλονον πο..[1460 **80** ἐνῆκε A **81** υἱέϊ Ω*: -εῖ G **82** damn. Payne Knight (cf. ad Γ 389): hab. 9 243 1460 Ω **84** ἃς 243 Ω: τὰς 9 rr ὑπίσχεο Ar Ω: ὑπέσχ- (nov. Did) 9 243 H[c] V.—cf. ad Ν 366, Ψ 195 **85** πτολεμίξειν A D: -ζειν F R G: πολεμίζειν 9 Ω*: -ξειν Cobet.—cf. ad Κ 451, Φ 477 **86** ἀπαμειβόμενος 9 243 Ω*: ἀμει- *b* G **89** νῦν 9 Ω*: δὴ D.—cf. ad Ω 635 **92** Λυρνησσὸν 9 tt* Z Ω*: -ησὸν sch-K G O **93** ἐπῶρσε 9 Ω* (= Χ 204): ἐν- T (cf. Θ 335, Ξ 522, Σ 218)

ἦ κ' ἐδάμην ὑπὸ χερσὶν Ἀχιλλῆος καὶ Ἀθήνης,
95 ἥ οἱ πρόσθεν ἰοῦσα τίθει φάος ἠδ' ἐκέλευεν
ἔγχεϊ χαλκείωι Λέλεγας καὶ Τρῶας ἐναίρειν.
τὼ οὐκ ἔστ' Ἀχιλῆος ἐναντίον ἄνδρα μάχεσθαι·
αἰεὶ γὰρ πάρ' ἕεις γε θεῶν, ὃς λοιγὸν ἀμύνει.
καὶ δ' ἄλλως τοῦ γ' ἰθὺ βέλος πέτετ', οὐδ' ἀπολήγει
100 πρὶν χροὸς ἀνδρομέοιο διελθέμεν. εἰ δὲ θεός περ
ἶσον τείνειεν πολέμου τέλος, οὔ κε μάλα ῥέα
νικήσει', οὐδ' εἰ παγχάλκεος εὔχεται εἶναι."
τὸν δ' αὖτε προσέειπεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων·
"ἥρως, ἀλλ' ἄγε καὶ σὺ θεοῖς αἰειγενέτῃσιν
105 εὔχεο· καὶ δὲ σέ φασι Διὸς κούρης Ἀφροδίτης
ἐκγεγάμεν· κεῖνος δὲ χερείονος ἐκ θεοῦ ἐστιν·
ἣ μὲν γὰρ Διός ἐσθ', ἣ δ' ἐξ ἁλίοιο γέροντος.
ἀλλ' ἰθὺς φέρε χαλκὸν ἀτειρέα, μηδέ σε πάμπαν
λευγαλέοις ἐπέεσσιν ἀποτρεπέτω καὶ ἀρειῆι."
110 ὣς εἰπὼν ἔμπνευσε μένος μέγα ποιμένι λαῶν,
βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῶι.
οὐδ' ἔλαθ' Ἀγχίσαο πάϊς λευκώλενον Ἥρην
ἀντία Πηλείωνος ἰὼν ἀνὰ οὐλαμὸν ἀνδρῶν,
ἣ δ' ἄμυδις καλέσασα θεοὺς μετὰ μῦθον ἔειπεν·
115 "φράζεσθον δὴ σφῶϊ, Ποσείδαον καὶ Ἀθήνη,
ἐν φρεσὶν ὑμετέρῃσιν, ὅπως ἔσται τάδε ἔργα.
Αἰνείας ὅδ' ἔβη κεκορυθμένος αἴθοπι χαλκῶι
ἀντία Πηλείωνος, ἀνῆκε δὲ Φοῖβος Ἀπόλλων·
ἀλλ' ἄγεθ', ἡμεῖς πέρ μιν ἀποτρωπῶμεν ὀπίσσω
120 αὐτόθεν· ἤ τις ἔπειτα καὶ ἡμείων Ἀχιλῆϊ

95 (–φάος) Plut. Mor. 580c **96**b sch K 429b; St. Byz. 500.2 **99** (–πέτ.) Arn ad Φ 169(a)b^{1}; (ἰθύ) H. ι 401 **112** (οὐδ' ἔλαθε λευκ. Ἥ.) Did ad Υ 114b^{2}

95 ἐκέλευεν 9 Ω*: -ευσεν D F **96** ἔγχεϊ sic Ω **97** τὼ rr: τῶ(ι) 9 Ω **98** (≈ E 603) om. D πάρ' ἕεις Nauck (v. ad E 603): πάρα εἷς 9 243 Ω **99** γ' 9 t^{vl} Ω*: δ' t^{vl} *b* W ἰθὺ t^{vl} A^{γρ} D T W: -ὺς 9 t^{vl} Ω* **100** διελθέμεν 9 243 A^{γρ} Ω*: -θεῖν A *b* G **101** κε 243 A *b* T G: με 9 Ω* **102** νικήσει' Bentley: -σει(·) 9 Ω.—cf. ad I 62, 386 **103** Διὸς υἱὸς Ἀπόλλων 243 Ω: εκαεργος Απολλων 9^{s} (cf. ad H 23, O 253): ανδρων Αγαμεμνων 9^{t} **105** δὲ σέ Ptol Hdn fere Ω*: δέ σε C R G **110** ποιμένι 9 Ω*: -να D **114** ἣ Ar fere Ω: ἦ 'dixit' intell. Zen u.v. καλέσασα Zen 9 435 Ω (cf. K 300): στήσασα Ar "καὶ αἱ πλεῖσται" μετὰ μῦθον ἔειπε(ν) Ar(?) 9 1457 Ω: ῥεῖα ζώοντας Zen **115** Ποσείδαον A^{m} Ω*: Ποσί- 9 435 A: Ποσειδάων C F, -δάον B E G **119** ἀποτρω–πῶμεν 9 Ω: -τροπῶμεν (O) et -τροπόωμεν rr.—cf. ad O 666 **120** ἤ 9 435 (ἠ) Ω*: εἴ C R

παρσταίη, δοίη δὲ κράτος μέγα, μηδέ τι θυμῶι
δευέσθω, ἵνα εἴδηι, ὅ μιν φιλέουσιν ἄριστοι
ἀθανάτων, οἳ δ' αὖτ' ἀνεμώλιοι, οἳ τὸ πάρος περ
Τρωσὶν ἀμύνουσιν πόλεμον καὶ δηϊοτῆτα.
125 πάντες δ' Οὐλύμποιο κατήλθομεν ἀντιόωντες
τῆσδε μάχης, ἵνα μή τι μετὰ Τρώεσσι πάθησιν
σήμερον· ὕστερον αὖτε τὰ πείσεται, ἅσσά οἱ Αἶσα
γεινομένωι ἐπένησε λίνωι, ὅτε μιν τέκε μήτηρ.
εἰ δ' Ἀχιλεὺς οὐ ταῦτα θεῶν ἐκπεύσεται ὀμφῆς,
130 δείσετ' ἔπειθ', ὅτε κέν τις ἐναντίβιον θεὸς ἔλθηι
ἐν πολέμωι· χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργεῖς."
τὴν δ' ἠμείβετ' ἔπειτα Ποσειδάων ἐνοσίχθων·
"Ἥρη, μὴ χαλέπαινε πάρεκ νόον· οὐδέ τί σε χρή.
οὐκ ἂν ἐγώ γ' ἐθέλοιμι θεοὺς ἔριδι ξυνελάσσαι
135 {ἡμέας τοὺς ἄλλους, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰμεν},
ἀλλ' ἡμεῖς μὲν ἔπειτα καθεζώμεσθα κιόντες
ἐκ πάτου ἐς σκοπιήν, πόλεμος δ' ἄνδρεσσι μελήσει.
εἰ δέ κ' Ἄρης ἄρχωσι μάχης ἢ Φοῖβος Ἀπόλλων,
ἠ' Ἀχιλῆ' ἴσχωσι καὶ οὐκ εἰῶσι μάχεσθαι,
140 αὐτίκ' ἔπειτα καὶ ἄμμι παρ' αὐτόθι νεῖκος ὀρεῖται
φυλόπιδος. μάλα δ' ὦκα διακρινθέντας ὀίω
ἂψ ἴμεν Οὔλυμπόνδε θεῶν μεθ' ὁμήγυριν ἄλλων

123 Eudoc. 415 **127** (ὕστ.–)–**8** Chrysipp. SVF ii.266.42; **127** (πείσ.) H. π 1265; (ὅσα οἱ–)–**128** Lib. Or. 25.8 (ii.541.7 F.); **128** [Plut.] Cons. ad Apoll. 118b; Luc. Dial. 65.9, cf. 20.1; sch Theoc. 1.139–40b **131** (χαλ.–) sch Pind. Ol. 6.107d, 108; Athenag. Leg. 18; Ael. H.A. 11.17 **132a** sch Θ 208 **138** Lesb. Fig. 6; 'Hdn.' Fig. 54; Porph. Hom. 34.11 Sod., Il. 231.3 Schr.; sch E 161–2, 774, Σ 514–15b(c), κ 513 **139b** Hdn ii.504.15 **140** Philox. fr. 569 Th. (Orio 122.14/EtG s.v. ὅρος) **142** (μεθ'–) Epm. α 288; (ὁμήγ.) Phot. Lex. s.v.

121 θυμῶι 9 Ω: -οῦ Koeppen (cf. Γ 294, Υ 472) **122** εἴδηι (Tyr) Fick: εἰδῆ(ι) (Ar Hdn) 435 Ω.—cf. Praef. xxxiii **124** ἀμύνουσι πτόλεμον Heyne **125–8** ath. Ar cl. 26–30: **125–31** damn. Düntzer (129–31 iam Bothe) **127** ἅσσά sic Ω (ἄσσά A, ἀσσά D), ἅσσα fere 9 t*, ἅττα O: ὅσα Lib., ὅσσα rr.—v.l. eadem η 197 **128** γεινομένωι 9 435 tt Ω (quod silentio premunt Monro–Allen; cf. adn. meam ad Hes. Th. 82): γιν- M V **133** πάρεκ dedi: παρ'ἐκ T W, παρὲκ vel παρεκ fere 9 435 Z Ω*.—cf. Praef. xix **134** ἐγώ γ' Bekker: ἔγωγ' Ω **135** (cf. Θ 211) add. 9 A (e mg. exemplaris: van Leeuwen Mn. 32, 1904, 447–50) D[m] F G: deest in 435 Ω* **138** ἄρχωσι Ar 9 tt Ω* F[s], -ωισι A: -η(ι)σι Zen Z A[m] F R G[c] ἢ ("ἀντὶ τοῦ καί") Ar 9 435 tt* Z Ω: καὶ Lesb. 'Hdn.' sch-E[774]: ἰδὲ rr εἰ δέ κεν ὧς ἄρχωσιν Ἄρης καὶ Φ. Ἀ. sch[Tγρ] **139** ἠ' Fick: ἢ Ω Ἀχιλῆ' ἴσχωσι 9 Ω*: -ῆα σχῶσι G **140** αὐτόθι t *h* C: -όφι 9 435 Z Ω*.—cf. ad M 302 ὀρεῖται 9 435 sch[Dγρ] Ω: ετύχθει Z, -η sch[hγρ] **141** διακρινθέντας 9 Ω*: -κριθ- D C T

ἡμετέρῃς ὑπὸ χερσὶν ἀναγκαίηφι δαμέντας."
ὣς ἄρα φωνήσας ἡγήσατο Κυανοχαίτης
145 τεῖχος ἐς ἀμφίχυτον Ἡρακλῆος θείοιο
ὑψηλόν, τό ῥά οἱ Τρῶες καὶ Παλλὰς Ἀθήνη
ποίεον, ὄφρα τὸ κῆτος ὑπεκπροφυγὼν ἀλέαιτο,
ὁππότε μιν σεύαιτο ἀπ' ἠϊόνος πεδίονδε.
ἔνθα Ποσειδάων κατ' ἄρ' ἕζετο καὶ θεοὶ ἄλλοι,
150 ἀμφὶ δ' ἄρ' ἄρρηκτον νεφέλην ὤμοισιν ἕσαντο·
οἳ δ' ἑτέρωσε καθῖζον ἐπ' ὀφρύσι Καλλικολώνης
ἀμφὶ σέ, ἤϊε Φοῖβε, καὶ Ἄρηα πτολίπορθον.
ὣς οἳ μέν ῥ' ἑκάτερθε καθείατο μητιόωντες
βουλάς—ἀρχέμεναι δὲ δυσηλεγέος πολέμοιο
155 ὤκνεον ἀμφότεροι, Ζεὺς δ' ἥμενος ὕψι κέλευεν—
τῶν δ' ἅπαν ἐπλήσθη πεδίον καὶ ἐλάμπετο χαλκῶι
ἀνδρῶν ἠδ' ἵππων· κάρκαιρε δὲ γαῖα πόδεσσιν
ὀρνυμένων ἄμυδις. δύο δ' ἀνέρες ἔξοχ' ἄριστοι
ἐς μέσον ἀμφοτέρων συνίτην μεμαῶτε μάχεσθαι,
160 Αἰνείας τ' Ἀγχισιάδης καὶ δῖος Ἀχιλλεύς.
Αἰνείας δὲ πρῶτος ἀπειλήσας ἐβεβήκει,
νευστάζων κόρυθι βριαρῆι· ἀτὰρ ἀσπίδα θοῦριν
πρόσθεν ἔχε στέρνοιο, τίνασσε δὲ χάλκεον ἔγχος.

144 al. (Κυαν.) sch Soph. Ant. 587; Procl. in Tim. i.190.1; H. (Cyr.) κ 4351 **145** ApS 26.33; Choer. in Thd. i.189.30, 378.16; (–Ἡρ.) sch E 651; **145**a Porph. Hom. 133.5 Sod.; (ἀμφίχ.) H. α 4143; Phot. Lex. α 1378 **146** (ὑψ.) H. υ 927; (τό ῥά–)–**147** sch Pind. Nem. 1.96; **147** Plut. Mor. 1010d; (ποί.) Nic ad Υ 146 **149** sch P 386–7 **151** Hdn ad Υ 53b^{1}; **151**a [Plut.] Hom. 2.63 **153** Eudoc. 2096 **154** (δυσηλ.) H. δ 2567 **156** Eudoc. 2092; (–πεδ.) Ael. Dion. α 155 (Phot. Lex. α 2250); (ἐπλ.) H. (Cyr.) ε 5463 **157**b Philox. fr. 593 Th. (EtG s.v. σκαρδαμύσσειν); sch Ar. Ach. 3a; (κάρκ.–γαῖα) ApS 95.9; (κάρκ.) H. κ 826 **162** (–βρι.) Choer. in Ps. 160.34; Epm. ν 51; (νευστ.) ApS 115.34; sch Ψ 187; H. (Cyr.) ν 398

143 ἀναγκαίηφι A$^{\gamma\rho}$: ἀνάγκηι ἶφι 9 435$^{?}$ Ω*: ἀναλκίῃσι R (ex P 337) **145** Ἡρα–κλῆος 435 tt Z Ω: -κλεῖος r **147** ποίεον 9 tt* Ω: -εεν Plut. ὑπεκπροφυγὼν 9 435 tt Ω*: -γὸν D ἀλέαιτο Z Ω*: -οιτο 435 tt D T: -ατο C **148** σεύαιτο 9 Ω*, -ετο A^{a} D R: -οιτο O:]ιτο 435: -ατο Z G^{c} **150** ἄρρηκτον νεφέλην ὤμοισιν 9 Ω: ωμο]ισιν νεφελην άρρηκτον 435 et fere r **151** καθῖζον Bekker: κάθιζον Z Ω ἐπ' 9 Ω: ὑπ' 435 r **152** ἤϊε Ω: ἤϊε (Ar) agn. sch^{bT} (cf. ad O 365): ηιε 9 Z: (σ') ἰήϊε vel ἰήϊε sch^{hyp} **153** καθείατο 9 435 (καθ') t Z Ω: καθή- *h* **155** ὤκνεον Ar$^{?}$ 9 1457 Z Ω*: ὄ- "κατ' ἔνια" (Did) T **156** ἐλάμπετο (nov. Did) 9 435 t Ω: λά- Ar **158** δύο δ' 9 435 1457 Ω: δὲ δύ' sch^{hyp} **159–60** hoc ordine 1457 Ω*: inverso 9 W **159** ἀμφοτέρων 9 1457 Ω: -ρω V.—cf. ad Z 120 **163** τίνασσε δὲ 9 1457 Ω: τινάσσων sch^{hyp} (cf. M 298, X 311)

Πηλεΐδης δ' ἑτέρωθεν ἐναντίον ὦρτο λέων ὥς
165 σίντης, ὅν τε καὶ ἄνδρες ἀποκτάμεναι μεμάασιν
ἀγρόμενοι, πᾶς δῆμος· ὃ δὲ πρῶτον μὲν ἀτίζων
ἔρχεται· ἀλλ' ὅτε κέν τις ἀρηϊθόων αἰζηῶν
δουρὶ βάληι, ἐάλη τε χανών, περί τ' ἀφρὸς ὀδόντας
γίνεται, ἐν δέ τέ οἱ κραδίηι στένει ἄλκιμον ἦτορ,
170 οὐρῆι δὲ πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν
μαστίεται, ἑὲ δ' αὐτὸν ἐποτρύνει μαχέσασθαι,
γλαυκιόων δ' ἰθὺς φέρεται μένει, ἥν τινα πέφνηι
ἀνδρῶν, ἦ' αὐτὸς φθίεται πρώτωι ἐν ὁμίλωι·
ὣς Ἀχιλῆ' ὤτρυνε μένος καὶ θυμὸς ἀγήνωρ
175 ἀντίον ἐλθέμεναι μεγαλήτορος Αἰνείαο.
οἳ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
τὸν πρότερος προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
"Αἰνεία, τί σὺ τόσσον ὁμίλου πολλὸν ἐπελθὼν
ἔστης; ἦ σέ γε θυμὸς ἐμοὶ μαχέσασθαι ἀνώγει
180 ἐλπόμενον Τρώεσσιν ἀνάξειν ἱπποδάμοισιν
τιμῆς τῆς Πριάμου; ἀτὰρ εἴ κεν ἔμ' ἐξεναρίξηις,
οὔ τοι τούνεκά γε Πρίαμος γέρας ἐν χερὶ θήσει·
εἶσιν γάρ οἱ παῖδες, ὃ δ' ἔμπεδος οὐδ' ἀεσίφρων.
ἦ νύ τί τοι Τρῶες τέμενος τάμον ἔξοχον ἄλλων,

164–75 (om. 168) Macr. Sat. 5.13.25; **165** (σίντ.) H. σ 698; Phot. Lex. s.v.; **166**a Arn ad B 278a, Π 265a^{1}; ApD Synt. 59.1; Hdn ad Δ 212a^{1}, Ω 665a (Philox. fr. 411 Th.); (ἀγρ.) cf. H. ε [312]; **166**b–**7** (ἔρχ.) sch Υ 332c; EtG α 1356; (ἀτίζ.) ApS 46.3; H. (Cyr.) α 8086; **169** (στένει) H. σ 1745; Phot. Lex. s.v.; **170–1** Auct. π. ὕψ. 15.3; EtG α 493 (e Methodio); (–ἐποτρ.) Epm. ο 79; (–μαστ.) [Plut.] Hom. 2.87.4; sch A.R. 4.1613–16b; **171** (μαστ.) H. μ 359; (ἑὲ δ'–) sch Nic. Th. 123; (ἑὲ δ'–ἐποτρ.) ApD Pron. 46.22, 83.13; **172** (–φέρ.) ApS 55.8; (γλαυκ.) Porph. Hom. 49.5 Sod.; H. γ 605, cf. H. (Cyr.) κ 2877; **173** (ἢ–) Hdn ad Λ 192a^{1}; **174**a sch Ο 339b **178** (τί–ὁμ.) ApD Pron. 49.18 **181**a sch Ο 189d **183** al. (οὐδ'

164 ἐναντίον 9 1457 Ω*: -ος t W **165** μεμάασιν 9 t Ω: -άωσι van Leeuwen **166** πρῶτον μὲν ἀτίζων 9 tt Z Ω: κρειῶν ἐρατίζων *b* (ex Λ 551, Ρ 660) **169** γίνεται t Ω: γίγν- 9 rr utrum κραδίη an -ηι ambigit sch^{bT}, illud praefert ἄλκιμον t Ω: οβριμον 9 **170** ἰσχία 9 tt* Z Ω: -ίον Auct. π. ὕψ.: -ίω Heyne ἀμφοτέρωθεν 9 tt* Z Ω*: -ωσε "ἔν τισιν" (Did) D: om. Epm.—cf. ad Ο 669 **171** μαχέσασθαι tt* D F W G, -εσάσθαι 9, -έσσασθαι R: -έσεσθαι C: -έεσθαι Macr. A *b*: μάχεσθαι Auct. π. ὕψ. EtG^{B} T.—cf. ad Ε 496, Ζ 105 **172** ἰθὺς 9 tt Ω*: εὐθὺς C ἥν 9 t Ω: εἴ Brandreth: malim ἤ, cf. Σ 308 **173** ἦ' dedi: ἢ Ω **174** Ἀχιλῆ quidam ap. t, D ὤτρυνε t Ω: ὄ- rr **176** ἰόντες Ω: cf. ad Ε 630, Ζ 121 **178** σὺ 1457 t Ω*: νυ *b* W πολλὸν Ω: πρόσθεν Christ (cf. Γ 22, Ψ 804) ἐπελθών Ω: ἀπ- A^{s} *b* **179** ἦ A F^{a} R W: ἢ Ω* **180–6** ath. Ar **180** ἀνάξειν 1457 Ω: -ξέμεν sch^{hyp} (-αίμεν cod.) **182** χερὶ A F W, χερ[1457: χειρὶ *b* T: χερσὶ D R G **183** εἶσιν dedi (v. Praef. xx): εἰσὶ(ν) Ω ἀεσίφρων 1457 tt* Z Ω: ἀασί- agn. ApS **184** ἦ 1457 Ω*: ἢ B^{c} C^{c} F T^{c} R G

185 καλόν, φυταλιῆς καὶ ἀρούρης, ὄφρα νέμηαι,
αἴ κεν ἐμὲ κτείνῃς; χαλεπῶς δέ σ' ἔολπα τὸ ῥέξειν.
ἤδη μὲν σέ γέ φημι καὶ ἄλλοτε δουρὶ φοβῆσαι.
ἦ οὐ μέμνη', ὅτε πέρ σε βοῶν ἄπο μοῦνον ἐόντα
σεῦα κατ' Ἰδαίων ὀρέων ταχέεσσι πόδεσσιν
190 καρπαλίμως; τότε δ' οὔ τι μετατροπαλίζεο φεύγων.
ἔνθεν δ' ἐς Λυρνησσὸν ὑπέκφυγες· αὐτὰρ ἐγὼ τήν
πέρσα μεθορμηθεὶς σὺν Ἀθήνῃ καὶ Διὶ πατρί,
ληϊάδας δὲ γυναῖκας ἐλεύθερον ἦμαρ ἀπούρας
ἦγον· ἀτὰρ σὲ Ζεὺς ἐρρύσατο καὶ θεοὶ ἄλλοι.
195 ἀλλ' οὐ νῦν ἐρύεσθαι ὀΐομαι, ὡς ἐνὶ θυμῷ
βάλλεαι, ἀλλά σ' ἐγώ γ' ἀναχωρήσαντα κελεύω
ἐς πληθὺν ἰέναι, μηδ' ἀντίος ἵστα' ἐμεῖο,
πρίν τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιος ἔγνω."
τὸν δ' αὖτ' Αἰνείας ἀπαμείβετο φώνησέν τε·
200 "Πηλείδη, μὴ δή μ' ἐπέεσσί γε νηπύτιον ὥς
ἔλπεο δειδίξεσθαι, ἐπεὶ σάφα οἶδα καὶ αὐτός
ἠμὲν κερτομίας ἠδ' αἴσυλα μυθήσασθαι.
ἴδμεν δ' ἀλλήλων γενεήν, ἴδμεν δὲ τοκῆας,
πρόκλυτ' ἀκούοντες ἔπεα θνητῶν ἀνθρώπων·
205 ὄψι δ' οὔτ' ἄρ πω σὺ ἐμοὺς ἴδες οὔτ' ἄρ' ἐγὼ σούς.
φᾶσι σὲ μὲν Πηλῆος ἀμύμονος ἔκγονον εἶναι

ἀεσ.) H. (Cyr.) ο 1546; (ἀεσ.) ApS 2.7; H. (Cyr.) α 1411; EtG α 114 **188–92a** (om. 190) Strab. 13.1.53; **190** (πρὶν δ'–) Philox. fr. 243 Th. (Orio 62.28/EtG s.v. ἐντροπαλιζόμενος); (μετετρ.) ApS 112.8; H. (Cyr.) μ 1048, cf. 1081 **193** (λη.) ApS 108.17; H. λ 815, [820] **196–7** Eudoc. 2143–4 **199b** ApS 24.22 **200** (νηπ.) H. (Cyr.) ν 514 **201** (ἔλπεο) id. ε 2207; (δειδ.) id. δ 435 **204** Epm. π 184; **204a** ApS 136.5; (πρόκλ.) H. π [3528], 3539 **206** (σὲ μὲν Π.) + **207a** sch T 291b[1]; **207** Hdn ii.286.6; EtG α 530; (ἀλοσ.) H. (Cyr.) α 3248

185 καλὸν (= Z 195, M 314) A$^{\gamma\rho}$ Ω*: ἐσθλὸν 1457 A *b* **187** φοβῆσαι D F R G: φόβησα Ω* **188** ἦ 1457 A B E: ἢ Ω* μέμνη' Brandreth: -η(ι) 1457 t Ω: -ησ' r: -εαι Payne Knight.—cf. ad O 18 ἄπο Hdn t Ω*: ἀπὸ quidam ante Hdn R G: ἔπι Rhi Arph ✗ ('sic βόεσσ' ἔπι esse deberet' van Leeuwen cl. Z 25, 424, al.) **190** τότε Z Ω: πρὶν t.—cf. ad I 19 μετατροπαλίζεο tt* Z A F^a W: μετετρ- ApS Hsch.[1081] Ω* **191** ἔνθεν Ω: κεῖθεν t Λυρνησὸν C^a O **195–8** ath. Ar **195** ἐρύεσθαι Ar rr: σ' ἐρύ- (nov. Did) A$^\lambda$ D (-σθ') F W G: σε ῥύ- Ω* **196** ἐγώ γ' Bekker: ἔγωγ' Ω **197** ἵστα' dedi: -ασ' t Ω.—cf. ad K 291 **200** μ' ἐπέεσσί Ω: με ἔπεσσί Bentley (cf. K 542) **201** δειδίξεσθαι 1462 Ω: -ασθαι Z A^s **202** αἴσυλα (= 433) Z Ω: αἴσιμα Düntzer **204** πρόκλυτ' 1462 tt Z Ω: πρὸ κλύτ' Leumann 99 n.59 **205–9** ath. Ar **205** ὄψι Bekker: -ει 1461 1462 Z Ω οὔτ' ἄρ πω 1461 1462 Ω: ου πω]ς αρ 369 **206** φᾶσι dedi (cf. Praef. xx): φασὶ Ω: φᾱσι 1462

μητρός τ' ἐκ Θέτιδος καλλιπλοκάμου ἁλοσύδνης·
αὐτὰρ ἐγὼν υἱὸς μεγαλήτορος Ἀγχίσαο
εὔχομαι ἐκγεγάμεν, μήτηρ δέ μοί ἐστ' Ἀφροδίτη.
210 τῶν δὴ νῦν ἕτεροί γε φίλον παῖδα κλαύσονται
σήμερον· οὐ γάρ φημ' ἐπέεσσί γε νηπυτίοισιν
ὧδε διακρινθέντε μάχης ἒξ ἀπονέεσθαι.
"εἰ δ' ἐθέλεις καὶ ταῦτα δαήμεναι, ὄφρ' εὖ εἴδηις
ἡμετέρην γενεήν, πολλοὶ δέ μιν ἄνδρες ἴσασιν.
215 Δάρδανον ἂρ πρῶτον τέκετο νεφεληγερέτα Ζεύς·
κτίσσε δὲ Δαρδανίην, ἐπεὶ οὔ πω Ἴλιος ἱρὴ
ἐν πεδίωι πεπόλιστο, πόλις μερόπων ἀνθρώπων,
ἀλλ' ἔθ' ὑπωρείας οἴκεον πολυπίδακος Ἴδης.
Δάρδανος αὖ τέκεθ' υἱὸν Ἐριχθόνιον βασιλῆα,
220 ὃς δὴ ἀφνειότατος γένετο θνητῶν ἀνθρώπων·
τοῦ τρισχείλιαι ἵπποι ἕλος κάτα βουκολέοντο
θήλειαι, πώλοισιν ἀγαλλόμεναι ἀταλῆισιν.
τάων καὶ Βορέης ἠράσσατο βοσκομενάων,
ἵππωι δ' εἰσάμενος παρελέξατο κυανοχαίτηι·
225 αἳ δ' ὑποκυσάμεναι ἔτεκον δυοκαίδεκα πώλους.

210 (–παῖδα) sch E 271–2a[1] **215–16a** Strab. 13.1.24; **215** [Plut.] Hom. 2.75.3; Max. Tyr. 22.5; (–τέκ.) sch X 53; (πρῶτον–) Clem. Strom. 1.103.3 (unde Eus. P.E. 10.12.12); **216–18** Pl. Leg. 681e; Strab. 13.1.25; Ascl. in Metaph. CAG vi(2).11.4; **216** (Δάρδ.) H. (Cyr.) δ 257; **216b–17a** Epm. π 120; **217** (πεπόλ. πόλ.) Epm. A 1b[1], α 274; (πεπόλ.) H. π 1490; **218** ApS 160.16; Porph. in Cat. CAG iv(1).67.9; Simpl. in Cat. CAG viii.32.28; (ὑπωρ.) H. υ 797 **220–1** Diod. 4.75.2; **221 + 223** Ael. H.A. 4.6; **221** Max. Tyr. 39.1; sch Eur. Pho. 28, Alc. 8; (τρισχ. ἵπποι) sch Ξ 491; (τρισχ., ἕλος–) Iul. Or. 2.52c; (ἵπποι βουκ.) sch Δ 3b[1]; **222** (ἀγαλλ.) H. α 273; (ἀταλ.) Phot. Lex. α 3051; **223** Matro Supp. Hell. 534.6 (parod.) **224–5** Porph. Antr. 26; **224** Aret. 4.13.2

207 τ' 1462 EtG Ω*: δ' tt* D T R **211** cf. ad 200 **212** διακρινθέντε Ω* (-ες A[a]): -κριθ- *b* F[a] ἒξ ἀπονέεσθαι Bothe: ἐξαπο- Ω.—cf. ad Π 252 **213** ἐθέλεις, sic interpungunt Ar B F T[c] (cf. ad Z 150) εὖ Ω, ευ 369: ἐΰ Ludwich (ἐῢ Bekker) εἴδηις (Tyr) Fick: εἰδῆ(ι)ς (Ar Hdn) Ω.—cf. ad A 515 **215** ἂρ [Plut.][vl] A[s] W N V: αὖ tt* Ω* (ex 219?): utrumque Z **218** οἴκεον Brandreth (cf. ad Ξ 116): ᾤ(ι)κεον ApS Strab. Ω: -ουν Plat.: ἔναιον Strab.[vl] tt*: ναῖον Nauck πολυπίδακος Ascl. A C[a] R W G: -πιδάκου tt* A[m] Ω*.—cf. ad Ξ 157 **221** τοῦ 1461 tt* Ω: τῶι Ael. τρισχειλ[ιαι 1461 (cf. Praef. xxxvi): -χίλιαι tt* Ω (τρὶς χ- A[c?] A[m]): -ιοι Max. rr κάτα Hdn Ω*: κατὰ vel κατα C E R **224** δ' εἰσάμενος Ar t* Ω: ἐεισ- Porph. παρελέξατο κυανοχαίτηι Ar tt Ω: ἐμίγη φιλότητι καὶ εὐνῆι quidam ante Ar, ἵππος γὰρ οὐ παρακοιμᾶται ἀλλὰ ἐπιβαίνει; eiusdem indolis est Zenodoti coniectura ad Anacr. 408 ***224a*** ἐν μαλακῶι λειμῶνι καὶ ἄνθεσιν εἰαρινοῖσιν (= Hes. Th. 279) add. C[s] G[m] O[m] (item post v. 223 rr): carent 1461 t Ω

αἳ δ' ὅτε μὲν σκιρτῷεν ἐπὶ ζείδωρον ἄρουραν,
ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέον, οὐδὲ κατέκλων·
ἀλλ' ὅτε δὴ σκιρτῷεν ἐπ' εὐρέα νῶτα θαλάσσης,
ἄκρον ἐπὶ ῥηγμῖνα ἁλὸς πολιοῖο θέεσκον.
230 Τρῶα δ' Ἐριχθόνιος τέκετο Τρώεσσιν ἄνακτα·
Τρωὸς δ' αὖ τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο,
Ἶλός τ' Ἀσσάρακός τε καὶ ἀντίθεος Γανυμήδης,
ὃς δὴ κάλλιστος γένετο θνητῶν ἀνθρώπων·
τὸν καὶ ἀνηρέψαντο θεοὶ Διὶ οἰνοχοεύειν
235 κάλλεος εἵνεκα οἷο, ἵν' ἀθανάτοισι μετείη.
Ἶλος δ' αὖ τέκεθ' υἱὸν ἀμύμονα Λαομέδοντα·
Λαομέδων δ' ἄρα Τιθωνὸν τέκετο Πρίαμόν τε
Λάμπόν τε Κλυτίον θ' Ἱκετάονά τ' ὄζον Ἄρηος.
Ἀσσάρακος δὲ Κάπυν, ὃ δ' ἄρ' Ἀγχίσην τέκε παῖδα·
240 αὐτὰρ ἔμ' Ἀγχίσης, Πρίαμος δ' ἔτεχ' Ἕκτορα δῖον.
ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι·
Ζεὺς δ' ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε μινύθει τε,
ὅππως κεν ἐθέλῃσιν, ὃ γὰρ κάρτιστος ἁπάντων.
"ἀλλ' ἄγε, μηκέτι ταῦτα λεγώμεθα νηπύτιοι ὥς

226–9 'Trypho ii' Trop. 14 (CQ 15.243); Macr. Sat. 5.8.4; **226** sch A.R. 1.184; **226**b sch Υ 227; **227** Luc. Dial. 50.20; Anon. Trop. iii.211.18 Sp.; Choer. Trop. iii.252.31 Sp.; (–θέον) EtG α 879; **227**a cf. Luc. Dial. 59.8; (ἀνθερ.) H. α 5124; **229** Eudoc. 729; (ἁλὸς πολ.) Lesb. Fig. 2; Porph. Hom. 32.18 Sod.; sch Hes. Op. 151b; Epm. α 277   **231** Epm. τ 16   **233** Eudoc. 368   **234–5** Ach. Tat. 2.36.3; sch Pind. Ol. 10.123b; **234–5**a Philo De provid. fr. ap. Eus. P.E. 8.14.7; ApD Pron. 47.29, Synt. 210.4; Prisc. Inst. 13.28; **234** (–θεοί) + **235**a EtG α 876; **234** Porph. Il. 68.3 Schr.; sch A.R. 3.114–17a; (ἀνηρ.–)–**235** Ath. 566d; **234** (ἀνηρ.–) ApS 34.10; Theodoret. Graec. aff. cur. 3.31; (ἀνηρ.) H. (Cyr.) α [4947], 5083, cf. ε 3016; (Διὶ–) Arist. Poet. 1461a30; cf. Paus. 5.24.5; **235** Epm. π 152   **237–8** Arn ad Ο 419; sch Ο 546–7; **237–8**a sch Ο 527   **242–3** Stob. 1.1.4; **242** Plut. Mor. 24e; Theophil. ad Autol. 2.8; w5 (lacerum); (μιν.) H. (Cyr.) μ 1401; **243** Eudoc. 251   **244** (–λεγ.) Arn ad Β 435b, Υ 251–5a[1]

226 αἳ δ' ὅτε μὲν 1461 1463 t* Ω: αἳ δ' ὅτε δὴ sch-A.R. A[s]: ἀλλ' ὅτε δὴ (ex 228) 'Trypho'   **228** δὴ "αἱ κοιναί" tt Ω: δὲ Ar[ab] 1461[?] rr   **229** ἔπι La Roche   ῥηγμῖνα Ahrens Kl. Schr. I 134 (cf. Hippon. fr. 115.13 W.): -νος tt Ω   **230** Ερεχθονι[ος 1463[a]   **231** ἀμύμονες t[vl] Ω* (cf. Ξ 115): -νος A *b* H.—cf. ad Λ 692   **234** τὸν 1463 tt* A[λ] T[λ] Ω: ὃν Philo ApD[Synt]   καὶ Ar Hdn 369 tt Ω: μὲν "κατ' ἔνια" (Did)   ἀνηρέψαντο Doederlein Hom. Gloss. iii.244: ἀνηρείψ- fere Ar Ptol Hdn tt Z Ω (-ρῖψ- G): ἂν ἠρ- Apollonius Theonis f.—v. adn. meam ad Hes. Th. 990   **235** (= ο 251, ubi ath. Ar) damn. Gemoll Herm. 18 (1883) 81; cf. Hymn. Ven. 203   **238** Λάμπόν sic A F G   Κλύτιόν O V   **243** κάρτιστος 244 Eudoc. A[m] F T W, κράτ- t* D R G: κ' ὄχ' ἄριστος A[γρ] A *b* (ex Μ 357)   **244–50** damn. Christ, **246–55** Heyne

245 ἑσταότ' ἐν μέσσηι ὑσμίνηι δηϊοτῆτος·
ἔστι γὰρ ἀμφοτέροισιν ὀνείδεα μυθήσασθαι
πολλὰ μάλ', οὐδ' ἂν νηῦς ἑκατόζυγος ἄχθος ἄροιτο.
στρεπτὴ δὲ γλῶσσ' ἐστὶ βροτῶν, πολέες δ' ἔνι μῦθοι
παντοῖοι, ἐπέων δὲ πολὺς νομὸς ἔνθα καὶ ἔνθα.
250 ὁπποῖόν κ' εἴπησθα ἔπος, τοῖόν κ' ἐπακούσαις.
ἀλλὰ τίη ἔριδας καὶ νείκεα νῶϊν ἀνάγκη
νεικεῖν ἀλλήλοισιν ἐναντίον, ὥς τε γυναῖκας,
αἵ τε χολωσάμεναι ἔριδος πέρι θυμοβόροιο
νεικέουσ' ἀλλήληισι μέσην ἐς ἄγυιαν ἰοῦσαι
255 πόλλ' ἐτεά τε καὶ οὐκί, χόλος δέ τε καὶ τὰ κελεύει;
ἀλκῆς δ' οὔ μ' ἐπέεσσιν ἀποστρέψεις μεμαῶτα,
πρὶν χαλκῶι μαχέσασθαι ἐναντίον· ἀλλ' ἄγε θᾶσσον
γευσόμεθ' ἀλλήλων χαλκήρεσιν ἐγχείηισιν."
ἦ ῥα, καὶ ἐν δεινῶι σάκεϊ ἔλασ' ὄβριμον ἔγχος
260 σμερδαλέωι· μέγα δ' ἀμφὶ σάκος μύκε δουρὸς ἀκωκῆι.
Πηλείδης δὲ σάκος μὲν ἀπὸ ἕο χειρὶ παχείηι

247 (οὐδ'–ἑκατ.) sch Pind. Pyth. 4.501b; (ἑκατ.) H. (Cyr.) ε 1277 **248–50** [Plut.] Hom. 2.173; Clem. Strom. 1.22.3; D.L. 9.73; **248–9** Dio Prus. 12.64; **248** (–βροτ.) sch A 225c; **250** Erot. p.6.12 N.; Aristid. Or. 3.42; Plut. Mor. 1122b; Greg. Naz. Epist. 190.5; w5 (lacerum); Philop. De aetern mundi 5.1; Homerocento in A.P. 9.382.10; sch Hes. Op. 721a; **250**a Lib. Ep. 453.1 (x.442.8 F.); (εἴπ.) [Plut.] Hom. 2.10.5 **253–5** (confuse) Dio Prus. 40.29; **254**b Epm. α 6; (μέσην ἐς ἄγ.) Hdn ad Z 422a^{1} **258** sch Pind. Pyth. 9.61a; **258**a H. γ 466 **259** Porph. Il. 244.1 Schr. **261–2**a ApD Synt. 223.1 sqq.; **261** (σάκος–ἕο) + **262–3**a sch Λ 439b^{1}; **261**b ApD Pron. 76.4, 20

247 ἂν t Ω*: αὖ D ἑκατόζυγος 1464 T$^{\lambda}$ Ω*: ἑκατόνζ- tt Z A^{m} B^{c} F R^{s} **248–50** damn. Bekker **248** δὲ [Plut.] Diog. Ω*: δέ τε D C T: γὰρ tt* **249** παντοῖοι Dio Ω: -οίων tt*: om. Diog. νομὸς Hdn Z Ω*: νόμος quidam ap. sch^{T} D V **250** damn. Düntzer εἴποι τις et τοίου Philop. ἐπακούσαις 1464 tt* Ω (cf. Hes. Op. 721): -ση(ι)ς [Plut.] O^{x} Eust.: -σεις O^{x} **251–5** ath. Ar **251** τίη Ω*: τί ἡ vel ἧ Hdn, τί ὴ A B E F^{a} T^{c}.—cf. Praef. xxi sq. νείκεα Ω: ὀνείδεα A$^{\gamma\rho}$ (cf. 246) **252** ἀλλήλοισιν Ω: -οιιν r^{a}.—cf. ad X 128 **253** ἔριδος πέρι θυμοβόροιο 1464 1465 Ω (περὶ B R W, περι E): ἀγορῆς ἐς μέσσον ἰοῦσαι t (omisso 254b–5a) **254** νεικέουσ' dedi, possis et -έωσ': -εῦσ' t Ω: -ουσι Z ἄγυιαν Ar (ap. t) A D F^{a}: ἀγυιὰν Ω*:]ν 1464: μέση ἐν αγυιᾶ Z.—cf. Wack. KS 1172 sq., 1175 sq., 1580 **255** πόλλ' ἐτεά τε (nov. Did) t sch^{D} A^{m} C^{r} Ω* (ἐτεόν τε van Leeuwen): πολλά τ' ἐόντα Ar: eadem et deinceps τὰ δ' οὐκί alii ap. Did (sic N, sed πόλλ' ἔτ'): πολλὰ τά τε A$^{\lambda}$ A *b* δέ τε t Ω*: δὲ *b*: δὲ τὰ Naber cl. Pind. Pyth. 7.22 al. **256** μ' ἐπέεσσιν Ω: cf. ad 200 ἀποστρέψεις A$^{\gamma\rho}$ F T R: ἀποτρ- D W G (cf. 109 et ad M 249): μεταστρ- A C: μετατρ- B E **257** θάσσον G: θᾶ- Ω* **259** δει–νῶι (nov. Did) t Ω*: δινῶι Ar (an δίνωι?) A F^{x}.—cf. ad Φ 25 σάκεϊ ἔλασ' Ar: σάκει ἤλασε(ν) (nov. Did) Ω: σάκε' ἤλ- t rr.—cf. ad Ψ 196 ὄβριμον Ar t A *b* (ὄμβρ- C) F: χάλκεον 1464$^{?}$ Ω* **260** σμερδαλέωι Ω (cf. Φ 401): -έον H^{c} N (quo recepto δὲ μέγ' Heyne cl. ι 395) ἀκωκῆι Ω*: -ή *b* E^{2} T R W G **261** ἀπὸ Zen tt Ω*: ἀπαὶ W V ἕο

ἔσχετο ταρβήσας· φάτο γὰρ δολιχόσκιον ἔγχος
ῥέα διελεύσεσθαι μεγαλήτορος Αἰνείαο,
νήπιος, οὐδ' ἐνόησε κατὰ φρένα καὶ κατὰ θυμόν
265 ὡς οὐ ῥηΐδι' ἐστὶ θεῶν ἐρικυδέα δῶρα
ἀνδράσι γε θνητοῖσι δαμήμεναι οὐδ' ὑποείκειν.
οὐδὲ τότ' Αἰνείαο δαΐφρονος ὄβριμον ἔγχος
ῥῆξε σάκος· χρυσὸς γὰρ ἐρύκακε, δῶρα θεοῖο.
{ἀλλὰ δύω μὲν ἔλασσε διὰ πτύχας, αἳ δ' ἄρ' ἔτι τρεῖς
270 ἦσαν, ἐπεὶ πέντε πτύχας ἤλασε Κυλλοποδίων,
τὰς δύο χαλκείας, δύο δ' ἔνδοθι κασσιτέροιο,
τὴν δὲ μίαν χρυσέην, τῆι ῥ' ἔσχετο μείλινον ἔγχος.}
δεύτερος αὖτ' Ἀχιλεὺς προΐει δολιχόσκιον ἔγχος,
καὶ βάλεν Αἰνείαο κατ' ἀσπίδα πάντοσ' ἐΐσην,
275 ἄντυγ' ὕπο πρώτην, ἧι λεπτότατος θέε χαλκός,
λεπτοτάτη δ' ἐπέην ῥινὸς βοός· ἣ δὲ διάπρο
Πηλιὰς ἤϊξεν μελίη, λάκε δ' ἀσπὶς ὑπ' αὐτῆς.
Αἰνείας δ' ἐάλη καὶ ἀπὸ ἕθεν ἀσπίδ' ἀνέσχεν
δείσας· ἐγχείη δ' ἄρ' ὑπὲρ νώτου ἐνὶ γαίηι
280 ἔστη ἱεμένη, διὰ δ' ἀμφοτέρους ἕλε κύκλους
ἀσπίδος ἀμφιβρότης. ὃ δ' ἀλευάμενος δόρυ μακρόν
ἔστη, κὰδ δ' ἄχος οἱ χύτο μυρίον ὀφθαλμοῖσιν,

264 (οὐδ'–)–**6** Porph. Il. 246.22 Schr.; **265** (ῥηΐδια) H. ρ 250 **268** (χρ.–) Porph. Il. 247.2, 11 Schr. **269** (–πτ.) Arn ad Φ 165a **270** (ἐπεὶ–)–**2**a Hclt. Alleg. 51.1; **270** (ἐπεὶ–) Hdn ad M 295a; (πέντε–)–**2** Porph. Il. 247.5 Schr.; **270** (ἤλασε) Apio 240.14; **272** Porph. 244.3; (–ἔσχ.) Arn ad Δ 138a; **272**b Arist. Poet. 1461a33 **273–6** (–βοός) Porph. Il. 247.16 Schr.; **276** (ἣ δὲ–)–**7**a Arn ad Υ 322–4a; Hdn ad Π 669a (Philox. fr. 409 Th.); **276** (διάπρο)–**7**a Porph. Il. 248.1 Schr.; **277** (Πηλ.) H. π 2184 **278** Hdn i.558.5; **278**a Epm. ε 185 **279** (ἐγχ.–)–**80**a Porph. Il. 248.2 Schr.; **279** (ἐγχ.–) Arn ad Υ 322–4a

Ar 1464 tt Ω: οὖ Zen (cf. ad B 239, T 384) **263** ῥέα διελεύσεσθαι Ar M P: ῥεῖα διελ- (nov. Did) t T R[a] N: ῥεῖα δ' ἐλ- Ω*.—cf. ad N 144 **265** δῶρα 1466 t Ω: ἔργα "ἔν τισιν" A[m] (Did?) (an ad 268 referendum?) **266** ὑποείκειν 1466 t Ω (cf. K 403, P 77): -ει Düntzer **269–72** ath. Ar, καὶ προηθετοῦντο παρ' ἐνίοις τῶν σοφιστῶν, ἐν ἐνίοις δὲ οὐδὲ ἐφέροντο.—cf. Φ 165, 594 **269** ἔλασσε t Ω: θλάσσε quidam ap. Porph.[244] (Autocthoni adscr. Eust. 1207.50, at v. Erbse v.48) **272** χρυσέην Barnes: -σῆν tt Ω μείλινον tt* A *b* F, -λιον G[r]: χάλκεον Aristot. Z Ω*.—cf. ad X 275 **273** δεύτερος t A[λ] Ω*: -ον Zen(?) A[a] O **273–4** προΐει–ἐΐσην Ar 1463 t Ω: μελίην ἰθυπτίωνα [-λιηι -πτίωνι Heyne, -κτίωνι Düntzer, cf. ad Φ 169] | ἀσπίδα νύξ' εὔχαλκον ἀμύμονος Αἰνείαο [-ωο? cf. ad E 263, 323] Zen πάντοσ' ἐΐσην 1463 *b*: -οσε ἴσην Ω* **275** ὕπο Wolf: ὑπὸ Z Ω **276** ἐπέην 1463 t Ω: ὑπ- Heyne διάπρο dedi (Praef. xix): διὰ πρὸ R G, διαπρὸ Ω* **278** ἀπὸ Ω (ἀπαὶ rr): ὑπὸ t **280** ἕλε Ω, ἔλε Z: ἔχε Heyne **281** ἀλευάμενος Ω*: -όμενος G V.—cf. ad E 28 **282** δ' ἄχος οἱ Ω: δέ (Ϝ') ἄχος van Leeuwen: δ' ἀχλὺς Bentley (… μυρίη Düntzer), cf. 421

ταρβήσας, ὅ οἱ ἄγχι πάγη βέλος. αὐτὰρ Ἀχιλλεύς
ἐμμεμαὼς ἐπόρουσεν ἐρυσσάμενος ξίφος ὀξύ,
285 σμερδαλέα ἰάχων· ὃ δὲ χερμάδιον λάβε χειρί
Αἰνείας, μέγα ἔργον, ὃ οὐ δύο γ' ἄνδρε φέροιεν,
οἷοι νῦν βροτοί εἰσ'· ὃ δέ μιν ῥέα πάλλε καὶ οἷος.
ἔνθά κεν Αἰνείας μὲν ἐπεσσύμενον βάλε πέτρωι
ἢ κόρυθ' ἠὲ σάκος, τό οἱ ἤρκεσε λυγρὸν ὄλεθρον,
290 τὸν δέ κε Πηλείδης σχεδὸν ἄορι θυμὸν ἀπηύρα,
εἰ μὴ ἄρ' ὀξὺ νόησε Ποσειδάων ἐνοσίχθων·
αὐτίκα δ' ἀθανάτοισι θεοῖς μετὰ μῦθον ἔειπεν·
"ὢ πόποι, ἦ μοι ἄχος μεγαλήτορος Αἰνείαο,
ὃς τάχα Πηλείωνι δαμεὶς Ἄϊδόσδε κάτεισιν,
295 πειθόμενος μύθοισιν Ἀπόλλωνος ἑκάτοιο,
νήπιος, οὐδέ τί οἱ χραισμήσει λυγρὸν ὄλεθρον.
ἀλλὰ τίη νῦν οὗτος ἀναίτιος ἄλγεα πάσχει
μὰψ ἕνεκ' ἀλλοτρίων ἀχέων, κεχαρισμένα δ' αἰεί
δῶρα θεοῖσι δίδωσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν;
300 ἀλλ' ἄγεθ' ἡμεῖς πέρ μιν ὕπεκ θανάτου ἀγάγωμεν,
μή πως καὶ Κρονίδης κεχολώσεται, αἴ κεν Ἀχιλλεύς
τόνδε κατακτείνηι· μόριμον δέ οἵ ἐστ' ἀλέασθαι,
ὄφρα μὴ ἄσπερμος γενεὴ καὶ ἄφαντος ὄληται
Δαρδάνου, ὃν Κρονίδης περὶ πάντων φίλατο παίδων,
305 οἳ ἕθεν ἐξεγένοντο γυναικῶν τε θνητάων.
ἤδη γὰρ Πριάμου γενεὴν ἤχθηρε Κρονίων·
νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει

283 (βέλος) id. ad Υ 273–4a[1] **293** [Plut.] Hom. 2.39.2; Zon. Fig. iii.167.9 Sp. **297–9** Eudoc. 1836–8; **298** (κεχαρ.) H. κ 2412 **303** Max. Tyr. 20.9; Eudoc. 135; (–γεν.) sch Δ 60c; sch A.R. 3.807; (ἄσπ.) H. α 7763 **304** (φίλ.) id. φ 458 **306–8** Strab. 13.1.53; **306** sch Δ 47a; **307–8** D.H. Ant. 1.53.5; Macr. Sat. 5.3.8; Latine reddit Verg. Aen. 3.97–8; **307** sch B 12b; sch Eur. Tro. 47; Epm. ν 4; (Αἰν.–) sch M 13–15; **308** Orig. c.Cels. 8.40

286 γ' Ω: cf. ad E 303 **287** (= E 304, M [449]) om. 1464 1467 A[a] V εἰσ'· ὃ δέ μιν Ω: εἴσιν· ὃ δὲ Nauck.—v. ad M 449 **288** ἔνθά sic Ω (ἐνθά E) ἐπεσσύμενον Ω* T[s]: -ος B E F[s] T W.—cf. ad Δ 527 **293** ὢ A D G: ὣ Ω* **297** τίη A B E F, τί ἠ T[a], τί ἢ T[c] **300** ὕπεκ H: ὑπ' ἐκ Ω (ἐκ tantum B E F) **301** αἴ Ω*: εἴ D C **302** τόνδε 1464 Ω: an τόν γε? μόριμον Z F W: μόρσιμον Ω* **303** ὄφρα 1464 tt* Ω: ὥς κε Max. καὶ ἄφαντος t* Ω: δμηθέντος Ar teste sch[h] (et ἄφαντος pro ἄσπερμος, quod non credendum): μετόπισθεν Max. **305** οἵ ἕθεν A τε θνητάων Ω* G[2s]: θηλυτεράων G **306** ἤχθηρε Ar 9 tt Ω: -αιρε Arph.—cf. ad P 270 **307–8** susp. Arph teste sch-Eur. **307** Αἰνείαο βίη Τρώεσσιν Ar 9 tt Z Ω: Αἰνείω γενεὴ πάντεσσιν quidam ante Ar (vel teste Strab. Αἰνείαο γένος), cf. Verg. ἀνάξει 9 tt* Z Ω: -σσει Macr.

καὶ παίδων παῖδες, τοί κεν μετόπισθε γένωνται."
τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη·
310 "Ἐννοσίγαι', αὐτὸς σὺ μετὰ φρεσὶ σῇσι νόησον
311 Αἰνείαν, ἤ κέν μιν ἐρύσσεαι ἦ κεν ἐάσεις·
313 ἤτοι μὲν γὰρ νῶϊ πολὺς ὠμόσσαμεν ὅρκους
πᾶσι μετ' ἀθανάτοισιν, ἐγὼ καὶ Παλλὰς Ἀθήνη,
315 μή ποτ' ἐπὶ Τρώεσσιν ἀλεξήσειν κακὸν ἦμαρ
{μηδ' ὁπότ' ἂν Τροίη μαλερῷ πυρὶ πᾶσα δάηται
καιομένη, καίωσι δ' ἀρήϊοι υἷες Ἀχαιῶν}."
αὐτὰρ ἐπεὶ τό γ' ἄκουσε Ποσειδάων ἐνοσίχθων,
βῆ ῥ' ἴμεν ἄν τε μάχην καὶ ἀνὰ κλόνον ἐγχειάων,
320 ἶξε δ' ὅθ' Αἰνείας ἠδ' ὁ κλυτὸς ἦεν Ἀχιλλεύς.
αὐτίκα τῷ μὲν ἔπειτα κατ' ὀφθαλμῶν χέεν ἀχλύν,
Πηλείδῃ Ἀχιλῆϊ, ὃ δὲ μελίην εὔχαλκον
ἀσπίδος ἐξέρυσεν μεγαλήτορος Αἰνείαο.
καὶ τὴν μὲν προπάροιθε ποδῶν Ἀχιλῆος ἔθηκεν,
325 Αἰνείαν δ' ἔσσευεν ἀπὸ χθονὸς ὑψόσ' ἀείρας·
πολλὰς δὲ στίχας ἡρώων, πολλὰς δὲ καὶ ἵππων
Αἰνείας ὑπέραλτο θεοῦ ἀπὸ χειρὸς ὀρούσας,
ἶξε δ' ἐπ' ἐσχατιὴν πολυάϊκος πολέμοιο·
ἔνθα δὲ Καύκωνες πόλεμον μέτα θωρήσσοντο.
330 τῷ δὲ μάλ' ἐγγύθεν ἦλθε Ποσειδάων ἐνοσίχθων,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
"Αἰνεία, τίς σ' ὧδε θεῶν ἀτέοντα κελεύει

313 Eudoc. 1907 **316** (δάηται) H. (Cyr.) δ 40 **329** Porph. Il. 248.8 Schr. **332** ApS 46.4; (ἀτέοντα) H. (Cyr.) α 8050; EtG α 1552

308 παίδων παῖδες 9 tt* Ω*: παῖδες παίδων Dion. quidam ap. Strab. A^{λ} A^{s} D^{a} T R γένωνται Ar Verg. tt Ω: λίπωνται "αἱ διὰ τῶν πόλεων" 9 **311** ἦ T^{a}: ἤ Ω ἐάσεις 9 Ω* C^{s}: -ση(ι)ς C^{t} R **312** Πηλείδῃ Ἀχιλῆϊ δαμήμεναι ἐσθλὸν ἐόν-τα (cf. Χ 176) add. 1463^{m} C^{s} R^{m} M V: deest in 9 1463^{t} Ω.—cf. ad Ω 558 **313** πολῦς Christ (-ὺς dedi): -εῖς 9 t Z T^{λ} Ω: -ις (ss. ε) 1463: -έας Buttmann.—cf. Praef. xxxiv **316–17** (= Φ 375–6) om. 9 (mg. rest. 9^{2}?), damn. Bekker, **317** (om. V) iam Bent-ley **317** καιομένη, καίωσι 1463 A^{s} W: δαιο- δαί- Ω* (ex Σ 227?).—cf. ad Φ 376 **319** ῥ' 9 1463^{c} Ω: δ' 1463^{a} **320** ἶξε E T R W: ἵ- fere Ω* ἠδ' ὁ 9 Ω*: ἠδὲ *h* G.—cf. ad Β 278, Κ 363 **322–4** ath. Ar cl. 276–80 (at cf. 345) **322** εὔχαλκον Ω*: ἔΰ- A, ἐΰ- B E **325** ἔσσευεν 9 sch^{hyp} Z Ω, ἔσευεν T^{λ}: ἐπέσσευεν *h* **327** ὑπέραλτο 9: ὑπερ-ᾶλτο Ω: ὕπερ ἇ- O ἄπο (noluit Hdn) A^{a} **328** ἶξε *b* T R W: ἵ- vel ἴ- Ω* **329** δὲ 9 t Ω*: τε M: κε T μέτα t A B E T: μετὰ vel μετα 9 Ω*: μετε- *h* **331** καί μιν Zen Ar 9 1463 Ω: τὸν καὶ Rhi φωνήσας Ar 9 Ω: νεικείων Zen Rhi **332** ἀτέοντα 'omnes' Di-dymi 9 tt Z Ω*: ἀπέ- G^{r}: ἀέκ- R (-ητι $C^{\gamma\rho}$ G^{s}): χατέ- P rr (cf. γ 48).—cf. Rengakos 35

ἀντί' Ἀχιλλῆος πολεμίζειν ἠδὲ μάχεσθαι,
ὃς σέ' ἅμα κρέσσων καὶ φίλτερος ἀθανάτοισιν;
335 ἀλλ' ἀναχωρῆσαι, ὅτε κε ξυμβλήεαι αὐτῶι,
μὴ καὶ ὑπὲρ μοῖραν δόμον Ἄϊδος εἰσαφίκηαι.
αὐτὰρ ἐπεί κ' Ἀχιλεὺς θάνατον καὶ πότμον ἐπίσπηι,
θαρσήσας δὴ ἔπειτα μετὰ πρώτοισι μάχεσθαι·
οὐ μὲν γάρ τίς σ' ἄλλος Ἀχαιῶν ἐξεναρίξει."
340 ὣς εἰπὼν λίπεν αὐτόθ', ἐπεὶ διεπέφραδε πάντα.
αἶψα δ' ἔπειτ' Ἀχιλῆος ἀπ' ὀφθαλμῶν σκέδασ' ἀχλύν
θεσπεσίην· ὃ δ' ἔπειτα μέγ' ἔξιδεν ὀφθαλμοῖσιν,
ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
"ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι.
345 ἔγχος μὲν τόδε κεῖται ἐπὶ χθονός, οὐδέ τι φῶτα
λεύσσω, τῶι ἐφέηκα κατακτάμεναι μενεαίνων.
ἦ ῥα καὶ Αἰνείας φίλος ἀθανάτοισι θεοῖσιν
ἦεν· ἀτάρ μιν ἔφην μὰψ αὔτως εὐχετάασθαι.
ἐρρέτω· οὔ οἱ θυμὸς ἐμεῖ' ἔτι πειρηθῆναι
350 ἔσσεται, ὡς καὶ νῦν φύγεν ἄσμενος ἐκ θανάτοιο.
ἀλλ' ἄγε δὴ Δαναοῖσι φιλοπτολέμοισι κελεύσας
τῶν ἄλλων Τρώων πειρήσομαι ἀντίος ἐλθών."
ἦ, καὶ ἐπὶ στίχας ἆλτο, κέλευε δὲ φωτὶ ἑκάστωι·
"μηκέτι νῦν Τρώων ἑκὰς ἕστατε, δῖοι Ἀχαιοί,
355 ἀλλ' ἄγ' ἀνὴρ ἄντ' ἀνδρὸς ἴτω, μεμάτω δὲ μάχεσθαι·
ἀργαλέον δ' ἐμοί ἐστι καὶ ἰφθίμωι περ ἐόντι
τοσσούσδ' ἀνθρώπους ἐφέπειν καὶ πᾶσι μάχεσθαι.

336 Gell. 13.1.2; Aristid. Quint. 3.26 p.131.11 W.-I.; (–Ἄϊδος) Hdn ad Υ 30b[1]; Luc. Dial. 20.2; EtG s.v. ὑπέρμορα **340** Eudoc. 2147, 2336, cf. 67 **342** ead. 911 **350** (ὃς–) EtG α 1287 **357** (ἐφέπ.) H. ε 7386

333 ἀντί' Ἀχιλλῆος πολεμίζειν ἠδὲ 9 1463 A^{γρ} Ω*: ἀντία Πηλείωνος ὑπερθύμοιο (= 88) A B E F **334** σέ' Fick post Payne Knight: σεῦ Hdn 9 1463 Ω (ὅς σευ G) κρέσσων Blass: κρεί- 9 Ω **335** κεν 9 Ω* (κε Cobet Misc. crit. 325): δὴ D C ξυμβλήεαι Cobet Misc. crit. 323 (cf. Chantr. I 455): ξυμβλήσεαι A^{m} Ω*: -βήσεαι rr: συμβλ- 9 A B E T R.—de ξυμ-/συμ- cf. Wack. Unt. 40 **338** δὴ ἔπειτα fere 9 Ω πρώτοισι Ω*: Τρώεσσι 9 *b* T.—cf. ad Σ 194 **339** σ' om. 9^{a} D T G **340** λίπε *F*' Brandreth **344** ὢ 9 A F^{a} G: ὢ Ω* **345** οὐδ' ἔτι r **346** τῶ(ι) 9 A^{m} Ω*: τῶ(ι) δ' A^{λ} A rr **349** ἐμεῖ' Platt: ἐμεῦ 9 Ω*: ἐμεῦ γ' G **350** ὡς W O^{γρ} V: ὃς 9 t W^{s} Ω* **352** ἐλθών 9 Ω* (cf. Τ 70): -εῖν G **353** ἆλτο rr: ἆ- Ω*: ἆ- C R^{a} W **356** δ' ἐμοί Bekker: δέ μοι Hdn Ω **357** τοσσούσδ' sch^{h} C^{s} R^{c} W: -οῦσδ' Ptol T: -ουcδ 9 697: τόσσους δ' Ar καὶ οἱ πλείους (ἡ παράδοσις) A^{λ} A^{c} Ω*: τόσσους 1463 A^{a} F^{c} O, τόσους T^{λ}

οὐδέ κ' Ἄρης, ὅς περ θεὸς ἄμβροτος, οὐδέ κ' Ἀθήνη
τοσσῆσδ' ὑσμίνης ἐφέποι στόμα καὶ πονέοιτο.
360 ἀλλ' ὅσσον μὲν ἐγὼ δύναμαι χερσίν τε ποσίν τε
καὶ σθένει, οὔ μ' ἔτι φημὶ μεθησέμεν οὐδ' ἠβαιόν,
ἀλλὰ μάλα στιχὸς εἶμι διαμπερές· οὐδέ τιν' οἴω
Τρώων χαιρήσειν, ὅς τις σχεδὸν ἔγχεος ἔλθηι."
ὣς φάτ' ἐποτρύνων· Τρώεσσι δὲ φαίδιμος Ἕκτωρ
365 κέκλετ' ὁμοκλήσας, φάτο δ' ἴμεναι ἄντ' Ἀχιλῆος·
"Τρῶες ὑπέρθυμοι, μὴ δείδιτε Πηλείωνα.
καί κεν ἐγὼν ἐπέεσσι καὶ ἀθανάτοισι μαχοίμην·
ἔγχεϊ δ' ἀργαλέον, ἐπεὶ ἦ πολὺ φέρτεροί εἰσιν.
οὐδ' Ἀχιλεὺς πάντεσσι τέλος μύθοις ἐπιθήσει,
370 ἀλλὰ τὸ μὲν τελέει, τὸ δὲ καὶ μεσσηγὺ κολούσει.
τοῦ δ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν,
εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρωι."
ὣς φάτ' ἐποτρύνων, οἳ δ' ἀντίοι ἔγχε' ἄειραν
Τρῶες· τῶν δ' ἄμυδις μίχθη μένος, ὦρτο δ' ἀϋτή.
375 καὶ τότ' ἄρ' Ἕκτορα εἶπε παραστὰς Φοῖβος Ἀπόλλων·
"Ἕκτορ, μηκέτι πάμπαν Ἀχιλλῆϊ προμάχιζε,
ἀλλὰ κατὰ πληθύν τε καὶ ἐκ φλοίσβοιο δέδεξο,
μή πώς σ' ἠὲ βάληι ἠὲ σχεδὸν ἄορι τύψηι."
ὣς ἔφαθ'· Ἕκτωρ δ' αὖτις ἐδύσετο οὐλαμὸν ἀνδρῶν
380 ταρβήσας, ὅτ' ἄκουσε θεοῦ ὄπα φωνήσαντος.
ἐν δ' Ἀχιλεὺς Τρώεσσι θόρε φρεσὶν εἱμένος ἀλκήν,

359a Hdn ad Υ 357a^{1} **360–1** Eudoc. 670–1 **362** (στιχὸς εἶμι) H. σ 1880 **371–2** Hermog. Id. 304.10, Meth. 424.9 R.; 'Hdn.' Fig. 39; Tiber. Fig. iii.71.14 Sp.; **371–2**a Alex. Fig. iii.20.3 Sp.; **371** Ath. 298e; **371**b–**2** Cocondr. Trop. iii.243.1 Sp. **376** (μηκ.–) sch Δ 539b **379**b Iul. Or. 2.67c **380** Eudoc. 1294 **381**b sch I 231a^{1}

359 τοσσῆσδ' Ptol t F^{c} T R^{c} G: τόσσης δ' Ω*: τοccῃcδ 697: τόσσης 9 1463 W **361** οὔ μ' ἔτι Ω* (σ' ἔτι t): οὔ μέ τι R Eust.: ουμέτι 9: οὐ μέντοι W$^{c?}$: οὐκέτι (Naber) P **363** τις 9 1463^{2s} Ω*: κε 697 1463, κεν A^{s} *h*: τις κεν *b*.—cf. ad N 234 ἔγχεος 9 651 Ω: ἀν–τίος *h* ἔλθη(ι) 9 651 Ω*: -οι A^{s} F W **365** κέκλετ' ὁμοκλήσας 1463 W G: -εθ' ὁμ- 9 697 Ω* ἴμεναι ἄντ' 9 697 1463^{2} (ẹịμ-) Z Ω*,]αι ạντ 651: ἴμεν ἄντ' T R: αịụ[… Πηλ]ειῳνος 1463: ἄντ' ἴμεναι Schulze 377 n.3.—cf. Chantr. I 486 **368** ἔγχεϊ sic 9 Ω praeter G φέρτεροί εἰσιν 9 Ω*: -ρόν (ex -ρόσ) ἐστιν D **369** πάντεσσι τέλος μύ–θοις 9 sch^{hyp} Ω: μύθοισι τέλος πάντεσσ' *h* **370** κολούσει sch^{D} T G$^{c?}$ V: -ούει 9 h92 sch^{bT} Ω* **371** τοῦ 9 tt A^{γρ} C^{c} Ω* (cf. E 256, 301, al.): τῶ(ι) A^{λ} A *b* F (cf. H 20, O 584, al.).—cf. ad 422 **373** ἔγχε' ἄειραν 9 1463 Ω: ἔσταν Ἀχαιῶν A^{γρ} O (ex E 497 al.) **377** τε 9 506 1469 Ω: γε r **378** σ' 9 Ω*: om. 1469 A^{λ} A^{a}? F^{a} **379** ἐδύσετο 506 A D G: -ατο 9 1469 t Ω* **381** ἐν δ' Ω: ενθ' 9

σμερδαλέα ἰάχων. πρῶτον δ' ἕλεν Ἰφιτίωνα,
ἐσθλὸν Ὀτρυντείδην, πολέων ἡγήτορα λαῶν,
ὃν νύμφη τέκε νηῒς Ὀτρυντῆϊ πτολιπόρθωι
385 Τμώλωι ὕπο νιφόεντι, Ὕδης ἐν πίονι δήμωι·
τὸν δ' ἰθὺς μεμαῶτα βάλ' ἔγχεϊ δῖος Ἀχιλλεύς
μέσσην κὰκ κεφαλήν· ἣ δ' ἄνδιχα πᾶσα κεάσθη,
δούπησεν δὲ πεσών. ὃ δ' ἐπηύξατο δῖος Ἀχιλλεύς·
"κεῖσαι, Ὀτρυντείδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν.
390 ἐνθάδε τοι θάνατος, γενεὴ δέ τοί ἐστ' ἐπὶ λίμνηι
Γυγαίηι, ὅθι τοι τέμενος πατρώϊόν ἐστιν,
Ὕλλωι ἔπ' ἰχθυόεντι καὶ Ἕρμωι δινήεντι."
ὣς ἔφατ' εὐχόμενος, τὸν δὲ σκότος ὄσσ' ἐκάλυψεν.
τὸν μὲν Ἀχαιῶν ἵπποι ὀπισσώτροις δατέοντο
395 πρώτηι ἐν ὑσμίνηι· ὃ δ' ἐπ' αὐτῶι Δημολέοντα,
ἐσθλὸν ἀλεξητῆρα μάχης, Ἀντήνορος υἱόν,
νύξε κατὰ κρόταφον κυνέης διὰ χαλκοπαρήου·
οὐδ' ἄρα χαλκείη κόρυς ἔσχεθεν, ἀλλὰ δι' αὐτῆς
αἰχμὴ ἱεμένη ῥῆξ' ὀστέον, ἐγκέφαλος δέ
400 ἔνδον ἅπας πεπάλακτο· δάμασσε δέ μιν μεμαῶτα.
Ἱπποδάμαντα δ' ἔπειτα καθ' ἵππων ἀΐξαντα,
πρόσθε ἕθεν φεύγοντα, μετάφρενον οὖτασε δουρί·
αὐτὰρ ὃ θυμὸν ἄϊσθε καὶ ἤρυγεν, ὡς ὅτε ταῦρος
ἤρυγεν ἑλκόμενος Ἑλικώνιον ἀμφὶ ἄνακτα

385 Strab. 9.2.20; sch B 500c; **385b** ApS 157.15; EtG s.v. Ὕδη; (Ὕδ.) H. υ 61 **387a** sch Υ 473a **389** Choer. in Thd. ii.172.11 **390a** Hdn ad I 398; **390b–1** (Γυγ.) Porph. Il. 88.9 Schr.; **390b** sch Δ 60c **392** sch[D] H 93; Phoebamm. Fig. iii.56.17 Sp.; **392a** sch H 93a; H. υ 170; (Ὕλλ.) ApS 157.26 **397** (κατὰ κρότ.) sch Υ 473a **403–5** Macr. Sat. 5.13.10; **403–4** Strab. 8.7.2; EtG α 281; **403** (ἄϊσθε) H. α 2104; (ἤρ.–) Corn. 42.20 L.; **404** (–Ἑλικ.) Hdn ad Σ 580(a[1])b[1]; **404a** id. ad Υ 406b[2]; **404b** H. ε 2082; Epm. ε 123; (Ἑλικ.)

382 πρῶτον 9 Ω: -ος A[s] **383** Ὀτρυντείδην 9 Ω: -ειδη 506 **384** ὃν Ar 9 Ω: τὸν "ἔν τισι τῶν φαύλων ἀντιγράφων" **385** ὕπο Eust.: ὑπὸ 9 Ω*: ὑπαὶ W V Ὕδης Ar 9 506 tt sch[DT] Ω*: Ἴδης R V: Ὕλης (nov. Did) sch-B F[c] W: ambigunt sch[bh].—cf. ad B 866*a*, E 708, H 221 **386** δ' 9 Ω: ῥ' r.—cf. ad Φ 144 ἔγχεϊ sic Ω **388** ἐπηύξατο Fick: ἐπεύ- 9 Z Ω **389** κεῖσαι t A[λ] Ω: κεισ' 9 (cf. Φ 184): κεῖαι Wack. Unt. 170 **390** ἐν-θάδε Ptol Hdn Ω*: ἔνθα δέ A[λ] A[a]: ἐνθαδέ 9 D F[a]: ἐνθά δέ R W **392** ἔπ' Barnes: ἐπ' Ω **393** ἔφατ' εὐχόμενος Ω*: φάτ' ἐπευχ- 9 F *b*.—cf. ad E 106 ὄσσ' ἐκάλυψε(ν) R O V: ὄσσε κ- Ω* **394** ὀπισσώτροις 9 A F[a] (cf. Praef. xxxi): ἐπ- 1470 Z Ω*: -οισι Grashof (cf. Ψ 121) **395** Δημολέοντα Ar 9 1470 T[A] Ω: Δηϊλ- quidam ap. Did (cf. sch Ξ 387b) **396** om. D **398** δι' αὐτῆς 9 1470 Ω: διαπρό Düntzer, cf. ad M 184 **401** ἀΐξαντα 9 A *b* F G: ἀΐσσοντα A[γρ] Ω*.—cf. ad Λ 423 **402** πρόσθε Heyne: -εν 9 1470 Ω.—cf. ad E 56, 80

405 κούρων ἑλκόντων· γάνυται δέ τε τοῖς Ἐνοσίχθων·
ὣς ἄρα τόν γ' ἐρυγόντα λίπ' ὀστέα θυμὸς ἀγήνωρ.
αὐτὰρ ὃ βῆ σὺν δουρὶ μετ' ἀντίθεον Πολύδωρον
Πριαμίδην· τὸν δ' οὔ τι πατὴρ εἴασκε μάχεσθαι,
οὕνεκά οἱ μετὰ παισὶ νεώτατος ἔσκε γόνοιο
410 καί οἱ φίλτατος ἔσκε· πόδεσσι δὲ πάντας ἐνίκα·
δὴ τότε νηπιέῃσι ποδῶν ἀρετὴν ἀναφαίνων
θῦνε διὰ προμάχων, εἵως φίλον ὤλεσε θυμόν.
τὸν βάλε μέσσον ἄκοντι ποδάρκης δῖος Ἀχιλλεύς
νῶτα παραΐσσοντος, ὅθι ζωστῆρος ὀχῆες
415 χρύσειοι σύνεχον καὶ διπλόος ἤντετο θώρηξ,
ἀντικρὺ δὲ διέσχε παρ' ὀμφαλὸν ἔγχεος αἰχμή·
γνὺξ δ' ἔριπ' οἰμώξας, νεφέλη δέ μιν ἀμφεκάλυψεν
κυανέη, προτὶ οἷ δ' ἔλαβ' ἔντερα χερσὶ λιασθείς.
Ἕκτωρ δ' ὡς ἐνόησε κασίγνητον Πολύδωρον
420 ἔντερα χερσὶν ἔχοντα, λιαζόμενον ποτὶ γαίῃ,
κάρ ῥά οἱ ὀφθαλμῶν κέχυτ' ἀχλύς· οὐδ' ἄρ' ἔτ' ἔτλη
δηρὸν ἑκὰς στρωφᾶσθ', ἀλλ' ἀντίος ἦλθ' Ἀχιλῆος
ὀξὺ δόρυ κραδάων, φλογὶ εἴκελος. αὐτὰρ Ἀχιλλεύς
ὡς εἶδ', ὣς ἀνέπαλτο, καὶ εὐχόμενος ἔπος ηὔδα·
425 "ἐγγὺς ἀνήρ, ὃς ἐμόν γε μάλιστ' ἐσεμάσσατο θυμόν,
ὅς μοι ἑταῖρον ἔπεφνε τετιμένον· οὐδ' ἂν ἔτι δήν
ἀλλήλους πτώσσοιμεν ἀνὰ πτολέμοιο γεφύρας."
ἦ, καὶ ὑπόδρα ἰδὼν προσεφώνεεν Ἕκτορα δῖον·
"ἄσσον ἴθ', ὥς κεν θάσσον ὀλέθρου πείραθ' ἵκηαι."

ApS 66.23; sch^{D} E 422 (ex Apollod. 244 F 353); sch Θ 203c **408** (τὸν δ'–) Hdn ad E 256b[1] **414** (παραΐσσ.) H. π 529 **416** (–ὀμφ.) + **417**a sch Δ 460–1 **418** (προτὶ–) Epm. λ 33; (προτὶ–ἔντ.) Hdn ad A 368b[1], T 384a **421** Eudoc. 854 **425–6** (–τετιμ.) ead. 1779–80; **425** sch Nic. Al. 137; **426** (τετιμ.) ApS 151.31?

406 γ' 9 1470 Ω*: om. T ἐρυγόντα Hdn A A$^{\lambda}$ F^{c} R^{c}: proparox. Ω*, sine accentu 9 1470^{s}: ἐρύοντα 1470^{t} W (ss. γ) O V **409** παισὶ 9 Ω*: πᾶσι D H **412** εἵως 9 1470 1471 Z Ω: εἶος Brandreth, ἧος Nauck **414** παραΐσσοντος Ar 9 Ω* F^{s}: -οντα (nov. Did) 1470 t F^{c} T^{c} W **417** ἀμφεκάλυψε(ν) 9 Ω (ἀμφ' ἐ- A): ἀμφικ- N **418** κυανέη 9 Ω: -νεο[506 προτὶ 9 1470 tt Z Ω*: ποτὶ *b* οἷ Hdn 1470 Ω*: οἵ G: οἱ Z R δ' ἔλαβ' 1470 Ω*: δὲ λάβ' W O **418*a*** . . . . . .]οcc̣ .[. .].[. .]. .[. . . .]ν̣ηεα̣μ̣[.].[add. 1470 **420** λιαζόμενον 9 1470 Ω: δαϊζ- Z ποτὶ Z Ω: προτὶ 9 **421** κέχυτ' ἀχλύς t sch^{hyp} Ω*: κέχυτο χλόος 9 Z *b* W, quod legit fort. A.R. 4.1279 **422** Ἀχιλῆος Ω*: -ῆϊ 9 A *b* W.—cf. ad 371 **425** ἐσεμάσσατο 1470 Eudoc. Z Ω: ἐπεμ- t* rr.—cf. ad P 564 **426** ἂν Ar *b* V: ἂρ (nov. Did) Ω (ex Z 139?) **429** ἄσσον A D G: ἆ- Ω* θάσσον r: θᾶ- 9 Ω

430 τὸν δ' οὐ ταρβήσας προσέφη κορυθαιόλος Ἕκτωρ·
"Πηλείδη, μὴ δή μ' ἐπέεσσί γε νηπύτιον ὥς
ἔλπεο δειδίξεσθαι, ἐπεὶ σάφα οἶδα καὶ αὐτός
ἠμὲν κερτομίας ἠδ' αἴσυλα μυθήσασθαι.
οἶδα δ' ὅτι σὺ μὲν ἐσθλός, ἐγὼ δὲ σέθεν πολὺ χείρων.
435 ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται,
αἴ κέ σε χειρότερός περ ἐὼν ἀπὸ θυμὸν ἕλωμαι
δουρὶ βαλών, ἐπεὶ ἦ καὶ ἐμὸν βέλος ὀξὺ πάροιθεν."
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δόρυ· καὶ τό γ' Ἀθήνη
πνοιῆι Ἀχιλλῆος πάλιν ἔτραπε κυδαλίμοιο,
440 ἦκα μάλα ψύξασα, τὸ δ' ἂψ ἵκεθ' Ἕκτορα δῖον,
αὐτοῦ δὲ προπάροιθε ποδῶν πέσεν. αὐτὰρ Ἀχιλλεύς
ἐμμεμαὼς ἐπόρουσε κατακτάμεναι μενεαίνων,
σμερδαλέα ἰάχων· τὸν δ' ἐξήρπαξεν Ἀπόλλων
ῥεῖα μάλ' ὥς τε θεός, ἐκάλυψε δ' ἄρ' ἠέρι πολλῆι.
445 τρὶς μὲν ἔπειτ' ἐπόρουσε ποδάρκης δῖος Ἀχιλλεύς
446 ἔγχεϊ χαλκείωι, τρὶς δ' ἠέρα τύψε βαθεῖαν.
448 δεινὰ δ' ὁμοκλήσας ἔπεα πτερόεντα προσηύδα·
"ἐξ αὖ νῦν ἔφυγες θάνατον, κύον· ἦ τέ τοι ἄγχι
450 ἦλθε κακόν· νῦν αὖτέ σ' ἐρύσατο Φοῖβος Ἀπόλλων,
ὧι μέλλεις εὔχεσθαι ἰὼν ἐς δοῦπον ἀκόντων.
ἦ θήν σ' ἐξανύω γε καὶ ὕστερον ἀντιβολήσας,
εἴ πού τις καὶ ἐμοί γε θεῶν ἐπιτάρροθός ἐστιν.
νῦν δ' ἄλλους Τρώων ἐπιείσομαι, ὅν κε κιχείω."
455 ὣς εἰπὼν Δρύοπ' οὖτα κατ' αὐχένα μέσσον ἄκοντι,
ἤριπε δὲ προπάροιθε ποδῶν. ὁ δὲ τὸν μὲν ἔασεν,
Δημοῦχον δὲ Φιλητορίδην ἠΰν τε μέγαν τε

430a sch Υ 434 **434** sch Thuc. 3.61.1; Eudoc. 1670 **438** (προΐει δ.) [Ammon.] Diff. 23 **440a** ApS 169.28; [Plut.] Hom. 2.127.3; Orio 167.9/EtG s.v. ἥκιστα (Philox. fr. 658 Th.) **443b** Lucil. 231 M. **444** (ῥεῖα μ.) sch Υ 443 **448** Eudoc. 1781

430 κορυθαιόλος 1470 Ω*: proparox. C **431** μ' ἐπέεσσί 9 506 Ω: cf. ad 200 **432** δειδίξεσθαι 1470 Ω: -ασθαι 9 H.—cf. ad 201 **433** αἴσυλα 9 1470 Z Ω: cf. ad 202 **434** ὅτι 9 651 1470 tt Ω, οτ[245: ὃ δὴ Ahrens Kl. Schr. I 107 **435** κεῖται 9 Ω: -νται *h*: κείσθω rr.—cf. ad P 514 **445** ποδάρκης δῖος Ἀχιλλεύς 9 1470 Ω: κατακτάμεναι μενεαίνων (ex 442) sch[hyp] **446** om. 506 ἔγχεϊ sic 9 Ω praeter W **447** (= E 438, Π 705, 786) add. A *b* D[2] F[m] G: deest in 9 506 1470 1471 A[γρ] Ω* **448** ὁμοκλήσας Ω (ομ- D) **450** νῦν 9 506 Ω: νῦν δ' r ἐρύσσατο 1470 A **452** ἐξανύω Hdn 9 Ω: -υῶ deprec. Hdn (ἔστι γὰρ ἐνεστὼς ἀντὶ μέλλοντος) **453** ἐμοί γε r[a]: ἔμοιγε Ω (ἐμοὶ R; γε θεῶν καὶ ἐμοὶ G) ἐστι(ν) 9 1470 Ω: ἔσται rr: εἴη *h*: ἔλθοι rr.—cf. ad Λ 366 **454** δ' ἄλλους Τρώων 9 Ω*: αὖ τοὺς ἄλλους (= Λ 367) A[γρ] F W

κὰκ γόνυ δουρὶ βαλὼν ἠρύκακε· τὸν μὲν ἔπειτα
οὐτάζων ξίφεϊ μεγάλωι ἐξαίνυτο θυμόν.
460 αὐτὰρ ὃ Λαόγονον καὶ Δάρδανον, υἷε Βίαντος,
ἄμφω ἐφορμηθεὶς ἐξ ἵππων ὦσε χαμᾶζε,
τὸν μὲν δουρὶ βαλών, τὸν δὲ σχεδὸν ἄορι τύψας.
Τρῶα δ' Ἀλαστορίδην—ὃ μὲν ἀντίος ἤλυθε γούνων,
εἴ πώς ἑο πεφίδοιτο λαβὼν καὶ ζωὸν ἀφείη
465 μηδὲ κατακτείνειεν, ὁμηλικίην ἐλεήσας,
νήπιος, οὐδὲ τὸ εἴδη, ὃ οὐ πείσεσθαι ἔμελλεν·
οὐ γάρ τι γλυκύθυμος ἀνὴρ ἦν οὐδ' ἀγανόφρων,
ἀλλὰ μάλ' ἐμμεμαώς. ὃ μὲν ἥπτετο χείρεσι γούνων
ἱέμενος λίσσεσθ', ὃ δὲ φασγάνωι οὖτα καθ' ἧπαρ·
470 ἐκ δέ οἱ ἧπαρ ὄλισθεν, ἀτὰρ μέλαν αἷμα κατ' αὐτοῦ
κόλπον ἐνέπλησεν· τὸν δὲ σκότος ὄσσ' ἐκάλυψεν
θυμοῦ δευόμενον. ὃ δὲ Μούλιον οὖτα παραστάς
δουρὶ κατ' οὖς· εἶθαρ δὲ δι' οὔατος ἦλθ' ἑτέροιο
αἰχμὴ χαλκείη. ὃ δ' Ἀγήνορος υἱὸν Ἔχεκλον
475 μέσσην κὰκ κεφαλὴν ξίφει ἤλασε κωπήεντι,
πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι· τὸν δὲ κατ' ὄσσε
ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.
Δευκαλίωνα δ' ἔπειθ', ἵνα τε ξυνέχουσι τένοντες
ἀγκῶνος, τῆι τόν γε φίλης διὰ χειρὸς ἔπειρεν
480 αἰχμῆι χαλκείηι. ὃ δέ μιν μένε χεῖρα βαρυνθείς,
πρόσθ' ὁρόων θάνατον· ὃ δὲ φασγάνωι αὐχένα θείνας
τῆλ' αὐτῆι πήληκι κάρη βάλε· μυελὸς αὖτε
σφονδυλίων ἔκπαλθ'· ὃ δ' ἐπὶ χθονὶ κεῖτο τανυσθείς.

462b sch Π 807b; Nic ad Υ 463–9ab; (τύψας) ApS 156.8 **464**a ApS 78.21; ApD Pron. 76.13 **466** Eudoc. 1476 **467–8**a Plut. Mor. 678b; **467** id. Demosth. 12.4, cf. Mor. 67a; Eudoc. 107; (γλυκ.) ApS 55.4; H. γ 676; (ἀγαν.) ApS 5.14; H. α 317; **468**a Plut. Mor. 619e **482** (μυ.)–**3** (σφ.) Poll. 2.130; (μυ.) H. μ 1786; **483** (ἔκπ.) id. ε 1627

458 κακ 9 D F T, κὰκ R: καγ R^{s} Ω*.—v. adn. meam ad Hes. Op. 533 **460** Λαόγονον (Hdn) 9 Ω*: parox. *h* W.—cf. ad Π 604 **464** πώς Ptol: πως Hdn Ω: πῶς 9 ἑο dedi: εὑ Ar Ptol Hdn 9 tt: εὖ vel εὗ Ω: οἱ *h*: om. Z **466** (Ϝ)είδη Christ, (Ϝ)είδε' Platt: ἤ(ι)δη 9 Ω*: -δει t R ὅ (Ϝ') van Leeuwen **467** τι 9 tt* A^{λ} Ω*: τις A^{γρ}: ἔτι A^{γρ}: τοι Eudoc. R **471** ἐνέπλησεν (nov. Did) 9 Ω* (imit. Verg. Aen. 10.819 *impleuitque sinum sanguis*): ἐνέπρ- Ar Philox A^{s} T R.—cf. ad B 415, I 242 ὄσσ' ἐκάλυψε(ν) T R: ὄσσε κ- Ω* **473** κατ' 9 A^{γρ} T^{λ} Ω*: παρ' A *b* (cf. Λ 109 et ad E 579) **476** ὑπεθερμάνθη 9 Ω: ὑποθ- rr.—cf. ad Π 333 **478** τένοντες 9 Z Ω* D^{2}: -τε D rr.—cf. ad Π 587 **479** μεσης δια χειρὸς ελασσεν 9 **480** αἰχμὴ χαλκείη 9 D R W G (cf. 474) **481** πρόσθ' Ar 9 Z Ω: προс Zen **483** σφονδυλίων 9 t Z Ω*: σπ- G^{x} O ἔκπαλθ' 9 Z Ω: -πλαστο t

αὐτὰρ ὃ βῆ ῥ' ἰέναι μετ' ἀμύμονα Πείρεω υἱόν
485 Ῥίγμον, ὃς ἐκ Θρηίκης ἐριβώλακος εἰληλούθει·
τὸν βάλε μέσσον ἄκοντι, πάγη δ' ἐν νηδύϊ χαλκός,
ἤριπε δ' ἐξ ὀχέων. ὃ δ' Ἀρηΐθοον θεράποντα
ἂψ ἵππους στρέψαντα μετάφρενον ὀξέϊ δουρί
νύξ', ἀπὸ δ' ἅρματος ὦσε· κυκήθησαν δέ οἱ ἵπποι.
490 ὡς δ' ἀναμαιμάει βαθέ' ἄγκεα θεσπιδαὲς πῦρ
οὔρεος ἀζαλέοιο, βαθεῖα δὲ καίεται ὕλη,
πάντηι τε κλονέων ἄνεμος φλόγα εἰλυφάζει,
ὣς ὅ γε πάντηι θῦνε σὺν ἔγχεϊ δαίμονι ἶσος,
κτεινομένους ἐφέπων· ῥέε δ' αἵματι γαῖα μέλαινα.
495 ὡς δ' ὅτε τις ζεύξηι βόας ἄρσενας εὐρυμετώπους
τριβέμεναι κρῖ λευκὸν ἐϋκτιμένηι ἐν ἀλωῆι,
ῥίμφά τε λέπτ' ἐγένοντο βοῶν ὑπὸ πόσσ' ἐριμύκων,
ὣς ὑπ' Ἀχιλλῆος μεγαθύμου μώνυχες ἵπποι
στεῖβον ὁμοῦ νέκυάς τε καὶ ἀσπίδας· αἵματι δ' ἄξων
500 νέρθεν ἅπας πεπάλακτο καὶ ἄντυγες αἳ περὶ δίφρον,
ἃς ἄρ' ἀφ' ἱππείων ὁπλέων ῥαθάμιγγες ἔβαλλον
αἵ τ' ἀπ' ὀπισσώτρων· ὃ δὲ ἵετο κῦδος ἀρέσθαι
Πηλείδης, λύθρωι δὲ παλάσσετο χεῖρας ἀάπτους.
Φ ἀλλ' ὅτε δὴ πόρον ἶξον ἐϋρρεῖος ποταμοῖο
Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς,

484 (Π. υἱόν) Did ad Σ 100d[1]; EtG α 1143 **490–1** sch Ξ 394–9; **490a** EtG α 578; (ἀναμ.) ApS 37.3; H. α 4431; **491** (ἀζ.) id. α 1438 **492** (πάντηι τε) id. π 405; **492b** Hdn ii.500.18; (εἰλυφ.) H. ε 934; Orio 66.9 **497** (ἐριμ.) H. (Cyr.) ε 5856 **503** (λύθ.–χεῖρ.) sch Λ 98a **Φ 2b** sch^{Dh} Φ 1

484 ῥ' 9 Ω*: om. *h* W V Πείρεω Ar 9 tt Ω: -έως Zen ("ἄμετρον ποιῶν"): -όου Brandreth post Payne Knight (cf. B 844, Δ 520/5) **485** Ῥίγμον Hdn Ω: -ον' quidam ap. sch^{T} T^{c} Θρεΐκης Nauck **486** ἐν 9 Ω: ἐνὶ rr νηδύϊ Z A^{γρ} Ω* (cf. N 398): πνεύμονι 9 A *b* F (ex Δ 528 de Piro).—cf. La Roche Unt. II 141 **491** ἀζαλέοιο 9 Ω: αυα- Z **495–503** damn. Heyne; cf. Wilamowitz Il. u. H. 87 **496** ἐϋκτιμένηι Ω* (= Φ 77, ω 226): ἐϋτροχάλωι 9 A^{γρ} F W (cf. Hes. Op. 599, 806) ἀλωιῆι A^{γρ} B^{a} E: ἀλωῆι T$^{c?}$ W **497** ῥίμφά sic Ω praeter R λέπτ' ἐγένοντο 9 Ω*: λεπτὰ γ- V: λεύκ' ἐγ- W **500** αἳ A F G: αἱ Ω*.—cf. ad Λ 535 **501** ἱππειῶν Thiersch **502** τ' Ω: δ 9 ὀπισσώτρων 9 r: ἐπ- Ω.—cf. Praef. xxxi **503** δ' ἐπαλάσσετο O ἀάπτους: cf. ad A 567 **Φ 1** ὅτε δὴ 9 Ω: ὁτεδὴ quidam ap. sch^{h94} (item Ar ad A 493 contra Pamph Hdn; cf. ad P 728) πόρον Ar 9 h94 sch^{D} Ω: ῥόον Arph ἶξον C^{c} E T R W G, ι- 9, ἵ- Ω*: ἵξεν (Bentley) 1472 r ἐϋρρεῖος 9 sch^{hγρ} sch^{T} Ω: -ῆος "ἐχρῆν" Arph u.v. (sch^{h94}) *h*: -εέος Nauck **2** (= Ξ 434) damn. Hercher Abh. Ak. Berl. 1875, 105; cf. ad Ω 693 ἀθάνατος Ar 9 82 t Ω: -ον Zen.—cf. ad B 741, Ξ 434

ἔνθα διατμήξας τοὺς μὲν πεδίονδ' ἐδίωκεν
πρὸς πόλιν, ἧι περ Ἀχαιοὶ ἀτυζόμενοι φοβέοντο
5 ἤματι τῶι προτέρωι, ὅτ' ἐμαίνετο φαίδιμος Ἕκτωρ·
τῆι ῥ' οἵ γε προχέοντο πεφυζότες, ἠέρα δ' Ἥρη
πίτνα πρόσθε βαθεῖαν ἐρυκέμεν· ἡμίσεες δέ
ἐς ποταμὸν εἰλέοντο βαθύρροον ἀργυροδίνην.
ἐν δ' ἔπεσον μεγάλωι πατάγωι, βράχε δ' αἰπὰ ῥέεθρα,
10 ὄχθαι δ' ἀμφὶ περὶ μεγάλ' ἴαχον· οἳ δ' ἀλαλητῶι
ἔννεον ἔνθα καὶ ἔνθα ἑλισσόμενοι κατὰ δίνας.
ὡς δ' ὅθ' ὑπὸ ῥιπῆς πυρὸς ἀκρίδες ἠερέθονται
φευγέμεναι ποταμόνδε, τὸ δὲ φλέγει ἀκάματον πῦρ
ὄρμενον ἐξαίφνης, ταὶ δὲ πτώσσουσι καθ' ὕδωρ,
15 ὣς ὑπ' Ἀχιλλῆος Ξάνθου βαθυδινήεντος
πλῆτο ῥόος κελάδων ἐπιμὶξ ἵππων τε καὶ ἀνδρῶν.
αὐτὰρ ὁ διογενὴς δόρυ μὲν λίπεν αὐτοῦ ἐπ' ὄχθηι
κεκλιμένον μυρίκηισιν, ὃ δ' ἔνθορε δαίμονι ἶσος,
φάσγανον οἶον ἔχων, κακὰ δὲ φρεσὶ μήδετο ἔργα·
20 τύπτε δ' ἐπιστροφάδην, τῶν δὲ στόνος ὤρνυτ' ἀεικής

3 (διατμ.) H. δ 1386 **5** Porph. Od. 25.14 Schr. **6** al. (πεφυζ.) H. π 2131; (ἠέρα–)–**7** (–ἐρυκ.) Gal. in Hipp. Epid. vi 4.20; **6** (ἠέρα–)–**7a** [Plut.] Hom. 2.96.1; Iul. Or. 4.137b; Procl. in Crat. 94.4; **7** (–ἐρυκ.) sch E 506–7; (ἡμίσ.–)–**8a** sch Φ 11b; Latine vertit Cn. Matius fr. 7 Court.; **8** Eudoc. 441; (–βαθ.) Hdn ad Δ 452a; (ἀργυροδ.) H. (Cyr.) α 7074 **9–11** Eudoc. 965–7; **9** (βρ.–) EtG α 225; **10** (–ἴαχον) Choer. in Ps. 169.2; (ὄχθαι) ApS 125.23; (ἀμφὶ–ἴαχον) Epm. α 293; **11** (ἔννεον) Hdn ii.507.20; H. ε 2994; (δίνας) Apio 231.15 **14a** EtG s.v. ὄρμενον; Epm. ε 100 **16a** EtG s.v. κελάδων; Epm. ε 104, κ 136, π 124, 127 (bis); (κελ.) H. κ 2130; **16b** Dam. Vit. Isid. fr. 104 p.79.20 Z. **17** Choer. in Ps. 169.30; (–λίπεν) 'Trypho i' Trop. iii.200.1 Sp.; **17a** sch A 7b; Hdn ad Π 57c **20** D.H. Comp. 35; Charito 7.4.6; **20a** + **21b** cf. Philostr. Imag. 2.2; **20a** Choer. in Thd. ii.40.8 et 12, 50.26, 81.20, 125.9, 145.6 et 24, 200.21; Epm. ο 13; **21** w5 (lacerum)

3 πεδίονδε δίωκε R W **4** Ἀχαιοὶ 9 A O sch^{hyp}: οἱ ἄλλοι 1472 A^{γρ} O^{γρ} *b* Ω* (ex Z 41, cf. Φ 554): οἱ ἄλλοι Ἀχαιοὶ G.—cf. ad Ψ 540 **5** ὅτε μαίνετο D T R **7** πίτνα 9 tt Ω*: πίλνα G: πιδνᾶ Z: πίτνη Naber Qu. Hom. 84.—cf. ad Π 103 **8** εἰλέοντο dedi: -εῦντο 9 1472 tt Ω, εἴλευντο Z: possis etiam εἴλοντο (ϝέλλ- Fick), cf. ad B 294 **10** περὶ Ω, π]έρι 1472: πέρι Z rr **11** ἔννεον Ar 9 tt sch^{D} Ω: νήχοντ' "ἔνιαι τῶν κατὰ πόλεις" κατὰ 9 82 A^{γρ} Ω* (cf. 25, 353 sq.): περὶ t A *b* (ex Σ 372?) **12** ὑπὸ 9 Ω*: ὑπαὶ C W.—cf. ad M 462 ἠερέθονται 9 82 Z Ω: -οντο *b*: -ωνται (Thiersch) r^{c} **14** ὄρμενον Hdn tt Z Ω*: ὁρμ- D C F^{a} R G ταὶ 9 Ω: αἱ 1472 **15** βαθυδινήεντος 9 82 1472 Ω*: ὑπὸ διν- D F **16** ἵππων τε καὶ ἀνδρῶν 9 82 Ω* (cf. K 338, Λ 525^{vl}, Ψ 242): ἀνδρῶν τε καὶ ἵππων t D (cf. P 400) **17** ἐπ' ὄχθη(ι) 82^{c} t Ω: ενόχθη 9: οπισθε 82^{a} **18** ὁδ' sive ὀδ' 'et' (tanquam ἰδ', ἠδ') Pythocles quidam ἔνθορε A^{γρ} D H V (cf. 233, Ω 79): ἔσθ- 9 Z Ω* (cf. M 462): ἔκθ- T^{γρ} (lege ἔνθ-) **20** τύπτε 9 tt* Ω*: κτεῖνε (ex K 483) Philostr.^{uv} W ὤρνυτ' 9 82 t* Ω: ὄρν- Dion. Eust. V

ἄορι θεινομένων, ἐρυθαίνετο δ' αἵματι ὕδωρ.
ὡς δ' ὑπὸ δελφῖνος μεγακήτεος ἰχθύες ἄλλοι
φεύγοντες πιμπλᾶσι μυχοὺς λιμένος εὐόρμου
δειδιότες· μάλα γάρ τε κατεσθίει ὅν κε λάβησιν·
25 ὣς Τρῶες ποταμοῖο κατὰ δεινοῖο ῥέεθρα
πτῶσσον ὑπὸ κρημνούς. ὃ δ' ἐπεὶ κάμε χεῖρας ἐναίρων,
ζωοὺς ἐκ ποταμοῖο δυώδεκα λέξατο κούρους,
ποινὴν Πατρόκλοιο Μενοιτιάδαο θανόντος·
τοὺς ἐξῆγε θύραζε τεθηπότας ἠΰτε νεβρούς,
30 δῆσε δ' ὀπίσσω χεῖρας ἐϋτμήτοισιν ἱμᾶσιν,
τοὺς αὐτοὶ φορέεσκον ἐπὶ στρεπτοῖσι χιτῶσιν,
δῶκε δ' ἑταίροισιν κατάγειν κοίλας ἐπὶ νῆας·
αὐτὰρ ὃ ἂψ ἐπόρουσε δαϊζέμεναι μενεαίνων.
ἔνθ' υἷι Πριάμοιο συνήντετο Δαρδανίδαο
35 ἐκ ποταμοῦ φεύγοντι, Λυκάονι, τόν ῥά ποτ' αὐτός
ἦγε λαβὼν ἐκ πατρὸς ἀλωῆς οὐκ ἐθέλοντα,
ἐννύχιος προμολών· ὃ δ' ἐρινεὸν ὀξέϊ χαλκῶι
τάμνε νέους ὅρπηκας, ἵν' ἅρματος ἄντυγες εἶεν·
τῶι δ' ἄρ' ἀνώϊστον κακὸν ἤλυθε δῖος Ἀχιλλεύς.
40 καὶ τότε μέν μιν Λῆμνον ἐϋκτιμένην ἐπέρασσεν
νηυσὶν ἄγων, ἀτὰρ υἱὸς Ἰήσονος ὦνον ἔδωκεν·
κεῖθεν δὲ ξεῖνός μιν ἐλύσατο, πολλὰ δ' ἔδωκεν,

22 [Plut.] Hom. 2.88; sch N 64b **23** (πιμπ.–) sch Ar. Ach. 236a; (πιμπ.) Hdn ad P 751c; (εὐόρμ.) H. (Cyr.) ε 7050 **27–9** Iul. Or. 2.61c; **27** (λέξ.–) sch B 125bc **30** Eudoc. 1844 **37** (ἐνν.) H. (Cyr.) ε 3227; **37b–8a** Porph. Il. 271.3 Schr.; (ὃ δ' ἐρ.) + **38a** Nic ad E 461a^{1}; sch Ω 58d; (ὃ δ' ἐρ.) Arn ad Φ 36a^{1}; **38a** ApS 150.13; (ὅρπ.) id. 123.10; cf. Poll. 1.235; H. (Cyr.) ο 1308 **39** (ἀνώ.–) ApS 32.3; H. (Cyr.) α 5587; (ἀνώ.) ApS 36.12; EtG α 944 **41** (ὦνον) ApS 171.10; cf. sch Φ 232b; H. ω 246 **42** (ἐλύσ.) H. (Cyr.) ε 2233; Phot. Lex. ε 666

21 ὕδωρ 9 82 t Ω: κῦμα Bentley **22** δ' om. 9 ἄλλοι 9 tt sch^{T} Ω (cf. N 64): ἐλλοί van Leeuwen cl. Titanom. fr. 4.1 B., [Hes.] Sc. 212, Soph. Ai. 1297 **23** εὐόρμου 9 tt Ω*, ὅρμου Z: εὐόρμους W **25** δεινοῖο 9 A^{m} *b* F^{c} T G^{a}: διν- sch^{T} T^{s} Ω*.—cf. ad Υ 259 **27** ζωοὺς 9 Ω: -οὺς δ' t **28–9** hoc ordine 9 246 1473 Ω: inverso t **33** αὐτὰρ ὃ ἂψ (= Γ 370) 9 1473 Ω (ὃ αὖτ' T): αὐτὸς δ' αἶψ' quidam ap. Did (et ἐσόρουσεν teste A, contra T) ἐνόρουσε sch^{hyp} δαϊζέμεναι Ar 9 246 Ω*: κατακτάμ- A^{yp} F (ex Υ 442) **34** υἷι rr: ὗϊ (ss. ε) 1473$^{?}$: υἱεῖ 9 sch^{bT} Ω.—cf. ad B 791, Π 177 **36** ἀλωῆς fere 9 246 Z Ω*: -ωιῆς A D *b* (ἀλ- C E) W **37** ἐρινεὸν Ar 9 246 (ερει-) tt Z (ερεινέον) Ω: -οῦ Bentley **38** ὅρπηκας Ptol (ἐν ταῖς Ὀδυσσειακαῖς προσωιδίαις) R W G: ὄρπ- Ptol (ad hunc locum) Hdn (et ἡ παράδοσις) Z Ω* **41** obelum praefigit G; damn. Bergk Gr. Lit. I 635, at cf. Ψ 746 sq.

Ἴμβριος Ἠετίων, πέμψεν δ' ἐς δῖαν Ἀρίσβην.
ἔνθεν ὑπεκπροφυγὼν πατρώϊον ἵκετο δῶμα,
45 ἕνδεκα δ' ἤματα θυμὸν ἐτέρπετο οἷσι φίλοισιν
ἐλθὼν ἐκ Λήμνοιο· δυωδεκάτηι δέ μιν αὖτις
χερσὶν Ἀχιλλῆος θεὸς ἔμβαλεν, ὅς μιν ἔμελλεν
πέμψειν εἰς Ἀΐδαο καὶ οὐκ ἐθέλοντα νέεσθαι.
τὸν δ' ὡς οὖν ἐνόησε ποδάρκης δῖος Ἀχιλλεύς
50 γυμνόν, ἄτερ κόρυθός τε καὶ ἀσπίδος, οὐδ' ἔχεν ἔγχος—
ἀλλὰ τὰ μέν ῥ' ἀπὸ πάντα χαμαὶ βάλε· τεῖρε γὰρ ἱδρώς
φεύγοντ' ἐκ ποταμοῦ, κάματος δ' ὑπὸ γούνατ' ἐδάμνα—
ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
"ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι.
55 ἦ μάλα δὴ Τρῶες μεγαλήτορες, οὕς περ ἔπεφνον,
αὖτις ἀναστήσονται ὑπὸ ζόφου ἠερόεντος,
οἷον δὴ καὶ ὅδ' ἦλθε φυγὼν ὕπο νηλεὲς ἦμαρ,
Λῆμνον ἐς ἠγαθέην πεπερημένος, οὐδέ μιν ἔσχεν
πόντος ἁλὸς πολιῆς, ὃ πολὺς ἀέκοντας ἐρύκει.
60 ἀλλ' ἄγε δὴ καὶ δουρὸς ἀκωκῆς ἡμετέροιο
γεύσεται, ὄφρα ἴδωμαι ἐνὶ φρεσὶν ἠδὲ δαείω,
ἠ' ἄρ' ὁμῶς καὶ κεῖθεν ἐλεύσεται, ἦ μιν ἐρύξει
γῆ φυσίζοος, ἥ τε κατὰ κρατερόν περ ἐρύκει."
ὣς ὥρμαινε μένων· ὃ δέ οἱ σχεδὸν ἦλθε τεθηπώς,
65 γούνων ἅψασθαι μεμαώς· περὶ δ' ἤθελε θυμῶι
ἐκφυγέειν θάνατόν τε κακὸν καὶ κῆρα μέλαιναν.
ἤτοι ὃ μὲν δόρυ μακρὸν ἀνέσχετο δῖος Ἀχιλλεύς
οὐτάμεναι μεμαώς· ὃ δ' ὑπέδραμε καὶ λάβε γούνων

45–6a Porph. Hom. 63.10 Sod.; **45** (–ἐτέρπ.) id. Od. 111.5 Schr.   **50** Leo A.P. 9.361.4 (Homerocento); (–ἀσπ.) sch κ 301   **56** Eudoc. 490, 1233, 2171   **58** (πεπερ.) H. π 1458   **59** Plut. Mor. 604b   **60–3** Eudoc. 1952–5; **61** (ὄφρα–) sch K 11; **62** (ἐρύξει) H. ε 5869   **66** Eudoc. 433   **68** (οὐτ.) Hdn ad Λ 659c; H. (Cyr.) ο 1888

46 αὖτις 9 Ω*: -θις 1474 C R   **52** ἐδάμνα Ω: -η Nauck Mél. IV 485.—cf. ad 7   **54** ὢ A D G^{c}: ὦ Ω*   **55** ἦ Nic Pius 9 Ω: et ἢ (εἰ?) agn. Nic   μεγαλήτορες· Pius A D F   **56** αὖτις 9 Ω*: -θις t C R^{a} **57** ὕπο W: ὑπὸ vel ὕπο Hdn 9 Ω*   **58** πε–περημένος 9 507 t Z Ω: πεπρη- Buttmann, cf. Hdt. 2.56.3, SIG 45.35, al.   **59** πολῦς Christ, -ὺς dedi: -εῖς 9 507 t Ω: -έας Bekker.—cf. Praef. xxxiv   **62** ἠ' Fick: η 9, ἢ 1473 Ω (ἦ W): ἤ γ' t   καὶ κεῖθεν Ar 9 t Ω*: κἀκ- (nov. Did) 1473 *h* W   ἦ T^{a}: ἤ 9 Ω*   ἐρύξει 247 507 tt Ω: -κει 9 (ex 63)   **63** om. 247   γῆ 9 t Ω: γαῖα (Brandreth) r^{a} φυσίζοος 9 t A^{c} E^{c} F R^{c}: -ζωος 1473 T^{λ} Ω*   κατὰ 9 t Ω*: καὶ C: om. D R W G   **64** ὥρμαινε 9 1473 Z Ω: ὅρμ- r   **65** πέρι W.—cf. ad Ω 236   **67** ἀνέσχετο 9 507 Ω* F^{s} (cf. E 655, Φ 161): -σχεθε F.—cf. ad N 608

κύψας, ἐγχείη δ' ἄρ' ὑπὲρ νώτου ἐνὶ γαίηι
70 ἔστη, ἱεμένη χροὸς ἄμεναι ἀνδρομέοιο.
αὐτὰρ ὃ τῆι ἑτέρηι μὲν ἑλὼν ἐλλίσσετο γούνων,
τῆι δ' ἑτέρηι ἔχεν ἔγχος ἀκάχμενον, οὐδὲ μεθίει·
{καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·}
"γουνοῦμαί σ', Ἀχιλεῦ· σὺ δέ μ' αἴδεο καί μ' ἐλέησον.
75 ἀντί τοί εἰμ' ἱκέταο, διοτρεφές, αἰδοίοιο·
πὰρ γὰρ σοὶ πρώτωι πασάμην Δημήτερος ἀκτήν
ἤματι τῶι, ὅτε μ' εἷλες ἐϋκτιμένηι ἐν ἀλωῆι,
καί μ' ἐπέρασσας ἄνευθεν ἄγων πατρός τε φίλων τε
Λῆμνον ἐς ἠγαθέην, ἑκατόμβοιον δέ τοι ἦλφον.
80 νῦν δ' ἐλύμην τρὶς τόσσα πορών· ἠὼς δέ μοί ἐστιν
ἥδε δυωδεκάτη, ὅτ' ἐς Ἴλιον εἰλήλουθα
πολλὰ παθών· νῦν αὖ με τεῆις ἐν χερσὶν ἔθηκεν
μοῖρ' ὀλοή. μέλλω που ἀπεχθέσθαι Διὶ πατρί,
ὅς με σοὶ αὖτις ἔδωκε· μινυνθάδιον δέ με μήτηρ
85 γείνατο Λαοθόη, θυγάτηρ Ἄλταο γέροντος,
Ἄλτεω, ὃς Λελέγεσσι φιλοπτολέμοισιν ἀνάσσει,
Πήδασον αἰπήεσσαν ἔχων ἐπὶ Σατνιόεντι.

70b ApS 26.19; Hdn ad N 191c; Melet. De nat. hom. PG 64.1185c; (χροὸς ἄμ.) cf. H. χ 762; Epm. π 122; (ἄμ.) H. (Cyr.) α [3550], 3580 **71** Eudoc. 824 **74–6** ead. 664–6; **74** (σὺ–) Hdn ad Ω 202a; **75** ApS 31.12; sch Θ 163c[1]; Choer. in Ps. 15.7; Epm. π 142; **75a** H. α 5493; **76** Dio Prus. 74.17; Porph. Il. 248.15 Schr.; (πασ.) H. π 1052 **78** ApS 71.3; ((ἐ)πέρ.) id. 130.6; H. (Cyr.) ε 4428 **79b–80** (νῦν δ' ἐλ.) sch Φ 99b; **79b** Phot. Lex. α 1065; (ἑκατ.) H. ε 1274; (ἦλφ.) id. η 402; **80** (–πορών) Hdn ad Ω 1a[1]; sch Ar. Ach. 324; EtG λ 154 et s.v. ἐλύμην; (ἐλ.) H. ε 2222; (ἠὼς–)–**81** sch[D] Θ 1; sch β 1 (Porph. Od. 25.17 Schr.), θ 1; sch Lyc. 16 **82** Eudoc. 659 **84b–6** Strab. 13.3.1; **84b–5** sch Φ 123–4a[1]; **86–7** Strab. 13.1.50, 13.3.1; **86** id. 13.1.7; **86a** Hdn ad A 532a; (ὃς–) sch K 429b

70 ἄμεναι 9 507 tt* Z T[λ] Ω*: ἄμμ- *h* T R W: ἔμμ- Melet. **71** μὲν 9 Ω: μιν t ἐλλίσ–σετο 9 507 t A N: ἐλί- Ω*.—cf. ad Z 45 **73** deerat ap. Ar[ab]: hab. Did 9 507 Ω.—v. Apthorp 147–50 μιν φωνήσας Did(?) 9 Ω*: μιν λισσόμενος A[γρ] D F T R (cf. χ 311[vl], 343): ῥ' ὀλοφυρόμενος quidam ap. Did, H:]μενος 1475 **74** αἴδεο A[m] Ω*: αἰδέο (Ptol? Hdn?) A D[?].—cf. ad X 82, Ω 202 **77** εἷλες 9 Ω*: εἶδες G ἀλωῆι fere 9 Ω (ἀλ- C E W): -ωιῆι A B[a] T (ἀ-) **78** μ' ἐπέρασσας 9 Ω*: -ασας tt* Z T R: με πέρασας ApS[130] A[γρ] (περάσας) **79** ἑκατόμβοιον 9 tt Z Ω*: -ος W[a] **80** δ' ἐλύμην tt* Z F[a] T R[a] G: δὲ λ- 9 sch[AbT] Ω*: ἐλ- sch-Ar. **81** ἦδε A D B[a] E T[a] ὅτ' ἐς 9 tt Ω (cf. E 204, Λ 230): ὅτε Bentley **82** αὖ με τεῆις 1477 t Ω (αὖτε με D, αὖτε W), τεαῖς Z: αὖτε με σης 9 **84** αὖτις 9 1474 Ω*: -θις C W ἔδωκε (nov. Did) 9 Ω: δῶκε Ar.—cf. ad B 205, Z 155, O 601 **86** Ἄλτεω 9 1474 tt A[λ] T[λ] Ω*: -ταο, C, -τα' Christ: -της Bentley cl. Z 396 ἀνάσσει Ar tt Ω*: ἄνασσε "ἔνιαι τῶν κατὰ πόλεις" 9 *h* R W (cf. Υ 92, contra Z 34 sq.) **87** ἐπὶ t, flagit. sch[T] u.v.: ὑπὸ (nov. Strabo) 9 1474 T[λ] Ω.—cf. Allen–Sikes ad Hymn. Ap. 18

τοῦ δ' ἔχε θυγατέρα Πρίαμος—πολλὰς δὲ καὶ ἄλλας—
τῆς δὲ δύω γενόμεσθα· σὺ δ' ἄμφω δειροτομήσεις.
90 ἤτοι τὸν πρώτοισι μετὰ πρυλέεσσι δάμασσας,
ἀντίθεον Πολύδωρον, ἐπεὶ βάλες ὀξέϊ δουρί·
νῦν δὲ δὴ ἐνθάδ' ἐμοὶ κακὸν ἔσσεαι· οὐ γὰρ ὀΐω
σὰς χεῖρας φεύξεσθαι, ἐπεί ῥ' ἐπέλασσέ γε δαίμων.
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
95 μή με κτεῖν', ἐπεὶ οὐχ ὁμογάστριος Ἕκτορός εἰμι,
ὅς τοι ἑταῖρον ἔπεφνεν ἐνηέα τε κρατερόν τε."
ὣς ἄρα μιν Πριάμοιο προσηύδα φαίδιμος υἱός
λισσόμενος ἐπέεσσιν· ἀμείλικτον δ' ὄπ' ἄκουσεν·
"νήπιε, μή μοι ἄποινα πιφαύσκεο μηδ' ἀγόρευε.
100 πρὶν μὲν γὰρ Πάτροκλον ἐπισπεῖν αἴσιμον ἦμαρ,
τόφρα τί μοι πεφιδέσθαι ἐνὶ φρεσὶ φίλτερον ἦεν
Τρώων, καὶ πολλοὺς ζωοὺς ἕλον ἠδ' ἐπέρασσα·
νῦν δ' οὐκ ἔσθ' ὅς τις θάνατον φύγοι, ὅν κε θεός γε
Ἰλίοο προπάροιθεν ἐμῇς ἐν χερσὶ βάλῃσιν
105 καὶ πάντων Τρώων, πέρι δ' αὖ Πριάμοιό γε παίδων.
ἀλλὰ φίλος θάνε καὶ σύ· τίη ὀλοφύρεαι οὕτως;
κάτθανε καὶ Πάτροκλος, ὅ περ σέο πολλὸν ἀμείνων.

89a sch Φ 123–4a[1] **95** Arn/sch Ω 47ab; (μή με κτ.) sch Φ 99b; (ἐπεὶ–Ἕκτ.) sch T 293; (ὁμογ.) H. (Cyr.) ο 741 **98** Eudoc. 2137; **98b** ApS 25.11; (ἀμ.) H. (Cyr.) α 3548 **99** (μή–πιφ.) sch Φ 80a; (πιφ.) H. π 2398 **101** (πεφ.) H. π 2112 **102** Choer. in Thd. ii.161.21 **106–7** D.L. 9.67; **106a** Arn ad Γ 277a; Choer. in Thd. i.244.35, 254.26; **107** Hermipp. (fr. 50 W.) ap. Plut. Alex. 54.1; Gal. in Hipp. Epid. vi 4.10; (κάτθ.) H. κ 1803

88 δ' 9 1474 Ω: ῥ' P πολλὰς δὲ καὶ ἄλλας Ar 9 1474 Ω: πολλῶν τε καὶ ἄλλων 𝕸 **89** δειροτομήσεις; (interrogative) quidam ap. sch^{T} T^{c} **92** ἐνθάδ' ἐμοὶ R H: -δε μοι Hdn Ω* (ἔνθα δέ A^{a} A^{λ} D) ἔσσεαι A^{γρ} *h* (cf. 39, β 166, γ 306, π 103): -εται 9 sch^{hγρ} Ω **93** φεύξεσθαι 9 1474 1477 Ω*: -ασθαι A^{a} O V γε 9 Ω: με rr.—cf. ad O 418 **95** οὐχ ὁμογάστριος Ar 9 1474 1477 tt Z Ω (cf. Ω 47): οὐκὶ ὀγ- Zen (ubi οὐκ ἰογ- male intellexit Ar), contra formae οὐκί usum: fort. olim οὔ τοι ὀγ- (cf. X 13).—ad vocem exquisitam ὀγάστριος cf. Lyc. 452 (v.l.); Hsch. ο 31 ὀγάστωρ· ὁμογάστωρ **96** ἐνηέα 9 Ω: αμ[υμονα 1477 **96*a*** ωι συ μαλιστα χολω(ε)αι ενι φρεσιν οιδα και αυτος add. 9 (χολωαι) 1477 (χολωεαιεενι; χολώε' van Leeuwen) **101** τί 9 Ω: δέ A^{γρ} H (cf. Δ 221, I 551) πεφιδέσθαι Hdn Ω: proparox. t^{cod} (-φεί-) A^{m} *h* φίλτερον 9 Ω*: βέλτ- W ἦεν Ω: ἦε 9 **102** ἠδ' ἐπέρασσα t Ω (-ασα A), ηδεπ- 9: ἠδὲ π- A^{γρ} **103** τις 9 Ω*: γε C: κεν Eust. rr.—cf. ad N 234 φύγοι 9 Ω*: -η C **104** Ἰλίοο Ahrens: -ίου 9 Ω ἐμῇσ' R G **105** καὶ πάντων 9 Ω*: συμπ- A^{γρ} A^{m} F πέρι R: περὶ 9 Ω* **106** θάνε· ('obiit') quidam ante Nic fort. olim θανὲ, cf. Wack. KS 865 τί ἡ A B E, τί ἦ T οὕτως 'omnes' Didymi 9 t Ω: αὔ- (nov. Did?) V, αὔ- Doederlein.—cf. ad Z 55, N 447, 810

οὐχ ὁράαις, οἷος καὶ ἐγὼ καλός τε μέγας τε;
πατρὸς δ' εἰμ' ἀγαθοῖο, θεὰ δέ με γείνατο μήτηρ,
110 ἀλλ' ἔπι τοι καὶ ἐμοὶ θάνατος καὶ μοῖρα κραταιή·
ἔσσεται ἠ' ἠὼς ἢ δειέλη ἢ μέσον ἦμαρ,
ὁππότε τις καὶ ἐμεῖο ἄρηι ἐκ θυμὸν ἕληται,
ἠ' ὅ γε δουρὶ βαλὼν ἢ ἀπὸ νευρῆφιν ὀϊστῶι."
  ὣς φάτο· τοῦ δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ.
115 ἔγχος μέν ῥ' ἀφέηκεν, ὃ δ' ἕζετο χεῖρε πετάσσας
ἀμφοτέρας· Ἀχιλεὺς δὲ ἐρυσσάμενος ξίφος ὀξὺ
τύψε κατὰ κληῗδα παρ' αὐχένα, πᾶν δέ οἱ εἴσω
δῦ ξίφος ἄμφηκες· ὃ δ' ἄρα πρηνὴς ἐπὶ γαίηι
κεῖτο ταθείς, ἐκ δ' αἷμα μέλαν ῥέε, δεῦε δὲ γαῖαν.
120 τὸν δ' Ἀχιλεὺς ποταμόνδε λαβὼν ποδὸς ἧκε φέρεσθαι,
καί οἱ ἐπευχόμενος ἔπεα πτερόεντ' ἀγόρευεν·
"ἐνταυθοῖ νῦν κεῖσο μετ' ἰχθύσιν, οἵ σ' ὠτειλήν
αἷμ' ἀπολιχμήσονται ἀκηδέες· οὐδέ σε μήτηρ

108 Suet. Domit. 18; Alex. Rhet. iii.4.12 Sp.; (–κἀγώ) Hdn ad E 256b; sch N 769a^{1}; (ἐγὼ–) sch Φ 282f **109** Eudoc. 474 **111** Did (et sch^{D}) ad K 252a; ApS 85.23; Nic ad Φ 110a(bc); cf. Or. Sib. 2.182; Porph. Hom. 62.20 Sod., Il. 151.24 Schr.; w40 b 13; Eudoc. 492; Phot. Lex. η 314; (–δείλη) Epm. ε 198; (ἢ ἠὼς–) sch Θ 66b; Procl. ad Hes. Op. 578–81; (δείλη) Hdn ad T 26 **114** (τοῦ–) Charito 3.6.3; 4.5.9; [Ammon.] Diff. 170 (interp.) **122–7** Porph. Hom. 43.26 Sod.; **122–3** (–ἀκ.) Procl. in Remp. i.152.5; **122**a Macr. Sat. 5.2.17; (ἐντ.) H. ε 3322; (κεῖσο μετ' ἰ.) Porph. Hom. 44.10 Sod.; (οἵ σ'–)–**123**a Did ad O 24b; sch ζ 224; **123** (ἀπολ.) ApS 39.31; H. (Cyr.) α 6454; EtG α 1042; (ἀκ.) ApS 20.5; **124** (ἀλλὰ–)–**5** Polyb. Soloec. 286.11 Nauck; **125** (οἴσει) H. (Cyr.) ο 392; **125**b Arn ad Υ 13; **126–7** Porph. Hom. 37.10 Sod.; **126** Arn ad Z 459; **126**a cf. Porph. Hom. 44.17 Sod.; **126**b ApS 165.16; sch Ψ 692–4; Porph. Hom. 41.17 Sod.; (μελ. φρ.) ib. 40.14; (φρ.) H. φ 883; **127** Choer. in Thd. i.138.31; EtG α 1122; **127**a Arn ad Δ 191b, H 171a, X 505, δ 691; Epm. φ 43; (ὅς κε φ.) Porph. Hom. 37.15 Sod.

108 καὶ ἐγὼ 9 G (cf. Δ 40, Z 477, Θ 23, etc.): κἀγὼ tt* Ω*: ἐγὼ sch-Φ R W **110** ἔπι Ar Nicias H: ἐπί alii ante Hdn Z Ω (ἐπεί D) κραταιή· | ἔσσεται Ar Nic Ω*: κραταιή | ἔσσεται, alii ante Nic D T W G: κραταιή· | ἔσσεται. C E **111** ἠ' Fick: ἢ Ω ἠὼς 9 tt* Ω: ἠοῦς Or. Sib., quod olim fort. legebant ii qui δείλης cum interpunctione falsa δειέλη post Fick (-λα) Wack. Unt. 166: δείλη Ar tt* Ω*: -ης (nov. Did) ApS Porph.^{151} 9 A F T G: δείελος Brandreth (cf. 232): -ον Nauck (cf. ρ 606) **112** ἄρη(ι) h94 T^{λ} Ω*: ἄρει 9 R^{r} (-ης R^{a}?): ἄρη' Leaf: ἀρῆι Hermapias ap. h94 (cf. sch^{bT}) **113** ἠ' Fick: ἢ Ω **118** γαίηι 9 Ω*: -ης G **121** πτερόεντ' ἀγόρευεν 9 Ω*: -εντα προσηύδα A^{γρ} F.—cf. ad Π 829 **122** ἐνταυθοῖ Hdn Ω: properisp. DThr (an parox.?) A^{λx} et teste sch^{h} Τίμαρχος καὶ Ἀριστοτέλης (fort. Τιμαχίδας καὶ Ἀριστοφάνης) κεῖσο Ar^{a} 9 tt Ω: ἧσο (ex σ 105) Ar^{b} (vel ἧσο) h94^{λ} T^{λ}: κεῖο Wack. Unt. 170 σ' (accus.) 9 h94 tt Ω: an τ' (dat.)? ὠτειλήν 'omnes' Didymi tt* A D: -ῆς (nov. Did) Porph. Procl. 9 Ω* **123** αἷμ' 9 h94 tt Ω: αἶψ' Naber Qu. Hom. 133 cl. 347 ἀκηδέες Hdn Ω (cf. ρ 319): -δεές (pro vocativo!) quidam ante Hdn: -δεος Z: -δέα Nauck (cf. Ω 554)

ἐνθεμένη λεχέεσσι γοήσεται, ἀλλὰ Σκάμανδρος
125 οἴσει δινήεις εἴσω ἁλὸς εὐρέα κόλπον.
{θρώισκων τις κατὰ κῦμα μέλαιναν φρῖχ' ὑπαΐξει
ἰχθύς, ὥς κε φάγησι Λυκάονος ἀργέτα δημόν.
φθείρεσθ', εἰς ὅ κεν ἄστυ κιχείομεν Ἰλίου ἱρῆς,
ὑμεῖς μὲν φεύγοντες, ἐγὼ δ' ὄπιθεν κεραΐζων.
130 οὐδ' ὔμιν ποταμός περ ἐΰρροος ἀργυροδίνης
ἀρκέσει, ὧι δὴ δηθὰ πολεῖς ἱερεύετε ταύρους,
ζωοὺς δ' ἐν δίνηισι καθίετε μώνυχας ἵππους·
ἀλλὰ καὶ ὣς ὀλέεσθε κακὸν μόρον, εἰς ὅ κε πάντες
τείσετε Πατρόκλοιο φόνον καὶ λοιγὸν Ἀχαιῶν,
135 οὓς ἐπὶ νηυσὶ θοῆισιν ἐπέφνετε νόσφιν ἐμεῖο.}"
ὣς ἄρ' ἔφη· ποταμὸς δὲ χολώσατο κηρόθι μάλλον,
ὥρμηνεν δ' ἀνὰ θυμόν, ὅπως παύσειε φόνοιο
δῖον Ἀχιλλῆα, Τρώεσσι δὲ λοιγὸν ἀλάλκοι.
τόφρα δὲ Πηλέος υἱὸς ἔχων δολιχόσκιον ἔγχος
140 Ἀστεροπαίωι ἔπαλτο κατακτάμεναι μενεαίνων,
υἱέϊ Πηλεγόνος· τὸν δ' Ἀξιὸς εὐρυρέεθρος
γείνατο καὶ Περίβοια, Ἀκεσσαμενοῖο θυγατρῶν
πρεσβυτάτη· τῆι γάρ ῥα μίγη ποταμὸς βαθυδίνης.
τῶι ῥ' Ἀχιλεὺς ἐπόρουσεν, ὃ δ' ἀντίος ἐκ ποταμοῖο
145 ἔστη ἔχων δύο δοῦρε· μένος δέ οἱ ἐν φρεσὶ θῆκεν
Ξάνθος, ἐπεὶ κεχόλωτο δαῒ κταμένων αἰζηῶν,

130–1 (ἀρκ.) sch Φ 120; (ἐΰρ.) H. ε 7121 **131** (δηθὰ–) sch Ψ 147a^{1} **133** (–μόρον) EtG s.v. κατακτανέεσθε **138** (ἀλάλκοι) H. (Cyr.) α 2758 **140** (ἔπ.) H. ε 4150 **142b** Hdn i.180.26 **146–7** Did ad Φ 130–5; **146** (ἐπεὶ–δαῒ κτ.) sch Φ 136a; (δαῒ κτ.) H. (Cyr.) δ

124 ut supra 9 tt Ω*: γοήσεται, ἣ τὸ πάρος περ | γείνατο κοῦρον ἐόντα· (spatiolum) ἀλλὰ Σκάμανδρος C, ubi ἐόντα ‹καὶ ἔτρεφεν› suppl. La Roche Κάμανδρος rr, cf. Praef. xxxv **126–9** damn. Koch Homers Iliade (1868–74) ad loc. **126** θρώισκων: exspectaveris ἔνθα δέ μέλαιναν φρῖχ' ὑπαΐξει Ar^{ab} Ω*: μέλαιναν φρῖχ' ὑπαλύξει Philetas Callistr sch-Ψ ApS (-ξας) 9 (υναλ-) Z D T R^{s} W: μελαίνηι φρίχ' ὑπαΐξει ϗ **127** ἰχθύς 9 C^{c} R W^{c}: -ῦς Ω* ὥς Arph (ci.?) Porph.^{vl} F^{a} *b*: ὅς Ar 9 1467 tt* Ω* **128–35** damn. Payne Knight; **130–5** ath. Arph (et Ar u.v.) **130** ὔμιν T R: ὑμῖν Ω* **131** πολεῖς (nov. Did) 9 t Z Ω*: -έας Ar: πολλοὺς C: si genuinus esset versus, praestaret πολὺς (-ῦς Christ) **133** ὣς A B E T^{a}: ὡς Ω* **134** τ]εισε[τε 1467: τίσ- 9 Ω **136** δ' ἐχολώσατο rr μάλλον Blass: μᾶ- Z Ω **137** ὥρμηνεν 9 1467 Ω: ὥρμεναι (= -μαινε?) Z φόνοιο (Arph? cf. ad 249) 9 *b* F R^{s} G: πόν- (Ar?) sch^{T} Ω*.—cf. ad 249, Π 651 **140** ἔπαλτο t^{cod}: ἐπᾶλτο fere Z Ω.—v. Praef. xx **141** υἱέϊ sic fere 9 Ω, υιει 1467 Ἀξιὸς Barnes: proparox. Ω.—cf. ad B 849 **142** Ἀκεσσαμενοῖο Hdn Ω*: proparox. R **143** ῥα μίγη 9 Ω: ῥ' ἐμ- A^{γρ} **144** ῥ' 9 1467 Ω*: δ' D T R: om. G.—cf. ad Υ 386 **146** δαῒ κταμένων Hdn (ad 301) *b* F^{a} T$^{c?}$ R G: δαϊκτ- Z Ω*

τοὺς Ἀχιλεὺς ἐδάϊζε κατὰ ῥόον οὐδ' ἐλέαιρεν.
οἳ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
τὸν πρότερος προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
150 "τίς πόθεν εἰς ἀνδρῶν, ὅ μοι ἔτλης ἀντίος ἐλθεῖν;
δυστήνων δέ τε παῖδες ἐμῶι μένει ἀντιόωσιν."
τὸν δ' αὖ Πηλεγόνος προσεφώνεε φαίδιμος υἱός·
"Πηλείδη μεγάθυμε, τίη γενεὴν ἐρεείνεις;
εἶμ' ἐκ Παιονίης ἐριβώλου τηλόθ' ἐούσης,
155 Παίονας ἄνδρας ἄγων δολιχεγχέας· ἥδε δέ μοι νῦν
ἠὼς ἐνδεκάτη, ὅτ' ἐς Ἴλιον εἰλήλουθα.
αὐτὰρ ἐμοὶ γενεὴ ἐξ Ἀξιοῦ εὐρὺ ῥέοντος,
{Ἀξιοῦ, ὃς κάλλιστον ὕδωρ ἐπὶ γαῖαν ἵησιν,}
ὃς τέκε Πηλεγόνα κλυτὸν ἔγχεϊ· τὸν δ' ἐμέ φασιν
160 γείνασθαι. νῦν αὖτε μαχώμεθα, φαίδιμ' Ἀχιλλεῦ."
ὣς φάτ' ἀπειλήσας· ὃ δ' ἀνέσχετο δῖος Ἀχιλλεύς
Πηλιάδα μελίην, ὃ δ' ἁμαρτῆ δούρασιν ἀμφίς
ἥρως Ἀστεροπαῖος, ἐπεὶ περιδέξιος ἦεν.
καί ῥ' ἑτέρωι μὲν δουρὶ σάκος βάλεν, οὐδὲ διάπρο
165 ῥῆξε σάκος· χρυσὸς γὰρ ἐρύκακε, δῶρα θεοῖο·
τῶι δ' ἑτέρωι μιν πῆχυν ἐπιγράβδην βάλε χειρός
δεξιτερῆς, σύτο δ' αἷμα κελαινεφές· ἣ δ' ὑπὲρ αὐτοῦ

95; **147** (ἐδά.) H. ε 387 **150–1** Eudoc. 948–9; **150a** (al.) Apio 233.25; Hdn i.563.8; Epm. φ 47 **155** (–δολιχ.) id. μ 43; (ἥδε–)–**156** ApS 85.22; (ἥδε–)–**156a** Porph. Hom. 63.8 Sod.; H. η 1038; Phot. Lex. η 314 **158** sch λ 239 **159a** Hdn ad Φ 141 **162b** ApS 24.29 **163** Erot. p.15.15 N.; (περιδ.) ApS 130.20; Phot. Lex. s.v. **166** (τῶι δ' ἑτ.) + **167** (ἣ δ'–)–8a sch Φ 167b²; **166** (πῆχυν–) ApS 72.27; (ἐπιγρ.) Hdn ad Ω 343a; H. (Cyr.) ε 4686; **167** (χύτο δ' αἷμα) Epm. χ 31; (σύτο) H. σ 2816;

147 τοὺς 9 1467 Ω: οὓς t (cod. A).—cf. ad X 48 ἐδάϊζε 9 tt Z Ω*: -ξε T H ρρόον fere D C T W G **148** om. 9, damn. Leaf: hab. 1467 Ω **150** εἷς A Bᵃ Cᵃ E: εἰς 9, εἷς Ω*, εἶς T μοι van Leeuwen: μευ 9 t Ω: μου quidam ap. schᵀ: με' Platt ἀντίος 9 Ω*: -ον t Aˢ B E F ἐλθεῖν 9 t Ω*: -ὼν D W **152** προσεφώνεε 9 Ω*: -νει C.—cf. ad Σ 323 **153** τί ἢ A B E F: τί ἦ T **154** εἶμ' Ω*: εἰμ' Aᵃ E: εἴμ' Bᵃ W **155** Παίονας 9 t D C R G: parox. Aᵏ Ω*.—cf. ad Π 287 ἄγων 9 t Ω* Aᵐ: ἔχων A C δολιχεγχέας Hdn Ω*: proparox. Sel (ap. h94) 9 Z (-εα) Aᵐ C Fᵃ W G ἦδε A D Bᵃ E Tᵃ **157** ἐμοὶ 9 Ω: ἐμὴ rr Ἀξιοῦ Barnes (et in 158): parox. 9 Ω **158** (cf. B 850) add. t *b* F Gᵐ: deest in 9 Ω* ὃς F Gᵐ (cf. M 33): οὗ (ex B 850) t *b* ἐπὶ γαῖαν ἵησιν t F Gᵐ: ἐπικίδναται αἶαν (ex B 850) *b* **159** ἔγχεϊ sic Ω δ' ἐμέ Ptol D T R: δέ με alii ante Hdn Ω* **160** γείνασθαι 9 Ω* Aᵐ: -εσθαι A *b* νῦν 9 Ω*: νῦν δ' T **162** ἁμαρτῆ Ar: -ῆι 𝔐 Hdn t Z (-τη) Ω*: ὁμαρτῆ(ι) 9 (-τη) G.—cf. ad E 656 ἀμφίς Ar 9 t Z Ω: -φω 𝔐 **163** περιδέξιος Hdn h95 tt Z Ω (-ξίος W): πέρι δεξιὸς Pindario **164** διάπρο dedi (Praef. xix): διὰ πρὸ D Fᵃ T R G: διαπρὸ Ω* **167** σύτο 9 Hsch. Tᵏ Ω*: χύτο t* Wˣ G

γαίηι ἐνεστήρικτο, λιλαιομένη χροὸς ἆσαι.
δεύτερος αὖτ' Ἀχιλεὺς μελίην ἰθυπτίωνα
170 Ἀστεροπαίωι ἐφῆκε κατακτάμεναι μενεαίνων·
καὶ τοῦ μέν ῥ' ἀφάμαρτεν, ὃ δ' ὑψηλὴν βάλεν ὄχθην,
μεσσοπαγὲς δ' ἄρ' ἔθηκε κατ' ὄχθης μείλινον ἔγχος.
Πηλείδης δ' ἄορ ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
ἆλτ' ἐπί οἱ μεμαώς· ὃ δ' ἄρα μελίην Ἀχιλῆος
175 οὐ δύνατ' ἐκ κρημνοῖο ἐρύσσαι χειρὶ παχείηι.
τρὶς μέν μιν πελέμιξεν ἐρύσσασθαι μενεαίνων,
τρὶς δὲ μεθῆκε βίης· τὸ δὲ τέτρατον ἤθελε θυμῶι
ἆξαι ἐπιγνάμψας δόρυ μείλινον Αἰακίδαο,
ἀλλὰ πρὶν Ἀχιλεὺς σχεδὸν ἄορι θυμὸν ἀπηύρα·
180 γαστέρα γάρ μιν τύψε παρ' ὀμφαλόν, ἐκ δ' ἄρα πᾶσαι
χύντο χαμαὶ χολάδες· τὸν δὲ σκότος ὄσσ' ἐκάλυψεν
ἀσθμαίνοντ'. Ἀχιλεὺς δ' ἄρ' ἐνὶ στήθεσσιν ὀρούσας
τεύχεά τ' ἐξενάριξε καὶ εὐχόμενος ἔπος ηὔδα·
"κεῖσ' οὕτω· χαλεπόν τοι ἐρισθενέος Κρονίωνος
185 παισὶν ἐριζέμεναι, ποταμοῖό περ ἐκγεγαῶτι.
φῆσθα σὺ μὲν ποταμοῦ γένος ἔμμεναι εὐρὺ ῥέοντος,
αὐτὰρ ἐγὼ γενεὴν μεγάλου Διὸς εὔχομαι εἶναι.
τίκτε μ' ἀνὴρ πολλοῖσιν ἀνάσσων Μυρμιδόνεσσιν,
Πηλεὺς Αἰακίδης· ὃ δ' ἄρ' Αἰακὸς ἐκ Διὸς ἦεν.

168 'Trypho i' Trop. iii.192.15 Sp.; **168**b Epm. λ 38 **169** ApS 90.22; **169**a Arn ad Φ 173a[1]/b; (ἰθυπτ.) H. (Cyr.) ε 801, ι 415 **172** (–ὄχθ.) sch Φ 17c; (μεσσ.) ApS 111.28; H. (Cyr.) μ 926/7, [950] **174**a Hdn ad A 368b[1] **175** (–ἐρ.) sch Φ 17c; **175**a Arn ad Φ 172c **178** (ἆξαι) H. (Cyr.) α 5611 **180** (–ὀμφ.) Apio 96.21 **186** (φῆσθα) ApS 162.27; [Plut.] Hom. 2.10.4; H. φ 365 **187** cf. Eudoc. 473 **188** Epm. γ 31; (–ἀνάσσ.) Anon. π. ἀκυρολ. 4 (p.141.5 Nick.); (ἀνὴρ–) Choer. in Thd. i.280.32

168 ἐνεστήρικτο 9 sch-Φ Ω*: ἐνστ- *b*: ἐστ- h95 Z rr: ἐν γαίηι ἵστατο t* **169** ἰθυπτίωνα Ar 9 h95 tt Z Ω: -πτιῶνα Hermapias: -πτείωνα sch[hyp]: -κτίωνα Zen Callistr: -κτεί- vel -κτή-? Wack. Unt. 242 **172** μεσσοπαγὲς (nov. Did) h95? t* Z D F[a] T R G[c]: -λὲς Ar ApS 9 T[s] Ω*: utrumque Hsch. A[λ] **174** ἆλτ' A[a] G[a]: ἇ- Ω*: ἅ- C R W ἐπί οἱ Hdn Ω*: ἐπὶ οἱ *b* F[c] W G, ἐπὶ οἱ Z E: ἔπι οἱ (?) Ptol **176** ἐρύσ(σ)ασθαι D T R W G: -εσθαι 9 Ω*.—cf. ad Σ 174; Leaf ad H 36; Chantr. II 310 **177** βίης (= φ 126) rr: -η(ι) 9 Ω **178** ἆξαι F[c] W N O: ἄ- 9 Z Ω*.—v. Praef. xx ἐπιγνάμψας 9 Z Ω*: -γνάψας T: -γράψας W **179** ἀλλὰ 9 Ω: ἀλλά ε rr **181** ὄσσ' ἐκάλυψεν rr: ὄσσε κ- Ω **182** ὀρούσας 9 Ω*: -ούων Z A[s] D R W **183** ἐξενάριξε Ar 9 Ω: -ιζε "ἐν ἐνίαις" rr **184** κεῖ' Wack. Unt. 170 οὕτω Ω*: -ως C **185** ἐκγεγαῶτι Ar[ab] 9 Ω: -τα (nov. Did) *b* V **186** φῆσθα Hdn ApS 9 Ω*: φήισθα Tyr: φῇσθα G **187** γενεὴν 9 Ω (cf. ο 225): -ῆς Bentley (cf. Z 211 = Υ 241) **188** τίκτέ A D F R W

190 τὼ κρέσσων μὲν Ζεὺς ποταμῶν ἁλιμυρηέντων,
κρέσσων αὖτε Διὸς γενεὴ ποταμοῖο τέτυκται.
καὶ γὰρ σοὶ ποταμός γε πάρα μέγας, εἰ δύναταί τι
χραισμεῖν· ἀλλ' οὐκ ἔστι Διὶ Κρονίωνι μάχεσθαι,
τῶι οὐδὲ κρείων Ἀχελώϊος ἰσοφαρίζει,
195 οὐδὲ βαθυρρείταο μέγα σθένος Ὠκεανοῖο,
ἐξ οὗ περ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα
καὶ πᾶσαι κρῆναι καὶ φρείατα μακρὰ νάουσιν·
ἀλλὰ καὶ ὃς δείδοικε Διὸς μεγάλοιο κεραυνόν
δεινήν τε βροντήν, ὅτ' ἀπ' οὐρανόθεν σμαραγήσηι."
200 ἦ ῥα, καὶ ἐκ κρημνοῖο ἐρύσσατο χάλκεον ἔγχος,
τὸν δὲ κατ' αὐτόθι λεῖπεν, ἐπεὶ φίλον ἦτορ ἀπηύρα,
κείμενον ἐν ψαμάθοισι, δίαινε δέ μιν μέλαν ὕδωρ.
τὸν μὲν ἄρ' ἐγχέλυές τε καὶ ἰχθύες ἀμφεπένοντο,
δημὸν ἐρεπτόμενοι ἐπινεφρίδιον κείροντες·
205 αὐτὰρ ὃ βῆ ῥ' ἰέναι μετὰ Παίονας ἱπποκορυστάς,
οἵ ῥ' ἔτι πὰρ ποταμὸν πεφοβήατο δινήεντα,
ὡς εἶδον τὸν ἄριστον ἐνὶ κρατερῆι ὑσμίνηι
χέρσ' ὕπο Πηλείδαο καὶ ἄορι ἶφι δαμέντα.
ἔνθ' ἕλε Θερσίλοχόν τε Μύδωνά τε Ἀστύπυλόν τε
210 Μνῆσόν τε Θρασίον τε καὶ Αἴνιον ἠδ' Ὀφελέστην.

190 (ἁλιμ.) sch A.R. 1.913; H. (Cyr.) α 3015 **194** ApD Synt. 121.13; Epm. ο 4; (κρ.) sch M 27a[1] **196–7** sch[D] Ξ 434; **196** Theodoret. Graec. aff. cur. 2.50; Porph. Il. 198.16 Schr.; Olymp. in Meteor. CAG xii(2).134.2, 138.7; cf. Lyd. Mag. 2.7; (–ποτ.) Megaclides ap. sch Φ 195b; sch Φ 2b (bis); Porph. Il. 199.5 Schr.; (πάντες–) Procl. in Tim. iii.179.1; **197** (φρ.–) Hdn i.391.2; sch B 92a[1/3]; Choer. in Thd. i.350.7; (φρ. μ.) Philostr. Her. 2.3; (φρ.) H. φ 856; (νά.) H. (Cyr.) ν 70 **198–9**? w37.1 (lacera); **198** (–μεγ.) Epm. ο 101; **198a** ApD Pron. 5.29 **199** (σμαρ.) H. σ 1225 **202a** cf. sch A 486a; (δίαινε) cf. ApS 58.20 **204** (ἐπιν.) H. (Cyr.) ε 5001; (κείρ.) H. κ 2012 **206** Epm. β 36; **206b** sch I 3c; (πεφοβ.) sch Γ 183b

190 τὼ rr: τῶ(ι) Ω κρέσσων Blass (et in 191): κρεί- 9 Ω ἁλιμυρηέντων Ar 9 tt Z Ω*: -μοιρ- sch[b] D *b* F[c] **191** αὖτε Ar r: δ' αὖτε (nov. Did) 9 Ω **192** γὰρ σοὶ Ω*: γάρ σοι D F R G: γάρ τοι Tzetz. (Alleg. Φ 71) **194** οὐδὲ (Zen) Z Ω: οὔτε Ar *b* H **195** non habuerunt Megaclides Zen, om. R[a], cf. Paus. 8.38.10: hab. Ar Lyd. Olymp. 9 Ω*.—cf. Pasquali Storia della tradizione 225–7 οὐδὲ 9 A[λ] Ω: οὔτε Ar(?) A[s] *b* **196** καὶ πᾶσα θάλασσα 9 tt* Ω: πᾶσαι τε θάλασσαι O: πᾶσαι δέ τε πηγαί Olymp. **198** ὃς 9 tt Ω*: ὡς D, ὧς G **203–4** damn. Düntzer **205** ῥ' 9 Ω*: om. 1 A B E W G Παίονας 9 Ω*: parox. 1 A B E T W.—cf. ad Π 287 ἱπποκορυστάς 1 9 Ω: ἀγκυλοτόξους sch[T] (at v. Erbse) **208** ὕπο O: ὑπὸ vel ὑπο 1 9 Ω **209** Θερσί–λοχόν 1 9 Ω: (ἕλεν) Ὀρσ- V: Θηρσ- Herwerden.—v. ad P 216 **210** Θρασίον Ω (-ίων D): -ιόν 1 9: proparox. *b* W[x] V

καί νύ κ' ἔτι πλέονας κτάνε Παίονας ὠκὺς Ἀχιλλεύς,
εἰ μὴ χωσάμενος προσέφη ποταμὸς βαθυδίνης
ἀνέρι εἰσάμενος, βαθέης δ' ἐκφθέγξατο δίνης·
"ὦ Ἀχιλεῦ, περὶ μὲν κρατέεις, περὶ δ' αἴσυλα ῥέζεις
215 ἀνδρῶν· αἰεὶ γάρ τοι ἀμύνουσιν θεοὶ αὐτοί.
εἴ τοι Τρῶας ἔδωκε Κρόνου παῖς πάντας ὀλέσσαι,
ἐξ ἐμέθεν γ' ἐλάσας πεδίον κάτα μέρμερα ῥέζε.
πλήθει γὰρ δή μοι νεκύων ἐρατεινὰ ῥέεθρα,
οὐδέ τί πηι δύναμαι προχέειν ῥόον εἰς ἅλα δῖαν
220 στεινόμενος νεκύεσσι· σὺ δὲ κτείνεις ἀϊδήλως.
ἀλλ' ἄγε δὴ καὶ ἔασον· ἄγη μ' ἔχει, ὄρχαμε λαῶν."
τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
"ἔσται ταῦτα, Σκάμανδρε διοτρεφές, ὡς σὺ κελεύεις.
Τρῶας δ' οὐ πρὶν λήξω ὑπερφιάλους ἐναρίζων,
225 πρὶν ἔλσαι κατὰ ἄστυ καὶ Ἕκτορι πειρηθῆναι
ἀντιβίην, ἥ κέν με δαμάσσεται, ἦ κεν ἐγὼ τόν."
ὣς εἰπὼν Τρώεσσιν ἐπέσσυτο δαίμονι ἶσος.
καὶ τότ' Ἀπόλλωνα προσέφη ποταμὸς βαθυδίνης·
"ὢ πόποι, Ἀργυρότοξε, Διὸς τέκος, οὐ σύ γε βουλὰς
230 εἰρύσαο Κρονίωνος, ὅ τοι μάλα πόλλ' ἐπέτελλεν
Τρωσὶ παρεστάμεναι καὶ ἀμύνειν, εἰς ὅ κεν ἔλθηι

212 (χωσ.) H. χ 881 **214** Men. Rh. 374.10 Sp.; (περὶ δ'–) Epm. α 310; (αἴσ. ῥ.) H. (Cyr.) α 2121 **217–19** Men. Rh. 374.16 Sp.; **218** sch ζ 58; Porph. Il. 125.14 Schr.; (–νεκ.) Epm. ε 104; **219** sch Φ 190a[1]; (–ῥόον) + **220**a sch Π 71–2; **220**a Arn ad Π 163ab; sch Hes. Th. 160; **220**b ApS 16.33; Porph. Hom. 121.19 Sod.; (ἀϊδ.) H. (Cyr.) α 1774 **221**b Hdn i.310.1; Choer. in Thd. i.308.9; id. in Ps. 73.24; Epm. σ 19; (ἄγη μ' ἔχει) sch Soph. O.R. 656; (ἄγη) H. α 479; EtG α 38; Phot. Lex. α 160 **224** (ὑπερφ.) Apio 102.2 **231** (εἰς ὅ–)–2 sch[h94] Φ 111; (εἰς ὅ–)–2 (δεί.) EtG α 198; **232**a Hdn ii.932.16; H. δ 443; Polyb. Fig. iii.105.14 Sp.; (ὀψὲ δύων) H. ο 2072, cf. ε 539

211 κτάνε 1 9 Ω*: ἔκτ- A *b* Παίονας Ω*: parox. A B E T W **212** ποταμὸς 1 9[2s] Ω (cf. 143, 228, 329): Ξανθος 9 **213** hab. Ar 1 9 Ω*: om. R[a] rr (homoeotel.), damn. Heyne εἰσάμενος Ar[a] 9 Ω (cf. P 73), εεισ- Z: εἰδόμ- Ar[b] 1 h94[λ] (cf. Γ 122, E 462).—cf. ad E 785, Π 716 δ' 1 9 Ω: om. Ar *h* ἐκφθέγξατο 1[a] *h*: ἐφθ- 1[c] 9 Ω (δὲ φθ- F G) **214** περὶ (vel περι) bis Hdn 9 Ω*: πέρι (deprec. Hdn) R et altero loco W αισύλα 9 **215** damn. Düntzer **217** γ' ἐλάσας Ar 9 h94 Ω*: ἐλ- t G: πελ- Arph V ῥέζε 9 t Ω*: -ειν D R G **219** vel οὐδ' ἔτι **221** ἔασον Ar[ab] Hdn Ω: ἕα- quidam ante Did ad ἄω vel ἥδω referentes (cf. ad N 315) **223** Σκάμανδρε 9 sch[hγρ] T[λ] Ω: Κάμ- *h*.—cf. Praef. xxxv **225** ἕλσαι C R W G **226** utrum ἀντιβίην· ἤ … ἤ an ἀντιβίην, ἤ … ἦ ambigit Nic: ἤ … ἦ B[a]?: ἦ … ἤ T: ἤ … ἤ 9 Ω*: εἴ … ἤ D[a] **229** ὢ Ar (teste sch[h]) A D F: ὣ Ω* **230** εἰρύσαο 9 h94 (xi 36) Ω* G[γρ]: εἴρυσαο G: -ύατο Z: εφρασαο h94 (xi 22) **231** παρεστάμεναι 9 h94 D R G: παριστ- Ω* ἔλθη(ι) 9 h94 tt Ω*: -οι C

δείελος ὀψὲ δύων, σκιάσηι δ' ἐρίβωλον ἄρουραν."
ἦ· καὶ Ἀχιλλεὺς μὲν δουρικλυτὸς ἔνθορε μέσσωι,
κρημνοῦ ἀπαΐξας· ὃ δ' ἐπέσσυτο οἴδματι θυίων,
235 πάντα δ' ὄρινε ῥέεθρα κυκώμενος, ὦσε δὲ νεκρούς
πολλούς, οἵ ῥα κατ' αὐτὸν ἅλις ἔσαν, οὓς κτάν' Ἀχιλλεύς.
τοὺς ἔκβαλλε θύραζε, μεμυκὼς ἠΰτε ταῦρος,
χέρσονδε· ζωοὺς δὲ σάω κατὰ καλὰ ῥέεθρα,
κρύπτων ἐν δίνηισι βαθείηισιν μεγάληισιν.
240 δεινὸν δ' ἀμφ' Ἀχιλῆα κυκώμενον ἵστατο κῦμα,
ὤθει δ' ἐν σάκεϊ πίπτων ῥόος· οὐδὲ πόδεσσιν
εἶχε στηρίξασθαι, ὃ δὲ πτελέην ἕλε χερσίν
εὐφυέα μεγάλην· ἣ δ' ἐκ ῥιζέων ἐριποῦσα
κρημνὸν ἅπαντα διῶσεν, ἐπέσχε δὲ καλὰ ῥέεθρα
245 ὄζοισιν πυκινοῖσι, γεφύρωσεν δέ μιν αὐτόν
εἴσω πᾶσ' ἐριποῦσ'. ὃ δ' ἄρ' ἐκ δίνης ἀνορούσας
ἤϊξεν πεδίοιο ποσὶ κραιπνοῖσι πέτεσθαι,
δείσας· οὐδέ τ' ἔληγε θεὸς μέγας, ὦρτο δ' ἐπ' αὐτῶι
ἀκροκελαινιόων, ἵνα μιν παύσειε φόνοιο
250 δῖον Ἀχιλλῆα, Τρώεσσι δὲ λοιγὸν ἀλάλκοι.
Πηλείδης δ' ἀπόρουσεν ὅσον τ' ἐπὶ δουρὸς ἐρωή,
αἰετοῦ οἴματ' ἔχων †μέλανος τοῦ† θηρητῆρος,

233–4a sch Φ 223a^{1}; **233**b Epm. ε 196; **234** (ἀπαΐ.) H. α 5724; (θύων) H. (Cyr.) θ 982 **235** (κυκ.) Phot. Lex. κ 1186 **237** sch Soph. Tr. 13 **238** (ζω.–)–9 sch Φ 365a; (ζω.–)–9a Porph. Il. 251.1 Schr.; **239** sch λ 243; Eudoc. 445 **240–2**a D.H. Comp. 99; **240** 'Trypho ii' Trop. 7 (CQ 15.245); Epm. A 483b, κ 18; **240**b ib. κ 133; **241** (–ῥόος) Hdn ad Δ 452a; **242** (–ὅ) sch^{h} Φ 223 **243**a Epm. ε 178 **247** Eudoc. 851 **249** ApS 20.4; **249**a H. α 2612, cf. κ 2134; sch Φ 25a^{1}, 382; EtG α 1553 **252** Porph. Il. 274.3 Schr.; **252**a Arn ad X 308a; H. ο 290; (οἴμ.) cf. ApS 119.27; **252**b cf. Plut. Mor. 751a; EtG s.v.

232 δείέλος quidam ap. sch^{hG} pro etymologia ficta **233** δουρὶ κλυτὸς A D B^{a} E F T W G **234** ἀπαΐξας 9 [h94] tt Ω*: ἐπ- A^{s} R: ὑπ- *h*: ἀπαΐσσων sch$^{h\gamma\rho}$ rr θυίων h94 A B E T: θύων 9 t Z Ω*.—v. Praef. xxxi **236** ἅλις ἔσαν (= 344) 9 Ω*: ἔσαν ἅλις E F (prob. Heyne, alii) **237** ἔκβαλλε 9 t Ω: ἐξῆγε A$^{\gamma\rho}$ (ex 29) **238** ζωιοὺς h94 W σάω 9 h94 tt Ω (δ' ἐσ- R G): σάου Cobet Misc. crit. 293.—cf. ad I 393 **242** εἶχε 9 Dion. Z sch$^{h\gamma\rho}$ Ω: εἴα t* *h*: εἶκε Brandreth (cf. ad H 217) στηρίξασθαι 9 Z Ω: -ζεσθαι tt P πτελεὴν quidam ante Hdn **243** ῥιζέων Thiersch: -ζῶν 9 Ω **245** μιν αὐτόν 9 Ω: κέλευθον A$^{\gamma\rho}$ (ex O 357) **246** δίνης Ar 9 h94 A F G: λίμνης quidam ante Ar Ω*: ῥιπῆς quidam ap. sch^{T} **247** πεδίοιο 9 t Ω: -ονδε h94 A$^{\gamma\rho}$ r.—cf. ad Ψ 122 πέτεσθαι 9 h94 t Ω (parox. A): φέρεσθαι h94$^{\gamma\rho}$(?) A$^{\gamma\rho}$ rr **248** οὐδ' ἔτ' B^{a} E T G θεὸς μέγας 9 Ω (cf. T 410): μέγας θεὸς *h* (cf. Π 531, Ω 90) αὐτῶι Ω*: -όν 9 F G (cf. E 590, Λ 343) **249** φόνοιο Arph 9: πόν- Ar^{ab} t Ω.—cf. ad 137 **250** (= 138) om. R H^{a} V, damn. Payne Knight: hab. 9 Ω* **251** ἐρωή 9 Ω* (cf. O 358): -ήν A D^{a} F^{c} G **252** οἴματ' (Ar) 9 (οἶμά τ') tt Z Ω

ὅς θ' ἅμα κάρτιστός τε καὶ ὤκιστος πετεηνῶν·
τῶι εἰκὼς ἤϊξεν, ἐπὶ στήθεσσι δὲ χαλκός
255 σμερδαλέον κονάβιζεν· ὕπαιθα δὲ τοῖο λιασθείς
φεῦγ', ὃ δ' ὄπισθε ῥέων ἕπετο μεγάλωι ὀρυμαγδῶι.
ὡς δ' ὅτ' ἀνὴρ ὀχετηγὸς ἀπὸ κρήνης μελανύδρου
ἂμ φυτὰ καὶ κήπους ὕδατι ῥόον ἡγεμονεύηι
χερσὶ μάκελλαν ἔχων, ἀμάρης ἐξ ἔχματα βάλλων·
260 τοῦ μέν τε προρέοντος ὑπὸ ψηφῖδες ἅπασαι
ὀχλέονται, τὸ δέ τ' ὦκα κατειβόμενον κελαρύζει
χώρωι ἔνι προαλεῖ, φθάνει δέ τε καὶ τὸν ἄγοντα·
ὣς αἰεὶ Ἀχιλῆα κιχήσατο κῦμα ῥόοιο,
καὶ λαιψηρὸν ἐόντα· θεοὶ δέ τε φέρτεροι ἀνδρῶν.
265 ὁσσάκι δ' ὁρμήσειε ποδάρκης δῖος Ἀχιλλεύς
στῆναι ἐναντίβιον καὶ γνώμεναι, εἴ μιν ἅπαντες
ἀθάνατοι φοβέουσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
τοσσάκι μιν μέγα κῦμα διιπετέος ποταμοῖο
πλάζ' ὤμους καθύπερθεν. ὃ δ' ὑψόσε ποσσὶν ἐπήδα
270 θυμῶι ἀνιάζων· ποταμὸς δ' ὑπὸ γούνατ' ἐδάμνα
λάβρος ὕπαιθα ῥέων, κονίην δ' ὑπέρεπτε ποδοῖιν.

253 sch Ο 238; Porph. Il. 274.15 Schr. **254**a cf. Epm. ι 70; (εἰκώς) H. (Cyr.) ε 848 **257–62** EtG α 585 e Methodio; **257** Erot. p.67.5 N.; **257**a Demetr. Eloc. 209; (ὀχετ.) H. (Cyr.) ο [439], 2014; Phot. Lex. s.v.; **259** ApS 25.23, 80.21; (μάκ.) id. 109.33; H. (Cyr.) μ 114; Phot. Lex. μ 45; EtG s.v.; **259**b sch Call. H. 6.29; (ἀμ.) H. α 3448; Orio 11.22; (ἔχμ.) H. [α 2200], ε 7651; **260–1** (ὀχλ.) (lacera) Philod. Poem. 2 p.141 Sb.; **260** (ψ.) H. ψ 157; **261** (ὀχλ.) H. (Cyr.) ο 2037(–8); (ὦκα–) Eudoc. 1009; **261**b sch Theoc. 1.1d; (κελ.) Apio 243.3; ApS 97.29; H. (Cyr.) κ 2139; Phot. Lex. κ 552; **262** (προαλεῖ) ApS 136.10; H. π 3313; (ἄγ.) H. (Cyr.) α 696 **269**a Epm. ε 104; (πλάζ' ὤμ.) cf. Iul. Or. 2.60d; **269**b Epm. υ 34 **270**b–1a ib. υ 33; **271**b ApS 158.27; (ὑπέρ.) H. υ 377

(οἵ- Hdn? A A$^{\lambda}$ D B E R; cf. ad Π 752): ὄμματ' Philetas.—cf. ad Θ 349 μελανόστου Aristoteles (teste sch^{bTDhG}): μέλανός του Arph? (Ἀρίσταρχος sch^{bThG} EtG Eust., at is hanc lectionem redarguit u.v.): μέλανος τοῦ Ar(?) Hdn tt sch^{D} Ω, μελανοστου 9: μελανόσσου quidam (Philetas?) ap. h94 Porph. sch^{bTDhG}: -όρσου Ahrens Beitr. z. gr. u. lat. Etymol. I 123, cf. Fraenkel ad Aesch. Ag. 115 **254** στήθεσσι 9 Ω*: -εσφι D.—cf. ad B 388 **255** fort. ὕπαιθα, cf. ad X 141 **256** ὀρυμαγδῶι 9 1479 Ω* (-γμαδ- R G): ἀλαλητῶ C **258** ὕδατι Ω: -τος 9 *h* O V ἡγεμονεύηι 9 1479 t^{A} Ω* R^{s}: -ει t^{B} C T$^{\lambda}$ R^{t} **259** μάκελλαν 9 tt Z Ω: δίκ- Heliodorus (gl. u.v.) ἐξ tt Ω (om. C): δ' ἐξ 9 rr **261** ὀχλέονται dedi: -εῦνται 9 tt Z Ω **262** ἔνι Wolf: ἐνὶ vel ἐνι 9 Ω (ἐν W) προάλεῖ quidam ante Hdn (contra Ptol) φθάνει Ar Hdn 9 t Ω: -νέει Zen Lysanias Duris.—cf. ad I 506 **265** ὁρμήσειε Ar 9 Ω (cf. X 194): οἰμ- alii ante Did (ante Ar?).—cf. ad X 140, 308, 311 **268** διϊπετέος 9 Ω: v. ad Π 174 **270** ὑπὸ γούνατ' ἐδάμνα 9 Ω (-μνη Nauck Mél. IV 485, cf. ad Π 103), γ]ọ̣ụ̣ṿ[α]τα.[1479: ἐδάμαζεν ἄνακτα t **271** cf. ad 255 ὑπέρεπτε 9 tt Z sch^{hyp} Ω*: -ριπτε *h*: -ρέπτατο W

Πηλείδης δ' ᾤιμωξεν ἰδὼν εἰς οὐρανὸν εὐρύν·
"Ζεῦ πάτερ, ὥς οὔ τίς με θεῶν ἐλεεινὸν ὑπέστη
ἐκ ποταμοῖο σαῶσαι· ἔπειτα δὲ καί τι πάθοιμι.
275 ἄλλος δ' οὔ τίς μοι τόσον αἴτιος Οὐρανιώνων,
ἀλλὰ φίλη μήτηρ, ἥ με ψεύδεσσιν ἔθελγεν·
ἥ μ' ἔφατο Τρώων ὑπὸ τείχεϊ θωρηκτάων
λαιψηροῖς ὀλέεσθαι Ἀπόλλωνος βελέεσσιν.
ὥς μ' ὄφελ' Ἕκτωρ κτεῖναι, ὃς ἐνθάδε γ' ἔτραφ' ἄριστος·
280 τώ κ' ἀγαθὸς μὲν ἔπεφν', ἀγαθὸν δέ κεν ἐξενάριξεν·
νῦν δέ με λευγαλέωι θανάτωι εἵμαρτο ἁλῶναι,
ἐρχθέντ' ἐν μεγάλωι ποταμῶι, ὡς παῖδα συφορβόν,
ὅν ῥά τ' ἔναυλος ἀποέρσηι χειμῶνι περῶντα."
ὣς φάτο· τῶι δὲ μάλ' ὦκα Ποσειδάων καὶ Ἀθήνη
285 στήτην ἐγγὺς ἰόντε, δέμας δ' ἄνδρεσσιν ἐΐκτην.
χειρὶ δὲ χεῖρα λαβόντες ἐπιστώσαντ' ἐπέεσσιν·
τοῖσι δὲ μύθων ἦρχε Ποσειδάων ἐνοσίχθων·
"Πηλείδη, μήτ' ἄρ τι λίην τρέε μήτέ τι τάρβει·
τοίω γάρ τοι νῶϊ θεῶν ἐπιταρρόθω εἰμέν
290 Ζηνὸς ἐπαινήσαντος, ἐγὼ καὶ Παλλὰς Ἀθήνη.
ὡς οὔ τοι ποταμῶι γε δαμήμεναι αἴσιμόν ἐστιν,
ἀλλ' ὅδε μὲν τάχα λωφήσει· σὺ δὲ εἴσεαι αὐτός.
αὐτάρ τοι πυκινῶς ὑποθησόμεθ', αἴ κε πίθηαι·

276a Hdn ad Ω 72–3; (ἔθ.) H. (Cyr.) ε [621], 639 **278** sch X 15a; sch Soph. Ph. 335 **279** Dio Prus. 11.151; sch Ψ 348b; **279a** sch A 415b **281** Eulog. ap. Reitz. Gesch. 356.18; (–θαν.) Arn ad I 119a; EtG λ 72; (λευγ. θ.) sch Υ 109b^{1}; (λευγ.) H. λ 710 **282** (–ποτ.) sch Ar. Ach. 330a; (ἐρχθ.) ApS 76.6; H. (Cyr.) ε [5695], 6129; Phot. Lex. ε 1983; EtG s.v. **283** sch Π 71–2, Φ 2b; sch^{h} Φ 282; **283a** Porph. Il. 200.1 Schr.; (–ἔν.) sch^{G} Φ 282e; (ἔναυλος ἀπο.) sch Z 348b; (ἀπο.) H. α 6333 **284** (τῶι–)–**5** Procl. in Remp. i.114.14; **285** Hdn ii.935.33 **289–90a** Did in K 349a^{1}; **289** sch^{h94} Φ 290 **291** Choer. in Ps. 42.34

274 τί 9 *b* F T R W **276** ψεύδεσσιν sic (ne -έσσιν) Hdn 9 Ω **277** τείχεϊ sic 9 Ω praeter F T **279** γ' ἔτραφ' N$^{\gamma\rho}$ rr: γ' ἐτράφ' (-η) Hdn A A$^{\lambda}$: (ἐνθάδ') ἐτράφ' T: ἐτράφατ' W: τέτραφ' 9 1480 tt "οἱ πολλοί" (ApH) A$^{\gamma\rho}$ T$^{\lambda}$ Ω* (forma recentior, cf. Wack. KS 1014; Schwyzer 769).—cf. ad Ψ 348 **280** τώ F^{a}, τὼ T^{x}: τῶ Ω* **281** λευγαλέωι θανάτωι 9 Eulog. EtG Z A$^{\lambda}$ Ω (= ε 312, cf. ω 34): -λέον θάνατον tt* **282** ἐρχθέντ' Ar Hdn 9 tt Z Ω (ἑ- G): εἰρχθ- 𝔐: ἐρθ- Ptol? Alexio: εἰλθ- Crates ἐρχθέντα sine ἐν sch$^{G\gamma\rho}$ (ita van der Valk: -έντες ἐν cod.) **284** τῶ(ι) 9 Ω: τὼ sch$^{h\gamma\rho}$ **287** del. Payne Knight **288** τρέε 9 h94 sch^{G} T$^{\lambda}$ Ω*: τρέμε T (οὐ γέγραπται τρέμε sch^{G}) μήτέ (sic) Ω*, μητε 9: μηδέ F^{a} T$^{\lambda}$ R W **289** ἐπιταρρόθω 9 tt Z Ω*: -τάρροθοί D T$^{\lambda}$ V **290–2** om. 𝔎 teste Sel, ath. idem: **290** ath. Ar **291** ὣς Cauer ἐστιν 9 1481 Ω: ἦεν t **293** τοι Ω*: σοι 9 A^{s} *b* R: τοι σοὶ D: σοὶ Bekker ὑποθησόμεθ' 9 Ω*: -θήσομαι D (= α 279), -θήσομ' W

μὴ πρὶν παύειν χεῖρας ὁμοιΐοο πτολέμοιο,
295 πρὶν κατὰ Ἰλιόφι κλυτὰ τείχεα λαὸν ἐέλσαι
Τρωϊκόν, ὅς κε φύγησι. σὺ δ' Ἕκτορι θυμὸν ἀπούρας
ἂψ ἐπὶ νῆας ἴμεν· δίδομεν δέ τοι εὖχος ἀρέσθαι."
τὼ μὲν ἄρ' ὣς εἰπόντε μετ' ἀθανάτους ἀπεβήτην·
αὐτὰρ ὃ βῆ, μέγα γάρ ῥα θεῶν ὤτρυνεν ἐφετμή,
300 ἐς πεδίον. τὸ δὲ πᾶν πλῆθ' ὕδατος ἐκχυμένοιο,
πολλὰ δὲ τεύχεα καλὰ δαϊ κταμένων αἰζηῶν
πλῶον καὶ νέκυες· τοῦ δ' ὑψόσε γούνατ' ἐπήδα
πρὸς ῥόον ἀΐσσοντος ἀν' ἰθύν, οὐδέ μιν ἴσχεν
εὐρὺ ῥέων ποταμός· μέγα γὰρ σθένος ἔμβαλ' Ἀθήνη.
305 οὐδὲ Σκάμανδρος ἔληγε τὸ ὃν μένος, ἀλλ' ἔτι μάλλον
χώετο Πηλείωνι, κόρυσσε δὲ κῦμα ῥόοιο
ὑψόσ' ἀειρόμενος. Σιμόεντι δὲ κέκλετ' ἀΰσας·
"φίλε κασίγνητε, σθένος ἀνέρος ἀμφότεροί περ
σχῶμεν, ἐπεὶ τάχα ἄστυ μέγα Πριάμοιο ἄνακτος
310 ἐκπέρσει· Τρῶες δὲ κατὰ μόθον οὐ μενέουσιν.
ἀλλ' ἐπάμυνε τάχιστα, καὶ ἐμπίμπληθι ῥέεθρα
ὕδατος ἐκ πηγέων, πάντας δ' ὀρόθυνον ἐναύλους,
ἵστη δὲ μέγα κῦμα, πολὺν δ' ὀρυμαγδὸν ὄρινε
φιτρῶν καὶ λάων, ἵνα παύσομεν ἄγριον ἄνδρα,
315 ὃς δὴ νῦν κρατέει, μέμονεν δ' ὅ γε ἶσα θεοῖσιν.

296b–7a sch Φ 293; Porph. Il. 250.11 Schr. **298** Did ad K 349a **299** Eudoc. 204 **302** (πλ.) ApS 132.20; H. (Cyr.) π 2634; (νέκ.) H. ν 263 **303** (ἀν' ἰθύν) EtG α 1555 **305–6**a sch[h94] Φ 290; **305** Prisc. De metris Ter. 3 (GL iii.419.2); (–μέν.) sch[T] N 424 **307** (ἀειρ.) H. (Cyr.) α 1309 **308–9** (σχ.) Pl. Prot. 340a **311**a + Π 363b Them. Or. 26.330c; **311**a (= 333a) Epm. α 58; **311**b–**12** sch[h94] Φ 283; **312** (ὀρόθ.–) sch Φ 2b; Porph. Il. 200.1 Schr.; (ὀρόθ.) cf. Apion. 98.1; H. γ 934 **313**a Hdn ii.209.17; EtG s.v. ἔξει; **313**b–**14**a Arn ad Φ 319b[1](e) **315**b Epm. A 1a[1]

294 παύειν Nic 9 A[λ] Ω*: -σειν T W G ὁμοιΐοο Ahrens post Payne Knight: -ΐου 9 Ω πτολέμοιο Ω*: πολ- 9 B C R **295** Ἰλιόφι 9, -όφιν Ω: -οο Ahrens Rh. Mus. 2 (1843) 163 **297** ἴμεν 9 tt sch[hyp] Ω: ἴναι *h*.—cf. ad Σ 14 **299** μέγα t Ω: μάλα 9 V rr ὤτρυ-νεν 9 t Ω: ὄ- rr **300** ἐκχυμένοιο 9 Ω*: κεχυμ- *b* F[a] **301** δαϊ κταμένων Hdn Ω* T[λ]: δαϊκτ- D F[c] R[c] G.—cf. ad 146 **303** ἴσχε(ν) Ar Z (-ειν) T W (ἶ- Bekker): ἔσχ- (nov. Did) 9 Ω* **304** μέγα 9 Ω*: μάλα t.—cf. ad 299 **305** Σκάμανδρος 9 12 tt Ω: Κάμ- N rr τὸ ὃν 9 t* Ω*: τεὸν sch-N F[a]: (-εν) ἑὸν Payne Knight post Heyne (cf. 340, Hes. Th. 687, et ad A 185, 207, Z 407, X 459) μάλλον Blass: μᾶ- Ω **306** χώετο 9 12 (ex -εδω) t Ω*: -σετο G **307** ὑψόσ' ἀειρόμενος 9 Ω*, -ράμενος F: παντο[θε]ν ε̣ξ ο̣[ρεων 12, ss. (m[2]) υ̣ψου αειρο̣[μεν]ο̣ς̣ τ̣[.—cf. ad K 465, 505 **308** φῖλε (Ptol) 9 A B[a] E W.—v. ad Δ 155, E 359 **310** κατὰ μόθον 9 652 Z Ω: κακὸν θεὸν sch[Typ] **311** εμπιμ[πλη-θι 652, εμπινπλ- t: ἐκπίμπλ- C: ἐμπίπλ- 9 Ω*

φῆμι γὰρ οὔτε βίην χραισμησέμεν οὔτέ τι εἶδος
οὔτε τὰ τεύχεα καλά, τά που μάλα νειόθι λίμνης
κείσεθ' ὑπ' ἰλῦος κεκαλυμμένα· κὰδ δέ μιν αὐτόν
εἰλύσω ψαμάθοισιν, ἅλις χέραδος περιχεύας
320 μυρίον, οὐδέ οἱ ὀστέ' ἐπιστήσονται Ἀχαιοί
ἀλλέξαι· τόσσην οἱ ἄσιν καθύπερθε καλύψω.
αὐτοῦ οἱ καὶ σῆμα τετεύξεται, οὐδέ τί μιν χρεὼ
ἔσται τυμβοχοῆς, ὅτε μιν θάπτωσιν Ἀχαιοί."
ἦ, καὶ ἐπῶρτ' Ἀχιλῆϊ κυκώμενος, ὑψόσε θυίων,
325 μορμύρων ἀφρῶι τε καὶ αἵματι καὶ νεκύεσσιν,
πορφύρεον δ' ἄρα κῦμα διιπετέος ποταμοῖο
ἵστατ' ἀειρόμενον· κατὰ δ' ᾕρεε Πηλείωνα.
Ἥρη δὲ μέγ' ἄϋσε περιδδείσας Ἀχιλῆϊ,
μή μιν ἀποέρσειε μέγας ποταμὸς βαθυδίνης,
330 αὐτίκα δ' Ἥφαιστον προσεφώνεεν ὃν φίλον υἱόν·
"ὄρσεο, Κυλλοπόδιον, ἐμὸν τέκος· ἄντα σέθεν γάρ
Ξάνθον δινήεντα μάχηι ἠΐσκομεν εἶναι.
ἀλλ' ἐπάμυνε τάχιστα, πιφαύσκεο δὲ φλόγα πολλήν·
αὐτὰρ ἐγὼ Ζεφύροιο καὶ ἀργεστᾶο Νότοιο

317a Arn ad ρ 10 **318** (ἰλ.) H. (Cyr.) ε 918, ι 594; (κὰδ–)–**19**a ApD Pron. 79.29, Synt. 197.1; **318** (κὰδ–) id. Pron. 38.4, Adv. 140.17; **319** sch Pind. Pyth. 6.13a; **319**a + **321** (τόσσην οἱ ἄσιν) sch Aesch. Supp. 31b; **319** (εἰλ.) ApS 91.5; H. ε 929, ι 597; **319**b sch A.R. 1.1123b; (ἅλις χ.) + **320** (μυρ.) EtG s.v. χέραδος; (χέρ.) ApS 167.21; H. χ 351 **321** (ἀλλ.) id. α 3122; (τόσσην–) Did ad Ω 20–1b^{2}; ApS 45.11; EtG α 1273; Epm. κ 132; (ἄσιν) H. (Cyr.) α 7655, 7670; EtG α 1554 **322** (–τετ.) Did ad Ξ 119b; (τετ.) EtG α 1391 **323** (τυμβ.) H. (Cyr.) τ 1635/6 **325** (–αἵμ.) cf. Iul. Or. 2.60d **326**a Arn ad E 83, γ 6 **327** (ἀειρ.) H. α 1301; (κατὰ δ' ᾕι.) id. κ 1064 **328–9** sch^{h94} Φ 282; **329** (–ποτ.) sch^{G} Φ 282e; Epm. ε 194 **331** Eudoc. 674; (–τέκος) Plut. Mor. 35c; **331**a Hdn ad Z 348a; sch Ψ 581c; sch Ar. Av. 1379a; Epm. λ 39; (Κυλλ.) Hdn ad A 149c, Γ 182b; (ἄντα–)–**332**a EtG α 921; **332**b Epm. η 28 **334–5** [Plut.] Hom. 2.108.4;

316 φῆμι (Tyr) dedi (cf. Praef. xx et ad B 350): φημὶ 9 Ω οὔτέ (τι) sic Ω praeter D (οὐτέ E) **318** ἰλῦος A D T^{c}: -ύος 9 (ειλ-) A^{λ} Ω*: -υόφιν Bentley.—productio insolens; cf. Schulze 397 **319** εἰλύσω 9 tt* A^{λ} Ω (-σσω F): ἰλ- ApS Z, agn. sch^{ATh}: utrumque Hsch. χέραδος Ar(?) Apollodorus sch^{ATG} tt* Ω*: parox. (agn. Ar) sch-Pind. sch-A.R. Z B^{c} F R G, et ita fort. A.R. 1.1123: utrumque $T^{\lambda\lambda}$: σχεράδος quidam ante Apollod. cl. Euphor. fr. 25 Pow. **321** ἀλλέξαι (nov. Did) 9 t Z Ω: ἀνλ- Ar ἄσιν 9 tt A^{λ} T^{λ} Ω*: -ην Z *h* R G^{c} καθύπερθε 9 tt* Ω: ἐφύπ- Epm. **323** τυμβοχοῆς 9 A^{λ} T^{λ} Ω*, -χόης Crates rr, -χοησ Z: -χοῆσ' Ar Ptol Hdn A: et -χόης et -χοῆσαι Hsch. **324** θυίων Z A^{λ} A T W: θύων 9 Ω* **325** τε 9 Ω: om. t αἵματι 9 t Ω*: οἴδμ- D *b* (ex 234) **326** διϊπετέος 9 Z Ω: v. ad Π 174 **327** ἀειρόμενον 9 Z Ω*: -ρά- (t) D **328** Ἀχιλῆϊ 9 t Ω*: -ῆος C **331** ath.(?) Ar ορσέο 9 Κυλλοπόδιον Ar Hdn A^{λ} Ω*: -ποδιον Hermapias Ptol Alexio, -ποδίον D^{c} *h* G: -ποδίων Z: -ποδειον h94 **334** ἀργεστᾶο Ω*: proparox. *h*

335 εἴσομαι ἐξ ἁλόθεν χαλεπὴν ὄρσουσα θύελλαν,
ἥ κεν ἀπὸ Τρώων κεφαλὰς καὶ τεύχεα κήαι,
φλέγμα κακὸν φορέουσα. σὺ δὲ Ξάνθοιο παρ' ὄχθας
δένδρεα καῖ', ἐν δ' αὐτὸν ἵει πυρί· μηδέ σε πάμπαν
μειλιχίοις ἐπέεσσιν ἀποτρεπέτω καὶ ἀρειῆι.
340 μηδὲ πρὶν ἀπόπαυε τεὸν μένος, ἀλλ' ὁπότ' ἂν δή
φθέγξομ' ἐγὼν ἰάχουσα, τότε σχεῖν ἀκάματον πῦρ."
ὣς ἔφαθ'· Ἥφαιστος δὲ τιτύσκετο θεσπιδαὲς πῦρ.
πρῶτα μὲν ἐν πεδίωι πῦρ δαίετο, καῖε δὲ νεκρούς
πολλούς, οἵ ῥα κατ' αὐτὸν ἅλις ἔσαν, οὓς κτάν' Ἀχιλλεύς.
345 πᾶν δ' ἐξηράνθη πεδίον, σχέτο δ' ἀγλαὸν ὕδωρ·
ὡς δ' ὅτ' ὀπωρινὸς Βορέης νεοαρδέ' ἀλωήν
αἶψ' ἀγξηράνηι, χαίρει δέ μιν ὅς τις ἐθείρηι,
ὣς ἐξηράνθη πεδίον πᾶν, κὰδ δ' ἄρα νεκρούς
κῆεν. ὃ δ' ἐς ποταμὸν τρέψε φλόγα παμφανόωσαν·
350 καίοντο πτελέαι τε καὶ ἰτέαι ἠδὲ μυρῖκαι,
καίετο δὲ λωτός τε ἰδὲ θρύον ἠδὲ κύπειρον,
τὰ περὶ καλὰ ῥέεθρα ἅλις ποταμοῖο πεφύκει.
τείροντ' ἐγχέλυές τε καὶ ἰχθύες οἳ κατὰ δίνας,

Porph. Il. 175.20 Schr.; **334** Gal. in Hipp. Epid. iii 3.4; **335**a Arn ad Θ 532; sch Φ 424a; ApD Adv. 208.26; (εἴσ.) H. ε 1172; (ἁλ.) id. α 3231 **337**a [Plut.] Hom. 2.16.3; Poll. 9.156; (φλ.) ApS 164.4; H. φ 581 **339** sch Ο 634 **341**a Hdn ad Ε 302a **342** (Ἥφ.–) sch Ν 23 **346–7**a Gal. De temperam. 1.2; **346** (–Βορ.) Hdn ii.15.4; (ὀπ–ωρ.) H. (Cyr.) ο 1081; (νεο.) ApS 116.5; H. (Cyr.) ν 308/9; Phot. Lex. s.v.; **347**a sch^{T} Π 583; **347**b ApS 63.10; (ἐθ.) H. ε 634 **350–1** Hclt. Alleg. 10.7; **350** (–ἰτ.) Hdn ad Φ 242; **351** (λωτ.) H. λ 1527; Phot. Lex. λ 506; **351**b sch Nic. Th. 199; (θρ.) Apio 241.20; H. θ 797; (κύπ.) id. κ 4645 **352** (–ποτ.) Epm. τ 73; **352**a sch Heph. 89.8, 95.7; Choer. in Heph. 186.6 **353–4** Max. Tyr. 26.8; **353** Ath. 298d; (–ἰχθ.) Arn ad Φ 203a; Ath. 299a, d; Choer. in Thd. i.331.8

T^{λ} R^{a}.—cf. ad Λ 306 **335** ὄρσουσα Ar 9 tt Ω: -σασα Zen **336** κήαι 9 B^{c} F^{c} R^{a}? (deprec. Hdn delirans): κῆαι Hdn A^{λ} T^{λ} Ω*: κῆε C^{s} T: κήηι? Nauck **341** ἐγὼν 9 652 t Ω: ἐγὼ (Bekker) rr ἰάχουσα sic Hdn Ω: cf. ad Ε 302 **343** δαίετο 9 Ω*: καί- C^{a} W^{c} V καῖε 9 Ω*: δαῖε F **344** (= 236) damn. Heyne αὐτὸν 9 Ω*: -ὸ C^{c} R^{c}.—cf. Wack. KS 834 n.1 **345** ἐξηράνθη 9 A^{λ} Ω: an ἐξηυάνθη? cf. ad 347 **346** νεοαρδέ' 9 tt Z Ω: -αλδέ' quidam ap. ApS: utrumque Hsch. ἀλωιὴν A T, ἀλ- B^{a} C: ἀλωὴν E F^{a} W **347** ἀνξηράνηι Ar 9 C (-νει) E F^{c} (ἀγξ- Bekker), ἂν ξ- T^{λ} Ω*: (αἶψα) ξηραίνηι Gal. (-ει) W, -ράνη B^{c}: αὖ μιν ξηράνη sch-Π (cod.): †ἐξευαίνειν Arph (cod. T: ἐξαυαίνηι Heyne, -ήνηι Spitzner): -ξηρήνηι non scriptum esse animadvertunt sch-Π sch^{T} ἐθείρη(ι) 9 652 tt Z Ω*: -ρει D^{a} N **348** ἐξηράνθη 9 T^{λ} Ω: an ἐξηυάνθη? (Arph?) **349** τρέψεν 9 A T **350** τε tt Ω: om. P (Bentley) (cf. κ 510) **351** κύπει–ρον Ar tt Ω (-ερον D): -αιρον "αἱ ἐκ τῶν πόλεων": κύπειρος Brandreth, at cf. δ 603 **353** οἳ Ω*: οἱ A G^{a}

οἳ κατὰ καλὰ ῥέεθρα κυβίστων ἔνθα καὶ ἔνθα,
355 πνοιῆι τειρόμενοι πολυμήτιος Ἡφαίστοιο.
καίετο δ' ἲς ποταμοῖο, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
"Ἥφαιστ', οὔ τις σοί γε θεῶν δύνατ' ἀντιφερίζειν,
οὐδ' ἂν ἐγὼ σοί γ' ὧδε πυρὶ φλεγέθοντι μαχοίμην.
λῆγ' ἔριδος, Τρῶας δὲ καὶ αὐτίκα δῖος Ἀχιλλεὺς
360 ἄστεος ἐξελάσειε. τί μοι ἔριδος καὶ ἀρωγῆς;"
φῆ πυρὶ καιόμενος, ἀνὰ δ' ἔφλυε καλὰ ῥέεθρα.
ὡς δὲ λέβης ζέει ἔνδον ἐπειγόμενος πυρὶ πολλῶι
κνίσην μελδόμενος ἁπαλοτρεφέος σιάλοιο
πάντοθεν ἀμβολάδην, ὑπὸ δὲ ξύλα κάγκανα κεῖται,
365 ὣς τοῦ καλὰ ῥέεθρα πυρὶ φλέγετο, ζέε δ' ὕδωρ,
οὐδ' ἔθελε προρέειν, ἀλλ' ἴσχετο· τεῖρε δ' ἀϋτμή
Ἡφαίστοιο βίηφι πολύφρονος. αὐτὰρ ὅ γ' Ἥρην
πολλὰ λισσόμενος ἔπεα πτερόεντα προσηύδα·
"Ἥρη, τίπτε σὸς υἱὸς ἐμὸν ῥόον ἔχραε κήδειν
370 ἐξ ἄλλων; οὐ μέν τοι ἐγὼ τόσον αἴτιός εἰμι,
ὅσσον οἱ ἄλλοι πάντες, ὅσοι Τρώεσσιν ἀρωγοί.
ἀλλ' ἤτοι μὲν ἐγὼν ἀποπαύσομαι, εἰ σὺ κελεύεις,

357 (ἀντιφ.) ApS 35.27; H. (Cyr.) α 5507 **358**a EtG β 102 **361** (καιόμ.) sch^{h94} Φ 356; **361**b ApS 35.14, 80.6; Philox. fr. 269 Th.; sch Ar. Vesp. 85a; EtG β 150; Lex. αἱμ φ 6; (ἀνὰ δ' ἔφλ.) H. α 4269, cf. 5003; (ἔφλ.) id. ε 7505; cf. ἔβλυε ApS 61.33, H. ε 87 **362–5** Porph. Hom. 54.3 Sod.; Macr. Sat. 5.11.23; **362–3** Poll. 9.68; **362** (–ζεῖ) + **363** Ath. epit. 25d; **362**a ApS 107.35; sch I 122–3; (ζεῖ, ζέει) H. ζ 89/90; **363**a ApS 110.32; (μελδ.) H. (Cyr.) μ 663; Orio 98.14, 106.18; **363**b sch I 208a^{1}; **364** (ἀμβ.) H. α 3518; EtG α 624; (ξ. κ.) sch Λ 642; H. κ 26; **365** Sel fr. 233 Duke (EtG/Gud/AO ii.442.32 s.v. ζῆλος) **366**a Did ad I 551a^{1}; ApS 86.33; Gal. in Hipp. De artic. 3 (xviii(1).651 K.); sch γ 121, θ 223; sch Ar. Av. 581a; (οὔτ' ἔθ.) sch B 247b; (ἔθ.) H. ε 640 **369–70** (ἐξ ἄ.) ApS 69.31; **369** (ἔχρ.–) H. (Cyr.) ε 7666; (ἔχρ.) EtG α 1527

355 πνοιῆι Ar 9 h94 Z Ω: ῥιπῆι "ἔν τισι" (Did) = η ̣[(h94) (ἡ Χ̣[ία | εἶ]χ̣[εν e.g. Erbse) πολυμήτιος 9 1483 Z Ω*: -τεος D: -τοιο W **356** καίετο δ' h94 Ω: καί ἑ τόδ' (!) Pindario: καίετο Heyne **357** ἀντιφερίζειν 9 1483 tt T^{λ} Ω*: ἰσοφαρ- F.—cf. ad 411, 488, I 390 **360** ἀρωγῆς 449 1483 Ω: αὔτης 9 (cf. E 732) **361** φῆ (9 Ω) pro ἦ insolitum ἔφλυε 9 449 h94 tt Z Ω: et ἔβλυε ApS (unde Hsch.) si huc pertinet **362** ζέει rr, cf. Hsch.: ζεῖ 9 [449] 1483 tt Ω A^{λ}: ζῆ N r: an ζέηι?—cf. ad Λ 554 **363** κνίσ(σ)ην Comanus Ar Callistr 9 h94 (κνει-) A D *b* R^{c}: -ης alii ante Did (cod. A: -ηι Ludwich): -ηι Pisistratus Ephesius Hermogenes tt sch^{T} T^{λ} B^{c} F^{a} W G: -η quidam ap. sch^{bT}/Porph. Z F^{c} T R^{a}, agn. sch^{h} μελδόμενος Ar 9 449 1483 h94 tt Z Ω: (κνίσηι) -ομένου ci. Pisistr. Hermog., prob. Crates: κνίσην -ομένου alii ap. sch^{T} (fort. Crates): -ομένης olim quidam?—cf. Rengakos 124 **365** ζέε 9 449 tt* Ω: σχέτο (cf. 345, 366) sch^{Tγρ}: ΦΑΕΤΕΤΩCΤΟ (= φλεγετο[ ]ετο) Macr. **366** προρέειν 9 449 tt Ω* A^{λ}: -χέειν F ἀϋτμή 9 Ω: -ην 449 **372** ἐγὼν ἀποπαύσομαι 9 449 Ω (ἐγὼ T W), -παύομαι *h*:

παυέσθω δὲ καὶ οὗτος. ἐγὼ δ' ἐπὶ καὶ τόδ' ὀμοῦμαι,
μή ποτ' ἐπὶ Τρώεσσιν ἀλεξήσειν κακὸν ἦμαρ,
375 μηδ' ὁπότ' ἂν Τροίη μαλερῶι πυρὶ πᾶσα δάηται
καιομένη, καίωσι δ' ἀρήϊοι υἷες Ἀχαιῶν."
αὐτὰρ ἐπεὶ τό γ' ἄκουσε θεὰ λευκώλενος Ἥρη,
αὐτίκ' ἄρ' Ἥφαιστον προσεφώνεεν ὃν φίλον υἱόν·
"Ἥφαιστε, σχέο, τέκνον ἀγακλεές· οὐ γὰρ ἔοικεν
380 ἀθάνατον θεὸν ὧδε βροτῶν ἕνεκα στυφελίζειν."
ὣς ἔφαθ'· Ἥφαιστος δὲ κατέσβεσε θεσπιδαὲς πῦρ,
ἄψορρον δ' ἄρα κῦμα κατέσσυτο καλὰ ῥέεθρα.
αὐτὰρ ἐπεὶ Ξάνθοιο δάμη μένος, οἳ μὲν ἔπειτα
παυσάσθην· Ἥρη γὰρ ἐρύκακε χωομένη περ·
385 ἐν δ' ἄλλοισι θεοῖσιν ἔρις πέσε βεβριθυῖα
ἀργαλέη, δίχα δέ σφιν ἐνὶ φρεσὶ θυμὸς ἄητο.
σὺν δ' ἔπεσον μεγάλωι πατάγωι, βράχε δ' εὐρεῖα χθών,
ἀμφὶ δ' ἐσάλπιγξεν μέγας οὐρανός· ἄϊε δὲ Ζεύς
ἥμενος Οὐλύμπωι, ἐγέλασσε δέ οἱ φίλον ἦτορ
390 γηθοσύνηι, ὅ θ' ὁρᾶτο θεοὺς ἔριδι ξυνιόντας.
ἔνθ' οἵ γ' οὐκέτι δηρὸν ἀφέστασαν· ἦρχε γὰρ Ἄρης
ῥινοτόρος, καὶ πρῶτος Ἀθηναίηι ἐπόρουσεν
χάλκεον ἔγχος ἔχων, καὶ ὀνείδειον φάτο μῦθον·

380 (στυφ.) H. σ 2098; Orio 142.10 **382** Eudoc. 454; **382a** sch Φ 269a **383** (-μέν.) sch^{h94} Φ 356 **386** (δίχα–) sch Σ 410c; (ἄητο) H. (Cyr.) α 1521 **388** ApS 16.1; Dio Cass. 78.30.1; Eudoc. 1973; (-οὐρ.) Demetr. Eloc. 83; Plin. Ep. 9.26.6; Hermog. Id. 334.25 R.; Philostr. Her. 2.19; Aristid. Quint. 2.9 p.72.9 W.-I.; de Auct. π. ὕψ. 9.6 v. ad Υ 60*a*; (ἐσάλπ.) EtG s.v.; (ἄϊε δέ) H. (Cyr.) α 1808 **389–90** (–θεούς) Dio Prus. 36.60; **390** (ὅ θ'–) sch E 890–1; (ξυν.) H. (Cyr.) ξ 158 **391 + 392** (καὶ–) Porph. Hom. 57.7 Sod.; (ἦρχε–)–**392** (ῥιν.) EtG s.v. ῥινοτόρος; **392** (ῥιν.) ApS 139.4; H. ρ 340 **393b** Epm. A 66c^{1}

εγῳ ληξ[ω] μεν[ος 12 (cf. 305) **375** Τροίη 9 449 Ω: Τρωη 12.—cf. ad Ψ 215; S. West Ptol. Pap. 155; accedit Stes. S89.11, S118.6 **376** καιομένη, καίωσι 9 12 248 449 1484 1485 Ω*: δαιο- δαί- *b* F.—cf. ad Υ 317 **377** θεὰ λευκώλενος 9 12^{t} 449 1485 Ω: βοωπις πο[τνια 12^{2s}.—cf. ad Ξ 222 **378** ut supra 9 248 1485 Ω (cf. 330): α]ụτịκα μειλιχιοισι προσηυδα φα[ιδ]ιμ[ον] υιον 12, ss. η[φα]ιστον π[ρ]οσεφωνει σπ . . . . . . [**382** κατέσσυτο 9 12^{s}? 1485 t sch^{Dγρ} Ω: -έσχετο 12 sch^{D} sch^{hγρ} **382*a*** κ[αρ] ροον ἢ ί το παροιθεν ιει κ[αλλιρροο]ν [υ]δωρ (cf. M 33) add. 12 **384** χωομένη 9 1485 Ω: -νω (cf. Ξ 260) Doederlein **387** πατάγωι (= 9) 9 12 Z A: ὁμάδωι A^{γρ} Ω* (cf. A.R. 1.1051; Rengakos 162) **388** δὲ σάλπιγξεν tt Z (-γξ') Ω*: -ιξε[ν 449: δ' ἐσάλπιζεν G **390** ὅ θ' divisim La Roche, cf. θ 78, λ 540 ὁρᾶτο 9 449 tt Ω (-ᾶιτο A): -ῶτο rr: ὁρῆτο vel ὅρητο Zen? (cf. ad A 56; Wack. Unt. 71) **391** δηρὸν 9 449 Ω: πάμπαν t **393** ὀνείδειον Hdn t Ω*: properisp. Tyr: -διον 9 Z F^{a} quidam ap. sch^{h}: -δεον 12

“τίπτ’ αὖτ’, ὦ κυνάμυια, θεοὺς ἔριδι ξυνελαύνεις
395 θάρσος ἄητον ἔχουσα, μέγας δέ σε θυμὸς ἀνῆκεν;
ἦ οὐ μέμνη’, ὅτε Τυδείδην Διομήδε’ ἀνῆκας
οὐτάμεναι, αὐτὴ δὲ πανόψιον ἔγχος ἑλοῦσα
ἰθὺς ἐμεῖ’ ὦσας, διὰ δὲ χρόα καλὸν ἔδαψας;
τώ σ’ αὖ νῦν οἴω ἀποτεισέμεν, ὅσσα μ’ ἔοργας.”
400 ὣς εἰπὼν οὔτησε κατ’ αἰγίδα θυσανόεσσαν
σμερδαλέην, ἣν οὐδὲ Διὸς δάμνησι κεραυνός·
τῆι μιν Ἄρης οὔτησε μιαιφόνος ἔγχεϊ μακρῶι.
ἣ δ’ ἀναχασσαμένη λίθον εἵλετο χειρὶ παχείηι
κείμενον ἐν πεδίωι, μέλανα τρηχύν τε μέγαν τε,
405 τόν ῥ’ ἄνδρες πρότεροι θέσαν ἔμμεναι οὖρον ἀρούρης·
τῶι βάλε θοῦρον Ἄρηα κατ’ αὐχένα, λῦσε δὲ γυῖα.
ἑπτὰ δ’ ἐπέσχε πέλεθρα πεσών, ἐκόνισε δὲ χαίτας,
τεύχεα δ’ ἀμφαράβησε. γέλασσε δὲ Παλλὰς Ἀθήνη,
καί οἱ ἐπευχομένη ἔπεα πτερόεντα προσηύδα·
410 “νηπύτι’, οὐδέ νύ πώ περ ἐπεφράσα’, ὅσσον ἀρείων
εὔχομ’ ἐγὼν ἔμεναι, ὅτι μοι μένος ἀντιφερίζεις.

394 (κυν.) ApS 105.12; Clem. Protr. 76.1; H. κ 4561; EtG s.v.; Choer. in Thd. i.188.35; (ξυνελ.) H. (Cyr.) ξ 135 **395** Eudoc. 1777; **395**a ApS 12.5; sch A 277–8, Σ 410b; (ἄητον) Hdn ad Σ 410d (Philox. fr. 578 Th.); H. α 1523 **397** (πανόψ.) ApS 127.20; H. π [340], 384; EtG s.v. **399** Eudoc. 1716 **401** Aristid. Or. 37.6; (ἣν–) sch O 229b **405** ApS 125.4; (ἔμμ.–) sch M 424; (οὖρ.–) H. (Cyr.) ο 1865 **407** Hclt. Alleg. 52.5; (πέλ.) ApS 129.25; H. π 1302; Phot. Lex. s.v. **410–11** Eudoc. 1719–20; **411**b

394 αὖτ’ 1 9 449 Ω*: αὖ *b* W^{a} G κυνάμυια 1 9 12 (-μυα) 449 1486 tt* Z A$^{\lambda}$ T$^{\lambda}$ Ω*: κυνό- Clem. (cod.^{a}) quidam ap. sch^{G} F (cf. Liddell–Scott): κινά- (ci.) Neoptolemus **395** ἄητον 1 9 12 tt Z Ω: ἄατον r (cf. Q.S. 1.217).—cf. ad Σ 410 ἀνῆκεν 1 (ανῆ-) 12 t Ω: ανωγει 9.—cf. ad 396, K 389, X 252 **396** ἦ B^{a} E^{a} W: ἠ A, ἢ Ω* μέμνη’ Brandreth, -ηαι 449: -η(ι) 1 9 Ω.—v. ad O 18 Τυδείδην Διομήδε’ ἀνῆκας 1 (ανῆ-) 9 Ω (ἀνῆ- A): Τυ[δε]ιδηι Διομηδει ανωγας 12.—cf. ad 395 **397** δὲ πανόψιον Ar 1 9 12^{t} 1486 tt (et πανέψ- Hsch.) Z Ω, sc. ἐν ὧι πᾶσαν ἑψίαν ἔχεις (cf. Γ 42; Wack. Unt. 42): δ’ ὑπονόσφιον Antim 12^{2s} (prob. Wack. l.c.) **398** ἐμεῖ’ Platt: ἐμεῦ 1 12 Ω διὰ 1 12^{2s} 1486 Ω: `ẹ´με 12^{t} **399** τώ r: τῶ Ω: . .]γι̣[12 οἴω *h* T R W: οἴω 1486 Ω*: οιωι 1 αποτ⟦ε⟧ι[σεμεν 1486: -τισ- 1 t Ω ὅσσά A W μ’ 1^{c} t Ω (cf. X 347): om. 1^{a} (cf. Γ 57) **400** εἰπώνϝ’ van Leeuwen αἰγίδα 1 A$^{\gamma\rho}$ D$^{\gamma\rho}$ F *h*: ἀσπίδα 12 Ω* θυσανόεσσαν F T G: θυσσ- 1 Ω* **401** ἣν 1 12 (ην⟦δ⟧) 1486 tt Ω: τὴν 12^{s} rr **402** om. 12 μιν 1 Ω: μὲν A^{s} rr **403** χειρὶ παχείηι 12 1487 Ω (cf. 424, H 264): Παλλὰς Ἀθήνη 1 A$^{\gamma\rho}$ r **405** om. 12: hab. 1 1486 1487 tt Ω, imit. Verg. (Aen. 12.898) ῥ’ 1 Ω: δ’ t πρότεροι 1 Ω: -ον t **406** αὐχένα 1 12 1487 Ω: ἀσπίδα 12^{2s} r (cf. ad 400) **407** ἐκόνισε t F: -εισε 1 1487: -ισσε Ω* **408** δ’ 1 sch$^{h\gamma\rho}$ G: τ’ Ω* **409** οἱ (= 121) 1 A$^{\gamma\rho}$ Ω*: μιν A G sch$^{h\gamma\rho}$ **410** περ t Ω: πọτ 12 ἐπεφράσα’ Nauck (cl. ω 33): -σω 12 t Ω (-έφρασο T) **411** ὅτι tt Ω: η 12 ἀντιφερίζεις 12 tt A$^{\gamma\rho}$ (-φαρ-) Ω*: ἰσοφαρ- A F.—cf. ad 357

οὕτω κεν τῆς μητρὸς ἐρινύας ἐξαποτίνοις,
ἥ τοι χωομένη κακὰ μήδεται, οὕνεκ' Ἀχαιούς
κάλλιπες, αὐτὰρ Τρωσὶν ὑπερφιάλοισιν ἀμύνεις."
415 ὣς ἄρα φωνήσασα πάλιν τρέπεν ὄσσε φαεινώ.
τὸν δ' ἄγε χειρὸς ἑλοῦσα Διὸς θυγάτηρ Ἀφροδίτη
πυκνὰ μάλα στενάχοντα· μόγις δ' ἐσαγείρετο θυμόν.
τὴν δ' ὡς οὖν ἐνόησε θεὰ λευκώλενος Ἥρη,
αὐτίκ' Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα·
420 "ὢ πόποι, αἰγιόχοιο Διὸς τέκος, Ἀτρυτώνη,
καὶ δὴ αὖθ' ἡ κυνάμυια ἄγει βροτολοιγὸν Ἄρηα
δηΐου ἐκ πολέμοιο κατὰ κλόνον· ἀλλὰ μέτελθε."
ὣς φάτ'· Ἀθηναίη δὲ μετέσσυτο, χαῖρε δὲ θυμῶι,
καί ῥ' ἐπιεισαμένη πρὸς στήθεα χειρὶ παχείηι
425 ἤλασε· τῆς δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ.
τὼ μὲν ἄρ' ἄμφω κεῖντο ἐπὶ χθονὶ πουλυβοτείρηι,
ἣ δ' ἄρ' ἐπευχομένη ἔπεα πτερόεντ' ἀγόρευεν·
"τοιοῦτοι νῦν πάντες, ὅσοι Τρώεσσιν ἀρωγοί,
εἶεν, ὅτ' Ἀργείοισι μαχοίατο θωρηκτῆισιν,
430 ὧδέ τε θαρσαλέοι καὶ τλήμονες, ὡς Ἀφροδίτη
ἦλθεν Ἄρηι ἐπίκουρος, ἐμῶι μένει ἀντιόωσα·
τώ κεν δὴ πάλαι ἄμμες ἐπαυσάμεθα πτολέμοιο,

Epm. ο 103 **413** (μήδ.) H. μ 1148 **417**a Hdn i.488.10; **417**b Philod. De piet. p.78 Sch. (lacerum); sch A 593b; Porph. Il. 20.8 Schr. **421** sch^{D} B 381; EtG α 1160 **422** (μέτ.) H. (Cyr.) μ 1063 **424**a Arn ad N 45c^{1}; H. κ 262; (ἐπιει.) id. ε 4759 **425** (τῆς–) Charito 1.1.14; **425**b Hclt. Alleg. 52.5 **426** id. 54.7 **429** (θωρ.) H. θ 1017 **431**a sch H 453b; Choer. in Thd. i.162.28 **432** (ἄμμες) H. α 3696

412 τῆς Z Ω (cf. Λ 142, Τ 322, 331): κα̣[ι 12, ss. ε̣ης̣ (m^{2}): ἧς Brugman Ein Problem 47: σῆς van Leeuwen.—cf. ad Λ 142; S. West Ptol. Pap. 159 sq. ἐξαποτίνοις Z Ω: αψ α̣[ποτ]ειν̣[οις 12 **413** οὕνεκ' 12^{2s} Ω: εικεν̣ 12 (pro εἵνεκ'?) **414** ἀμύνεις 450 Ω*: ἀρήγεις A^{γρ} sch^{hγρ} F **415** τρέπεν 450 Ω*: τρά- C T R.—cf. ad N 3 **416** Διὸς θυγάτηρ 450 Ω*: φιλομμειδὴς A^{γρ} F, φιλομηδὴς G.—cf. ad Ξ 193, Υ 40 **417** μόγις 450 tt* Ω: μόλις Philod. H (cf. A.R. 3.634; Rengakos 161).—cf. ad I 355, X 412 ἐσα–γείρετο Ar A: -ατο (nov. Did) tt Ω*.—cf. ad O 240; A.R. et Rengakos ll.cc. **420** ὢ A D F^{a} G^{c}: ὦ Ω* **421** δὴ Bekker: δ' t Ω κυνάμυια 12$^{?}$ (]α̣[) Ω*: κυνό- F V (cf. ad 394): †τὴν κυνάμυιαν† A^{γρ} **424** ἐπιεισαμένη Ar tt Ω, επεισ- Z: ἐπερεισ- Ixio παχείηι Ω: βαρείηι "πρέπει τῆι παρθένωι" sch^{G}, cf. ad 590 et vv.ll. σ 56, φ 6 **426** κεῖντο 1488 t Ω* (def. Wack. Unt. 98): κεῖτο *b*: -σθον V: θεινε 12: κείατ' Curtius Das Verbum I 94 ἐπὶ t A F G: ποτὶ 12 1488 A^{γρ} Ω* **427** ἀγόρευε(ν) Ω*: (-ντα) προσηύδα A^{γρ} F.—cf. ad Π 829 **428** τοιοῦτοί νυν nol. Hdn **429** θωρηκτῆισιν t Ω: κυδα[λιμοισιν 12 **431** Ἄρη(ι) tt Ω*, -ηϊ F T W, -η' r: -ει C R.—cf. ad 112 ἐπίκουρος tt Ω: ἐπίου–ρος A^{γρ} **432** τώ F^{a}: τῶ Ω*

433 Ἰλίου ἐκπέρσαντες ἐϋκτίμενον πτολίεθρον."
435 αὐτὰρ Ἀπόλλωνα προσέφη κρείων Ἐνοσίχθων·
"Φοῖβε, τίη δὴ νῶϊ διέσταμεν; οὐδὲ ἔοικεν
ἀρξάντων ἑτέρων· τὸ μὲν αἴσχιον, αἴ κ' ἀμαχητεί
ἴομεν Οὔλυμπόνδε Διὸς ποτὶ χαλκοβατὲς δῶ.
ἄρχε· σὺ γὰρ γενεῆφι νεώτερος· οὐ γὰρ ἐμοί γε
440 καλόν, ἐπεὶ πρότερος γενόμην καὶ πλείονα οἶδα.
νηπύτι', ὡς ἄνοον κραδίην ἔχες· οὐδέ νυ τῶν περ
μέμνηαι, ὅσα δὴ πάθομεν κακὰ Ἴλιον ἀμφί
μοῦνοι νῶϊ θεῶν, ὅτ' ἀγήνορι Λαομέδοντι
πὰρ Διὸς ἐλθόντες θητεύσαμεν εἰς ἐνιαυτόν
445 μισθῶι ἔπι ῥητῶι, ὃ δὲ σημαίνων ἐπέτελλεν.
ἤτοι ἐγὼ Τρώεσσι πόλιν πέρι τεῖχος ἔδειμα
εὐρύ τε καὶ μάλα καλόν, ἵν' ἄρρηκτος πόλις εἴη·
Φοῖβε, σὺ δ' εἰλίποδας ἕλικας βοῦς βουκολέεσκες
Ἴδης ἐν κνημοῖσι πολυπτύχου ὑληέσσης.
450 ἀλλ' ὅτε δὴ μισθοῖο τέλος πολυγηθέες ὧραι
ἐξέφερον, τότε νῶϊ βιήσατο μισθὸν ἅπαντα
Λαομέδων ἔκπαγλος, ἀπειλήσας δ' ἀπέπεμπεν·
σὺν μὲν ὅ γ' ἠπείλησε πόδας καὶ χεῖρας ὕπερθεν
δήσειν, καὶ περάαν νήσων ἔπι τηλεδαπάων,
455 στεῦτο δ' ὅ γ' ἀμφοτέρων ἀπολεψέμεν οὔατα χαλκῶι·
νῶϊ δέ τ' ἄψορροι κίομεν κεκοτηότι θυμῶι,

439 (–νεώτ.) Synes. Epist. 116 **441** (–ἔχ.) Eudoc. 1680; (ὡς–ἔχ.) Arn ad Ξ 25; (ἔχ.) H. ε 7596 **442** (–κακά) sch O 18d **444** (εἰς ἐνι.) Clem. Strom. 1.107.2; (inde) Eus. P.E. 10.12.27 **445** Eudoc. 1530; **445**a Philod. De piet. p.88 Sch.; (ῥητῶι) H. ρ 285; (σημ.–) sch Z 176b **446–8** Paus. 7.20.5; **448** Macr. Sat. 1.17.44; (βοῦς βουκ.) Epm. A 1b^{1a}, α 274 **450** (πολυγ.–) H. π 2834 **455** (ἀπολ.) id. α 6466 **456** (κεκοτ.) id. κ 2095

433 Ἰλίου Ω: Ἴλιον A^{γρ} *h*.—cf. ad B 133 **434** ὣς φάτο· μείδησεν δὲ (vel ἔφαθ'· ἣ δ' ἐγέλασσε T W G) θεὰ λευκώλενος Ἥρη (= A 595, Ξ 263^{vl}) add. *h* T W G: deest in Ω* **436** τί ἠ A B^{a} E F^{a} T, τί ἦ D **437** ἀμαχητεί 449 r: -τί T^{λ} Ω.—cf. ad Λ 637 **439** νεώτερος 449 t Ω*: -τατος D ἐμοί γε Bekker: ἔμοιγε Ω **440** πρότερος 449 Ω*: πρῶτος T **442** ἀμφίς T W (v.l. sim. ω 45) **445** ἔπι Wolf: ἐπὶ vel ἐπι Ω ρρητῶ(ι) Philod. D T R W G **446** ἐγὼ Τρώεσσι πόλιν Ar Nicias t A^{λ} Ω: ... πόλει Arph: μὲν γὰρ ἐγὼ πόλεως Aridices πέρι Nicias W$^{?}$ O V: περὶ vel περι Hdn Ω* **447** καλόν t Ω: μακρόν Zoilus (cf. Hymn. Ap. 255) **451** νῶ]ι A^{r} **452** ἀπέπεμπε(ν) Ω: -πεμψε Z: -βλεψε sch^{Gγρ} (Pindario u.v.; -κλεψε? Erbse) **453** σὺν Ω*: σοὶ C^{c} F^{a} R T^{s} G, σὺ D^{c} **454** ἔπι r: ἐπὶ Ω τηλεδαπάων Ar Ω: θηλυτεράων "αἱ ἀπὸ τῶν πόλεων".—cf. ad X 45; Rengakos 142 sq. **455** ἀπολεψέμεν Ar A^{γρ} *h* W, -λέψαι Z: -λοψεμεν 449: -κοψέμεν Ω*: -κόψειν A (cf. I 241): -λουσέμεν Hsch. quidam ap. Eust. 1246.37 **456** δέ τ' 449 Ω*: δὲ *h*, δ' D κεκοτηότι 449 Z Ω: -τε sch^{hγρ}

μισθοῦ χωόμενοι, τὸν ὑποστὰς οὐκ ἐτέλεσσεν.
τοῦ δὴ νῦν λαοῖσι φέρεις χάριν, οὐδὲ μεθ' ἡμέων
πειρᾶι, ὥς κεν Τρῶες ὑπερφίαλοι ἀπόλωνται
460 πρόχνυ κακῶς σὺν παισὶ καὶ αἰδοίῃς ἀλόχοισιν."
τὸν δ' αὖτε προσέειπεν ἄναξ ἑκάεργος Ἀπόλλων·
"Ἐννοσίγαι', οὐκ ἄν με σαόφρονα μυθήσαιο
ἔμμεναι, εἰ δὴ σοί γε βροτῶν ἕνεκα πτολεμίξω
δειλῶν, οἳ φύλλοισιν ἐοικότες ἄλλοτε μέν τε
465 ζαφλεγέες τελέθουσιν, ἀρούρης καρπὸν ἔδοντες,
ἄλλοτε δὲ φθινύθουσιν ἀκήριοι. ἀλλὰ τάχιστα
παυσώμεσθα μάχης, οἳ δ' αὐτοὶ δηριαάσθων."
ὣς ἄρα φωνήσας πάλιν ἐτράπετ'· αἴδετο γάρ ῥα
πατροκασιγνήτοιο μιγήμεναι ἐν παλάμῃσιν.
470 τὸν δὲ κασιγνήτη μάλα νείκεσε, Πότνια θηρῶν
{Ἄρτεμις ἀγροτέρη, καὶ ὀνείδειον φάτο μῦθον}·
"φεύγεις δή, Ἑκάεργε; Ποσειδάωνι δὲ νίκην
πᾶσαν ἐπέτρεψας, μέλεον δέ οἱ εὖχος ἔδωκας.
νηπύτιε, τί νυ τόξον ἔχεις ἀνεμώλιον αὔτως;
475 μή σεο νῦν ἔτι πατρὸς ἐνὶ μεγάροισιν ἀκούσω
εὐχομένου, ὡς τὸ πρὶν ἐν ἀθανάτοισι θεοῖσιν,
ἄντα Ποσειδάωνος ἐναντίβιον πτολεμίξειν."
ὣς φάτο· τὴν δ' οὔ τι προσέφη ἑκάεργος Ἀπόλλων,
479 ἀλλὰ χολωσαμένη Διὸς αἰδοίη παράκοιτις·
481 "πῶς δὲ σὺ νῦν μέμονας, κύον ἀδδεές, ἀντί' ἐμεῖο

457 (ὑποστάς) ApS 160.24 **463**b–**6** [Plut.] Cons. Apoll. 104f; (inde) Stob. 4.34.46; **464**a sch Z 146a[1]; **465** (ζαφλ.) ApS 80.32; H. ζ 76 **468** (αἴδ.–)–**9** Arn ad Φ 475/sch Φ 478 **470** Arn ad Φ 471a **471** id. ad Φ 511b **474** w5; (τί–ἔχ.) sch Φ 482 **478** (προσέφη) Arn ad Φ 479ab

458 ἡμέων 449 Ω*, -μῶν W G: ἡμῖν Christ, cf. ad N 700; Chantr. II 119 **459** πει-ρᾶι sch[hyp] Ω* (cf. Ω 390): -ρᾶν W: -ρᾶ(ι)ς 449 *b* F G: an -ρᾶ' (-ρᾶαι)? κεν Ω: κε 449 r.—cf. ad Δ 66 **460** πρόχνυ 449 Z Ω: πρόγνυ r.—cf. ad I 570 **461** ἑκάεργος 449 1480 Ω*: Διὸς υἱὸς sch[hyp] *b*.—cf. ad H 23 **463** πτολεμίξω 449 A D T R W, πτολε[μ 1480: -ιζω tt *b* F G (πο-): στυφελίξω rr (ex 380) **466** δὲ 9 662a 1490 tt A *b*: δ' αὖ A[γρ] Ω* ἀλλὰ τάχιστα 9 449 1480 Ω: οὐδέ τις ἀλκή tt **467** παυσώμεσθα 9 F, -μεθα A[m] (cf. H 290): παυώμε(σ)θα fere Ω* δηριαᾱ́σθων Ptol Hdn A: -αᾰ́σθων Tyr.—cf. ad Z 268 **469** μιγήμεναι 9 1480 tt Z Ω: δαμή- quidam ap. sch[T] **471** ath. Ar **474** νηπύτιε 9 449 w5 Ω: †ψενύτιε Aridices ἀνεμώλιον αὔτως (vel αὔ-) 9 449 w5 Ω: κἀτειρέας οἰστούς novit Aridices, κἀθειρέας coniecit **475–7** ath. Ar **475** σεο van Leeuwen: σευ 9 449 h94 Ω* A[λ], σεῦ G: σε R μμεγάροισιν h94 W **477** πτολεμίξειν 449 A D R, πολ- W: πτολεμίζειν E F G, πολ- 9 B C T,]εμιζε[h94.—cf. ad K 451 **478** τὴν 449 Ω: τὸν 9 **480** νείκεσεν Ἰοχέαιραν ὀνειδείοις ἐπέεσσιν

στήσεσθαι; χαλεπή τοι ἐγὼ μένος ἀντιφέρεσθαι
τοξοφόρωι περ ἐούσηι, ἐπεί σε λέοντα γυναιξίν
Ζεὺς θῆκεν, καὶ ἔδωκε κατακτάμεν ἥν κ' ἐθέληισθα.
485 ἤτοι βέλτερόν ἐστι κατ' οὔρεα θῆρας ἐναίρειν
ἀγροτέρας τ' ἐλάφους ἢ κρέσσοσιν ἶφι μάχεσθαι.
εἰ δ' ἐθέλεις πολέμοιο δαήμεναι, ὄφρ' εὖ εἴδηις
ὅσσον φερτέρη εἴμ', ὅτι μοι μένος ἀντιφερίζεις."
ἦ ῥα, καὶ ἀμφοτέρας ἐπὶ καρπῶι χεῖρας ἔμαρπτεν
490 σκαιῆι, δεξιτερῆι δ' ἄρ' ἀπ' ὤμων αἴνυτο τόξα,
αὐτοῖσιν δ' ἄρ' ἔθεινε παρ' οὔατα μειδιόωσα
ἐντροπαλιζομένην· ταχέες δ' ἔκπιπτον ὀϊστοί.
δακρυόεσσα δ' ὕπαιθα θεὰ φύγεν ὥς τε πέλεια,
ἥ ῥά θ' ὑπ' ἴρηκος κοίλην εἰσέπτατο πέτρην,
495 χηραμόν· οὐδ' ἄρα τῆι γε ἁλώμεναι αἴσιμον ἦεν·
ὣς ἣ δακρυόεσσα φύγεν, λίπε δ' αὐτόθι τόξα.
Λητὼ δὲ προσέειπε διάκτορος Ἀργειφόντης·
"Λητοῖ, ἐγὼ δέ τοι οὔ τι μαχήσομαι· ἀργαλέον δέ
πληκτίζεσθ' ἀλόχοισι Διὸς νεφεληγερέταο.
500 ἀλλὰ μάλα πρόφρασσα μετ' ἀθανάτοισι θεοῖσιν
εὔχεσθαι ἐμὲ νικῆσαι κρατερῆφι βίηφιν."
ὣς ἄρ' ἔφη· Λητὼ δὲ συναίνυτο καμπύλα τόξα
πεπτεῶτ' ἄλλυδις ἄλλα μετὰ στροφάλιγγι κονίης.
ἣ μὲν τόξα λαβοῦσα πάλιν κίε θυγατέρος ἧς,
505 ἣ δ' ἄρ' Ὄλυμπον ἵκανε Διὸς ποτὶ χαλκοβατὲς δῶ,
δακρυόεσσα δὲ πατρὸς ἐφέζετο γούνασι κούρη,
ἀμφὶ δ' ἄρ' ἀμβρόσιος ἑανὸς τρέμε. τὴν δὲ προτὶ οἷ

483b–4 (Ζεὺς θ.) Did ad P 134–6b; sch Υ 70–1; **483b** H. ε 4355; (ἐπεί σε λ.) Hdn ad Z 355a[1] **485** sch Soph. Ai. 26; H. ε 2666 **495** (χηρ.) ApS 167.28; Hdn ad Ω 228a; H. χ 410; Orio 164.31 **497** (διάκτ.) id. 45.6, 50.1 **498** sch Φ 469c[1]; (–μαχ.) Theodos. Can. 27.4; Choer. in Thd. i.312.25, 30; 396.11 **502** (Λητὼ–) Epm. α 307; **502b–3** (πεπτ.) sch Θ 269a; **502b** cf. EtG α 217; (συναίν.) H. σ 2401; **503a** Arn ad Φ 502b

add. H O^{m} rr: non hab. Ar Arn 9 449 Ω **481** ἀδδεὲς 9 449^{c} Z Ω: ἀδεὲς 449^{a} O.—cf. ad Θ 423 **486** κρέσσοσιν Blass: κρεί- 9 449 Ω **487** εὖ 9 Ω: ἔϋ Ludwich (ἐῢ Bekker) εἴδηις van Leeuwen: εἰδῆις 9 Ω **492** ἐντροπαλιζομένην Ar Pindario(?) 507a A B^{c} F^{a} T R W: -νη (nov. Did) 9 sch^{bT} Ω*: πολλὰ λισσομένης 𝔔 ⁑ **493** ὕπαιθα 9 Ω* (fort. praestat ὕπ-, cf. ad X 141): ἔπειτα $A^{γρ}$ F *b* πέλεια Hdn 9 Ω: πελ‹ε›ιάς Z **497** Λητὼ 9 $507a^{c}$ Ω*: -ῶ Tyr C^{a} R W: -οῖ $507a^{a}$ (ex 498) **498** μαχήσομαι 9 sch-Φ Ω*: μαχέσσ- 507a tt* F δὲ $A^{γρ}$ Ω* (cf. O 140): γὰρ 9 t A G **501** νικῆσαι 9 $T^{λ}$ Ω*: -ήσειν *b* R **503** πεπτεῶτ' 9 tt Ω*: -εότ' B^{s} C E: -ηωτα Z: πεπτῶτ' $A^{γρ}$ *b* **507** προτὶ 9 Z Ω: ποτὶ rr.—v.l. sim. ω 347 οἷ Hdn Ω*: οἶ W: οἱ E G

εἷλε πατὴρ Κρονίδης, καὶ ἀνείρετο ἡδὺ γελάσσας·
509 "τίς νύ σε τοιάδ' ἔρεξε, φίλον τέκος, Οὐρανιώνων;"
511 τὸν δ' αὖτε προσέειπεν ἐϋστέφανος Κελαδεινή·
"σή μ' ἄλοχος στυφέλιξε, πάτερ, λευκώλενος Ἥρη,
ἐξ ἧς ἀθανάτοισιν ἔρις καὶ νεῖκος ἐφῆπται."
ὣς οἳ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
515 αὐτὰρ Ἀπόλλων Φοῖβος ἐδύσετο Ἴλιον ἱρήν,
μέμβλετο γάρ οἱ τεῖχος ἐϋδμήτοιο πόληος,
μὴ Δαναοὶ πέρσειαν ὑπὲρ μόρον ἤματι κείνωι.
οἱ δ' ἄλλοι πρὸς Ὄλυμπον ἴσαν θεοὶ αἰὲν ἐόντες,
οἳ μὲν χωόμενοι, οἳ δὲ μέγα κυδιόωντες,
520 κὰδ δ' ἷζον παρὰ πατρὶ κελαινεφεῖ. αὐτὰρ Ἀχιλλεύς
Τρῶας ὁμῶς αὐτούς τ' ὄλεκεν καὶ μώνυχας ἵππους·
ὡς δ' ὅτε καπνὸς ἰὼν εἰς οὐρανὸν εὐρὺν ἱκάνει
ἄστεος αἰθομένοιο, θεῶν δέ ἑ μῆνις ἀνῆκεν,
πᾶσι δ' ἔθηκε πόνον, πολλοῖσι δὲ κήδε' ἐφῆκεν,
525 ὣς Ἀχιλεὺς Τρώεσσι πόνον καὶ κήδε' ἔθηκεν.
ἑστήκει δ' ὁ γέρων Πρίαμος θείου ἐπὶ πύργου·
ἐς δ' ἐνόησ' Ἀχιλῆα πελώριον, αὐτὰρ ὑπ' αὐτοῦ
Τρῶες ἄφαρ κλονέοντο πεφυζότες, οὐδέ τις ἀλκή
γίνεθ'· ὃ δ' οἰμώξας ἀπὸ πύργου βαῖνε χαμᾶζε,
530 ὀτρύνων παρὰ τεῖχος ἀγακλειτοὺς πυλαωρούς·
"πεπταμένας ἐν χερσὶ πύλας ἔχετ', εἰς ὅ κε λαοί
ἔλθωσι προτὶ ἄστυ πεφυζότες· ἦ γὰρ Ἀχιλλεύς

508 (ἀν.) H. (Cyr.) α 5081 **515–16** sch[h94] Φ 229–32; **516** (μέμβ.) H. (Cyr.) [β 509], μ 790 **519** Eudoc. 2229 **524** ead. 87 **528** (–πεφ.) sch X 1a **531–2** (–πεφ.) + **534–5** Porph. Il. 176.9 Schr.; **531–2a** sch M 122–3ab; **531** (ἐν χ.–ἔχ.) sch Σ 275

508 ἀνείρετο 9 Ω*: ἀνήρ- t C R **510** (= E 374) add. D² T W G: deest in 9 Ω* **513** νεῖκος (nov. Did) 9 Ω (cf. υ 267): νείκε' Ar[ab] 249 rr ἐφῆπται 9 249 Ω: ἐτύχθη (Ar?) sch[T] non sibi constans, T[λ] **515** Φοῖβος 9 449 Ω: οἶος t **516** οἱ, τεῖ–χος Nic F **519** δὲ 9 449 Ω: δ' αὖ (Bothe) t μμεγα 449 **520** ἷζον E R[c?] W: ἵ- Ω* παρὰ πατρὶ 9 449 A[γρ] Ω*: πὰρ Ζηνὶ A G **522** ἱκάνει 9 Ω, -νηι Wecklein SBAW 1908(2).62: ἵκηται (= Σ 207) A[γρ].—cf. ad Θ 60, Λ 170, Ψ 138 **523** ἑ 9 249 Ω: τε 449 **524** om. rr (homoeotel.), damn. Bothe ἐφῆκε(ν) 9 249 t Ω* (cf. A 445): ἔθηκεν T: ἐφῆπται rr (cf. B 32, 69, Z 241): an ἐφῆψεν? **525** om. 249 T[a], post 526 fert 9 (homoeotel.) πόνον καὶ 9 449 Ω*: φόνον καὶ A F G: πολύστονα *h* (ex A 445) ἔθη–κεν 9 Ω*: ἐφῆκεν G (ex 524): ες . . . . 449: (κήδεα) θῆκεν *h*: ἔτευξεν A[γρ] (cf. N 209) **526** ἑστήκει A G: εἱστ- T[λ] Ω*: ιστ- 9 **527** δ' ἐνόησ' 9 Ω: δὲ ν- B[c] **529** γίνεθ' 9 [449] Ω: γίγν- rr **530** ὀτρύνων Ar 449 A D: -νέων (nov. Did) 9 Ω*: utrumque T[λλ].—cf. ad N 209 πυλαωρούς 9 Z Ω: -ο‹υ›ρούς sch[Nγρ].—cf. ad X 69, Ω 681; Leumann 223 n.20 **532** ἔλθωσιν 449 W

ἐγγὺς ὅδε κλονέων· νῦν οἴω λοίγι' ἔσεσθαι.
αὐτὰρ ἐπεί κ' ἐς τεῖχος ἀναπνεύσωσιν ἀλέντες,
535 αὖτις ἐπ' ἂψ θέμεναι σανίδας πυκινῶς ἀραρυίας·
δείδια γάρ, μὴ οὖλος ἀνὴρ ἐς τεῖχος ἅληται."
ὣς ἔφαθ'· οἳ δ' ἄνεσάν τε πύλας καὶ ἀπῶσαν ὀχῆας,
αἳ δὲ πετασθεῖσαι τεῦξαν φάος. αὐτὰρ Ἀπόλλων
ἀντίος ἐξέθορε, Τρώων ἵνα λοιγὸν ἀμύναι.
540 οἳ δ' ἰθὺς πόλιος καὶ τείχεος ὑψηλοῖο
δίψηι καρχαλέοι, κεκονιμένοι ἐκ πεδίοιο
φεῦγον· ὃ δὲ σφεδανὸν ἔφεπ' ἔγχεϊ, λύσσα δέ οἱ κῆρ
αἰὲν ἔχε κρατερή, μενέαινε δὲ κῦδος ἀρέσθαι.
ἔνθά κεν ὑψίπυλον Τροίην ἕλον υἷες Ἀχαιῶν,
545 εἰ μὴ Ἀπόλλων Φοῖβος Ἀγήνορα δῖον ἀνῆκεν,
φῶτ' Ἀντήνορος υἱὸν ἀμύμονά τε κρατερόν τε.
ἐν μέν οἱ κραδίηι θάρσος βάλε, πὰρ δέ οἱ αὐτός
ἔστη, ὅπως Θανάτοιο βαρείας χεῖρας ἀλάλκοι,
φηγῶι κεκλιμένος· κεκάλυπτο δ' ἄρ' ἠέρι πολλῆι.
550 αὐτὰρ ὅ γ' ὡς ἐνόησεν Ἀχιλλῆα πτολίπορθον,
ἔστη, πολλὰ δέ οἱ κραδίη πόρφυρε μένοντι.
ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
"ὤι μοι ἐγών· εἰ μέν κεν ὑπὸ κρατεροῦ Ἀχιλῆος
φεύγω, τῆι περ οἱ ἄλλοι ἀτυζόμενοι κλονέονται,

533 Eudoc. 1540 **534** Hdn ad Λ 192a[1], Φ 536c; EtG α 516; (ἀλ.) ApS 22.24; H. (Cyr.) α 2862 **537** (ἄνεσαν–) sch X 468b (Porph. Il. 260.10 Schr.) **538** (τεῦξαν) H. τ 696 **539** (ἐξέθ.) H. (Cyr.) ε 3642 **540a** ApS 90.27; (ἰθὺς π.) sch[D] Z 3 **541** Hclt. Alleg. 10.6; **541a** ApS 95.14; cf. Ath. 475b; (καρχ.) H. (Cyr.) κ 943 **542** (σφ.) H. σ 2862 **543b** Arn ad Π 491a (et sch[D]); ApS 111.10 **544** Porph. Od. 40.11 Schr. **550** sch O 77b **551** (πολλὰ–) Porph. Hom. 22.14 Sod.; (πολλὰ–πόρφ.) H. π 2797/8; (κρ. πόρφ.) cf. eund. π 3082; (πόρφ.) ApS in h11b; cf. Phot. Lex. s.v.

533 κλονέων 9 507a Ω*: -έει t *b* **535** αὖτις 9 Ω*: -θις t C ἐπ' ἂψ "τινὲς τῶν κατὰ πόλεις" 9 449 Ω (cf. Σ 14): ἐπαν- Ar A[γρ]: ἐπι- t **536** οὖλος 9 449 507a sch[bT] Ω: οὗτος 507a[2γρ] ἅληται Hdn 507a[a] Ω* (cf. 534): ἁλ- D: ἄλ- 507a[c] T[c] R W (cf. M 438, Π 558) **537** αν]έσάν 507a **538–9** ath. Zen **539** ἐξέθορε(ν), ita interpung. A B E F T iubente sch[b] ἀμύναι Hdn 507a[2m] A[γρ] A[λ] *b* T R (cf. O 736): -νηι W: ἀλάλκοι (agn. Hdn) 9 507a 1491 Z Ω* (cf. 138, 250) **541** καρχαλέοι 9 tt Z Ω*: κ]ερχ- 449: καρφ- R[a] **542** σφεδανὸν (nov. Did) Z A[λ] C[s] Ω* (σφενδ- W) (cf. Λ 165, Π 372): -νῶν Ar Hdn 9 t A B E T[c]: -νῶς C: σφε δανῶν divisim quidam ap. Hsch. (ex ApS pleniore?) ἔφεπ' 9 507a[2m] Ω: ἐπετ' 507a.—cf. ad Λ 154 ἔγχεϊ sic Ω **544** ἔνθά sic A[λ] Ω **548** χεῖρας 9 1491 Ω: κῆρας Eust. rr **549** πολλῆι 1491 Ω: -ω 449.—v. adn. meam ad Hes. Th. 9 **550** Ἀχιλλῆα πτολίπορθον Ar 449 1491 t Ω: -έα Πηλείωνα quidam ante Arn **551** μένοντι 1491 Ω: κιόντι t V (ex δ 427 al.) **553** ὤι A C T[c] W: ὤ 9 Ω* **554** κλονέονται 9 250 A G (cf.

555 αἱρήσει με καὶ ὧς, καὶ ἀνάλκιδα δειροτομήσει·
εἰ δ' ἂν ἐγὼ τούτους μὲν ὑποκλονέεσθαι ἐάσω
Πηλείδηι Ἀχιλῆϊ, ποσὶν δ' ἀπὸ τείχεος ἄλληι
φεύγω πρὸς πεδίον Ἰλήϊον, ὄφρ' ἂν ἵκωμαι
Ἴδης τε κνημοὺς κατά τε ῥωπήϊα δύω,
560 ἑσπέριος δ' ἂν ἔπειτα, λοεσσάμενος ποταμοῖο,
ἱδρῶ ἀποψυχθείς, προτὶ Ἴλιον ἀπονεοίμην.
ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
μή μ' ἀπαειρόμενον πόλιος πεδίονδε νοήσηι
καί με μεταΐξας μάρψηι ταχέεσσι πόδεσσιν.
565 οὐκέτ' ἔπειτ' ἔσται θάνατον καὶ κῆρας ἀλύξαι·
λίην γὰρ κρατερὸς περὶ πάντων ἔστ' ἀνθρώπων.
εἰ δέ κέ οἱ προπάροιθε πόλιος κατ' ἐναντίον ἔλθω·
καὶ γάρ θην τούτωι τρωτὸς χρὼς ὀξέϊ χαλκῶι,
ἐν δὲ ἴα ψυχή, θνητὸν δέ ἕ φασ' ἄνθρωποι
570 ἔμμεναι· αὐτάρ οἱ Κρονίδης Ζεὺς κῦδος ὀπάζει."
ὣς εἰπὼν Ἀχιλῆα ἀλεὶς μένεν, ἐν δέ οἱ ἦτορ
ἄλκιμον ὡρμᾶτο πτολεμίζειν ἠδὲ μάχεσθαι.
ἠΰτε πάρδαλις εἶσι βαθείης ἐκ ξυλόχοιο
ἀνδρὸς θηρητῆρος ἐναντίον, οὐδέ τι θυμῶι
575 ταρβεῖ οὐδὲ φοβεῖται, ἐπεὶ κυνύλαγμον ἀκούσηι·
εἴ περ γὰρ φθάμενός μιν ἢ οὐτάσηι ἠὲ βάλησιν,

558 (Ἰλ.) H. ε 881, ι 543 **559** (κν.) ApS 101.13 **560**b sch O 265c **563** Porph. Il. 256.4 Schr.; (ἀπα.) H. (Cyr.) α 5713 **564** (μετα.) H. μ 985 **566** Eudoc. 406 **568** sch[T] Δ 510a; (–χρώς) Clem. Protr. 36.1 **569**a ApS 89.20; (ἴα) H. (Cyr.) ι 1; **569**b Arn ad Φ 570a[1] **571** (ἀλείς) H. (Cyr.) α 2843 **573** Poll. 5.14 **575** (ὑλ.) H. (Cyr.) υ 138

556, Σ 7): φοβέ- A[γρ] Ω* (= Z 41, Φ 4) **555** ὧς D C[a]: ὡς 250 A F R G, ὣς Ω* **557** ἄπο B **558** Ἰλήϊον Ar 9 250 t Z Ω: Ἴδ- Crates: etiam εἰλ- (ἐν ἡλίωι θερμανθέν) Hsch.: λεῖον et ὄφρ' ἄγ‹κε› van Leeuwen peringeniose **559** κνημοὺς 9 250 t Ω*: κρημνοὺς G.—cf. ad Ψ 117 **560** ἑσπέριος 9 Ω: -ο]ν 250 ἂν 9 250 449 Ω*: ἂρ D O **561** ἱδρῶ 9 Ω: -ό' Payne Knight προτὶ 9 250 Ω*: ποτὶ C W **562** τί ἤ A **563** ἀπαειρόμενον 9 250 449 tt Z Ω: -ρά- A[s] **566** περὶ 9 250 Ω*: πέρι R **567** κέ Heyne: κεν 9 250 Ω πόλιος 9 449[uv] Ω: cf. ad B 811 κατ' ἐναντίον D[2] B[a] E R W: κατεν- Ω* **568** θην 9 250 449 Ω: τ' ἦν t*: ἔην Clem. (cod.[r]) **569** δὲ ἴα 9 250 449 t Ω (cf. I 319): δέ (Ϝ') ἴα Agar **570** ath. Ar **572** ὡρμᾶτο 9 250 Ω: ὁρ- rr πτολεμίζειν Ω*: πολ- 9 B E T W **573** πάρδαλις Ar[ab] t A[s] R W G[c?]: πόρδ- (nov. Did) 9 250 Ω*.—v. Praef. xxxiv **574** οὐδ' ἔτι 449[uv] A[a] **575** ταρβεῖ 9 250 Ω A[λ]: -βέει Payne Knight κυνυλαγμον quidam ante Ar (= Zen teste T; proparox. dedi), cf. Stes. PMGF 255: κεν ὑλαγμὸν Ar 9 449 1492 t Ω **576** μιν Ar 9 Ω: τις "αἱ ἀπὸ τῶν πόλεων" *h*: Ϝ' (et ἤ') van Leeuwen: del. Leaf ἢ om. 9

ἀλλά τε καὶ περὶ δουρὶ πεπαρμένη οὐκ ἀπολήγει
ἀλκῆς, πρίν γ' ἠὲ ξυμβλήμεναι ἠὲ δαμῆναι·
ὣς Ἀντήνορος υἱὸς ἀγαυοῦ, δῖος Ἀγήνωρ,
580 οὐκ ἔθελεν φεύγειν, πρὶν πειρήσαιτ' Ἀχιλῆος,
ἀλλ' ὅ γ' ἄρ' ἀσπίδα μὲν πρόσθ' ἔσχετο πάντοσ' ἐΐσην,
ἐγχείηι δ' αὐτοῖο τιτύσκετο, καὶ μέγ' ἀΰτει·
"ἦ δή που μάλ' ἔολπας ἐνὶ φρεσί, φαίδιμ' Ἀχιλλεῦ,
ἤματι τῶιδε πόλιν πέρσειν Τρώων ἀγερώχων,
585 νηπύτι'· ἦ τ' ἔτι πολλὰ τετεύξεται ἄλγε' ἐπ' αὐτῆι.
ἐν γάρ οἱ πολέες τε καὶ ἄλκιμοι ἀνέρες εἰμέν,
οἵ κεν πρόσθε φίλων τοκέων ἀλόχων τε καὶ υἱῶν
Ἴλιον εἰρυόμεσθα· σὺ δ' ἐνθάδε πότμον ἐφέψεις,
ὧδ' ἔκπαγλος ἐὼν καὶ θαρσαλέος πολεμιστής."
590 ἦ ῥα, καὶ ὀξὺν ἄκοντα παχείης χειρὸς ἀφῆκεν,
καί ῥ' ἔβαλε κνήμην ὑπὸ γούνατος, οὐδ' ἀφάμαρτεν.
ἀμφὶ δέ μιν κνημὶς νεοτεύκτου κασσιτέροιο
σμερδαλέον κονάβησε· πάλιν δ' ἀπὸ χαλκὸς ὄρουσεν
βλημένου, οὐδ' ἐπέρησε, θεοῦ δ' ἠρύκακε δῶρα.
595 Πηλείδης δ' ὡρμήσατ' Ἀγήνορος ἀντιθέοιο
δεύτερος· οὐδ' ἔτ' ἔασεν Ἀπόλλων κῦδος ἀρέσθαι,
ἀλλά μιν ἐξήρπαξε, κάλυψε δ' ἄρ' ἠέρι πολλῆι,
ἡσύχιον δ' ἄρα μιν πολέμου ἔκπεμπε νέεσθαι.
αὐτὰρ ὁ Πηλείωνα δόλωι ἀποέργαθε λαοῦ·
600 αὐτῶι γὰρ Ἑκάεργος Ἀγήνορι πάντα ἐοικώς

577 [Plut.] Hom. 2.87.3; Ael. N.A. 17.43; (περὶ δ. π.) sch Ω 8b **588** (εἰρ.) H. ε 1059 **592** (κν.–) Arist. Poet. 1461a28; (νεοτ.) H. ν 358 **600–1a** Procl. in Remp.

577 ἀλλά 9 t* Ω: ἦ ῥα Ael. **580** φεύγειν 9 250 Ω*: φυγέειν *b* **581** γ' ἄρ' C: γὰρ 9 Ω* πρόσθε σχέτο F (cf. ad M 294) πάντοσ' ἐΐσην 9 sch^{hyp} *b*: -οσε ἴσην 1492 Ω* **583** ἦ δή Hdn Ω: ἤδη quidam ante Hdn $A^{γρ}$ **584** πέρσειν 250 449 Ω*: -σαι G **585** τ' ἔτι Ω*: τέ τι $A^{γρ}$, τετι 9: μάλα A G τετεύξεται 9 449 sch^{hyp} Ω*: -εαι *b* R **586** γάρ οἱ 9 $A^{λ}$ Ω*: γάρ ῥ' οἱ *b* F^{c}: γάρ τοι D^{r} T *b* ἀνέρες εἰμέν $Ar^{?}$ 9 449 Ω: ἄνδρες ἔνειμεν "ἐν ταῖς πλείοσιν" 1492 $A^{γρ}$ (-μαν) **587** κεν *b* F^{c} T R, κε "ἔν τισι τῶν εἰκαιοτέρων" 9 Ω* (cf. A 175, I 155): καὶ Ar^{ab} H τοκέων ἀλόχων 9 250 Ω (τεκ- D *h*): ἀλόχων τοκέων (Ar? v. Erbse) 449 V, nov. Eust. **588** εἰρυόμε(σ)θα 9 250 t Z Ω*: εἰρυσό- 449 *b* ἔφ' ἕψεις Nicias, reprobat Hdn **590** παχείης 449 $A^{γρ}$ D *b* F: βαρείης (= N 410) 9 250 Ω* ἀφῆκε A **592** μιν 9 250 449 Ω: οἱ H (cf. M 396, N 805, al.) **593** κονάβησε 9 449 Ω*, -ισε R: -ιζε 250 D.—cf. ad B 466 **594** om. A^{a}, susp. Christ **595** ὡρμ–ήσατ' 9 449 Ω: ὁρ- rr **596** οὐδ' ἔτ' F^{a} (cf. Λ 437): οὐδέ τ' 9 449 Ω*: οὐδέϝ' Brandreth Ἀπόλλων κῦδος ἀρέσθαι 9 250 449 Ω: ἄναξ Διὸς υἱὸς Ἀπόλλων $A^{γρ}$ **597** κάλυψε δ' ἄρ' 9 250 449 Ω: καλύψας $A^{γρ}$ (cf. Λ 752) **599** ἀποέργαθε Ar 9 250 449 Ω (ἀπὸ ἔ- A^{a} T, ἄπο ἔ- R): ἀπε–έργ- nov. Did u.v. **600** γὰρ Ar 9 t Ω*: γάρ ῥ' (nov. Did) F^{c} R W

ἔστη πρόσθε ποδῶν, ὃ δ' ἐπέσσυτο ποσσὶ διώκειν.
  ἕως ὃ τὸν πεδίοιο διώκετο πυροφόροιο,
τρέψας πὰρ ποταμὸν βαθυδινήεντα Σκάμανδρον,
τυτθὸν ὑπεκπροθέοντα—δόλωι δ' ἄρ' ἔθελγεν Ἀπόλλων,
605 ὡς αἰεὶ ἔλποιτο κιχήσεσθαι ποσὶν οἷσιν—
τόφρ' ἄλλοι Τρῶες πεφοβημένοι ἦλθον ὁμίλωι
ἀσπάσιοι προτὶ ἄστυ· πόλις δ' ἔμπλητο ἀλέντων.
οὐδ' ἄρα τοί γ' ἔτλαν πόλιος καὶ τείχεος ἐκτός
μεῖναι ἔτ' ἀλλήλους καὶ γνώμεναι, ὅς τε πεφεύγοι
610 ὅς τ' ἔθαν' ἐν πολέμωι, ἀλλ' ἐσσυμένως ἐσέχυντο
ἐς πόλιν, ὅν τινα τῶν γε πόδες καὶ γοῦνα σαώσαι.
X ὣς οἳ μὲν κατὰ ἄστυ, πεφυζότες ἠΰτε νεβροί,
ἱδρῶ ἀπεψύχοντο πίον τ' ἀκέοντό τε δίψαν,
κεκλιμένοι καλῆισιν ἐπάλξεσιν· αὐτὰρ Ἀχαιοί
τείχεος ἄσσον ἴσαν, σάκε' ὤμοισι κλίναντες.
5 Ἕκτορα δ' αὐτοῦ μεῖναι ὀλοιὴ μοῖρ' ἐπέδησεν
Ἰλίοο προπάροιθε πυλάων τε Σκαιάων.
  αὐτὰρ Πηλείωνα προσηύδα Φοῖβος Ἀπόλλων·
"τίπτε με, Πηλέος υἱέ, ποσὶν ταχέεσσι διώκεις,
αὐτὸς θνητὸς ἐὼν θεὸν ἄμβροτον; οὐδέ νύ πώ με
10 ἔγνως ὡς θεός εἰμι, σὺ δ' ἀσπερχὲς μενεαίνεις.

i.147.17 **602** Cocondr. Trop. iii.242.17 Sp.; (–διώκ.) sch X 168 **604**b sch X 15b **606–7** Eudoc. 2020–1; **607**b Hdn ad Λ 192a^{1}, Φ 536c; (ἀλ.) H. α 2863 **608**a + **609–10**a sch Λ 171 **X 1–4** Porph. Il. 209.14 Schr.; **1** Choer. in Thd. ii.309.12; **1**b sch Θ 345–7; **2** Hclt. Alleg. 10.6; EtG α 348; **2**a Choer. in Thd. i.129.5, 148.2, 249.1, 383.21; **2**b H. α 2503; Olymp. in Gorg. 159.22; Philop. in De an. CAG xv.250.13; Epm. α 315; (ἀκ.) H. α 2324; **3** (–ἐπάλξ.) Epm. κ 127 **6** (Σκ.) Arn ad Γ 263 **8–10**a Clem. Strom. 5.117.1, unde Eus. P.E. 13.13.43; **9–10** Eudoc. 318–19; **9** (–ἄμβρ.) Max. Tyr. 18.5; **10**a Choer. in Ps. 42.16

601 διώκειν 9 449 Ω*: -ων D C **603** τρέψας 9 [250] Ω*: στρ- F G Σκάμανδρον 9 250 449 Ω: Κά- rr **604** ὑπεκπροθέοντα 9 250 449 Ω (ὕπεκ π– D): ὑπερπρο- A^{λ} A^{s} δ' ἄρ' ἔθελγεν 9 250 449 Ω*: γὰρ ἔθ- t R W: δ' ἄρα θ- Bekker **605** κιχήσεσθαι 9 449^{2s} Ω: -σασθαι 449 **606** Τρῶες 9 250 449 Ω*: πάντες t *b* **607** πόλις δ' ἔμπλητο Ar 9 449 tt Ω,]ληto 250: πύλαι δ' ἔμπληντο Antim Rhi **609** τε 9 t Ω: κε 12 πεφεύγοι 9 [12?] 250 Ω*: -γει t D R **610** ἐσσυμένως A M: ἀσπασίως 9 A^{γρ} Ω* (cf. 607) ἐσέχυντο 9 Z Ω* R^{s} (cf. M 470): ἐπέ- R G **611** ὅν 9 251^{c} Ω: ων[[ḍ 251^{a} σαώσαι Ar: σάωσαν (nov. Did) 9 Ω* (γοῦν' ἐσ- D), -σεν Z R **X 2** ἱδρῶ 9 252 tt Ω: -ό' Payne Knight ἀπεψύχοντο (Ar^{a}? nov. Did) 9 252 253 tt Z Ω* (= Λ 621, Φ 561): ἀνε- Ar(^{b}?) A^{s} R **4** ἄσσον 252 A D T: ἆ- Ω* **5** ὀλοιὴ Z A D^{a} R^{a} G: ὀλοὴ 1 9 Ω* μοῖρ' ἐπέδησεν 9 253 Ω: μοῖρα π- sch^{hyp} O **6** Ἰλίοο Ahrens: -ίου 1 9 252 449 Ω **7** αὐτὰρ 252 449 Ω: αὐτὰρ ὃ 1 9 H O V.—cf. ad Γ 18 **8** τίπτέ sic Ω, τ]ιπτέ 1 **9** ἄμβροτον 1 253 tt Ω*: ἄβρ- 9 T^{a} H **10***a* (= Δ 33) add. 9

ἦ νύ τοι οὔ τι μέλει Τρώων πόνος, οὓς ἐφόβησας·
οἳ δ' ἤτοι εἰς ἄστυ ἅλεν, σὺ δὲ δεῦρο λιάσθης.
οὐ μέν με κτενέεις, ἐπεὶ οὔ τοι μόρσιμός εἰμι."
τὸν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
15 "ἔβλαψάς μ', Ἑκάεργε, θεῶν ὀλοώτατε πάντων,
ἐνθάδε νῦν τρέψας ἀπὸ τείχεος· ἦ κ' ἔτι πολλοί
γαῖαν ὀδὰξ εἷλον, πρὶν Ἴλιον εἰσαφικέσθαι.
νῦν δ' ἐμὲ μὲν μέγα κῦδος ἀφείλεο, τοὺς δ' ἐσάωσας
ῥηϊδίως, ἐπεὶ οὔ τι τίσιν γ' ἔδδεισας ὀπίσσω.
20 ἦ σ' ἂν τεισαίμην, εἴ μοι δύναμίς γε παρείη."
ὣς εἰπὼν προτὶ ἄστυ μέγα φρονέων ἐβεβήκει,
σευάμενος ὥς θ' ἵππος ἀεθλοφόρος σὺν ὄχεσφιν,
ὅς ῥά τε ῥεῖα θέησι τιταινόμενος πεδίοιο·
ὣς Ἀχιλεὺς λαιψηρὰ πόδας καὶ γούνατ' ἐνώμα.
25 τὸν δ' ὁ γέρων Πρίαμος πρῶτος ἴδεν ὀφθαλμοῖσιν,
παμφαίνονθ' ὥς τ' ἀστέρ' ἐπεσσύμενον πεδίοιο,
ὅς ῥά τ' ὀπώρης εἶσιν, ἀρίζηλοι δέ οἱ αὐγαί
φαίνονται πολλοῖσι μετ' ἀστράσι νυκτὸς ἀμολγῷ,
ὅν τε κύν' Ὠρίωνος ἐπίκλησιν καλέουσιν·
30 λαμπρότατος μὲν ὅ γ' ἐστί, κακὸν δέ τε σῆμα τέτυκται,
καί τε φέρει πολλὸν πυρετὸν δειλοῖσι βροτοῖσιν·

11 (–πόν.) Hdn ad Z 465 **12** (–ἅλεν) Hdn ad Λ 192a[1], Φ 536c; EtG α 516 **13** w5 (lacerum); Philostr. Vit. Ap. 8.5, 8; **13**a ib. 8.12; (μόρσ.) Orio 98.17 **15** Pl. Resp. 391a; Procl. in Remp. i.146.13; Olymp. in Meteor. CAG xii(2).10.9; Epm. μ 66 **16** (–τείχ.) Hdn ad I 398 **18–20** Eudoc. 2121–3; **19** (τίσιν) ApS 153.8; **20** Pl. Resp. 391a; Plut. Mor. 170f **22** (σευ.) H. σ 460 **23** (θέησι) H. (Cyr.) θ 175; (τιτ.) H. τ 967 **25–32** Macr. Sat. 5.10.3; **26**a + **27**a Arn ad Λ 62a[1]; **26**a Philod. De bono rege xxxviii 7; **26** (ὥς τ'–)–**9** Epm. π 46; **27**a Poll. 1.60; **29–30**a sch Arat. 326; Philop. in Meteor. CAG xiv(1).19.1; **29** ApS 105.32; **29**a sch Σ 488b; **30–1** Philod. De bono rege xx 10 (lacera); [Plut.] Hom. 2.202.5; **30** Choer. in Ps. 133.20; **31** sch[D] Λ 62; Steph. in Hipp. Aphor. 4.5

11 ἦ 1 Ω*: ἢ C[c] R G **12** δ' ἤτοι 9 B[c] R[a]: δή τοι 1 Ω* δεῦρο λιάσθης 1 9 253 sch[hyp] D *b* W G (-ασθείς Bentley): δεῦρ' ἐλ- Z A F T R **13** μέν 1 9 252 449 w5 Ω: γάρ tt* με 1 9 252 449 tt* Ω: μοι w5[a]: ἐμὲ Bothe κτενέεις 1 9 449 tt Ω*: κταν- R[a] **15** ὀλοώτατε 1 9 tt Z Ω: δολο- quidam ap. sch[bT] cl. Φ 604 (δολι- Heyne) **17** πρὶν 1 9 Ω*: προτὶ D **18** ἀφείλεο Ar 9 t Ω* (-ετο A[a]): -αο 1 F δ' ἐσάωσας 1 9 Ω: δὲ σ- r **20** ἦ Nic Ω*: ἡ Z, ἥ W G σ' 9 tt Z Ω: τ' Düntzer cl. β 62 (ι 317) τεισαίμην Fick: τισ- 1 9 tt Z Ω **23** ὅς ῥά τε 9 Ω*: ὅς τε sch[hyp] D V **27** ὀπώρης 9 252 tt Z Ω*: -ηις A[c] F: -ην W: -ῃ H **28** ἀστράσι Ar D (cf. KB I 429; Schwyzer 569): proparox. Philox "οἱ πλείονες" Hdn Ω*.–cf. ad 317 **29** Κυνωρίωνος DSid, contra dixit Hdn **30** ὅ γ' 9 252 tt* Ω* (οἱ D[a]): ὅδ' Macr. A F W **31** καί 9 tt* Ω: ὅς Elias δειλοῖσι 9 508 1494 tt* Ω: με]ρ̣ο̣πεσσ[ι 12: παν]τ[εσ]σι? Philod.

ὣς τοῦ χαλκὸς ἔλαμπε περὶ στήθεσσι θέοντος.
ᾤμωξεν δ' ὁ γέρων, κεφαλὴν δ' ὅ γε κόψατο χερσίν
ὑψόσ' ἀνασχόμενος, μέγα δ' οἰμώξας ἐγεγώνει
35 λισσόμενος φίλον υἱόν· ὃ δὲ προπάροιθε πυλάων
ἑστήκει, ἄμοτον μεμαὼς Ἀχιλῆϊ μάχεσθαι.
τὸν δ' ὁ γέρων ἐλεεινὰ προσηύδα χεῖρας ὀρεγνύς·
"Ἕκτορ, μή μοι μίμνε, φίλον τέκος, ἀνέρα τοῦτον
οἶος ἄνευθ' ἄλλων, ἵνα μὴ τάχα πότμον ἐπίσπηις
40 Πηλείωνι δαμείς, ἐπεὶ ἦ πολὺ φέρτερός ἐστιν.
σχέτλιος—αἴθε θεοῖσι φίλος τοσσόνδε γένοιτο
ὅσσον ἐμοί· τάχα κέν ἑ κύνες καὶ γῦπες ἔδοιεν
κείμενον· ἦ κέ μοι αἰνὸν ἀπὸ πραπίδων ἄχος ἔλθοι—
ὅς μ' υἱῶν πολλῶν τε καὶ ἐσθλῶν εὖνιν ἔθηκεν
45 κτείνων καὶ περνὰς νήσων ἔπι τηλεδαπάων.
καὶ γὰρ νῦν δύο παῖδε, Λυκάονα καὶ Πολύδωρον,
οὐ δύναμαι ἰδέειν Τρώων εἰς ἄστυ ἀλέντων,
τούς μοι Λαοθόη τέκετο κρείουσα γυναικῶν.
ἀλλ' εἰ μὲν ζώουσι μετὰ στρατῶι, ἦ τ' ἂν ἔπειτα
50 χαλκοῦ τε χρυσοῦ τ' ἀπολυσόμεθ'· ἔστι γὰρ ἔνδον,
πολλὰ γὰρ ὤπασε παιδὶ γέρων ὀνομάκλυτος Ἄλτης.
εἰ δ' ἤδη τεθνᾶσι καὶ εἰν Ἀΐδαο δόμοισιν,
ἄλγος ἐμῶι θυμῶι καὶ μητέρι, τοὶ τεκόμεσθα,
λαοῖσιν δ' ἄλλοισι μινυνθαδιώτερον ἄλγος

(CMG xi.1.3(2).222.33); Elias in Porph. Isag. CAG xviii(1).51.29; [Elias] in Porph. Isag. 30.13; (–πυρ.) sch Soph. O.R. 27; EtG s.v. οὔλιος ἀστήρ; (φέρει–) sch Arat. 332; (πυρ.) [Plut.] Hom. 2.16.3; H. π 4416; (δειλ. βρ.) Serv. Aen. 11.183; **32**a Arn ad Λ 44 **33–4** Eudoc. 1760–1; **33** sch X 77–8 **38** (μή–φίλον) sch [Aesch.] Prom. 237 **44** Choric. 153.3; (εὖνιν) H. (Cyr.) ε 7030 **45** Erot. p.74.17 N.; (περν.–) Epm. α 307; cf. EtG α 217 **48** ApS 153.27; (κρ. γ.) ApD Adv. 143.3; Epm. A 34b^{2}; (κρ.) H. (Cyr.) κ 4039 **50** w5 (lacerum) **51** (ὀνομ.–) ApS 121.19; H. ο 907; (ὀνομ.) Hdn ad K 109

32 περὶ 9 252 Ω*: (-εν) ἐνι D: ἐπὶ t rr.—cf. ad N 245 **33** κόψατο 9 12$^{?}$ 508 1494 tt Ω (γ' ἐκ- F): λάζετο *h* **36** ἑστήκει Ar A F: εἱστ- (nov. Did) Ω*: ιστ- 9 **41** τοσσόνδε Hdn 9 Ω*: τόσσονδε D: τόσσόνδε W G **42** ἔδοιεν Ar: -ονται (nov. Did) 9 1494 1495 Ω (ex Σ 271?): -οιντο quidam ap. sch^{b} **43** ἄπο V ἔλθοι 9 1495 Ω*: -η F **45** ἔπι A: ἐπὶ Ω* τηλεδαπάων 9 1495 tt Z Ω: θηλυτεράων quidam ap. sch^{T}.—cf. ad Φ 454 **48** τούς Ar 9 253 t Ω*: οὕς (nov. Did) D O.—cf. ad Φ 147 **49** ἦ Ω*, η 9 1495, ἢ A: ευ 12 **50** ἀπολυσόμεθ' 9 12 1495 w5 Z (-σώ-) Ω: -μεν A^{γρ} **51** damn. van Leeuwen παιδὶ ... πολλὰ? Arph γέρων Ar 9 Ω (cf. Φ 85): φίληι "αἱ ἀπὸ τῶν πόλεων" (cf. α 278 = β 197) ὀνομάκλυτος Ar Hdn Z Ω: ὄνομα κλυτὸς *h* **52** τεθνᾶσι, (ceteris cum 53 coniunctis) Nic (cl. 389 sq.) A F^{a}

55 ἔσσεται, ἢν μὴ καὶ σὺ θάνηις Ἀχιλῆϊ δαμασθείς.
ἀλλ' εἰσέρχεο τεῖχος, ἐμὸν τέκος, ὄφρα σαώσηις
Τρῶας καὶ Τρωιάς, μηδὲ μέγα κῦδος ὀρέξηις
Πηλείδηι, αὐτὸς δὲ φίλης αἰῶνος ἀμερθῆις.
πρὸς δ' ἐμὲ τὸν δύστηνον ἔτι φρονέοντ' ἐλέησον,
60 δύσμορον, ὅν ῥα πατὴρ Κρονίδης ἐπὶ γήραος οὐδῶι
αἴσηι ἐν ἀργαλέηι φθείσει, κακὰ πόλλ' ἐπιδόντα,
υἷάς τ' ὀλλυμένους ἑλκηθείσας τε θύγατρας
καὶ θαλάμους κεραϊζομένους, καὶ νήπια τέκνα
βαλλόμενα προτὶ γαίηι ἐν αἰνῆι δηϊοτῆτι,
65 ἑλκομένας τε νυοὺς ὀλοῆις ὑπὸ χερσὶν Ἀχαιῶν.
αὐτὸν δ' ἂν πύματόν με κύνες πρώτηισι θύρηισιν
ὠμησταὶ ἐρύουσιν, ἐπεί κέ τις ὀξέϊ χαλκῶι
τύψας ἠὲ βαλὼν ῥεθέων ἐκ θυμὸν ἕληται,
οὓς τρέφον ἐν μεγάροισι τραπεζῆας θυραωρούς·
70 οἵ κ' ἐμὸν αἷμα πιόντες ἀλύσσοντες περὶ θυμῶι
κείσοντ' ἐν προθύροισι. νέωι δέ τε πάντ' ἐπέοικεν
ἄρηϊ κταμένωι, δεδαϊγμένωι ὀξέϊ χαλκῶι,
κεῖσθαι· πάντα δὲ καλὰ θανόντί περ, ὅττι φανήηι·
ἀλλ' ὅτε δὴ πολιόν τε κάρη πολιόν τε γένειον

55 (ἢν–) Arn ad P 2a; (Ἀχ. δ.) Arn ad Π 326a², Χ 110a²; ApD Pron. 49.3, 54.20, 91.18; sch σ 406; sch Soph. Ant. 126; sch Arat. 19 **56–68 + 74–8** [Plut.] Cons. Apoll. 113f; **56** (ὄφρα σ.), **57b**, **58** (αἰ. ἀμ.) Nic ad Χ 57; **58** (αὐτὸς–) ApS 17.11; EtG α 263; **58b** Porph. Il. 259.13 Schr.; **59** Eudoc. 705; Philop. in Anal. pr. CAG xiii(2).14.27, 29; Sophron. 376.8; sch Heph. 293.23, 341.6; (πρὸς δ' ἐμέ) H. π 3702; (δύστ.) id. δ 2668; **60–8** Dio Prus. 11.33 (interp.); **60–4** [Plut.] Hom. 2.67.2; Stob. 4.40.1; **60** al. (ἐπι γ. οὐ.) Pl. Resp. 328e; Philo De somn. 148 (iii.282.21 C.–W.); Aristid. Or. 28.60; Choric. 108.17; **61** ApS 15.22; **62–4** Sext. Math. 11.108; **62a** Hdn ad Ε 266a¹; **63** (θαλ. κερ.) ApS 98.8; **66** (πρώτ. θ.) id. 136.27; H. (Cyr.) π 4157; **69b** Epict. 3.22.80; (τραπ.) H. (Cyr.) τ 1251; St. Byz. 176.3; **70** Eudoc. 1396, 1466; EtG α 549; Epm. α 329; (ἀλύσσ.) ApS 23.19; H. α 3308; **71b** Plut. Mor. 793f; Max. Tyr. 16.5; Iuncus ap. Stob. 4.50(3).9; **72a** Hdn ad Φ 301; **73** (πάντα–) Porph. Il. 256.18 Schr.; **74** al. (π. τε κάρη–) [Plut.] Apopth. Lac. 235c; (π. τε κάρη) Hdn ii.646.25;

56 τέκος 9 t Ω: θάλος (= 87) quidam ap. sch^bT **59** δ' ἐμὲ Hdn 9 Ω*: δέ με C G φρονέοντ' 9 tt sch^bT Ω: -έων Z *h*: ζώοντ' (= interpretatio) quidam ap. sch^T ἐλέησον 9 tt* Ω*: ἐλέαιρε sch-Heph.^293 C O **61** αἴσηι 9 tt* Ω: νούσωι [Plut.]-Hom.: δύηι Stob. φθείσει Bolling post Brugmann (-ση Stob.^A): φθί- 9 tt* Ω **62** ἑλκηθείσας 9 [Plut.]-Cons. Stob. Z Ω*: -κυθ- [Plut.]-Hom.^vl C: -κιθ- Y: -κυσθ- tt* **64** προτὶ 9 [Plut.]-Hom. Stob. Z A *b* F G: ποτὶ tt* Ω* **65** damn. Bothe **67** ὠμησταὶ: v. ad Λ 454 ἐρύουσιν Ar Z Ω: -σουσιν *h*: -(σ)ωσιν t.—cf. ad Λ 454, Ο 351 **68** ἕληται 9 1496 tt Ω: -οιτο A^γρ **69** θυραωρούς Ar 9: -ουρους 1496: πυλαωρούς (nov. Did) t Ω.—cf. ad Φ 530 **72** ἄρηϊ κταμένωι Hdn (t) Ω*: ἀρηΐκτ- D **73** θανόντί sic A E φανήη(ι) Ar 1496^a t Ω*: -είη (nov. Did) 12 1496^c (-ηι) C R G^c.—cf. ad Γ 436, Τ 27 **74–6** om. 12 u.v.

75 αἰδῶ τ' αἰσχύνωσι κύνες κταμένοιο γέροντος,
τοῦτο δὴ οἴκτιστον πέλεται δειλοῖσι βροτοῖσιν."
ἦ ῥ' ὁ γέρων, πολιὰς δ' ἄρ' ἀνὰ τρίχας εἵλκετο χερσίν
τίλλων ἐκ κεφαλῆς· οὐδ' Ἕκτορι θυμὸν ἔπειθεν.
μήτηρ δ' αὖθ' ἑτέρωθεν ὀδύρετο δάκρυ χέουσα,
80 κόλπον ἀνιεμένη, ἑτέρηφι δὲ μαζὸν ἀνέσχεν·
{καί μιν δάκρυ χέουσ' ἔπεα πτερόεντα προσηύδα·}
"Ἕκτορ, τέκνον ἐμόν, τάδε τ' αἴδεο καί μ' ἐλέησον
αὐτήν, εἴ ποτέ τοι λαθικηδέα μαζὸν ἐπέσχον·
τῶν μνῆσαι, φίλε τέκνον, ἄμυνε δὲ δήϊον ἄνδρα
85 τείχεος ἐντὸς ἐών, μηδὲ πρόμος ἵσταο τούτωι.
σχέτλιος· εἴ περ γάρ σε κατακτάνηι, οὔ σ' ἔτ' ἐγώ γε
κλαύσομαι ἐν λεχέεσσι, φίλον θάλος, ὃν τέκον αὐτή,
οὐδ' ἄλοχος πολύδωρος, ἄνευθε δέ σε μέγα νῶϊν
Ἀργείων παρὰ νηυσὶ κύνες ταχέες κατέδονται."
90 ὣς τώ γε κλαίοντε προσαυδήτην φίλον υἱόν,
πολλὰ λισσομένω· οὐδ' Ἕκτορι θυμὸν ἔπειθον,
ἀλλ' ὅ γε μίμν' Ἀχιλῆα πελώριον ἄσσον ἰόντα.
ὡς δὲ δράκων ἐπὶ χειῆι ὀρέστερος ἄνδρα μένησιν
βεβρωκὼς κακὰ φάρμακ', ἔδυ δέ τέ μιν χόλος αἰνός,

77 Eudoc. 1805 **79** ead. 783; w5, w12 (lacerum) **80** ApS 34.33; sch β 300; **80a** Arn ad Ζ 400a; sch Ξ 219c; Apio 221.1; ApS 102.9; H. κ 3393; (ἀνι.) id. α 5183; Phot. Lex. α 1999 **82a** sch Χ 84c; **82b–3** Charito 3.5.6; **83** (ἤ ποτε–) sch[D] Ζ 251; **83b** sch Ι 489c; (λαθ. μ.) Clem. Paed. 1.43.4; (λαθ.) ApS 107.20; Hdn ad Ν 63b; sch Ζ 251; H. λ 98; EtG λ 187 **85b** sch[h62] Η 75 (ii.222.6 E.) **87b** sch Χ 80b, 84c; (φ. θ.) Hdn i.393.15 **88b–9** ApS 33.17; **88b** ApD Adv. 190.12 **93–6** Eudoc. 1643–6; **93** Cocondr. Trop. iii.240.4 Sp.; (–ὀρ.) ApS 167.14; **93a** sch Procl. in Remp. ii.380.2; (χειῆι) Ath. 477d; cf. H. χ 247; (ὀρ.) H. (Cyr.) ο 1162; **94a** Serv. auct. Aen. 2.471; **95a** Porph. Hom. 48.10 Sod.; (δέδ.) H. (Cyr.) δ 404; (ἐλισσ.) Phot. Lex. ε 628

75 αἰσχύνωσι 9 t Ζ Ω*: -ουσι *b* T **77** εἵλκετο rr: ἕλκ- 9 1496 tt Ω.—cf. Praef. xxvii χερσί(ν) 9 12 1496 tt Ω*: χειρὶ Y rr **79** δ' αὖθ' 9 Ω: δ'αυδ' w5: δ' αὖ Eudoc.: αὖθ' Nauck **80** ἀνιεμένη A **81** damn. Bekker; versus in 12 a κ[incipiens qui v. 82 praecedit non liquet utrum 81 fuerit an 80 **82** αἰδέο A D F[a] T Y; v. ad Φ 74 **83** εἴ 9 Char. Ω: ἤ t* τοι Ar 9 Char. Ω: σοι nov. Did: τὸν t* ἐπέσχον 9 tt Ω*: ἀν- (ex 80) G, nov. Eust. **85** ἐών Ar A *b* F: ἰών (nov. Did) 9 Ω* ἵσταο Bolling post Wackernagel: -ασο 9 t Ω.—cf. ad Κ 291 **86** κατακτάνηι 9 Ω*: -κτείνη C, -κτείνει B E F[c] Y G ἐγώ γε (Bekker) D[?]: ἔγωγε 9 Ω* **87** θάλος 9 tt Ζ A[γρ] Ω*: τέκος (ex 56) A **88** μέγα 9 t* Ω (cf. Ξ 363): μετὰ ApS: μάλα 'exspectaverimus' (Leaf) **92** ἄσσον A D T Y: ἆ- Ω* **93** ὀρέστερος ἄνδρα μένη(ι)σι Ar 1496 tt Ζ Ω: -τερον ἄνδρα δοκεύηι "τινες τῶν κατὰ πόλεις" (-τερον et A[s]) **94** βεβρωκὼς 9 tt Ζ Ω: -θὼς Nauck Mél. IV 299, cf. Leaf ad Δ 35

95 σμερδαλέον δὲ δέδορκεν ἑλισσόμενος περὶ χειῆι,
ὣς Ἕκτωρ ἄσβεστον ἔχων μένος οὐχ ὑπεχώρει,
πύργωι ἔπι προύχοντι φαεινὴν ἀσπίδ' ἐρείσας.
ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
"ὤι μοι ἐγών, εἰ μέν κε πύλας καὶ τείχεα δύω,
100 Πουλυδάμας μοι πρῶτος ἐλεγχείην ἀναθήσει,
ὅς μ' ἐκέλευεν Τρωσὶ ποτὶ πτόλιν ἡγήσασθαι
νύχθ' ὕπο τήνδ' ὀλοήν, ὅτε τ' ὤρετο δῖος Ἀχιλλεύς·
ἀλλ' ἐγὼ οὐ πιθόμην· ἦ τ' ἂν πολὺ κέρδιον ἦεν.
νῦν δ' ἐπεὶ ὤλεσα λαὸν ἀτασθαλίηισιν ἐμῆισιν,
105 αἰδέομαι Τρῶας καὶ Τρωιάδας ἑλκεσιπέπλους,
μή ποτέ τις εἴπησι κακώτερος ἄλλος ἐμεῖο,
'Ἕκτωρ ἧφι βίηφι πιθήσας ὤλεσε λαόν'.
ὣς ἐρέουσιν· ἐμοὶ δὲ τότ' ἂν πολὺ κέρδιον εἴη
ἄντην ἠ' Ἀχιλῆα κατακτείναντα νέεσθαι
110 ἠέ κεν αὐτῶι ὀλέσθαι ἐϋκλείως πρὸ πόληος.
εἰ δέ κεν ἀσπίδα μὲν καταθείομαι ὀμφαλόεσσαν
καὶ κόρυθα βριαρήν, δόρυ δὲ πρὸς τεῖχος ἐρείσας
αὐτὸς ἰὼν Ἀχιλῆος ἀμύμονος ἀντίος ἔλθω
καί οἱ ὑπόσχωμαι Ἑλένην καὶ κτήμαθ' ἅμ' αὐτῆι
115 πάντα μάλ', ὅσσα τ' Ἀλέξανδρος κοίλης ἐνὶ νηυσίν
ἠγάγετο Τροίηνδ', ἥ τ' ἔπλετο νείκεος ἀρχή,

97a sch Π 702b 100 Arist. E.N. 1116a23, M.M. 1191a9, E.E. 1230a20; Cic. Att. 2.5.1, 7.1.4; Heliod. in Eth. CAG xix(2).56.3; Epm. ε 93 107 (–πιθ.) ApS 87.8; 107a sch^{G} N 588; sch X 99–130; Epm. ν 6; (βίηφι) EtG β 115 110 (ἐϋκλ.) H. ε 6927 114 (ὑποσχ.) id. υ 767

95 σμερδαλέον tt Ω: -ος 9 97 ἔπι Barnes: ἐπὶ vel ἐπι Ω 99 ante hunc sermonem verba Ἕκτορα δ' αἰδὼς εἷλε noverat (vel novisse sibi visus est) Aristot. (Eth. Eud.) ὤι A D *b* T^{c} W: ὢ 9 Ω*: οι 12 εἰ 9 Ω: η 12 99*a* λωβητος κεν πασι μ̣ετα Τ̣[ρωεσσι γενοιμην add. 12 100 πρῶτος 9 12 1498 tt* Ω: ἔπειτα Epm. 101 εκελευεν 12 [1496]: -ευε 9 Ω: -ευσε O ποτὶ 9 12 1496 1498 Ω*: προτὶ E ἡγήσασθαι 9 Ω*: -σεσθαι *b* 102 νύχθ' ὑπὸ τήνδ' ὀλοήν 9 1496 1498 Ω (ὕπο Barnes; τῆνδ' A B^{a} E, τὴν 1498^{a} D): νυκ–τα ποτι δνοφερην 12 103 κέρδιον 9 Ω: κάλλιον "διχῶς" (= Ar^{b}?) sch^{T}.—cf. ad 108, O 197, 226 108 δὲ τότ' 9 449 Ω: δε το]δ̣ 12: δετα̣[ν] 1496$^{?}$ κέρδιον Ar 9 449 Ω: κάλλιον "αἱ κατ' ἄνδρα".—cf. ad 103 εἴη 9 449 1498 Ω: ηε]ν 12 (ex 103) 109 ἠ' Fick: ἢ Ω κατακτείναντα Ar^{a} 9 254 449 Ω*: -αντι Ar^{b} F R 110 ut supra fere Ar 9 449 Ω (αὐτῶι Ar 9 449 1496 Ω*: -τὸν *b* F G^{γρ}; ἐϋκλείως D, -είος T: -ειῶς T^{s} Ω*): η [αυ]τ̣ωι π[ρο πολ]ηος ευκλειω[ς] α̣π̣[ολεσθαι 12 111 καταθείομαι 9 12^{2} 254^{s} 449 1498 Ω: -ομεν 12^{a} 254^{a}: κατ̣[αθ]ησομ̣[673 ὀμφαλόεσσαν 12 449 673 1498 1499 Ω: οπλά τε παντα 9 254 (ex Σ 409) 113 ἀντίος 9 254 1498 Ω* T^{λ}: -ον *b* Y G^{a}.—cf. ad Z 54 115 ὅσσά A *b* F R W G ἐνὶ (= H 389) 673 A^{s} Ω*: ἐπὶ 254 A D νευσ̣ιν 254^{a}

δωσέμεν Ἀτρείδῃσιν ἄγειν, ἅμα τ' ἀμφὶς Ἀχαιοῖς
ἄλλ' ἀποδάσσεσθαι, ὅσα τε πτόλις ἥδε κέκευθεν·
Τρωσὶν δ' αὖ μετόπισθε γερούσιον ὅρκον ἕλωμαι
120 μή τι κατακρύψειν, ἀλλ' ἄνδιχα πάντα δάσεσθαι·—
122 ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
μή μιν ἐγὼ μὲν ἵκωμαι ἰών, ὃ δέ μ' οὐκ ἐλεήσει
οὐδέ τί μ' αἰδέσεται, κτενέει δέ με γυμνὸν ἐόντα
125 αὔτως ὥς τε γυναῖκα, ἐπεί κ' ἀπὸ τεύχεα δύω.
οὐ μέν πως νῦν ἐστιν ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης
τῶι ὀαριζέμεναι, ἅ τε παρθένος ἠΐθεός τε,
παρθένος ἠΐθεός τ' ὀαρίζετον ἀλλήλοιιν.
βέλτερον αὖτ' ἔριδι ξυνελαυνέμεν ὅττι τάχιστα·
130 εἴδομεν, ὁπποτέρωι κεν Ὀλύμπιος εὖχος ὀρέξηι."
ὣς ὥρμαινε μένων· ὃ δέ οἱ σχεδὸν ἦλθεν Ἀχιλλεύς
ἶσος Ἐνυαλίωι κορυθάϊκι πτολεμιστῆι,
σείων Πηλιάδα μελίην κατὰ δεξιὸν ὦμον
δεινήν, ἀμφὶ δὲ χαλκὸς ἐλάμπετο εἴκελος αὐγῆι

120 (–ἄνδ.) sch Σ 511c **122**a Nic ad X 111–22 **123–4**a Epm. μ 10; **123** ApS 90.33; H. ι 514; (ἵκ.) id. ι 492; **124** ApS 15.5; **124**b–5a sch α 1 (p.7.2 Ludw.); Porph. Il. 333.17 Schr. **126** H. ο 1771; Choer. in Ps. 15.24 **127–8** Cocondr. Trop. iii.243.5 Sp.; **127**b–**8** 'Hdn.' Fig. 39; Macr. Sat. 5.14.6; **127** (ἅ τε παρθ.) Apio 210.10; ApD Adv. 148.22, 158.3; **128** Homerocento in A.P. 9.381.10; H. ο 9; **128**b Diomed. GL i.300.22 **129–30** [Plut.] Hom. 2.129.7 **132** Cocondr. Trop. iii.238.2 Sp.; (–κορ.) Porph. Hom. 14.11, 118.13 Sod.; **132**a id. Il. 262.12 Schr.; sch (et Areth.) Pl. Theaet. 170a; Epm. ι 23; **132**b ApS 155.6; Hdn ad Ο 709b; H. κ 3686; (κορ.) sch τ 177, υ 27 (Porph. Od. 127.8 Schr.) **133–5** doxographus ap. Stob. 1.25.7; **133** Matro Supp. Hell. 534.47 (parod.); Hermog. Id. 252.4 R.; **134** (ἀμφὶ–)–**5** 'Trypho ii' Trop. 24 (CQ 15.247); **134** (ἀμφὶ–)–**5**a sch N 341; **135** Eudoc. 2192

117 τ' 673 Z Ω*: δ' 254 A Y **118** ἀποδάσ(σ)εσθαι Ar 1496 *b* W G: -ασθαι (nov. Did) 673 1500 Ω* ὅσα τε 254 (οσά) 673 1496^{c} 1500 A^{γρ}, ὅσά τε D Y R, ὅσσά τε F W: ὅσσα 1496^{a} Ω* (ὅσα C) ἧδε A B E T **119** ἕλωμαι 254 1500 Ω: ὀμοῦμαι A^{γρ} **120** κατακρύψειν 1500 Ω: -ψει 673^{uv}: -ψαι t δάσεσθαι (flagit. sch^{T}) rr: -σασθαι 254 Ω (ex 118 vel Σ 511?) **121** (= Σ 512, nisi quod ἐέργει) add. 254 1496 Ω*: deest in 27 673 1499 1500 A D Y R **122** τίη fere Ar 1499 t Ω (τί ή A): τί δή nov. Did **123** ἱκῶμαι quidam ante Hdn ἐλεήσει tt Ω*: -ση(ι) 254 1500 D Y **124** κτενέει 673 tt* Ω (-έη Y): κτα- ApS **125** ἐπεί κ' 673 Ω,]ḳạ[[ι̣]] 254: επην 12.—cf. S. West Ptol. Pap. 164 **126** ἔστιν A^{λc} Eust. **126*a*** πολε]ṃοιο μεμαοτα δακρυοεντος add. 12 **127** παρθε–νον ηιθεον 12^{a} **128** ἀλλήλοιϊν 1500 'Hdn.' Macr. A F R: -οισι(ν) 12 254 tt* Ω*.—cf. ad N 708 **129** ξυνελαυνέμεν 254 673 1496 t Z Ω: -νομεν 12 ὅττι 12 1500 t Ω: ὄφρα 254 A^{γρ} **130** ειδεομεν 673 κεν Ὀλύμπιος 254 673 1496 1500 t Ω: Ḳρονιδης Ζευς 12 (cf. E 33, Θ 141, Φ 570) **131** ὥρμαινε 673 1496 Ω*: ὅρμ- F^{a} W δέ οἱ 509 673 1496 Ω (cf. Φ 64): δ αρα 12 ἦλθεν 254 Ω: ηλυθ 12 **132** ἶσος 673 1496 tt Ω: εἶσος quidam ap. sch^{T} cl. voce εἰσάμενος **133–5** om. 12 sed post v. 316 restituit

135 ἢ πυρὸς αἰθομένου ἠ' ἠελίου ἀνιόντος.
Ἕκτορα δ', ὡς ἐνόησεν, ἕλε τρόμος, οὐδ' ἄρ' ἔτ' ἔτλη
αὖθι μένειν, ὀπίσω δὲ πύλας λίπε, βῆ δὲ φοβηθείς.
Πηλείδης δ' ἐπόρουσε ποσὶ κραιπνοῖσι πεποιθώς·
ἠΰτε κίρκος ὄρεσφιν, ἐλαφρότατος πετεηνῶν,
140 ῥηϊδίως οἴμησε μετὰ τρήρωνα πέλειαν,
ἣ δέ θ' ὕπαιθα φοβεῖται, ὃ δ' ἐγγύθεν ὀξὺ λεληκώς
ταρφέ' ἐπαΐσσει, ἑλέειν τέ ἑ θυμὸς ἀνώγει,
ὣς ἄρ' ὅ γ' ἐμμεμαὼς ἰθὺς πέτετο, τρέσε δ' Ἕκτωρ
τεῖχος ὕπο Τρώων, λαιψηρὰ δὲ γούνατ' ἐνώμα.
145 οἳ δὲ παρὰ σκοπιὴν καὶ ἐρινεὸν ἠνεμόεντα
τείχεος αἰὲν ὕπεκ κατ' ἀμαξιτὸν ἐσσεύοντο.
κρουνὼ δ' ἵκανον καλλιρρόω· ἔνθα δὲ πηγαί
δοιαὶ ἀναΐσσουσι Σκαμάνδρου δινήεντος.
ἣ μὲν γάρ θ' ὕδατι λιαρῷ ῥέει, ἀμφὶ δὲ καπνός
150 γίνεται ἐξ αὐτῆς ὡς εἰ πυρὸς αἰθομένοιο·
ἣ δ' ἑτέρη θέρεϊ προρέει εἰκυῖα χαλάζῃ
ἢ χιόνι ψυχρῇ ἠ' ἐξ ὕδατος κρυστάλλῳ.
ἔνθα δ' ἐπ' αὐτάων πλυνοὶ εὐρέες ἐγγὺς ἔασιν
καλοὶ λαΐνεοι, ὅθι εἵματα σιγαλόεντα

136–7 [Plut.] Hom. 2.129.7 **139**b Epm. μ 66 **140** al. (οἴμ.) ApS 119.27; H. (Cyr.) ο 294; Phot. Lex. s.v.; (τρ. πέλ.) Choer. in Thd. i.316.39; (τρήρ.) H. τ 1321; Phot. Lex. s.v. **141**a Epm. υ 33; (λέλ.) H. (Cyr.) λ 611 **144**a Arn ad Χ 143b **145** (–ἐριν.) Nic ad Λ 166–8 **146** Epm. ο 90; (–ἀμαξ.) sch Ο 4c; (κατ' ἀμαξ.) ApS 97.6; H. κ 1261; (ἀμαξ.) id. α 3436 **147–50** (–πυρός) + **151–2**a Strab. 13.1.43; **147–9** (–λι.) + **151** id. 1.3.17; **147–8** Porph. Il. 257.3 Schr.; **149–52** Ath. 41c; **149, 151–2** cf. Dion. Prus. 33.20; **151–2** Gell. 6.20.5; **151** ApS 82.3/sch A 219a; Epm. A 2b^1; (–προρ.) sch Ξ 14–15 **153** (ἐπ' αὐτ.) H. ε 4270?

135 αἰθομένου 673 tt* Ω: -νοιο 'Trypho' (qui et ἠελίοιο) Eudoc. *b* ἠ' Fick: ἢ t* Ω: καὶ Eudoc.: om. 673 **138** ποσὶ κραιπνοῖσι πεποιθώς (= Ζ 505) 509 673 (κραπο[) Ω: ποσιν ταχεεσσ[ι (διώκων? cf. 8, 173, 230) 12.—cf. ad Θ 339 **140** ῥηϊδίως οἴμησε 271 673 1497 Ω (οἴ- E R^c; ἤμυσε C): καρπαλιμ[ως] ωρμη[σε 12.—cf. ad Φ 265 **141** θ' 673 1497 t Ω: τ 12 271, fort. consulto ante υπαιθα Aeolicum; cf. Jacobsohn Phil. 67 (1908) 492; Wathelet 284 cum n.33 **142** επαισσειν[12: επαιισσει 673 (cf. Praef. xxx!) **144** τεῖχος Arn 271 673 Ω*: τείχει A^s *b* (cf. Ρ 404) ὕπο Wolf: ὑπὸ Ω δὲ 673 Ω*: τε 509 R **145** ἠνεμόεντα Z Ω: -εσσαν A^s V **146** τείχεος 271 673 1497 Epm. Ω: ἄστεος t* ὕπεκ C: ὑπ' ἐκ 435 F^a T R G, ὑπὲκ vel ὑπεκ fere 673 Ω*: ὕπερ Epm., ὑπὲρ t* V **147** δὲ 673 tt Ω: τε Hermann ad Hymn. Ven. 59.—cf. ad Θ 48 **148** ἀναΐσσου–σι tt Z A^λ Ω*: ἀναΐσχουσι W: α]ναβλύσσουσ[ι 435 Καμάνδρου rr **150** γίνεται 271 435 Ω*: γειν- 27: γίγν- Y **151** ἥ (ἣ) disertim ApS/sch-A Epm.: ἡ Ω θέρεϊ 510 tt Ω: ψυχρὸν 435 **152** ψυχρωι 12^a ἠ' Fick: ἢ Ω **154** ὅθι 254 435 Ω: τοθι 12

155 πλύνεσκον Τρώων ἄλοχοι καλαί τε θύγατρες
τὸ πρὶν ἐπ' εἰρήνης, πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν.
τῆι ῥα παραδραμέτην, φεύγων, ὁ δ' ὄπισθε διώκων·
πρόσθε μὲν ἐσθλὸς ἔφευγε, δίωκε δέ μιν μέγ' ἀμείνων,
καρπαλίμως, ἐπεὶ οὐχ ἱερήϊον οὐδὲ βοείην
160 ἀρνύσθην, ἅ τε ποσσὶν ἀέθλια γίνεται ἀνδρῶν,
ἀλλὰ περὶ ψυχῆς θέον Ἕκτορος ἱπποδάμοιο.
ὡς δ' ὅτ' ἀεθλοφόροι περὶ τέρματα μώνυχες ἵπποι
ῥίμφα μάλα τρωχῶσι, τὸ δὲ μέγα κεῖται ἄεθλον,
ἢ τρίπος ἠὲ γυνή, ἀνδρὸς κατατεθνηῶτος,
165 ὣς τὼ τρὶς Πριάμοιο πόλιν πέρι δινηθήτην
καρπαλίμοισι πόδεσσι· θεοὶ δ' ἐς πάντες ὁρῶντο.
τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
"ὢ πόποι, ἦ φίλον ἄνδρα διωκόμενον περὶ τεῖχος
ὀφθαλμοῖσιν ὁρῶμαι· ἐμὸν δ' ὀλοφύρεται ἦτορ
170 Ἕκτορος, ὅς μοι πολλὰ βοῶν ἐπὶ μηρί' ἔκηεν
Ἴδης ἐν κορυφῆισι πολυπτύχου, ἄλλοτε δ' αὖτε
ἐν πόλει ἀκροτάτηι· νῦν αὖτέ ἑ δῖος Ἀχιλλεύς
ἄστυ πέρι Πριάμοιο ποσὶν ταχέεσσι διώκει.
ἀλλ' ἄγετε φράζεσθε, θεοί, καὶ μητιάασθε,
175 ἠέ μιν ἐκ θανάτοιο σαώσομεν, ἦέ μιν ἤδη
Πηλεΐδηι Ἀχιλῆϊ δαμάσσομεν ἐσθλὸν ἐόντα."
τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
"ὦ πάτερ Ἀργικέραυνε κελαινεφές, οἷον ἔειπες·

157–8 Eudoc. 365, 363; **158** Aristid. Or. 3.609; Luc. Dial. 59.14; Men. Rh. 417.11; Nicol. Progymn. p.61.13 F. **159** (ἐπεὶ–) Cic. Att. 1.1.4; cf. Luc. Dial. 47.3; (ἱερ.) H. (Cyr.) ι 299 **160** (ἀρν.) id. α 7453 **161** sch Thuc. 4.92.2 **162** Arn ad X 199–201a **163** (τρωχ.) H. τ 1610 **164**a sch ρ 222; EtG α 108; (τρίπος) Hdn ad I 505b; sch Λ 648; H. τ 1421 **165** (περιδιν.) id. π 1613 **166**a Epm. A 359a **168–9** Pl. Resp. 388c; [Plut.] Hom. 2.115.2; Athenag. Leg. 21; [Iustin.] Cohort. ad Gr. 2; **168**b [Plut.] Hom. 2.132 **175** al. (ἠέ μιν) H. (Cyr.) η 177

157 παραδραμέτην 254 435 510 A$^{\lambda}$ Ω*: παρεδρ- Y **158*a*** φεῦγ' υἱὸς Πριάμοιο, δίωκε δὲ δῖος Ἀχιλλεύς "ἐν ἐνίοις φέρεται" (Did) **160** ἅ τε 254 435 Ω*: ὅτε D γίνεται Ω: γείν[254: γίγν- r **162** τέρματα t Ω* A$^{\lambda}$ T$^{\lambda}$: -μασι *b*: -ματι R **163** τρωχῶσι 254 435 t Ω* (cf. ζ 318): τρώχωσι Z: τροχῶσι T W^{c}: -όωσι Barnes (cf. ο 451).—cf. ad O 666 τὸ δὴ κεῖται μέγ' *b* **164** κατατεθνηῶτος A^{s} B^{a} E F W^{a} G: -θνει- E^{s} Ω* **165** πέρι T Y: περὶ vel περι Z Ω* **166** δ' ἐς A (ἒσ) Y R W (cf. Δ 4, Ω 23): δέ τε *b* F G: δὲ D T **168** ὢ 254 A D: ὣ Ω* τεῖχος tt* Ω: ἄστυ Plato **171** κορυφῆισι 254 Ω*: κνημοῖσι D (ex Φ 449) **172** νῦν Ω*: νῦν δ' Y **173** πέρι Wolf: περὶ Ω **174** ἄγετε Ω*: ἄγε 254^{a} D: ἄγε ḍη 254^{c} μητιάασθαι Y **175** ἦέ (μιν ἤδη) 435: ἠέ Ω **178** ἔειπες Ω*: -πας D G

ἄνδρα θνητὸν ἐόντα, πάλαι πεπρωμένον αἴσηι,
180 ἂψ ἐθέλεις θανάτοιο δυσηχέος ἐξαναλῦσαι;
ἔρδ'· ἀτὰρ οὔ τοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι."
τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
"θάρσει, Τριτογένεια, φίλον τέκος· οὔ νύ τι θυμῶι
πρόφρονι μυθέομαι, ἐθέλω δέ τοι ἤπιος εἶναι.
185 ἔρξον ὅπηι δή τοι νόος ἔπλετο, μηδ' ἔτ' ἐρώει."
ὣς εἰπὼν ὤτρυνε πάρος μεμαυῖαν Ἀθήνην·
βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀΐξασα.
Ἕκτορα δ' ἀσπερχὲς κλονέων ἔφεπ' ὠκὺς Ἀχιλλεύς·
ὡς δ' ὅτε νεβρὸν ὄρεσφι κύων ἐλάφοιο δίηται
190 ὄρσας ἐξ εὐνῆς διά τ' ἄγκεα καὶ διὰ βήσσας,
τὸν δ' εἴ πέρ τε λάθησι καταπτήξας ὑπὸ θάμνωι,
ἀλλά τ' ἀνιχνεύων θέει ἔμπεδον, ὄφρα κεν εὕρηι,
ὣς Ἕκτωρ οὐ λῆθε ποδώκεα Πηλείωνα.
ὁσσάκι δ' ὁρμήσειε πυλάων Δαρδανιάων
195 ἀντίον ἀΐξεσθαι ἐϋδμήτους ὑπὸ πύργους,
εἴ πώς οἱ καθύπερθεν ἀλάλκοιεν βελέεσσιν,
τοσσάκι μιν προπάροιθεν ἀποτρέψασκε παραφθάς
πρὸς πεδίον· αὐτὸς δὲ ποτὶ πτόλιος πέτετ' αἰεί.
ὡς δ' ἐν ὀνείρωι οὐ δύναται φεύγοντα διώκειν—
200 οὔτ' ἄρ' ὃ τὸν δύναται ὑποφεύγειν, οὔθ' ὃ διώκειν—
ὣς ὃ τὸν οὐ δύνατο μάρψαι ποσίν, οὐδ' ὃς ἀλύξαι.
πῶς δέ κεν Ἕκτωρ κῆρας ὑπεξέφυγεν θανάτοιο,
εἰ μή οἱ πύματόν τε καὶ ὕστατον ἤντετ' Ἀπόλλων
ἐγγύθεν, ὅς οἱ ἐπῶρσε μένος λαιψηρά τε γοῦνα;
205 λαοῖσιν δ' ἀνένευε καρήατι δῖος Ἀχιλλεύς,

185 w5 (lacerum) **190** (ὄρσας) Hdn ad Z 348a **192** (ἀνιχν.) H. (Cyr.) α 5222 **194** cf. w35 fr. 1.6 (lacerum) **197** ib. 8 (lacerum) **199** (ἐν ὀν.) H. ε 3244 **201** (μάρψαι) H. (Cyr.) μ 327; Orio 98.10 **205** (ἀνέν.) cf. Arist. Poet. 1460a16

185 μηδ' ἔτ' F^{a} V: μηδέ τ' 9 435 Ω* **186** ὤτρυνε 9 Ω*: ὄ- Y rr **192** ὄφρά Ω praeter R **194** ὁρμήσειε 9 t Z Ω* T^{λ} sch^{hyp}: -σαιτο *b*, ωρμίσετο Y **195** ἀντίον 9 1499 Ω: -ος H ἀΐξεσθαι D G: -ασθαι 9 Ω* ὑπὸ 9 A D F Y: ἐπὶ 254 Ω*: ἀπὸ W **197** ἀποτρέψασκε 9 271 Y H: ἀποστρ- 254 Ω*: παρατρ- "διχῶς" (= Ar^{b}?) sch^{T} παραφθάς Ar 9 (-φθις, ss. α̣?) 254 Ω*: παραστάς D M V: ()εψασκεν) Αχιλλευ[ς 12 **198** ποτὶ 9 [254] Ω*: προτι D πέτετ' Ar 254 Ω: πέτατ' (nov. Did) 9 **199–201** ath. Ar **200** οὔθ' 9 271 Ω: ουδ' 254 **201** ὃ Z A^{λ} A^{γρ} Ω*: ῥα 9 A *b* G δύνατο 9 Z Ω*: -ται (ex 200) D^{a} F *b* **202–7** damn. Bentley, **202–4** Nauck; cf. 213 **202** ὑπεξέφυγεν (nov. Did) Nic 510a Z Ω: -έφερεν Ar 9 (-ρε) sch^{D} **205** λαοῖσι(ν) "παρὰ τοῖς νεωτέροις" (sch^{N}) Ω*: ἄλλοισιν Nic (cod. A) 9 A D F^{γρ}.—cf. ad N 710

οὐδ' ἔα ἱέμεναι ἐπὶ Ἕκτορι πικρὰ βέλεμνα,
μή τις κῦδος ἄροιτο βαλών, ὁ δὲ δεύτερος ἔλθοι.
ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπὶ κρουνοὺς ἀφίκοντο,
καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα,
210 ἐν δ' ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο,
τὴν μὲν Ἀχιλλῆος, τὴν δ' Ἕκτορος ἱπποδάμοιο,
εἷλκε δὲ μέσσα λαβών· ῥέπε δ' Ἕκτορος αἴσιμον ἦμαρ.
ᾤχετο δ' εἰς Ἀΐδαο, λίπεν δέ ἑ Φοῖβος Ἀπόλλων.
Πηλεΐωνα δ' ἵκανε θεὰ γλαυκῶπις Ἀθήνη,
215 ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα·
"νῦν δὴ νῶΐ γ' ἔολπα, διίφιλε φαίδιμ' Ἀχιλλεῦ,
οἴσεσθαι μέγα κῦδος Ἀχαιοῖσι προτὶ νῆας,
Ἕκτορα δῃώσαντε μάχης ἆτόν περ ἐόντα.
οὔ οἱ νῦν ἔτι γ' ἐστὶ πεφυγμένον ἄμμε γενέσθαι,
220 οὐδ' εἴ κεν μάλα πολλὰ πάθοι ἑκάεργος Ἀπόλλων
προπροκυλινδόμενος πατρὸς Διὸς αἰγιόχοιο.
ἀλλὰ σὺ μὲν νῦν στῆθι καὶ ἄμπνυε, τόνδε δ' ἐγώ τοι
οἰχομένη πεπιθήσω ἐναντίβιον μαχέσασθαι."
ὣς φάτ' Ἀθηναίη· ὁ δ' ἐπείθετο, χαῖρε δὲ θυμῶι,
225 στῆ δ' ἄρ' ἐπὶ μελίης χαλκογλώχινος ἐρεισθείς.
ἣ δ' ἄρα τὸν μὲν ἔλειπε, κιχήσατο δ' Ἕκτορα δῖον,
Δηϊφόβωι εἰκυῖα δέμας καὶ ἀτειρέα φωνήν,
ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα·

207 Plut. Mor. 509a; id. Pomp. 29.5 208a Arn ad X 251a 210–13 Plut. Mor. 17a; **211** Max. Tyr. 4.8; **213** Procl. in Remp. i.148.1; **213b** Porph. Il. 272.5 Schr. **218a** sch X 270–1 **219** w5 (lacerum) **220–1** D.H. Comp. 92; **221a** ApD Adv. 140.23, Synt. 446.10; Macrob. excerpt. GL v.600.10; H. π 3642 **222** (–ἄμπν.) Porph. Od. 34.11 Schr. **223a** Epm. δ 69; (οἰχ.) H. ο 443 **225** Porph. Hom. 85.7 Sod.; (μελ.) H. (Cyr.) μ 707; (χαλκογλ.) H. χ 99

206 Ἕκτορι 9 Ω*: -ρα D 207 ἔλθοι 9 tt Ω*: -η(ι) B[c?] E Y G.—cf. ad K 368 209 ἐτίταινε 9 h96 Ω: -τηνε Macr. Sat. 5.13.39 (nisi ad Θ 69 spectat) 210 δὲ τίθει A[λ] B E R 211 ἱπποδάμοιο 9 1502 t* Ω: ἀνδροφόνοιο Max. 212 εἷλκε van Leeuwen: ἕλκε 9 t Ω.—cf. ad Θ 72 μέσσα 9 t Ω: ῥῦμα Chrysippus teste sch[T] **213** damn. Düntzer **216** νῶΐ γ' Ar 9 Ω: νῶϊν Zen rr: νῶϊ Bentley **217** Ἀχαιοῖσι Ω*: -σιν 9 T Y W G προτὶ 9 Ω*: ποτὶ T R W G **218** ἆτόν 9 Ω: ἄατόν N[γρ].—cf. ad E 388 **219** οὔ 9 Ω: οὐδ' Z ἄμμε 9 A[m] (ἄ-) Ω*: ἄμμι w5 Z A D *b* F[a] R[c] **220** πάθοι 9 254 t Ω*: -η D F Y: -ει A[s] **221** προπροκυλινδόμενος 9 254 tt Z Ω (πρόπρο κ- Heyne): πρόχνυ κ- (= ρ 525 v.l.) Nauck Mél. IV 505 **222** ἄμπνυε 9 h96 t Z Ω (def. Wack. Unt. 253): -υο Cobet Misc. crit. 348 δ' Ω*: τ' 9 D: γ' R **224** δ' ἐπείθετο 254 Ω*: δὲ π- *b* Y **226** ἄρα 9 254 Ω*: ἄρ T **227** δεικυια 9 **228** ἔπεα πτερόεντα προσηύδα (= 215) 9 Ω (μετηῦδα W): πρ[ι]οσέφη γλαυκῶπις Ἀθήνη 254 V

“ἠθεῖ᾽, ἦ μάλα δή σε βιάζεται ὠκὺς Ἀχιλλεύς,
230 ἄστυ πέρι Πριάμοιο ποσὶν ταχέεσσι διώκων.
ἀλλ᾽ ἄγε δὴ στέωμεν καὶ ἀλεξώμεσθα μένοντες.”
τὴν δ᾽ αὖτε προσέειπε μέγας κορυθαιόλος Ἕκτωρ·
“Δηΐφοβ᾽, ἦ μέν μοι τὸ πάρος πολὺ φίλτατος ἦσθα
γνωτῶν, οὓς Ἑκάβη ἠδὲ Πρίαμος τέκε παῖδας·
235 νῦν δ᾽ ἔτι καὶ μᾶλλον νοέω φρεσὶ τιμήσασθαι,
ὃς ἔτλης ἐμέ᾽ εἵνεκ᾽, ἐπεὶ ἴδες ὀφθαλμοῖσιν,
τείχεος ἐξελθεῖν, ἄλλοι δ᾽ ἔντοσθε μένουσιν.”
τὸν δ᾽ αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
“ἠθεῖ᾽, ἦ μὲν πολλὰ πατὴρ καὶ πότνια μήτηρ
240 λίσσονθ᾽ ἑξείης γουνούμενοι, ἀμφὶ δ᾽ ἑταῖροι,
αὖθι μένειν· τοῖον γὰρ ὑποτρομέουσιν ἅπαντες·
ἀλλ᾽ ἐμὸς ἔνδοθι θυμὸς ἐτείρετο πένθεϊ λυγρῶι.
νῦν δ᾽ ἰθὺς μεμαῶτε μαχώμεθα, μηδέ τι δούρων
ἔστω φειδωλή, ἵνα εἴδομεν, ἤ κεν Ἀχιλλεύς
245 νῶϊ κατακτείνας ἔναρα βροτόεντα φέρηται
νῆας ἔπι γλαφυράς, ἦ κεν σῶι δουρὶ δαμείη.”
ὣς φαμένη καὶ κερδοσύνηι ἡγήσατ᾽ Ἀθήνη.
οἱ δ᾽ ὅτε δὴ σχεδὸν ἦσαν ἐπ᾽ ἀλλήλοισιν ἰόντες,
τὸν πρότερος προσέειπε μέγας κορυθαιόλος Ἕκτωρ·
250 “οὔ σ᾽ ἔτι, Πηλέος υἱέ, φοβήσομαι, ὡς τὸ πάρος περ
τρὶς περὶ ἄστυ μέγα Πριάμου δίον, οὐδέ ποτ᾽ ἔτλην
μεῖναι ἐπερχόμενον· νῦν αὖτέ με θυμὸς ἀνῆκεν
στήμεναι ἀντία σεῖο· ἕλοιμί κεν ἤ κεν ἁλοίην.

229 (ἠ–) sch Π 22b **233–4** (γν.) Choer. in Ps. 119.13; **233** [Ammon.] Diff. 220 **235** Eudoc. 178, 1595 **247** (–ἡγ.) Hdn ad N 29b; (κερδ.) H. κ 2315; Phot. Lex. κ 599 **251** (–δίον) Arn ad X 208a; ApS 59.7; Hdn i.491.12 et ad Ψ 475b; sch Σ 584c; (δίον) H. (Cyr.) δ 1883 **253b** Porph. Hom. 132.17 Sod.

229 βιάζεται 9 t Ω: -το O **230** πέρι Stephanus: περὶ vel περι 9 254 Ω **231** στέ-ωμεν 9 254 (στέῶ-) Ω*: -ομεν *b* F^{c} R μένοντες 9 Ω: -ντε? Nauck, cf. ad Λ 348, P 721 **232** τὴν 9 254 Ω*: τὸν D κορυθαίολος C Y **233** τὸ πάρος 9 254 Ω: κ[αι πριν 83 **235** μάλλον Y R^{a}?: μᾶ- 254 Ω* **236** ὃς 9 254 Ω*: ὡς *b* T G: ὅς γ᾽ Christ ἐμέ᾽ Fick: ἐμεῦ 9 254 Ω ὃς τλῆς εἵνεκ᾽ ἐμεῖο Grashof **243** μὴ δ᾽ ἔτι D C F^{a} T R **244** ἤ Hdn r^{s}: εἴ 9 Ω **246** ἔπι Wolf: ἐπὶ 9 Ω ἦ Hdn A D T^{a}?: ἤ Ω*: εἴ C, ἢ εἰ O δαμείη 9 268 Ω*: -είηι A T W: -ήη(ι) (Ar?) M rr **247** κερδοσύνηι Ar 9 h96 tt A$^{\lambda}$ Ω: -ηις quidam ante Did A^{s} (cf. A.R. 2.951, Q.S. 12.387) **249** κορυθαίολος 9 C **250** Πηλέος 9 1504 Ω*: -έως A^{a}? **251** δίον (nov. Did) 9 268 h96 tt Z Ω: δίες “αἱ χαριέστεραι” [12ˀ] (… ετλης) r: δίε᾽ van Leeuwen.—cf. Chantr. I 293 **252** ἀνῆκε(ν) 9 271 1504 Ω (ἀνῆκε A): ανωγει 12.—cf. ad K 389, Φ 395, 396

ἀλλ' ἄγε δεῦρο θεοὺς ἐπιδώμεθα· τοὶ γὰρ ἄριστοι
255 μάρτυροι ἔσσονται καὶ ἐπίσκοποι ἁρμονιάων.
οὐ γὰρ ἐγὼ σ' ἔκπαγλον ἀεικίω, αἴ κεν ἐμοὶ Ζεύς
δώηι καμμονίην, σὴν δὲ ψυχὴν ἀφέλωμαι,
ἀλλ' ἐπεὶ ἄρ κέ σε συλήσω κλυτὰ τεύχε', Ἀχιλλεῦ,
νεκρὸν Ἀχαιοῖσιν δώσω πάλιν· ὣς δὲ σὺ ῥέζειν."
260 τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
"Ἕκτορ, μή μοι, ἄλαστε, συνημοσύνας ἀγόρευε.
ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά,
οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσιν,
ἀλλὰ κακὰ φρονέουσι διαμπερὲς ἀλλήλοισιν,
265 ὣς οὐκ ἔστ' ἐμὲ καὶ σὲ φιλήμεναι, οὐδέ τι νῶϊν
ὅρκια ἔσσονται, πρὶν ἤ' ἕτερόν γε πεσόντα
αἵματος ἆσαι Ἄρηα, ταλαύρινον πολεμιστήν.
παντοίης ἀρετῆς μιμνήσκεο· νῦν σε μάλα χρή
αἰχμητήν τ' ἔμεναι καὶ θαρσαλέον πολεμιστήν.
270 οὔ τοι ἔτ' ἔσθ' ὑπάλυξις, ἄφαρ δέ σε Παλλὰς Ἀθήνη
ἔγχει ἐμῶι δαμάαι. νῦν ἀθρόα πάντ' ἀποτείσεις
κήδε' ἐμῶν ἑτάρων, οὓς ἔκτανες ἔγχεϊ θυίων."
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος.

254 (ἐπιδ.) ApS 72.32; H. ε 4749 **255** Eudoc. 1378; (ἁρμ.) H. (Cyr.) α 7323 **256** (–ἀεικ.) sch X 253; Porph. Il. 334.14 Schr.; (ἀεικ.) ApS 10.8 **257**a Epm. φ 43; (καμμ.) ApS 94.29; Plut. Mor. 22c; H. (Cyr.) κ 603; EtG s.v. **258–9** (–πάλιν) Porph. Il. 334.12 Schr. **261** ApS 147.10; **261**a Epm. α 284 (bis); **261**b sch N 381b; (συνημ.) H. σ 2595; Orio 150.24; EtG s.v. **262–3** Atticus (fr. 2 B.) ap. Eus. P.E. 15.4.21; Max. Tyr. 35.6; Herm. in Pl. Phdr. 61.9 C.; sch Ar. Pac. 1076b; **262** Luc. Dial. 28.3; sch Eur. Hipp. 940; cf. Iul. Or. 2.98c; **263** w5 (lacerum) **264** (κακὰ φρ. ἀλλ.) cf. Attic. l.c. **265**a Nic ad X 262–4 **268** (–μιμν.) Cic. Att. 1.15.1 **270** (ὑπάλ.) Phot. Lex. s.v.; **270**b–**1**a sch X 280; **270**b ApS 48.18; **271** (ἀθρόα) H. (Cyr.) α 1625

254 ἐπιδώμεθα 9 h96 tt Ω: -βώμεθα Z V: -δωσόμεθ' (οἳ) H (ss. βω).—cf. ad K 463 **255** μάρτυροι Ar 9 t A^λ Ω: -ρες rr.—cf. ad B 302 **256** ἀεικίω D F^a: -ιῶ Ω*.—cf. Praef. xxxi **257** δώιη(ι) A B C T W **259*ab*** (= 342–3) add. 12 **261** Ἕκτορ 9 t* Ω: -ωρ ApS συνήμοσύνας Hdn A ἀγόρευε 9 tt Z Ω: ạγόρεζα^ε 254 (voluitne -αζε?) **262** ἀνδράσιν 9 254 tt* Ω: ἄρνασιν (ex 263) Herm.˙ **263** om. 255, mg. rest. m² τε 9 tt Ω: om. rr (et Io. Sic. Rhet. vi.492.9 W.), del. Heyne ἄρνες 9 254 tt* Ω*: ἄνδρες sch-Ar (Ald.) C^a ἔχουσι(ν) 9 254 w5 tt* Z Ω: ẹχọ[ντ]ẹς 12 (perierunt sequentia) **265** οὐδέ τι A^s D: ουδ' ἐτι 254^c: ουδε τẹ 449: οὔτε τι 9 Ω* (οὔτέ τι F R W): ουτ' ἐτι 254^a: οὔτέ τε *b* G **266** ὅρκια 9 449 A^λ Ω*: -α γ' D πρὶν 9^a 83 449 V: πρίν γ' 9^c 255 T^A Ω.—cf. ad E 288 ἤ' Fick: ἢ Ω **270** ἔτ' 9 Ω*: om. 449 sch^hyp *b* W σε 9 254^c 449 tt Ω*: τε T, ται 254^a **271** νῦν 449 *b*: νῦν δ' 9 83 255 sch^hyp Ω (cf. α 43) αποτείσεις 254: -τίσεις 9 Z Ω (-τήσης Y) **272** θυίων 254 A F^c W: θύων 9 Ω* **273** προΐει 9 449 Ω: προι]η 254

καὶ τὸ μὲν ἄντα ἰδὼν ἠλεύατο φαίδιμος Ἕκτωρ·
275 ἕζετο γὰρ προϊδών, τὸ δ' ὑπέρπτατο χάλκεον ἔγχος,
ἐν γαίηι δ' ἐπάγη. ἀνὰ δ' ἥρπασε Παλλὰς Ἀθήνη,
ἂψ δ' Ἀχιλῆϊ δίδου, λάθε δ' Ἕκτορα ποιμένα λαῶν.
Ἕκτωρ δὲ προσέειπεν ἀμύμονα Πηλείωνα·
"ἤμβροτες, οὐδ' ἄρα πώ τι, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
280 ἐκ Διὸς ἠείδης τὸν ἐμὸν μόρον· ἤτοι ἔφης γε.
ἀλλά τις ἀρτιεπὴς καὶ ἐπίκλοπος ἔπλεο μύθων,
ὄφρα σ' ὑποδδείσας μένεος ἀλκῆς τε λάθωμαι.
οὐ μέν μοι φεύγοντι μεταφρένωι ἐν δόρυ πήξεις,
ἀλλ' ἰθὺς μεμαῶτι διὰ στήθεσφιν ἔλασσον,
285 εἴ τοι ἔδωκε θεός. νῦν αὖτ' ἐμὸν ἔγχος ἄλευαι
χάλκεον. ὡς δή μιν σῶι ἐν χροῒ πᾶν κομίσαιο·
καί κεν ἐλαφρότερος πόλεμος Τρώεσσι γένοιτο
σεῖο καταφθιμένοιο, σὺ γάρ σφισι πῆμα μέγιστον."
ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
290 καὶ βάλε Πηλείδαο μέσον σάκος, οὐδ' ἀφάμαρτεν·
τῆλε δ' ἀπεπλάγχθη σάκεος δόρυ. χώσατο δ' Ἕκτωρ,
ὅττί ῥά οἱ βέλος ὠκὺ ἐτώσιον ἔκφυγε χειρός·
στῆ δὲ κατηφήσας, οὐδ' ἄλλ' ἔχε μείλινον ἔγχος.
Δηΐφοβον δ' ἐκάλει λευκάσπιδα μακρὸν ἀΰσας·
295 ἤιτεέ μιν δόρυ μακρόν· ὃ δ' οὔ τί οἱ ἐγγύθεν ἦεν.
Ἕκτωρ δ' ἔγνω ἧισιν ἐνὶ φρεσὶ φώνησέν τε·
"ὢ πόποι, ἦ μάλα δή με θεοὶ θανατόνδε κάλεσσαν.

274 (ἠλεύ.) + **275**a sch N 408b **280** (–μόρον) Epm. A 1b^{1a} **281** (ἀρτ.) ApS 43.7; H. (Cyr.) α [7051, 7244], 7504; (ἐπίκλ.) ApS 73.25; H. ε 4869 **283–4** [Plut.] Hom. 2.198.2; Stob. 3.7.14 **285**b Hdn ad A 302a^{1}; (ἄλ.) H. α 2901 **287**a Hdn i.561.6 **291** (τῆλε δέ) H. (Cyr.) τ 758 **293**a sch Ω 253c; (κατηφ.) H. κ 1794 **294** (–λευκ.) ApS 108.1; (λευκ.) H. λ 720

274 φαίδιμος Ἕκτωρ 9 254^{m} 255 449 Ω*: χάλκεον ἔγχος (ex 275) 254^{t} R et (omisso 275) W **275** ὑπέρπτατο 9 255 Ω: υπεπτατο 449 χάλκεον 9 255 449 Ω: μείλινον 254 (sed v. ad 274) A^{γρ}.—cf. ad Υ 272 **277**]δ' έκτορα διον· et mg. ποιμενα λαων 254 **280** ηειδης 271: ἠείδεις fere 9 t Z Ω **281** μύθων 9 449 Ω, μυθω̣[255 271: -οις A^{s}: et -ωι (ci.?) Eust. **282** ὄφρά A B F W G ὑποδδείσας 9 1502 Ω*: ὑποδεί- 271 W, nimirum et Ar (sicut ad Ψ 417) μένεος 9 255 271 449 Ω*: -ός τ' R O λάθωμαι Ω*: -οίμην 9 449 *b* G **284** μεμαῶτι 9 255 1502 tt Ω: -τα *h* **285** ἄλευαι Hdn 9 254 t* Z A^{λ} Ω* (properisp. W): -ε Hsch.^{cod} D *b* G **286** σῶ(ι) 9 271 1502 Ω: τεῶι van Leeuwen ἐν 9 255 271 (εγ) Ω: ἐνὶ sch^{hyp} rr **287** κεν 9 271 t Ω: σφιν A^{γρ} (nimirum ad 288 σφισι referendum) ἐλαφρότερος 9 271 t Ω*: -τατος 1502 D **288** susp. Nauck σφισι 9 254 271 Ω: cf. ad 287 **294** δ' ἐκάλει 9 254 271 t T^{λ} Ω (δὲ κ- D): δ' ἐβόα "αἱ ‹ἀπὸ› τῶν πόλεων" **295** ἤ(ι)τεέ 9 271 T^{λ} Ω, ἠιτε[.] 254: -τει Bekker **297** ὢ 9 254 A D E F^{a}:

Δηΐφοβον γὰρ ἐγώ γ' ἐφάμην ἥρωα παρεῖναι,
ἀλλ' ὃ μὲν ἐν τείχει, ἐμὲ δ' ἐξαπάτησεν Ἀθήνη.
300 νῦν δὲ δὴ ἐγγύθι μοι θάνατος κακός, οὐδ' ἔτ' ἄνευθεν,
οὐδ' ἀλέη. ἦ γάρ ῥα πάλαι τό γε φίλτερον ἦεν
Ζηνί τε καὶ Διὸς υἷι Ἑκηβόλωι, οἵ με πάρος γε
πρόφρονες εἰρύατο· νῦν αὖτέ με μοῖρα κιχάνει.
μὴ μὰν ἀσπουδεί γε καὶ ἀκλείως ἀπολοίμην,
305 ἀλλὰ μέγα ῥέξας τι καὶ ἐσσομένοισι πυθέσθαι."
ὣς ἄρα φωνήσας εἰρύσσατο φάσγανον ὀξύ,
τό οἱ ὑπὸ λαπάρην τέτατο, μέγα τε στιβαρόν τε,
οἴμησεν δὲ ἀλεὶς ὥς τ' αἰετὸς ὑψιπετήεις,
ὅς τ' εἶσιν πεδίονδε διὰ νεφέων ἐρεβεννῶν
310 ἁρπάξων ἢ ἄρν' ἀμαλὴν ἢ πτῶκα λαγωόν·
ὣς Ἕκτωρ οἴμησε τινάσσων φάσγανον ὀξύ.
ὡρμήθη δ' Ἀχιλεύς, μένεος δ' ἐμπλήσατο θυμόν
ἀγρίοο· πρόσθεν δὲ σάκος στέρνοιο κάλυψεν
καλὸν δαιδάλεον, κόρυθι δ' ἐπένευε φαεινῆι
315 τετραφάλωι· καλαὶ δὲ περισσείοντο ἔθειραι
{χρύσεαι, ἃς Ἥφαιστος ἵει λόφον ἀμφὶ θαμειάς}.
οἷος δ' ἀστὴρ εἶσι μετ' ἀστράσι νυκτὸς ἀμολγῶι

300–1 Eudoc. 1442–3; **301** (ἀλέη) H. α 2836 **304–5** Polyb. 5.38.10; Cic. ad fam. 13.15.2, Att. 10.1.1; Charito 7.2.4; [Plut.] Hom. 2.196; Cyr. c.Iul. x 336a (PG 76.1017b); **304** EtG α 335; **305a** sch H 90b^{1}; (μέγα–) cf. Philod. De morte xxviii 3–4 (Cron. Erc. 8.47) **308–11** Macr. Sat. 5.12.13; **308a** Hdn ad Λ 192a^{1}, Σ 76a^{1}, Φ 536c; sch Soph. Tr. 513; Choer. in Thd. ii.50.8; **308b** Hdn ad M 201d; **310** ApS 28.18; (ἀμαλ.) H. α 3408; EtG α 582; (ἢ πτ. λ.) Ath. 400d; (πτ.) Phot. Lex. s.v. **317–18** Macr. Sat. 5.8.10; **318** ApS 77.26;

ὢ Ω* θάνατόνδ' ἐκάλεσσαν *b* F T W **298** ἐγώ γ(ε) Bekker: ἔγωγ' Ω: ἐγωγ[[αρ]] 254 **300** οὐδ' ἔτ' V: οὐδέ τ' (9) T$^{\lambda}$ Ω **301** πάλαι τό γε "αἱ εἰκαιότεραι" 9 83 254 t Ω (τό– τε T W): πάροιθέ γε Ar **302** υἷι *b* T W G, υι 83: υἱεῖ 9 254 Ω*.—cf. ad Π 177 γε 9 Ω*: περ *b* G.—cf. ad N 465 **303** εἰρύατο 254 Z Ω: -αται 9 83 *h* **304** ἀσπουδεί 83 254^{a} tt* Z Ω*: -δί 9 254^{c} Cic. A$^{\lambda}$ A B E R^{a}: -δή EtG^{cod}.—cf. Praef. xxx γε 9 tt* A$^{\lambda}$ Ω: τε Cyr. ἀκλείως dedi (cf. ad 110): -ειῶς Ω **305** μέγα 9 254^{c} tt T$^{\lambda}$ Ω: μάλα 254^{a} ἐσ–σομένοισι 9 tt* T$^{\lambda}$ Ω: ὀψιγόνοισι Cyr. **306** εἰρύσσατο 9 A F W: -ύσατο 254 Ω* **307** ὑπὸ 9 254 Ω*: ὑπαὶ R W λαπάρην 9 Ω: -ης 254 **309** διὰ 9 254 t Ω: ἀπὸ quidam ap. sch^{T} **310** ἁρπάξων 9 254 t* A F: -ζων ApS Ω* fort. ἠ' ἄρν' ἀμαλὴν 9 254^{a} tt* Z T$^{\lambda}$ Ω* G^{s} (ἁμ- D *b* W): ἀπ- 254^{c} Macr. F^{a} G^{t} **311** οἴμησε 9 254 t Ω (οἵ- C R^{c}): ὥρμ- H **312** ὡρμήθη 9 254 Ω: ὁρμ- r Eust. **313** ἀγρίοο Ahrens (cf. Praef. xxxiii sq.): -ίου 9 254 Z Ω **314** ἐπένευε 9 Ω*: -ευσε C G **315** καλαὶ (nov. Did) 9 Ω: δειναὶ "αἱ πλείους": -ὸν van Leeuwen cl. Γ 337, Z 470 **316** (= T 383) hab. 9 12 A^{m} D^{2} Ω*: om. A (et eius archetypum) D H.—cf. Apthorp 38–40 **316*a–c*** (= 133–5) hic fert 12, illic omisit **317** ἀστράσι D G: proparox. Ω*.—cf. ad 28

Ἕσπερος, ὃς κάλλιστος ἐν οὐρανῶι ἵσταται ἀστήρ,
ὣς αἰχμῆς ἀπέλαμπ' εὐήκεος, ἣν ἄρ' Ἀχιλλεύς
320 πάλλεν δεξιτερῆι, φρονέων κακὸν Ἕκτορι δίωι,
εἰσορόων χρόα καλόν, ὅπηι εἴξειε μάλιστα.
τοῦ δὲ καὶ ἄλλο τόσον μὲν ἔχε χρόα χάλκεα τεύχεα
καλά, τὰ Πατρόκλοιο βίην ἐνάριξε κατακτάς,
φαίνετο δ', ἧι κληῖδες ἀπ' ὤμων αὐχέν' ἔχουσιν,
325 λαυκανίης, ἵνα τε ψυχῆς ὤκιστος ὄλεθρος.
τῆι ῥ' ἐπὶ οἷ μεμαῶτ' ἔλασ' ἔγχεϊ δῖος Ἀχιλλεύς,
ἀντικρὺ δ' ἀπαλοῖο δι' αὐχένος ἤλυθ' ἀκωκή.
οὐδ' ἄρ' ἀπ' ἀσφάραγον μελίη τάμε χαλκοβάρεια,
ὄφρα τί μιν προτιείποι ἀμειβόμενος ἐπέεσσιν·
330 ἤριπε δ' ἐν κονίηις. ὃ δ' ἐπηύξατο δῖος Ἀχιλλεύς·
"Ἕκτορ, ἀτάρ που ἔφης Πατροκλῆ' ἐξεναρίζων
σῶς ἔσσεσθ', ἐμὲ δ' οὐδὲν ὀπίζεο νόσφιν ἐόντα·
νήπιε, τοῖο δ' ἄνευθεν ἀοσσητὴρ μέγ' ἀμείνων
νηυσὶν ἔπι γλαφυρῆισιν ἐγὼ μετόπισθε λελείμμην,
335 ὅς τοι γούνατ' ἔλυσα. σὲ μὲν κύνες ἠδ' οἰωνοί
ἑλκήσουσ' ἀικέως· τὸν δὲ κτερίουσιν Ἀχαιοί."
τὸν δ' ὀλιγοδρανέων προσέφη κορυθαιόλος Ἕκτωρ·

Porph. fr. 359 p.427 Sm.; EtG s.v. ἕσπερος (Reitz. Gesch. 158.27; Sel fr. 105 Duke); (–οὐρ.) sch A.R. 2.42; **318**a H. ε 6308; (Ἕσπ.) Apio 238.4 **319** (εὐήκ.) H. (Cyr.) ε 6830 **322** (–χρόα) Arn ad Σ 378a; (ἄλλο τόσον) H. α 3183 **323** (Π.–) sch P 125b[1] **324**a sch Λ 26–7 **325** + **328–9** Plut. Mor. 698e; **325** Orio 92.20; (λαυκ., ψ.–) Poll. 2.206; (λαυκ.) ApS 107.8; Poll. 2.98; H. (Cyr.) λ 413/14, 718; EtG λ 19; **328–9** EtG α 1328; **328–9**a sch O 610–14b[1]; **328** (–τάμε) + **329**a Porph. Il. 206.26 Schr.; **328** ApS 147.29; (–τάμε) Porph. Hom. 58.3 Sod.; (ἀπ'–τάμε) ApS 45.24; (ἀσφ.) H. α 7966; **329** Poll. 2.206; Eudoc. 1664; (–ἀμειβ.) ApS 147.32 **333** (ἀοσσ.) id. 37.16; H. (Cyr.) α 5691 **336** ApS 17.28; **336**a Porph. Il. 334.24 Schr.; (ἀικῶς) H. α 1930 **337** (ὀλιγ.) Iul. Caes. 331b; sch X 355

322 τεύχεα r: -η 9 Z Ω.—cf. ad H 207, Ω 7 **323** damn. Naber Qu. Hom. 212 **324** φαίνετο Ar 9 t Ω: φαῖνεν δ' "ἔν τισι τῶν ὑπομνημάτων" (ita A: φαῖνον δ' T) **325** λαυκανίης Hsch. Orio (λευ-) Z Ω* (λευ- C^c F), cf. Chantr. II 51: -ην Ar 9 Plut. (λευ-) A T W: -η Nauck.—cf. ad Ω 642; Rengakos 135 sq. **326** ἐπὶ οἷ Hdn A D F W, ἐπὶ οἵ $T^λ$: ἐπί οἱ Ω* μεμαῶτ' 9 Ω*: -ὼς T W ἔγχεϊ 9 Ω*: Ἕκτορα D **328–9** damn. Düntzer, **329** ath. Ar **330** ἐπηύξατο Fick: ἐπεύξατο 9 Ω: -χετο A^s N **331** ἀτάρ 9 1505 Ω: ἄφαρ sch^T (contra $T^λ$) **332** et οὐδ' ἓν agn. sch^T **334** ἔπι Wolf: ἐπὶ vel ἐπι Ω **335** ὅς Ω: ως 9 **336** ἑλκήσουσ' 9 1505 t* Ω*: -κύσ- Porph. C G.—cf. ad P 558 ἀικέως dedi: αικ[1505, ἀϊκῶς tt* Ω* (οἱ μὲν δισυλλάβως ... οἱ δὲ συνεστάλθαι φασίν sch^T; hoc (ἀϊκ-) reicit Wack. KS 222): ἀεικῶς 9 Z R: ἀεικελίως Porph.: (-σουσι) κακῶς Antim κτερίουσιν Buttmann: -ιοῦσιν 9 t Ω*: -εοῦσιν F.—cf. ad Λ 455; Praef. xxxi **337** κορυθαίολος C

“λίσσομ’ ὑπὲρ ψυχῆς καὶ γούνων σῶν τε τοκήων,
μή με ἔα παρὰ νηυσὶ κύνας καταδάψαι Ἀχαιῶν,
340 ἀλλὰ σὺ μὲν χαλκόν τε ἅλις χρυσόν τε δέδεξο
δῶρα, τά τοι δώσουσι πατὴρ καὶ πότνια μήτηρ,
σῶμα δὲ οἴκαδ’ ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρός με
Τρῶες καὶ Τρώων ἄλοχοι λελάχωσι θανόντα.”
τὸν δ’ ἄρ’ ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
345 “μή με, κύον, γούνων γουνάζεο μηδὲ τοκήων.
αἲ γάρ πως αὐτόν με μένος καὶ θυμὸς ἀνείη
ὤμ’ ἀποταμνόμενον κρέα ἔδμεναι, οἷά μ’ ἔοργας,
ὡς οὐκ ἔσθ’ ὃς σῆς γε κύνας κεφαλῆς ἀπαλάλκοι,
οὐδ’ εἴ κεν δεκάκις τε καὶ εἰκοσινήριτ’ ἄποινα
350 στήσωσ’ ἐνθάδ’ ἄγοντες, ὑπόσχωνται δὲ καὶ ἄλλα,
οὐδ’ εἴ κέν σ’ αὐτὸν χρυσῶι ἐρύσασθαι ἀνώγοι
Δαρδανίδης Πρίαμος· οὐδ’ ὧς σέ γε πότνια μήτηρ
ἐνθεμένη λεχέεσσι γοήσεται, ὃν τέκεν αὐτή,
ἀλλὰ κύνες τε καὶ οἰωνοὶ κατὰ πάντα δάσονται.”
355 τὸν δὲ καταθνήισκων προσέφη κορυθαιόλος Ἕκτωρ·
“ἦ σ’ εὖ γινώσκων προτιόσσομαι, οὐδ’ ἄρ’ ἔμελλον
πείσειν· ἦ γὰρ σοί γε σιδήρεος ἐν φρεσὶ θυμός.
φράζεο νῦν, μή τοί τι θεῶν μήνιμα γένωμαι

338 Eudoc. 2118 **339** (καταδ.) H. κ 1052 **342** (–δομ.) ApS 148.25 **346** (ἀνήηι) H. α 5039 **347** (–ἔδμ.) Porph. Abst. 1.13 **348** (–κύνας) + **349**a + **350** (ἄγ., καὶ ἄλλα) + **352**b Nic ad X 349a; **348** w5 (lacerum); **349** ApS 63.26; EtG s.v. εἰκοσινήριτα; (εἰκ.–) H. ε 838; (εἰκοσιν.) Hdn ad O 678a^{1}; sch Z 217b; **351–2**a Porph. Hom. 117.17 Sod.; **351** ApD Pron. 46.2 **354** (δάσ.) ApS 56.22; H. (Cyr.) δ 296 **355**a ApS 96.17 **356–7** Eudoc. 1689–90 **358** [Plut.] Hom. 2.118.3; (μή–) Polyb. Sard. Fig. iii.105.13 Sp.; sch Aesch. Eum. 234; (μήν.) ApS 112.26; H. μ 1225

339 με ἔα 9 1505 Ω*, μ’ ἔα *b* R: μ’ ἐάα vel ἔμ’ ἔα Bentley: μ’ ἐάαν Nauck: μ’ εἴα Christ.—cf. ad B 165 **340** χαλκόν … χρυσόν 12 254 Ω: χρυσον … χαλκον 9.—cf. ad I 137, 279, 365; v.l. sim. ε 38 δέδεξο 9 254 Ω: δέχεσθαι H V **341** δῶρα 9 Ω: πο]λλα ṭ[12 **344** ἄρ’ ὑπόδρα ἰδὼν 9 1505 Ω: ἀπαμειβόμενος A^{γρ} **345** κύον 9 1505 Ω*: κύων D **346** πως 9 1505 Ω: τὼς Hoffmann cl. Θ 538–41, N 825–8 ἀνείη 9 (-ηι) 254 (ex -ọịη) D C T R: ἀνήη(ι) t Ω* **347** ἀποταμνόμενον 9 1505 Ω*: -τεμν- t D κρέᾰ Hdn$^{?}$: κρεᾱ Tyr (cf. ad Δ 109, 345, Λ 385): κρέα’ Payne Knight οἷά 9 254 Ω: ὅσσα H (ex Φ 399) **348** ὡς Ar (sch^{h}) Ω*: ὧς Nic D$^{a?}$ W **349** τε Nic 9 tt A^{λ} Ω: om. r, del. Payne Knight εἰκοσινήριτ’ Ar$^{?}$ tt Z T^{λλ} Ω (εἴκοσι ν- C G): ἐεικ- Brandreth.—cf. I 379 **352** ὧς Bekker: ὡς A D, ὦς Ω* **355** κορυθαίολος C, κορυθẹọ[254 **356** γινώσκων 9 t A^{λ} Ω: γειν- 1505: γιγν- rr **357** ἐν φρεσὶ 9 254 1507 t Ω*: ἔνδοθι sch^{hyp} F T R W G.—cf. ad Θ 202 **358** fort. praestat φράζεό νυν τοί τι 9 tt Ω*: τι τοι 1507 (ss. οι) *b* T^{λ} R W: τοι Z

ἤματι τῶι, ὅτε κέν σε Πάρις καὶ Φοῖβος Ἀπόλλων
360 ἐσθλὸν ἐόντ' ὀλέσωσιν ἐνὶ Σκαιῆισι πύλησιν."
ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψεν,
ψυχὴ δ' ἐκ ῥεθέων πταμένη Ἄϊδόσδε βεβήκει
{ὃν πότμον γοόωσα, λιποῦσ' ἀνδροτῆτα καὶ ἥβην}.
τὸν καὶ τεθνηῶτα προσηύδα δῖος Ἀχιλλεύς·
365 "τέθναθι· κῆρα δ' ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ
Ζεὺς ἐθέληι τελέσαι ἠδ' ἀθάνατοι θεοὶ ἄλλοι."
ἦ ῥα, καὶ ἐκ νεκροῖο ἐρύσσατο χάλκεον ἔγχος·
καὶ τό γ' ἄνευθεν ἔθηχ', ὃ δ' ἀπ' ὤμων τεύχε' ἐσύλα
αἱματόεντ'. ἄλλοι δὲ περίδραμον υἷες Ἀχαιῶν,
370 οἳ καὶ θηήσαντο φυὴν καὶ εἶδος ἀγητόν
Ἕκτορος· οὐδ' ἄρα οἵ τις ἀνουτητεί γε παρέστη.
ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
"ὢ πόποι, ἦ μάλα δὴ μαλακώτερος ἀμφαφάασθαι
Ἕκτωρ ἢ' ὅτε νῆας ἐνέπρηθεν πυρὶ κηλέωι."
375 ὣς ἄρα τις εἴπεσκε, καὶ οὐτήσασκε παραστάς.
τὸν δ' ἐπεὶ ἐξενάριξε ποδάρκης δῖος Ἀχιλλεύς,
στὰς ἐν Ἀχαιοῖσιν ἔπεα πτερόεντ' ἀγόρευεν·
"ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
ἐπεὶ δὴ τόνδ' ἄνδρα θεοὶ δαμάσασθαι ἔδωκαν,
380 ὃς κακὰ πόλλ' ἔρρεξεν, ὅσ' οὐ σύμπαντες οἱ ἄλλοι,
εἰ δ' ἄγετ' ἀμφὶ πόλιν σὺν τεύχεσι πειρηθέωμεν,

359 (ὅτε–)–**60** sch Pind. Nem. 7.58; (ὅτε–)–**360a** Procl. in Remp. i.148.16 **364–6** Macr. Sat. 5.12.11; **365** (–δέξ.) sch Π 860–1 **370–1** (Ἕκτ.) Dio Prus. 21.16; sch O 263–4a; **370** Eudoc. 292; (–εἶδος) sch Λ 1; **370a** sch Ω 418b; **371** (οὐδ'–) sch T 25, Ω 421; sch Eur. Andr. 1153; Epm. α 281; (ἀνουτ.) EtG α 908 **373–4** Macr. Sat. 5.5.6; **373** (–μαλ.) Plut. Mor. 453b **375** Eudoc. 1956 **376a** ApS 68.7 **379** + **381–2** (–νόον) + **383–4a** Arn ad X 379a; **379** Plut. Mor. 542e; [Plut.] Hom. 2.118.3; **380** Eudoc. 36, 1423, 1613, 1655; **383** (πόλιν ἄ.) sch Δ 105–6

360 ἐνὶ 9 1507 Ω (cf. Π 712): ἐπὶ t (cf. Γ 149) **363** (= Π 857) add. 9 Ω* D^{2}: deest in 255 1507 D V ἀνδροτῆτα 9 Ω: ἀδρ- rr.—cf. ad Π 857 **364** τεθνηῶτα A^{s} E F^{a}: -θνει- 9 255 E^{s} Ω*: -θνε- G: -θναι t **370** καὶ θηήσαντο 9 tt* Z T^{λ} Ω*: καὶ ἐθη- sch-O Eudoc. G^{c}: κέ ἐ θη- *b* G^{a} **371** del. Payne Knight (cf. 375) ἀνουτητεί Barnes, -τιτεί r: -τητί 9 1508 tt Z T^{λ} Ω (ἀουτ- r, cf. Σ 536) **372** ἄλλον 9 1508 1509 Ω* R^{s}: -ων D T^{s} R^{t} W^{2} G **373** ὢ A D F^{a}: ὧ Ω* **374** ἢ' dedi: ἠ A, ἢ Ω* ἐνέπρηθε(ν) A^{s} F W: -σεν 9 1508 t Ω* **377** ἀγόρευεν 9 1509 Ω*: (-εντα) προσηύδα R H V **378** ut supra 9 254 1509 1510 A^{λ} Ω*: ὦ φίλοι ἥρωες Δαναοὶ θεράποντες Ἄρηος *b* G: Ἀτρείδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν Zen (prob. Wilamowitz Il. u. H. 104 n.1): versum del. Bolling Ext. Evid. 196 **380** ἔρρεξεν 1510 A F, ἔρε- W: ἔρδεσκεν 254 t $A^{\gamma\rho}$ A^{m} Ω* (ex I 540, v. ad loc.) **381–90** damn. Hoffmann **381** πειρηθέωμεν (Bekker) 1509: -θῶμεν Ω

ὄφρα κ' ἔτι γνῶμεν Τρώων νόον, ὅν τιν' ἔχουσιν,
ἢ καταλείψουσιν πόλιν ἄκρην τοῦδε πεσόντος,
ἦε μένειν μεμάασι καὶ Ἕκτορος οὐκέτ' ἐόντος.
385 ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
κεῖται πὰρ νήεσσι νέκυς ἄκλαυτος ἄθαπτος
Πάτροκλος· τοῦ δ' οὐκ ἐπιλήσομαι, ὄφρ' ἂν ἐγώ γε
ζωοῖσιν μετέω καί μοι φίλα γούνατ' ὀρώρηι.
εἰ δὲ θανόντων περ καταλήθοντ' εἰν Ἀΐδαο,
390 αὐτὰρ ἐγὼ καὶ κεῖθι φίλου μεμνήσομ' ἑταίρου.
νῦν δ' ἄγ' ἀείδοντες παιήονα κοῦροι Ἀχαιῶν
νηυσὶν ἔπι γλαφυρῆισι νεώμεθα, τόνδε δ' ἄγωμεν.
ἠρόμεθα μέγα κῦδος· ἐπέφνομεν Ἕκτορα δῖον,
ὧι Τρῶες κατὰ ἄστυ θεῶι ὣς ηὐχετόωντο."
395 ἦ ῥα, καὶ Ἕκτορα δῖον ἀεικέα μήδετο ἔργα·
ἀμφοτέρων μετόπισθε ποδῶν τέτρηνε τένοντε
ἐς σφυρὸν ἐκ πτέρνης, βοέους δ' ἐξῆπτεν ἱμάντας,
ἐκ δίφροιο δ' ἔδησε, κάρη δ' ἕλκεσθαι ἔασεν.
ἐς δίφρον δ' ἀναβὰς ἀνά τε κλυτὰ τεύχε' ἀείρας

386 (–νέκυς) sch O 9; (ἄκλ.) Poll. 2.64; (ἄθ.) H. α 1532 **387** (τοῦ δ' οὐκ ἐπιλ.) Prisc. Inst. 18.216 **389–90** Charito 5.10.9; Nic ad X 42–3a(b); Synes. Epist. 123; Eudoc. 1259–60; **390** Plut. Mor. 1104c **391–4** Dio Prus. 2.58; **391, 393**b cf. Arbonium Silonem p.331 Court.; **393** Ath. 438a (dictum Timonis); sch Φ 543; w5 (lacerum); imit. Nonn. D. 40.217 **395–411** D.H. Comp. 127; **395**b sch Υ 467a; **397**b EtG α 1537; **401** (ἀμφὶ–)–**2**a Synes. Calv. 3, 19 (Opusc. 194.16, 224.12 T.); **403**b–**4** ApD Synt. 216.1; **405** (–ἅπαν) sch Pind. Nem. 1.104; **406** (ἀπὸ–) sch X 468–72; **407** (κώκ.), **409** (–οἰμ.) sch X 408; **407** (κώκ.) H. (Cyr.) κ 4798; **408–9** Eudoc. 780–1; **409** sch Thuc. 7.71.6; **410–11** Philod. De bono rege v 18–22; **410**b ApD Pron. 55.24; (ὡς–)–**411** Macr. Sat. 4.6.5; **410** (ί) Comm. in Antim. P. Mil. Vogl. 1.17 ii 10 (p.79 Wyss); **411**a Philostr. Iun. Imag. 10; Serv. auct. Georg. 1.108; (ὀφρ.) H. ο 1992; Phot. Lex. s.v.; (σμύχ.) ApS 143.16; H. σ 1291

(= θ 100).—cf. ad Ω 53; Chantr. I 459 **382** ὄφρά A F^{a} W κ' ἔτι Ω*: κέ τι 254 D C F^{c} R G^{c} **383** καταλείψουσι(ν) Ω: -ωσιν 254 H **384** ἦε 254$^{?}$ A N^{γρ}: ἠὲ Ω* **385** τί ή A **386** ἄκλαυτος 1511 A D G: -στος Ω* **387** ἐγώ γε Bekker: ἔγωγε Ω*: ἐγὼ W **388** ut supra 254 Ω*: ζωὸς ἐν Ἀργείοισι φιλοπτολέμοισι μετείω A^{γρ} *b* G **389** θανόντες Wecklein SBAW 1908(2).24 **390** καὶ κεῖθι 254 Nic-X Charito Ω*: κἀκ- tt* D T^{λ} R W.—cf. ad Γ 402 **392** ἔπι Wolf: ἐπὶ vel ἐπι 250 254 Ω δ' t Ω: τ' 250 1511 H.—cf. ad Ω 17 **392*a*** (vel ***b***? praecedentia perierunt) και τ]ε̣θ̣ν̣ηοτα περ τοσα γαρ κακ εμη[σατ Αχαιους add. 12 **393–4** ath. Ar **393** ἠρόμεθα Brandreth (cf. Wack. Unt. 61): ἠρά- 250 254 tt Z A^{λ} T^{λ} Ω (ἠιρά- T W): . . . . . .]δ̣η̣ (vel]α̣ν̣, at non]α̣μ̣) 12 **394** ηὐχετόωντο dedi (-άοντο Fick): εὐχ- 250 1511 t Ω **395** μή–δετο (= Ψ 24) 250 1511 tt sch^{b} Ω*: -σατο D, cf. sch^{D} ad 398 **396** ἀμφοτέρων 254 t A^{λ} sch^{hγρ} Ω: -ω 250 *b* τένοντε Ω*: -ας t D H: -α 12.—cf. ad Π 587 **398** ἔασεν 250 t Z Ω*: -σσεν *b* G^{c} **399** om. 12^{uv} (homoearchon)

400 μάστιξέν ῥ' ἐλάαν, τὼ δ' οὐκ ἄκοντε πετέσθην.
τοῦ δ' ἦν ἑλκομένοιο κονίσαλος, ἀμφὶ δὲ χαῖται
κυάνεαι πίτναντο, κάρη δ' ἅπαν ἐν κονίηισιν
κεῖτο πάρος χαρίεν, τότε δὲ Ζεὺς δυσμενέεσσιν
δῶκεν ἀεικίσσασθαι ἑῆι ἐν πατρίδι γαίηι.
405 ὣς τοῦ μὲν κεκόνιτο κάρη ἅπαν· ἡ δέ νυ μήτηρ
τίλλε κόμην, ἀπὸ δὲ λιπαρὴν ἔρριψε καλύπτρην
τηλόσε, κώκυσεν δὲ μάλα μέγα παῖδ' ἐσιδοῦσα·
ᾤμωξεν δ' ἐλεεινὰ πατὴρ φίλος· ἀμφὶ δὲ λαοί
κωκυτῶι τ' εἴχοντο καὶ οἰμωγῆι κατὰ ἄστυ.
410 τῶι δὲ μάλιστ' ἄρ' ἔην ἐναλίγκιον, ὡς εἰ ἅπασα
Ἴλιος ὀφρυόεσσα πυρὶ σμύχοιτο κατ' ἄκρης.
λαοὶ μέν ῥα γέροντα μόγις ἔχον ἀσχαλόωντα,
ἐξελθεῖν μεμαῶτα πυλάων Δαρδανιάων·
πάντας δ' ἐλλιτάνευε κυλινδόμενος κατὰ κόπρον,
415 ἐξ ὀνομακλήδην ὀνομάζων ἄνδρα ἕκαστον·
"σχέσθε, φίλοι, καί μ' οἶον ἐάσατε κηδόμενοί περ
ἐξελθόντα πόληος ἱκέσθ' ἐπὶ νῆας Ἀχαιῶν·
λίσσωμ' ἀνέρα τοῦτον ἀτάσθαλον ὀβριμοεργόν,
ἤν πως ἡλικίην αἰδέσσεται ἠδ' ἐλεήσηι
420 γῆρας. καὶ δέ νυ τῶι γε πατὴρ τοιόσδε τέτυκται,
Πηλεύς, ὅς μιν ἔτικτε καὶ ἔτρεφε πῆμα γενέσθαι
Τρωσί, μάλιστα δ' ἐμοὶ περὶ πάντων ἄλγε' ἔθηκεν·
τόσσους γάρ μοι παῖδας ἀπέκτανε τηλεθάοντας.

412 (ἀσχ.) H. (Cyr.) α 7972 **414** (ἐλλ.–)–**15** cf. Pl. Remp. 388b; **414** (λιτ.–) sch X 221; **414**b–**15** Procl. in Remp. i.123.7; **414**b Teles p.34.3 H.; ApS 102.20; H. κ 3564; **415**a ApS 70.12; H. (Cyr.) ε 3936 **416** Max. Tyr. 35.7; Eudoc. 1463 **423** EtG α 985; (τηλ.) id. s.v.

400 ῥ' Ω*: δ' 250 t D T R ἄκοντε 250 t^{vl} Ω: ἀέκ- t^{vl} rr **402** πίτναντο Ar Z T R^{a} W: πίλν- Ω*: πίδν- Z (-άτο) quidam ap. sch^{T}: πίμπλ- "ἔν τισι" (teste A) 250 Dion. D T^{λ}: πεφόρηντο t* **403** δυσμενέεσσι 250 tt Ω*: τερπικέραυνος A^{γρ} W **405** κεκόνιτο Dion. Ω*: -ιστο [250]$^{?}$ t* H O: -ίατο D **407** παῖδ' ἐσιδοῦσα t Ω: παῖδα ἰδ- Bentley **408** λαοί tt Ω: ἑταῖροι D^{2γρ} **410** εἰ Ar 250 tt Ω: ἶ Arph mire; cf. Wack. Unt. 168 n. 1 **411** σμύχοιτο Ar 250 654^{c} tt* Z Ω*: σμή- (nov. Did?) 654^{a}? Macr. D W **412** μόγις 1508 A F G: μόλις 250 Ω*.—cf. ad I 355, Φ 417 ἀσχάλλοντες Z **414** δ' ἐλλιτάνευε 1508 A *b* F G:]ελλι- 435: δ' ἐλι- 250 Ω*: δὲ λι- t *b*:]ελι- 654 **415** damn. Düntzer ἐξ ὀνομακλήδην T R W G (cf. δ 278): ἐξον- Z T^{λ} Ω* **416** κηδόμενοί Ar^{ab} 250 t* T *b* V: -μενόν (nov. Did) Max. T^{λ} Ω* **417** πόληος 250 654 1508 Ω*: -ιος 435 *b* R **418** λίσσωμ' Ω*: -ομ' F^{a} T^{λ} G: -ομαι 250 F^{γρ} T **419** ἤν 250 Ω: ει (Heyne) 12$^{?}$ **420** τῶι γε 654 A D G: τῶιδε A^{s} Ω* **422** πέρι V ἄλγε' ἔθηκε 449 Ω*: -εα θῆκε(ν) *b* G **423** τόσσους 250 435 t Ω: τοιους 12 ἀπέκτανε 435 Ω*: -κτεινε *b*: -κτονε t τηλεθάοντας 250 449 Z T^{λ} Ω: -θόοντας t

τῶν πάντων οὐ τόσσον ὀδύρομαι ἀχνύμενός περ
425 ὡς ἑνός, οὗ μ' ἄχος ὀξὺ κατοίσεται Ἄϊδος εἴσω,
Ἕκτορος. ὡς ὄφελεν θανέειν ἐν χερσὶν ἐμῆισιν·
τώ κε κορεσσάμεθα κλαίοντέ τε μυρομένω τε
μήτηρ θ', ἥ μιν ἔτικτε δυσάμμορος, ἠδ' ἐγὼ αὐτός."
ὣς ἔφατο κλαίων· ἐπὶ δὲ στενάχοντο πολῖται.
430 Τρωιῆισιν δ' Ἑκάβη ἁδινοῦ ἐξῆρχε γόοιο·
"τέκνον, ἐγὼ δειλή· τί νυ βείομαι αἰνὰ παθοῦσα
σεῖ' ἀποτεθνηῶτος; ὅ μοι νύκτας τε καὶ ἦμαρ
εὐχωλὴ κατὰ ἄστυ πελέσκεο, πᾶσί τ' ὄνειαρ
Τρωσί τε καὶ Τρωιῆισι κατὰ πτόλιν, οἵ σε θεὸν ὥς
435 δειδέχατ'· ἦ γὰρ καί σφι μάλα μέγα κῦδος ἔησθα
{ζωὸς ἐών· νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει}."
ὣς ἔφατο κλαίουσ'· ἄλοχος δ' οὔ πώ τι πέπυστο
Ἕκτορος· οὐ γάρ οἵ τις ἐτήτυμος ἄγγελος ἐλθὼν
ἤγγειλ', ὅττί ῥά οἱ πόσις ἔκτοθι μίμνε πυλάων,
440 ἀλλ' ἥ γ' ἱστὸν ὕφαινε μυχῶι δόμου ὑψηλοῖο
δίπλακα πορφυρέην, ἐν δὲ θρόνα ποικίλ' ἔπασσεν.
κέκλετο δ' ἀμφιπόλοισιν ἐϋπλοκάμοις κατὰ δῶμα
ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, ὄφρα πέλοιτο
Ἕκτορι θερμὰ λοετρὰ μάχης ἐκ νοστήσαντι·
445 νηπίη, οὐδ' ἐνόησεν, ὅ μιν μάλα τῆλε λοετρῶν
χέρσ' ὕπ' Ἀχιλλῆος δάμασε γλαυκῶπις Ἀθήνη.

424–5 (ὡς ἑνός) sch Soph. El. 1075; **425** (κατοίσ.) ApS 97.3; H. κ 1829 **428** (δυσάμμ.) id. δ 2518; Epm. δ 7 **431** EtG β 119; (τί νυ–) sch Δ 31–2a[1], Π 852; (τί νυ β.) sch ε 299; (βεί.) Apio 226.17; H. β [86], 459; (αἰνά) id. α 1972 **433** (ὄνειαρ) ApS 121.15; Orio 119.17 **438** (ἐτήτ.) H. (Cyr.) ε 6606 **440–2** Eudoc. 1042–3, 1040; **440** Epm. A 2b[1]; **441** (ἐν δὲ θρ. ποικ.) ApS 88.20; (θρόνα) sch Theoc. 2.59/62c; H. θ 774, cf. τ 1483; (ἔπασσεν) ApS 70.33; H. ε 4251 **445** sch Π 46b

424 πάντων (= δ 104) 250 435 t Ω: πο[λλων 12 (cf. Ω 498) **425** εἴσω 250 449 Z Ω*: δὲ *b* G **427** τώ 250 D: τῶ Ω* **428** θ' Ω*: om. 250 435 D V **429** πολῖται 250 Ω* D[γρ]: γέροντες A[γρ] T[γρ] (ex T 338): γυναῖκες D (ex 515) **431** τέκνον, ἐγὼ δειλή 250 Ω: Ἕκτορ, ἐγὼ δειλή t (cf. 477): Ἕκτορ τέκνον ἐμόν Z (ex 82) βείομαι Ar? (sch[T]) 250 Porph. tt* Ω* (cf. A.R. 1.285 in proecdosi): βί- Ar? (sch[b]) 250[s] sch-ε Z D: βή- Ar? (sch[A]): βέ- EtG.—cf. Chantr. I 115, 452, 515 παθοῦσα 250 t Ω: τεκοῦσα Ar (cf. A 414) **432** σεῖ' Fick: σεῦ 250 Ω ἀποτεθνηῶτος 250 A B[a] E F G, -θνει- A[s] E[s] F[s] Ω*: ἄπο τ- van Leeuwen (cl. B 292, Λ 242): κατατ- (Cobet) r νύκτάς A **435** δειδέχατ' 250 Ω: cf. ad Δ 4 καί 250 D R: κέ Ω* **436** (= P 478, 672) seclusi αὖ Ω: δ' αὖ *b* **441** πορφυρέην 12 250 449 t Ω*: μαρμαρέην T[γρ] R H O.—cf. ad Γ 126 θρόνα 250 435 tt Z A[λ] F[s] Ω*: θρόα *b* F **442** ut supra 250 449 t Ω: αι]ψα δ αρ αμφιπ[ολοισιν ευπλοκαμοισι κελευσεν 12 **445** οὐδὲ νόησεν B[c] ὅ 250 t Ω: το 256 **446** χερσ] υπ

κωκυτοῦ δ' ἤκουσε καὶ οἰμωγῆς ἀπὸ πύργου·
τῆς δ' ἐλελίχθη γυῖα, χαμαὶ δέ οἱ ἔκπεσε κερκίς.
ἣ δ' αὖτις δμωιῆισιν ἐϋπλοκάμοισι μετηύδα·
450 "δεῦτε, δύω μοι ἕπεσθον· ἴδωμ' ὅτιν' ἔργα τέτυκται.
αἰδοίης ἑκυρῆς ὀπὸς ἔκλυον, ἐν δέ μοι αὐτῆι
στήθεσι πάλλεται ἦτορ ἀνὰ στόμα, νέρθε δὲ γοῦνα
πήγνυται· ἐγγὺς δή τι κακὸν Πριάμοιο τέκεσσιν.
αἲ γὰρ ἀπ' οὔατος εἴη ἐμοῦ ἔπος, ἀλλὰ μάλ' αἰνῶς
455 δείδω, μὴ δή μοι θρασὺν Ἕκτορα δῖος Ἀχιλλεύς
μοῦνον ἀποτμήξας πόλιος πεδίονδε δίηται,
καὶ δή μιν καταπαύσηι ἀγηνορίης ἀλεγεινῆς
ἥ μιν ἔχεσκ', ἐπεὶ οὔ ποτ' ἐνὶ πληθυῖ μένεν ἀνδρῶν,
ἀλλὰ πολὺ προθέεσκε, τὸ ὃν μένος οὐδενὶ εἴκων."
460 ὣς φαμένη μεγάροιο διέσσυτο μαινάδι ἴση,
παλλομένη κραδίην· ἅμα δ' ἀμφίπολοι κίον αὐτῆι.
αὐτὰρ ἐπεὶ πύργόν τε καὶ ἀνδρῶν ἶξεν ὅμιλον,
ἔστη παπτήνασ' ἐπὶ τείχεϊ· τὸν δ' ἐνόησεν
ἑλκόμενον πρόσθεν πόλιος, ταχέες δέ μιν ἵπποι
465 εἷλκον ἀκηδέστως κοίλας ἐπὶ νῆας Ἀχαιῶν.
τὴν δὲ κατ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν,
ἤριπε δ' ἐξοπίσω, ἀπὸ δὲ ψυχὴν ἐκάπυσσεν.

447a ApS 106.7 **448a** Philod. Poem. 2 fr. 31.4 (p.179 Sb.) **449–50** Eudoc. 1044–5 **452** (πάλλ.) H. (Cyr.) π 239 **454** (–ἔπος) sch Σ 272b **465** (ἀκηδ.) H. (Cyr.) α 2365 **466** Eudoc. 2046 **467** D.H. Comp. 35; Eudoc. 939; **467b** Philox. fr. 250, 664 Th. (EtG s.vv. καρπαλίμως, κεφαλή); Porph. Il. 270.16 Schr.; (ψυχ.–) sch Soph. Tr. 1160; (ἐκάπ.) Philox. fr. 478 Th. (Orio 63.8/EtG s.v.); sch X 468b; H. (Cyr.) ε 1241

12: χερσὶν 250 Ω.—cf. S. West Ptol. Pap. 169 **447** .....]. .c δ ηκ[ουcε 12 **448** τῆς 250 Ω: ἣ t **449** αὖτις 250 t A$^{\lambda}$ Ω*, -θις C: αὖτε W **450** ἕπεσθον 250 435 t Ω: -σθε Bentley ὅτιν' t Ω*: ὅτι 256 435 D *b*, ὅττι T$^{\lambda}$: ἅτι(?) mavult sch^{T}: ἅτιν' R^{c} G **451** δ' ἐμοὶ *b* αὐτῆι 250 256 449 Ω: -ῆς r haud male **452** γοῦνα 256 sch^{bT} Ω*: γυῖα 449 W **454** ἄπ' D^{2} ἐμοῦ van Leeuwen Mn. 13 (1885) 216: ἐμεῦ t Z Ω: ἐμοὶ Menrad De contr. et synizeseos usu (1886) 94 (cl. Σ 272) **458** πληθυῖ O: -ύϊ Ω μένεν 12 256 *b* G (cf. λ 514): -ε D: μέν' Ω* **459** τὸ ὃν 449 Ω* (= O 689*a*): τεὸν Z D H: τ. . ν 256: ἑὸν Nauck.—cf. ad Φ 305 οὐδενὶ (256 Ω) vel οὐδ' ἐνὶ, cf. Wack. Unt. 116 n. 1: οὔτινι van Leeuwen **461** κραδίην 256 449 Ω*: -η(ι) D N$^{\gamma\rho}$ **462** ut supra fere 256 Ω (πύργόν A *b* T, -ων D G; ἶξεν *b* T R W, ἵ- B^{c} Ω*, ει- 256): αυταρ επει Σκαιας] τε πυλ[ας και] πυργον ικανεν 12 (cf. Z 237) **463** τείχεϊ 256 (-ει) Ω: τειχ[εσι] 12 **464** πρόσθε⌊ν 12 Ω: προπάροιθε habes B 811, Φ 567 πόλιος 256 Ω: πολε[ως] 12 **465** εἷλκον Barnes: ἕλκ- [256] 449 Ω **466** ὀφθαλμῶν 256 449 t Ω: -ὼ van Leeuwen.—v. ad E 659 **467** ἀπὸ 256 449 tt Ω: ἀνα Z

τῆλε δ' ἀπὸ κρατὸς βάλε δέσματα σιγαλόεντα,
ἄμπυκα κεκρύφαλόν τε ἰδὲ πλεκτὴν ἀναδέσμην
470 κρήδεμνόν θ', ὅ ῥά οἱ δῶκε χρυσῆ Ἀφροδίτη
ἤματι τῶι, ὅτε μιν κορυθαιόλος ἠγάγεθ' Ἕκτωρ
ἐκ δόμου Ἠετίωνος, ἐπεὶ πόρε μυρία ἕδνα.
ἀμφὶ δέ μιν γαλόωι τε καὶ εἰνάτερες ἅλις ἔσταν,
αἵ ἑ μετὰ σφίσιν εἶχον ἀτυζομένην ἀπολέσθαι.
475 ἣ δ' ἐπεὶ οὖν ἄμπνυτο καὶ ἐς φρένα θυμὸς ἀγέρθη,
ἀμβλήδην γοόωσα μετὰ Τρωιῆισιν ἔειπεν·
"Ἕκτορ, ἐγὼ δύστηνος· ἰῆι ἄρα γεινόμεθ' αἴσηι
ἀμφότεροι, σὺ μὲν ἐν Τροίηι Πριάμου κατὰ δῶμα,
αὐτὰρ ἐγὼ Θήβηισιν ὑπὸ Πλάκωι ὑληέσσηι
480 ἐν δόμωι Ἠετίωνος, ὅ μ' ἔτρεφε τυτθὸν ἐοῦσαν,
δύσμορος αἰνόμορον· ὡς μὴ ὤφελλε τεκέσθαι.
νῦν δὲ σὺ μέν ῥ' Ἀΐδαο δόμους ὑπὸ κεύθεσι γαίης
ἔρχεαι, αὐτὰρ ἐμὲ στυγερῶι ἐνὶ πένθεϊ λείπεις
χήρην ἐν μεγάροισι. πάϊς δ' ἔτι νήπιος αὔτως,
485 ὃν τέκομεν σύ τ' ἐγώ τε δυσάμμοροι· οὔτε σὺ τούτωι
ἔσσεαι, Ἕκτορ, ὄνειαρ, ἐπεὶ θάνες, οὔτε σοὶ οὗτος.

469 Erot. p.54.11 N.; Poll. 5.95; sch Pind. Ol. 5.15b, 7.118b; **469**a sch Pind. Isth. 2.2; H. α 3817; (κεκρ.) id. κ 2110; Phot. Lex. κ 541; **469**b ApS 33.2; (ἀναδ.) H. α 4262 **470** (κρήδ.) Apio 245.4; H. (Cyr.) κ 4055; (χρ. Ἀφρ.) sch Pind. Pyth. 1.1b; cf. H. χ 782 **472** sch X 88b **473**a Epm. ε 99; (εἰν.) H. (Cyr.) ε 970 **474**a Hdn ad Δ 2c; (μετὰ–ἀτυζ.) ApD Pron. 98.18 **475–6**a Arn ad X 468a; **475** ApS 8.22; [Plut.] Hom. 2.127.2; **475**a sch Λ 356c^{1}; (ἄμπν./ἔμπν.) H. α 3810, ε 2480, [5466], cf. π 2653; (ἀγέρθη) H. (Cyr.) α 449; **476** D.H. Comp. 92; ApS 26.28; **476**a EtG α 1557; (ἀμβλ.) H. α 3505 **477–9**a Strab. 13.1.7; **477**b Arn ad Φ 95a^{2}; Hdn ad Z 422a^{1} **481** (δύσμ.) H. (Cyr.) δ 2612; (αἰν.) id. α 2003 **482–3** Eudoc. 2065–6 **484** w5 (lacerum) **485** (οὔτε–)–**6** Arn ad X 487a

468 βάλε Ar *h* V: χέε "αἱ κοιναί" Arn 256 449 sch^{b} T$^{\lambda}$ Ω **469** ἰδὲ 256 449 tt* Ω: ἠδὲ Erot. sch-Pind.$^{Ol.5}$ **470** θ' ὅ Ω*: τε ὅ 'omnes' Didymi, D: το 256 449 χρυσῆ 256 tt Ω (-σὴ D F^{a} T^{x} R^{a}): -σέη Barnes.—cf. Praef. xxxvi sq. **471** κορυθαίολος C **473** εἰνάτερες Hdn (et 'omnes' ante eum) Z A$^{\lambda}$ Ω*: parox. D E F$^{c?}$ T ἔσταν 256 Z Ω (ἕ- T): ἦσαν A$^{\gamma\rho}$ rr (ex Γ 384) **474** μετὰ σφίσιν Hdn Ω: μετά σφισιν H **475** ἄμπνυτο 449 tt* Z Ω (= ε 458, ω 349): ἔμπ- Ar: utrumque Hsch.—cf. ad E 697, Λ 359 **476** ἀμβλήδην 449 tt* sch$^{bT\lambda}$ Z Ω: -ύδην Dion. γοόωσα 449 tt Ω: -άουσα N$^{\gamma\rho}$.—cf. ad Ψ 106 Τρωιῆισιν 449 Ω* N$^{\gamma\rho}$: δμωιῆισιν tt D *h* V **478** κατὰ δῶμα Ar 449 Ω: ἐνὶ οἴκωι "αἱ κοινότεραι" t **479** Θήβηισιν t (ubi ἢ Θήβηθεν) Ω: -ηφιν rr **481** δύσμορος Ar t Ω* F^{s}: -ον F^{t} αἰνόμορον Ar t Ω*: -ος (nov. Did) Z G τεκέσθαι Ω: γεν- 449 **482** μέν ῥ' t Ω*: μὲν D T.—cf. ad Λ 442 **483** ἐνὶ t Ω (ἔνι W): ἐν rr.—cf. La Roche Unt. II 142 **484** δ' ἔτι Ω*: δέ τε T: δε τις w5 hic versus olim a 500 excipiebatur puto

ἤν περ γὰρ πόλεμόν γε φύγηι πολύδακρυν Ἀχαιῶν,
αἰεί τοι τούτωι γε πόνος καὶ κήδε' ὀπίσσω
ἔσσοντ'· ἄλλοι γάρ οἱ ἀπουρήσουσιν ἀρούρας.
490 ἦμαρ δ' ὀρφανικὸν παναφήλικα παῖδα τίθησιν·
πάντα δ' ὑπεμνήμυκε, δεδάκρυνται δὲ παρειαί.
δευόμενος δέ τ' ἄνεισι πάϊς ἐς πατρὸς ἑταίρους,
ἄλλον μὲν χλαίνης ἐρύων, ἄλλον δὲ χιτῶνος·
τῶν δ' ἐλεησάντων κοτύλην τις τυτθὸν ἐπέσχεν·
495 χείλεα μέν τ' ἐδίην', ὑπερώιην δ' οὐκ ἐδίηνεν.
τὸν δὲ καὶ ἀμφιθαλὴς ἐκ δαιτύος ἐστυφέλιξεν,
χερσὶν πεπληγὼς καὶ ὀνειδείοισιν ἐνίσσων·
'ἔρρ' οὕτως· οὐ σός γε πατὴρ μεταδαίνυται ἥμιν.'
δακρυόεις δέ τ' ἄνεισι πάϊς ἐς μητέρα χήρην,
500 Ἀστυάναξ, ὃς πρὶν μὲν ἑοῦ ἐπὶ γούνασι πατρός
μυελὸν οἶον ἔδεσκε καὶ οἰῶν πίονα δημόν,
αὐτὰρ ὅθ' ὕπνος ἕλοι παύσαιτό τε νηπιαχεύων,
εὕδεσκ' ἐν λέκτροισιν, ἐν ἀγκαλίδεσσι τιθήνης,
εὐνῆι ἔνι μαλακῆι, θαλέων ἐμπλησάμενος κῆρ.
505 νῦν δ' ἂν πολλὰ πάθησι, φίλου ἀπὸ πατρὸς ἁμαρτών,

488–90 Eudoc. 166–8; **489** (ἄλλοι–) ApS 39.3; sch A 356b; (ἀπουρ.) H. (Cyr.) α 6761; **490** (παναφ.) ApS 127.19; H. π 316 **491** ApS 159.4; **491**a id. 67.18; EtG s.v. ὑπεμνήμυκε; Epm. υ 28; (ὑπεμν.) H. υ 306, cf. ε 2372, 2391, μ 1505 **492** (δευόμ.) H. (Cyr.) δ 729; (ἄνεισιν) id. α 4842 **493–5**a Apsin. Rhet. i.396.24 Sp.; **493** cf. Eudoc. 1745; **494**b sch Ψ 34c; **495** Max. Tyr. 34.5; Luc. Dial. 36.20, cf. 65.6; w5 (lacerum); Eudoc. 1890; Orio 155.7; (ἐδίηνεν) H. ε 467 **496** (ἀμφιθ.) ApS 26.22; cf. Clem. Strom. 2.140.1; H. α 4019; EtG α 1556 **497** al. (ἐνίσσων) H. (Cyr.) ε 3132 **499**a Arn ad X 487ab **500** (–ἑοῦ) id. ib.; sch I 489b[1] **501** (μυελ.) ApS 114.1; H. μ 1786 **502** (νηπιαχ.) ApS 116.27; H. (Cyr.) ν 500 **503–4** Eudoc. 350–1; **503** (ἐν λέκ.) H. ε 3171; **503**b ApS 5.10; **504** (θαλ.) id. 85.34; H. (Cyr.) θ 44/5 **505**a sch ρ 385; (ἀπὸ–) H. α 6529

487–99 ath. Ar: **487–505** damn. Lehrs, **487–507** Düntzer **487** περ γὰρ A$^{\gamma\rho}$ A^{m} Ω*: γὰρ δὴ A$^{\lambda}$ A H^{c}: περ γὰρ δὴ H^{a} **488** αἰεί τοι t Ω: ἀλλ' ἤτοι A$^{\gamma\rho}$ W^{m} **489** ἀπουρήσουσιν Eudoc. *b* F R W$^{?}$ G: -ρίσ(σ)- Ar tt* Z T$^{\lambda}$ Ω* **490** πᾶν (immo πὰν) ἀφήλικα quidam ap. sch^{AbT} **491** ὑπεμνήμυκε fere tt Z A$^{\lambda}$ Ω*: ὑπομν- F δεδάκρυνται Ω (= υ 204, 353): -ύαται van Leeuwen.—cf. Chantr. I 477 παρειαί (nov. Did) t Ω*: -ά Ar (pro neutro) *b* F^{c} W$^{?}$.—cf. ad Γ 35 **492** ἄνεισι minus huc convenit (cf. 499): ἂν εἶσι Bothe: ἄπεισι vel ἄρ' εἶσι Axt Conjectan. Hom. (1860) 17 **494** ἐπέσχε(ν) tt Z Ω (cf. I 489): υπ[449 **495** τε δίην ⟦ε⟧ D **497** πεπληγὼς 449 T$^{\lambda}$ Ω: πεπλήγων Allen.—cf. ad B 264 ἐνίσσων Z Ω: -σπων D^{2} rr: -σσειων 449: ἐνίπτων mavult sch^{T}.—cf. ad Γ 438 **498** οὕτως 449 Ω*: -τω Z (cf. Φ 184): οὗτος D C W σός Ω: σοι 449 μεταδαίνυται 449 Ω (μετὰ δ- A): -υτο Z ἥμιν T: ἡμῖν Z Ω* **500** γούνασι 449 Ω: -ατα A^{s} H **504** ἔνι Wolf: ἐνὶ vel ἐνι Ω **505–7** damn. Wilamowitz Il. u. H. 105 sq.,

Ἀστυάναξ, ὃν Τρῶες ἐπίκλησιν καλέουσιν·
οἶος γάρ σφιν ἔρυσο πύλας καὶ τείχεα μακρά.
νῦν δὲ σὲ μὲν παρὰ νηυσὶ κορωνίσι νόσφι τοκήων
αἰόλαι εὐλαὶ ἔδονται, ἐπεί κε κύνες κορέσωνται,
510 γυμνόν· ἀτάρ τοι εἵματ' ἐνὶ μεγάροισι κέονται
λεπτά τε καὶ χαρίεντα, τετυγμένα χερσὶ γυναικῶν.
ἀλλ' ἤτοι τά γε πάντα καταφλέξω πυρὶ κηλέωι,
οὐδὲν σοί γ' ὄφελος, ἐπεὶ οὐκ ἐγκείσεαι αὐτοῖς,
ἀλλὰ πρὸς Τρώων καὶ Τρωϊάδων κλέος εἶναι."
515 ὣς ἔφατο κλαίουσ'· ἐπὶ δὲ στενάχοντο γυναῖκες.
Ψ ὣς οἳ μὲν στενάχοντο κατὰ πτόλιν· αὐτὰρ Ἀχαιοί,
ἐπεὶ δὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο,
οἳ μὲν ἄρ' ἐσκίδναντο ἑὴν ἐπὶ νῆα ἕκαστος,
Μυρμιδόνας δ' οὐκ εἴα ἀποσκίδνασθαι Ἀχιλλεύς,
5 ἀλλ' ὅ γε οἷς ἑτάροισι φιλοπτολέμοισι μετηύδα·
"Μυρμιδόνες ταχύπωλοι, ἐμοὶ ἐρίηρες ἑταῖροι,
μὴ δή πω ὑπ' ὄχεσφι λυώμεθα μώνυχας ἵππους,
ἀλλ' αὐτοῖς ἵπποισι καὶ ἅρμασιν ἄσσον ἰόντες
Πάτροκλον κλαίωμεν· ὃ γὰρ γέρας ἐστὶ θανόντων.
10 αὐτὰρ ἐπεί κ' ὀλοοῖο τεταρπώμεσθα γόοιο,
ἵππους λυσάμενοι δορπήσομεν ἐνθάδε πάντες."
ὣς ἔφαθ'· οἳ δ' ᾤμωξαν ἀολλέες, ἦρχε δ' Ἀχιλλεύς.
οἳ δὲ τρὶς περὶ νεκρὸν ἐΰτριχας ἤλασαν ἵππους
μυρόμενοι· μετὰ δέ σφι Θέτις γόου ἵμερον ὦρσεν.

507 Pl. Crat. 392e **509–14** [Plut.] Hom. 2.190.2; **509** (αἰ. εὐλαί) Philox. fr. 526 Th. (EtG s.v. κορυθαιόλος); Porph. Hom. 14.4 Sod., Od. 127.8 Schr.; (εὐλαί) H. ε 6956; Orio 52.11; **510** Eudoc. 1875; **513** w5 (lacerum); **513**b sch Ψ 254a; **514**a sch P 98–9d[3] **Ψ 1** (–πτ.) sch Π 1a **2** DThr ap. Arn ad X 379a; Ath. 632e; Mar. Plot. GL vi.452.20; Diomed. GL i.500.10; sch Heph. 289.12, 322.16, 325.12, 327.9, 341.20, 348.23, 349.13, 350.17; **2**a sch M 208c **4** Epm. η 33 **7** ib. μ 10; **7**a Hdn i.561.3; (ὑπ' ὄχ.) id. ii.202.2 **8** (–ἅρμ.) sch Ar. Ran. 226 **9** ApS 118.3; ApD Pron. 5.30; Stob. 4.54.5 **10**b Orio 25.21; (τεταρπ.) H. τ 582 **12** (ᾤμ. ἀολλ.) sch Φ 156 **13**a sch Ω 16 **14**b sch T 284c

506–7 Jordan Homers Ilias übersetzt (1881) 677 **505** δ' ἂν 449 t Ω: δὴ A^{s}: δ' αὖ (Doederlein) r **507** πύλας 449 Ω: πόλιν t **509** ἐπεί 449 t Ω: ἐπήν A^{s} κορέσωνται 449 t Ω*: -σονται *b* F R G **510** μμεγάροισι 449 D W **512** τα γε 449: τάδε t T^{λ} Ω **513** γ' 449 t^{vl} Ω*: om. [12] t^{vl} D αὐτοῖς 449 t Ω: -ός Hoogvliet **515** ἔφατο 449 Ω (= Ω 746): αρ ε]φη 12 δ' ἐστενάχοντο W **Ψ 3** ἄρ' ἐσκίδναντο 13 Ω: ἄρα σκ- Heyne.—cf. ad T 277 ἕκαστος 13 451 Ω: cf. ad T 277 **8** ἅρμασιν Z Ω: ἀνδράσιν t ἄσσον A D Y G: ἆ- Ω* **14** susp. Heyne Θέτις γόου 13 451 (γόọι̣'?) t Z Ω*: γόου Θέτις C

15 δεύοντο ψάμαθοι, δεύοντο δὲ τεύχεα φωτῶν
δάκρυσι· τοῖον γὰρ πόθεον μήστωρα φόβοιο.
τοῖσι δὲ Πηλείδης ἁδινοῦ ἐξῆρχε γόοιο,
χεῖρας ἐπ' ἀνδροφόνους θέμενος στήθεσσιν ἑταίρου·
"χαῖρέ μοι, ὦ Πάτροκλε, καὶ εἰν Ἀΐδαο δόμοισιν·
20 πάντα γὰρ ἤδη τοι τελέω τὰ πάροιθεν ὑπέστην,
Ἕκτορα δεῦρ' ἐρύσας δώσειν κυσὶν ὠμὰ δάσασθαι,
δώδεκα δὲ προπάροιθε πυρῆς ἀποδειροτομήσειν
Τρώων ἀγλαὰ τέκνα, σέθεν κταμένοιο χολωθείς."
ἦ ῥα, καὶ Ἕκτορα δῖον ἀεικέα μήδετο ἔργα,
25 πρηνέα πὰρ λεχέεσσι Μενοιτιάδαο τανύσσας
ἐν κονίηις. οἳ δ' ἔντε' ἀφωπλίζοντο ἕκαστος
χάλκεα μαρμαίροντα, λύον δ' ὑψηχέας ἵππους,
κὰδ δ' ἷζον παρὰ νηῒ ποδώκεος Αἰακίδαο
μυρίοι· αὐτὰρ ὃ τοῖσι τάφον μενοεικέα δαίνυ.
30 πολλοὶ μὲν βόες ἀργοὶ ὀρέχθεον ἀμφὶ σιδήρωι
σφαζόμενοι, πολλοὶ δ' ὄϊες καὶ μηκάδες αἶγες·
πολλοὶ δ' ἀργιόδοντες ὕες θαλέθοντες ἀλοιφῆι
εὑόμενοι τανύοντο διὰ φλογὸς Ἡφαίστοιο·
πάντηι δ' ἀμφὶ νέκυν κοτυλήρυτον ἔρρεεν αἷμα.
35 αὐτὰρ τόν γε ἄνακτα, ποδώκεα Πηλείωνα,
εἰς Ἀγαμέμνονα δῖον ἄγον βασιλῆες Ἀχαιῶν,
σπουδῆι παρπεπιθόντες ἑταίρου χωόμενον κῆρ.
οἳ δ' ὅτε δὴ κλισίην Ἀγαμέμνονος ἷξον ἰόντες,

15 Macr. Sat. 5.10.10; **15a** Epm. δ 71 **19a** ib. τ 74 **20** (–τελ.) Choer. in Thd. ii.168.16 **21** (ὠμὰ δ.) Philod. De ira viii 17 **24–5** Plut. Mor. 19c; **25** (ταν.) H. τ 155 **26** (ἀφωπλ.) ApS 49.12; Phot. Lex. α 3416 **30–3** Eudoc. 556–9; **30** (–ὀρ.) ApS 122.27; sch A.R. 1.275a; EtG s.v. ἐρέχθων; **30b** sch A.R. 2.49; (ὀρ.) H. (Cyr.) ο 1172; **33** H. τ 147 **34** Ath. 478e; (κοτ. αἷμα) ApS 103.21; (κοτ.) H. (Cyr.) κ 3817; Orio 80.κ 19; Phot. Lex. κ 1022 **37a** EtG s.v. πεπίθοιεν; Epm. A 101 (ter); (παρπ.) ApS 128.28; H. π 1004

17 ἁδινοῦ B^{a} E T W^{s}: α- A Y, ἀ- Ω* **18** ἀνδροφόνους Ar Ω: -ου nov. Did **21–3** del. Payne Knight; cf. 180–3, Σ 336–7 **21** δώσειν 13 Ω* O^{γρ}: -σω Y O δάσασθαι 13 451 t sch^{bT} Ω: -εσθαι "ἔδει" sch^{T} **22** ἀποδειροτομήσειν 13 Z (-δηρ-) Ω*: -σω (ex Σ 336) F^{a} Y W **26** κονίηισ' B E F R G ἀφωπλίζοντο 257 tt Ω*: ἀποπλ- Z: ἀφόπλιζον T^{a}, -ώπλ- T^{c} ἕκαστος 257 A D C: -οι A^{γρ} Ω*.—cf. ad 3, 55 **27** λύον δ' ὑψηχέας 257 h142 sch^{D} Z Ω* (-ήχεας C E G, cf. ad E 772): λύοντο δὲ μώνυχας A^{γρ} D^{2γρ} T Y R W **28** ἷζον E R W: ἵ- Ω*, ἵ- D **30**(–1?) ath. quidam ap. sch^{T} propter ferri mentionem ἀργοὶ 13 257$^{?}$ tt* sch^{bTD} Ω*: -γῶι agn. sch^{T}: om. ApS sch-A.R., D ὀρέχθεον 13 257 tt* sch^{bT} Z Ω: ἐρ- EtG: ὀρέχθοντ' Eudoc. **31** πολλοὶ 13 257 t^{cod} Ω: -αὶ Düntzer **37** παρπεπιθόντες Hdn 451$^{?}$ A R^{a}: proparox. Z Ω* **38** ἷξον Ω*: ἵ- A B^{c} C Y G: ϊ- 1514: ἵζον D

αὐτίκα κηρύκεσσι λιγυφθόγγοισι κέλευσαν
40 ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, εἰ πεπίθοιεν
Πηλείδην λούσασθαι ἄπο βρότον αἱματόεντα.
αὐτὰρ ὃ ἠρνεῖτο στερεῶς, ἐπὶ δ' ὅρκον ὄμοσσεν·
"οὐ μὰ Ζῆν', ὅς τίς τε θεῶν ὕπατος καὶ ἄριστος,
οὐ θέμις ἐστὶ λοετρὰ καρήατος ἄσσον ἱκέσθαι,
45 πρίν γ' ἐνὶ Πάτροκλον θέμεναι πυρὶ σῆμά τε χεῦαι
κείρασθαί τε κόμην, ἐπεὶ οὔ μ' ἔτι δεύτερον ὧδε
ἵξετ' ἄχος κραδίην, ὄφρα ζωοῖσι μετείω.
ἀλλ' ἤτοι νῦν μὲν στυγερῆι πειθώμεθα δαιτί,
ἠῶθεν δ' ὄτρυνε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
50 ὕλην τ' ἀξέμεναι παρά τε σχεῖν ὅσσ' ἐπιεικές
νεκρὸν ἔχοντα νέεσθαι ὑπὸ ζόφον ἠερόεντα,
ὄφρ' ἤτοι τοῦτον μὲν ἐπιφλέγηι ἀκάματον πῦρ
θᾶσσον ἀπ' ὀφθαλμῶν, λαοὶ δ' ἐπὶ ἔργα τράπωνται."
ὣς ἔφαθ'· οἳ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο.
55 ἐσσυμένως δ' ἄρα δόρπον ἐφοπλίσσαντες ἕκαστοι
δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
οἳ μὲν κακκείοντες ἔβαν κλισίηνδε ἕκαστος,
Πηλείδης δ' ἐπὶ θινὶ πολυφλοίσβοιο θαλάσσης
60 κεῖτο βαρὺ στενάχων πολέσιν μετὰ Μυρμιδόνεσσιν
ἐν καθαρῶι, ὅθι κύματ' ἐπ' ἠϊόνος κλύζεσκον.

42 Eudoc. 1791 **50** (ἀξέμ.) H. α 5613; **50b** sch Ψ 139b **55–6** Eudoc. 1218–19 **58** ead. 1222; Choer. in Ps. 100.23 **61** Matro Supp. Hell. 534.20 (parod.); Eudoc. 1223

39 κέλευσαν Ar Ω*: -ευσεν (nov. Did) D F^{a} Y G (= B 50, 442): -ευεν R^{a} **41** ἄπο 13 451 A T R W: ἀπὸ vel ἄπο 257 Ω* **42** ὃ 13 451 D Y V: ὅ γ' t Ω*.—cf. ad N 399 στε–ρεῶς 13 257 (-ρε- ex -ρα-) 451 h142 t Ω: στυγερῶς *b* V (cf. 48) **43** οὒ A G, οὔ Z T^{λ} Ω*, οὖ Y τίς τε 13 451 Ω:]ṭε 257: τ' ἐστὶ Grashof (cl. Hymn. Ven. 37): πέρ τε Hermann (Soph. Oed. R. xiv) **44** ἄσσον A D Y G: ἆ- Ω* **45** χεῦαι Z Ω*: -σαι C R **46** μ' ἔτι 13 257 Z Ω: τι με A^{γρ} r **48** ἤτοι 13 451 Ω*: άγε δὴ D νῦν μὲν Ar 13 451 Ω: μὲν νῦν (nov. Did?) rr πειθώμεθα Ar 13^{a} 257 Ω: τερπώ- (nov. Did) 13^{2}: περ ταρπώ- V (cf. 98) **50** σχεῖν 13 t T^{λ} Ω: σχέμεν Payne Knight (cf. T 147) ὅσσ' sch^{hyp}, ὅσ' D: ὡς 13 t sch^{bTD} Ω*.—cf. ad Ω 595 **51** damn. Heyne **53** θάσσον Y: θᾶ- Ω* **54** ἠδὲ πίθοντο Y R N^{γρ} **55** ἐφοπλίσ(σ)αντες t T^{λ} Ω*: -ίσαντο D, -ίσσαντο Bentley (omisso 56) ἕκαστοι t Ω: -ος rr.—cf. ad 3, 26 **56** οὐδέ τι 451 Ω*: οὐδ' ἔτι A G **58** κακκείοντες 9 451 tt Ω: δὴ κεί- sch^{hyp}.—cf. ad A 606 κλισίηνδε 9 (δέ) 13 Ω* (δὲ A E R): οἶκονδε D Y (ex A 606) **61** ὅθι δὴ 9 D ἐπ' 9 tt Ω*: ἀπ' 13 Z R^{a} ἠϊόνος 9 13 tt Z Ω*: -νας 13^{s} A H: -να W κλύζεσκον Ar^{a} 9 T^{λ} Ω*: -εν Ar^{b}(?) tt Z A^{s} *b* F W: ἐπέκλυζον quidam ap. sch^{T}

εὖτε τὸν ὕπνος ἔμαρπτε, λύων μελεδήματα θυμοῦ,
νήδυμος ἀμφιχυθείς—μάλα γὰρ κάμε φαίδιμα γυῖα
Ἕκτορ' ἐπαΐσσων προτὶ Ἴλιον ἠνεμόεσσαν—
65 ἦλθε δ' ἔπι ψυχὴ Πατροκλῆος δειλοῖο,
πάντ' αὐτῶι μέγεθός τε καὶ ὄμματα κάλ' εἰκυῖα
καὶ φωνήν, καὶ τοῖα περὶ χροῒ εἵματα ἕστο.
στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς καί μιν πρὸς μῦθον ἔειπεν·
"εὕδεις, αὐτὰρ ἐμεῖο λελασμένος ἔπλε', Ἀχιλλεῦ·
70 οὐ μέν μεο ζώοντος ἀκήδεις, ἀλλὰ θανόντος.
θάπτε με ὅττι τάχιστα, πύλας Ἀΐδαο περήσω·
τῆλε μ' ἐέργουσι ψυχαί, εἴδωλα καμόντων,
οὐδέ μέ πω μίσγεσθαι ὑπὲρ ποταμοῖο ἐῶσιν,
ἀλλ' αὔτως ἀλάλημαι ἀν' εὐρυπυλὲς Ἄϊδος δῶ.
75 καί μοι δὸς τὴν χεῖρ', ὀλοφύρομαι· οὐ γὰρ ἔτ' αὖτις
νίσομαι ἐξ Ἀΐδαο, ἐπήν με πυρὸς λελάχητε.
οὐ μὲν γὰρ ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων
βουλὰς ἑζόμενοι βουλεύσομεν, ἀλλ' ἐμὲ μὲν κήρ
ἀμφέχανε στυγερή, ἥ περ λάχε γεινόμενόν περ.
80 καὶ δὲ σοὶ αὐτῶι μοῖρα, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
τείχει ὕπο Τρώων εὐηφενέων ἀπολέσθαι.

62 (μελεδ.) ApS 110.33; H. (Cyr.) μ 668; Orio 105.23; Phot. Lex. μ 227 **65–7, 71–6** Porph. fr. 377–8 (pp.456 sq. Sm.); **65** [Plut.] Hom. 2.122.3; sch Heph. 265.8; **66–7** Charito 2.9.6; Orig. c.Cels. 2.61; **67** (τοῖα) H. τ 1054; (ἕστο) id. ε 6413; **71** Charito 4.1.3; Theophil. ad Autol. 2.38; **71a** sch T 228a; **72** [Plut.] Hom. 2.122.3; (–ψ.) sch β 183; (εἴδ. καμ.) Epm. α 313 (e Methodio); **74** Porph. Il. 333.13 Schr.; EtG α 402; (ἀλάλ.) H. α 2748; (εὐρυπ.) Hdn ad N 391a[1]; H. ε 7150; **75** (–ἔτ') Eudoc. 829 **77–91** Aeschin. 1.149; **77–8** (–βουλεύσ.) Plut. Mor. 94f; **78** (ἑζ.) H. (Cyr.) ε 607; (ἀλλ'–)–**79** Chrysipp. (SVF ii.266.39) ap. Diogenian. ap. Eus. P.E. 6.8.1; **79** (ἀμφέχ.) H. α 3930; **79b** sch Υ 127; **80–1** Porph. Il. 105.1 Schr.; **81** sch Z 518a; (εὐηγ.) ApS 78.28; H. ε 6821, 6858; **83–4** Luc. Dial.

64 προτὶ 9 13 258 Ω: ποτὶ *h*: περι 451.—cf. ad B 801 **65** ἔπι Heyne: ἐπὶ 9 Ω Πατροκλεῖος Y **69** de interpunctione cf. ad B 23 ἔπλε' Payne Knight: -ευ 9 13 258 Z T[A] Ω **70** μεο dedi: μευ 9 13 258 1515 B[c] Ω*: με *b* **71** θάπτέ A T Y R W G **72** τῆλ' ἐμὲ O (contra Hdn) μ' ἐέργουσι Bentley: με εἴργ- 9 13 (-σιν) 258 1515 tt Ω (εἴ- G).—cf. Wack. Unt. 7 **73** ποταμοῖο ἐῶσιν 9 13 258 t Ω: -μοῦ εἰῶσιν Bentley, ἐόωσιν Nauck **74** fort. additicius ἀν' 9 13 258 tt Ω*: ὑπ' D **76** νίσομαι t Ω*: νείσ- 258 1515 R W: νείσσ- 9 Y, nov. Eust.: νείομαι 13 Z sch[hyp] F[c] (-ομ') ἐπήν 9 13 258 Ω*: ἐπεί W **77** μὲν γὰρ 9 13 258 1515 Plut. Ω: γὰρ ἔτι (cf. 75) "ἔν τισι τῶν πολιτικῶν" tt* **79** γεινόμενόν 9 13 tt Ω **81** τείχει 9 1515 tt Ω*: -χη D G ὕπο Barnes: ὑπὸ 9 Ω εὐηφενέων Rhi Arph (cf. Ep. adesp. 4.13 Pow.; Rengakos 141): εὐηγ- (cf. Λ 427) Ar 9 258 tt* sch[D] Ω: utrumque Hsch. **81*a*** μαρνάμενον δηίοις Ἑλένης ἕνεκ' ἠϋκόμοιο add. Aeschin.: deest in 9 23 257 Ω

ἄλλο δέ τοι ἐρέω καὶ ἐφήσομαι, αἴ κε πίθηαι·
μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ', Ἀχιλλεῦ,
ἀλλ' ὁμοῦ, ὡς τράφομέν περ ἐν ὑμετέροισι δόμοισιν,
85 εὖτέ με τυτθὸν ἐόντα Μενοίτιος ἐξ Ὀπόεντος
ἤγαγεν ὑμέτερόνδ' ἀνδροκτασίης ὕπο λυγρῆς
ἤματι τῶι, ὅτε παῖδα κατέκτανον Ἀμφιδάμαντος
νήπιος, οὐκ ἐθέλων, ἀμφ' ἀστραγάλοισι χολωθείς.
ἔνθά με δεξάμενος ἐν δώμασιν ἱππότα Πηλεύς
90 ἔτρεφέ τ' ἐνδυκέως καὶ σὸν θεράποντ' ὀνόμηνεν·
ὣς δὲ καὶ ὀστέα νῶϊν ὁμὴ σορὸς ἀμφικαλύπτοι
{χρύσεος ἀμφιφορεύς, τόν τοι πόρε πότνια μήτηρ}."
τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
"τίπτε μοι, ἠθείη κεφαλή, δεῦρ' εἰλήλουθας
95 καί μοι ταῦτα ἕκαστ' ἐπιτέλλεαι; αὐτὰρ ἐγώ τοι
πάντα μάλ' ἐκτελέω καὶ πείσομαι, ὡς σὺ κελεύεις.
ἀλλά μοι ἆσσον στῆθι, μίνυνθά περ ἀμφιβαλόντε
ἀλλήλους ὀλοοῖο τεταρπώμεσθα γόοιο."
ὣς ἄρα φωνήσας ὠρέξατο χερσὶ φίλῃσιν,
100 οὐδ' ἔλαβε· ψυχὴ δὲ κατὰ χθονὸς ἠΰτε καπνός

33.47; Phot. Lex. s.v. ὁμοῦ; **84** sch Pl. Phd. 72c; (ὁμοῦ–) Epm. α 153; **88** Ael. Dion. α 190; 88b ApS 45.2; sch τ 28; **89** (με δεξ. Π.)–90 Luc. Dial. 33.47; 90a EtG s.v. ἐνδυκέως; (ἐνδ.) H. (Cyr.) ε 2831; **91** ApS 143.22; (νῶϊν ὁμή) H. (Cyr.) ο 709; (ὁμή) id. ο 696; (σορός) H. σ 1346; Phot. Lex. s.v. **94** (ἠθ.) H. η 222 **96** Eudoc. 192 100 (ψ.–)–1a Pl. Resp.

82 καὶ ἐφήσομαι αἴ κε πίθηαι 9 23 258 Z Ω: σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν Aeschin. **83*ab*** ἀλλ' ἵνα πέρ σε καὶ αὐτὸν ὁμοίη γαῖα κεκεύθοι [ita Sauppe pro -θη] | χρυσέωι ἐν ἀμφιφορεῖ, τόν τοι πόρε πότνια μήτηρ (cf. 92) add. Aeschin.: desunt in 9 23 257 t* Ω **84** ἀλλ' ὁμοῦ ὡς τράφομέν περ La Roche post Buttmann: ἀλλ' ὁμοῦ ὡς ἐτράφημεν 9 Phot. A^γρ *b* F G: ἀλλ' ὁμοῦ ὡς ἐτράφην περ tt* (περ om. sch-Pl.) Ω* sch^hyp: (ἀλλ' ὁμοῦ ὡς) ετραφ[23, ε[τ]ρ̣[258: αλ̣λ̣[257: ὡς ὁμοῦ ἐτράφεμέν περ Aeschin. (-φομέν περ Scaliger) **86** ὑπὸ λυγρῆς 9 t Z Ω* G^s (ὕπο Wolf): ἀλεγεινῆς G **88** νήπιος 9 tt Ω*: -ον 23 D W ἀστραγάλοισι χολωθείς 9 tt Ω: -λῃσιν ἐρίσσας "αἱ πλείους τῶν κατ' ἄνδρα", prob. Did cl. Anacr. PMG 398 **89** ἔνθά sic Ω praeter D Y, ενθ]ά 23 **90** ἔτρεφέ τ' tt* A^m Ω*, ἐτρέφετ' T: ἔτρεφεν Luc. O: ἔτρεφ' *b*: ετρεφ[257: ἔτραφέ τ' 9 A, ἐτράφετ' W:]φέ τ' 23 **91** ὣς B^c? F T Y: ὡς 9 (tt) Z Ω*: ος 257 ἀμφικαλύπτοι 9 tt Ω*: -πτει Y O: -πτηι̣ 12: -ψει V **92** deest in 12, "ἐν πάσαις οὐκ ἦν" Did: ath. Ar (cf. 83*b*; ω 73–7): hab. 9 257 511 h142 Ω **93*a*** [ηδυ μαλα κνωσσων ε]ν ονειρειηισι πυληισιν (cf. δ 808) add. 12 **94** τίπτέ Ω praeter D ἠθείη Ar t Ω: ὦ θείη Chamaeleo **95** duos versus hic habuit 12 ἐπιτέλλεαι 9 Ω: -εο 258 **96** σὺ 9 t Ω (cf. Φ 223, al.): με A^γρ *b* O (cf. λ 507) post hunc fort. duobus versibus abundavit 12 **97** ἆσσον A D Y: ἀ- Ω* ἀμφιβαλόντε 9 A D R W: -ες T^λ Ω* **98** ὀλοοῖο (= 10) 9 511 Ω: κρυεροῖο (= λ 212) A^γρ **100** ἔλαβε 9 Ω: -ε]ν̣ 511, -εν O

ᾤχετο τετριγυῖα. ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεύς
χερσί τε συμπλατάγησεν, ἔπος τ' ὀλοφυδνὸν ἔειπεν·
"ὢ πόποι, ἦ ῥά τίς ἐστι καὶ εἰν Ἀΐδαο δόμοισιν
ψυχὴ καὶ εἴδωλον, ἀτὰρ φρένες οὐκ ἔνι πάμπαν·
105 παννυχίη γάρ μοι Πατροκλῆος δειλοῖο
ψυχὴ ἐφεστήκει γοόωσά τε μυρομένη τε,
καί μοι ἕκαστ' ἐπέτελλεν· ἔϊκτο δὲ θέσκελον αὐτῶι."
ὣς φάτο· τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο.
μυρομένοισι δὲ τοῖσι φάνη ῥοδοδάκτυλος Ἠώς
110 ἀμφὶ νέκυν ἐλεεινόν. ἀτὰρ κρείων Ἀγαμέμνων
οὐρῆάς τ' ὤτρυνε καὶ ἀνέρας ἀξέμεν ὕλην
πάντοθεν ἐκ κλισιῶν· ἐπὶ δ' ἀνὴρ ἐσθλὸς ὀρώρει,
Μηριόνης, θεράπων ἀγαπήνορος Ἰδομενῆος.
οἳ δ' ἴσαν ὑλοτόμους πελέκεας ἐν χερσὶν ἔχοντες
115 σειράς τ' εὐπλέκτους· πρὸ δ' ἄρ' οὐρῆες κίον αὐτῶν,
πολλὰ δ' ἄναντα κάταντα πάραντά τε δόχμιά τ' ἦλθον.
ἀλλ' ὅτε δὴ κνημοὺς προσέβαν πολυπίδακος Ἴδης,

387a; Philod. Poem. 2 fr. 2.14 (p.119 Sb.); [Plut.] Hom. 2.127.1; (ψ. δ' ἠΰτε κ.)–101a Porph. fr. 378 (p.458 Sm.); 101a + 100b Olymp. in Phd. 57.24; 101 (τετρ.) H. τ 651; Phot. Lex. s.v.; 101b–2 Sext. Math. 7.404; 102 sch Theoc. 11.57b; 102a Epm. σ 19; (συμπλ.) ApS 146.15 103–4 Pl. Resp. 386d; 103 (ἦ ῥα–) Isid. Pelus. Epist. 4.125 (PG 78.1200c); 104 sch X 59d 105–6a sch K 1–2, cf. 2a; 105 (πανν.) H. π 364; 105b Polyb. Sard. Fig. iii.105.20 Sp.; 106 w35 fr. 1.4 (lacerum) 107 Eudoc. 403; 107a sch Ψ 82; 107b Arn ad Π 41a; (ἔϊκτο) ApS 63.29; (θέσκ.) H. θ 206 108 Arist. Rh. 1370b28; Chrysipp. (SVF iii.119.8) ap. Gal. De plac. Hipp. et Plat. 4.7.31; (τοῖσι–) Eudoc. 2070 109 [Plut.] Cons. Apoll. 114e 113 ApS 4.4 114 Macr. Sat. 5.7.9 116 ApS 60.4; 116a Matro Supp. Hell. 534.46 (parod.); Demetr. Eloc. 219; (ἄν. κάτ. πάρ.) EtG α 1558; (ἄν. κάτ.) cf. Luc. Dial. 36.26; (ἄν.) H. (Cyr.) α 4464; Phot. Lex. α 1566/8; (κάτ.) cf. sch Theoc. 1.13a; H. (Cyr.) κ 1294; (πάρ.) H. π 603

102 συμπλατάγησεν 9 511 (συ]ν-) tt Ω*: συμπατ- Z C *h* R G τ' 9 Sext. D: δ' t* T[λ] Ω* ὀλοφυρμὸν Z 103 ὢ A D F[a] Y[?]: ὣ Ω* τις 9 1516 t* Ω*: τι 511 Isid. Y *h*, quod sunt qui credant Propertium legisse (4.7.1 *sunt aliquid manes*): τοι V 104 ath. Arph u.v. (ἐνσέσεισται οὖν ἐκ τῆς Ὀδυσσείας ὁ στίχος· ἐκεῖ γὰρ τὰς ψυχὰς εἴδωλα σκιώδη φρονήσεως ἀμέτοχα ὑπέθετο), def. Ar οὐκ ἔνι πάμπαν 9 tt Ω: οὐκ ἔνι πᾶσαι sch[Tγρ]: puta ἔμπεδοί εἰσιν primitus scriptum esse (cf. κ 493), si versum non vis delere 106 ἐφεστήκει Ar t* A T R: ἐφειστ- (nov. Did) 1516 w35 Ω*: εφ' ιστ- 9: ἐφέστηκε D: εφηστίκη Y γοόωσα 9 Ω: γοάουσα N[γρ].—cf. ad B 648, Z 415, X 476 109 φάνη ῥοδοδάκτυλος ἠώς 9 1515 Ω: μέλας ἐπὶ ἕσπερος ἦλθε t (ex α 423) 111 τ' 9 T[λ] Ω: om. "πολλὰ τῶν ἀντιγράφων" ὤτρυνε 9 Ω: ὄ- rr 112 κλισιῶν 9 *b* F[c] T: -σιέων D Y W G: -σιάων R: -σέων A F[a] 114 πελέκεας t Ω: -κυς Christ 117 κνημοὺς 12 Z Ω*: κρημνοὺς F[a] G[γρ].—cf. ad Φ 559 πολυπίδακος Ar 9 Ω*: -δάκου (nov. Did) D T.—cf. ad Ξ 157

αὐτίκ' ἄρα δρῦς ὑψικόμους ταναήκεϊ χαλκῶι
τάμνον ἐπειγόμενοι· ταὶ δὲ μεγάλα κτυπέουσαι
120 πῖπτον. τὰς μὲν ἔπειτα διαπλήσσοντες Ἀχαιοί
ἔκδεον ἡμιόνων· ταὶ δὲ χθόνα ποσσὶ δατέοντο,
ἐλδόμεναι πεδίοιο διὰ ῥωπήϊα πυκνά.
πάντες δ' ὑλοτόμοι φιτροὺς φέρον· ὣς γὰρ ἀνώγει
ὀτρηρὸς θεράπων ἀγαπήνορος Ἰδομενῆος·
125 κὰδ δ' ἄρ' ἐπ' ἀκτῆς βάλλον ἐπισχερώ, ἔνθ' ἄρ' Ἀχιλλεύς
φράσσατο Πατρόκλωι μέγα ἠρίον ἠδὲ οἷ αὐτῶι.
αὐτὰρ ἐπεὶ πάντηι παρακάββαλον ἄσπετον ὕλην,
εἵατ' ἄρ' αὖθι μένοντες ἀολλέες. αὐτὰρ Ἀχιλλεύς
αὐτίκα Μυρμιδόνεσσι φιλοπτολέμοισι κέλευσεν
130 χαλκὸν ζώνυσθαι ζεῦξαί θ' ὑπ' ὄχεσφιν ἕκαστον
ἵππους. οἱ δ' ὤρνυντο καὶ ἐν τεύχεσσιν ἔδυνον,
ἂν δ' ἔβαν ἐν δίφροισι παραιβάται ἡνίοχοί τε,
πρόσθε μὲν ἱππῆες, μετὰ δὲ νέφος εἵπετο πεζῶν,
μυρίοι· ἐν δὲ μέσοισι φέρον Πάτροκλον ἑταῖροι.
135 θριξὶ δὲ πάντα νέκυν καταείνυον, ἃς ἐπέβαλλον
κειρόμενοι· ὄπιθεν δὲ κάρη ἔχε δῖος Ἀχιλλεύς,

119b–20 (πῖπτον) 'Hdn.' Fig. 58; **120** (τὰς–) Did ad θ 507; (διαπλ.) ApS 58.18; H. δ 1226 **121** (ταὶ δὲ χθ.) id. τ 30; (ποσσὶ δ.) id. δ 312, π 3100 **122** (ἐλδ.) id. η 329; **122b** H. (Cyr.) δ 1302 **126** (–ἠρ.) ApS 84.30; (ἠρ.) sch O 188; H. (Cyr.) ο 794; Orio 70.23 **132a** EtG s.v. δίφρος; **132b** Porph. Hom. 3.15 Sod.; (παραιβ.) H. π 512 **133** (νέφ. πεζ.) Arn ad Ψ 134 **135** (–κατα.) Arn ad Θ 58a; Did ad ξ 522; ApS 97.4; (πάντα ν. κατα.) Arn ad Υ 387; (κατα.) H. κ 1090; EtG s.v.

119 τάμνον 9 Ω: τε- 12 ἐπειγόμενοι 12^{2s} Ω: αμειβ- 12 **120** πῖπτον A W G^{a} διαπλήσσοντες Ar^{ab} tt Z Ω: -πλίσσ- (nov. Did ApS) 9: -τμήγ- N^{γρ} (cf. ad Λ 146): -ρρήσσ- nov. Eust. **121** ταὶ 12 t Ω: τọι 12^{s} δατέοντο dedi: -εῦντο 9 12 h142 tt Z Ω **122** ἐλδόμεναι 12^{s}? Ω*, ἠλδ- t: ελκό- D^{r}: ịẹ[μεν]ạị 12^{t} πεδίοιο Ω: -ονδε 12.—cf. ad Φ 247 **123** πάντες 9 12 Ω: π̣ọλ̣λ̣ọι̣ 12^{s} ὑλοτόμοι 9 Ω: ωμοισιν 12 (prob. Wilamowitz Il. u. H. 111 n.1) γὰρ 9 12 Ω: π]ε(ρ) 12^{s} ἀνώγει 9 12^{s} Ω: ανωγεν 12^{t} **124** οτρ]η[[τ]]ρος 12: Μηριόνης (= 113) 9 Ω **125** ἐπισχερὼ fere Z Ω (ἐπὶ C F^{a} T^{a} W, -ρῶ Z B^{a} F T^{λ} Y R): -ρωι 9 12.—cf. ad Λ 668, Σ 68 **126** οἷ A *b* F^{c} T: οἱ 9 T^{λ} Ω*, ο[ι] 258: και 12 **128–9** ut supra 9 258 Ω (κέλευε *b* F^{a} Y R, μετηῦδα W): ạụτ̣[αρ Α]χ̣αιοις (ss. ιλλευς m^{2}) | κεκλετο .[(litt. c. xx)]ς̣ τε μετελθ̣ω̣ν 12 **130** χαλκὸν 9 258 Ω*: -ῷ W ζώνυσθαι N: ζώνν- 9 258 Z Ω.—cf. Praef. xxxi θ' 9 Ω*: δ' A^{s} D F Y huius versus nihil superest in 12 praeter]ạṿου[ca. pedem quartum vel quintum, quae subter (**130*a***)]δ̣ιζ[**131** ὤρνυντο 9 258 Ω: ὄρν- *h* 12 ita: [litt. c. xxvii]τ̣ε[.].[.]εντ̣[, ss.]ạ̣ς̣εκελ̣[(ἔντ[ε' ἔδυνον Grenfell–Hunt; in ss. ἐποτρύν]ας ἐκέλ[ευσεν S. West) **132** ἐν δίφροισι 9 258 t Ω (ἀν D): ες διφρου[ς 12 **134** ἑταῖροι 9 12 Ω: -ον 258 Y O **135** καταείνυον Hdn (-εΐ-) 9 tt Ω* (-εΐ- A T^{λ}), cf. Wack. Unt. 17; Chantr. I 473: -είνυσαν Ar Z V: κατα[ει]νυ[258: -είλυον "ἔν τισι" (Did) R^{a} H^{s} **136** ἔχε 9 258 Ω*: σχέθε T W **136*a*** [αμφο–

ἀχνύμενος, ἕταρον γὰρ ἀμύμονα πέμπ' Ἄϊδόσδε.
οἳ δ' ὅτε χῶρον ἵκανον, ὅθί σφισι πέφραδ' Ἀχιλλεύς,
κάτθεσαν· αἶψα δέ οἱ μενοεικέα νήεον ὕλην.
140 ἔνθ' αὖτ' ἄλλ' ἐνόησε ποδάρκης δῖος Ἀχιλλεύς·
στὰς ἀπάνευθε πυρῆς ξανθὴν ἀπεκείρατο χαίτην,
τήν ῥα Σπερχειῶι ποταμῶι τρέφε τηλεθόωσαν,
ὀχθήσας δ' ἄρα εἶπεν ἰδὼν ἐπὶ οἴνοπα πόντον·
"Σπερχεί', ἄλλως σοί γε πατὴρ ἠρήσατο Πηλεύς,
145 κεῖσέ με νοστήσαντα φίλην ἐς πατρίδα γαῖαν
σοί τε κόμην κερέειν ῥέξειν θ' ἱερὴν ἑκατόμβην,
πεντήκοντα δ' ἔνορχα παρ' αὐτόθι μῆλ' ἱερεύσειν
ἐς πηγάς, ὅθι τοι τέμενος βωμός τε θυήεις.
ὣς ἠρᾶθ' ὁ γέρων, σὺ δέ οἱ νόον οὐκ ἐτέλεσσας.
150 νῦν δ', ἐπεὶ οὐ νέομαί γε φίλην ἐς πατρίδα γαῖαν,
Πατρόκλωι ἥρωϊ κόμην ὀπάσαιμι φέρεσθαι."
ὣς εἰπὼν ἐν χερσὶ κόμην ἑτάροιο φίλοιο
θῆκεν· τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο.
καί νύ κ' ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο,
155 εἰ μὴ Ἀχιλλεὺς αἶψ' Ἀγαμέμνονα εἶπε παραστάς·
"Ἀτρείδη (σοὶ γάρ τε μάλιστά γε λαὸς Ἀχαιῶν
πείσονται μύθοισι), γόοιο μέν ἐστι καὶ ἆσαι,
νῦν δ' ἀπὸ πυρκαϊῆς σκέδασον καὶ δεῖπνον ἄνωχθι
ὅπλεσθαι. τάδε δ' ἀμφὶ πονησόμεθ', οἷσι μάλιστα

138b Hdn ad Z 367b **139** (νή.–) H. (Cyr.) ν 453; Phot. Lex. s.v. **142** (τηλεθ.) H. (Cyr.) τ 761 **144** sch Hes. Th. 347b; sch Pind. Pyth. 4.145; sch Ar. Ach. 114a **146**a sch I 410–16 **147** EtG s.v. ἔνορχα; (–αὐτ.) sch Theoc. 3.4b; (ἔν.) H. (Cyr.) ε 3253 **151** Pl. Resp. 391b **154** (–φάος) sch Ψ 158 **155** (εἰ μὴ Ἀχ.) sch^{h} Φ 223 **158** (–σκέδ.) sch Ψ 157b

τερηισι δε χερσι κομην ηισχυν]ẹ δ̣αιζων add. 12 (suppl. Blass; [σκαιηι δεξιτερηι δε ... dubitanter S. West) **137** Ἄϊδόσδε (vel -ος δέ) Ar Hdn 12 258 Ω: -ος δῶ (nov. Did) 9 H (ex 74?).—cf. ad H 363 **138** ἵκανον 9 258 311 A^{γρ} Ω*: ἵκοντο A H.—cf. ad Θ 60, Φ 522 ὅθί σφισι sic t (disertim) A D B E W: ὅθι σφίσι Ω* **141** ξανθὴν 9 258 Ω*: καλὴν C **143** εἶπεν ἰδὼν ἐπὶ οἴνοπα πόντον 9 258 sch^{bT} Ω: εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν V rr **145** κεῖσέ με 311 Ω: κεῖσ' ἐμὲ N^{γρ} **147** παρ' αὐτόθι 9 tt Ω*: -όφι T R W: παραυτίκα A^{γρ} D.—cf. ad M 302 **155** Ἀγαμέμνονα Ar W V (cf. Leaf ad M 60): -νι 9 Ω* ει μ[η tantum 12, deinceps **155*a*** κλα̣[(ss. εσ[)] Ατρε̣ι̣[δην Αγαμεμ]ν̣ο̣να ω̣ς π̣ρ̣ο̣σ̣ε̣ε̣[ιπεν; v. S. West Ptol. Pap. 178 **156** γάρ 9 Ä T̈ R (cf. Ω 334): μέν 12 A^{m} Ω* **157** ἐστι καὶ ἆσαι 9 sch^{bT} Ω: οττι ταχιστα 12 **158** νῦν δ' ἀπὸ πυρκαϊῆς (-ὴν C) σκέδασον 9 t Ω: ....]τ̣.ι̣[..]ας (π]υ̣ρ̣κ̣[αι]ας?) ιεναι κα[ι 12 **159** ὅπλεσθαι Ω (ὅ- D), ὁπλ- Z, οπλ- 9: -έσθαι *h*: -εῦσθαι rr: -εῖσθαι Fick.—cf. ad T 172

160 κήδεός ἐστι νέκυς· παρὰ δ' οἵ τ' ἀγοὶ ἄμμι μενόντων."
αὐτὰρ ἐπεὶ τό γ' ἄκουσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
αὐτίκα λαὸν μὲν σκέδασεν κατὰ νῆας ἐΐσας,
κηδεμόνες δὲ παρ' αὖθι μένον καὶ νήεον ὕλην,
ποίησαν δὲ πυρὴν ἑκατόμπεδον ἔνθα καὶ ἔνθα·
165 ἐν δὲ πυρῆι ὑπάτηι νεκρὸν θέσαν ἀχνύμενοι κῆρ.
πολλὰ δὲ ἴφια μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς
πρόσθε πυρῆς ἔδερόν τε καὶ ἄμφεπον· ἐκ δ' ἄρα πάντων
δημὸν ἑλὼν ἐκάλυψε νέκυν μεγάθυμος Ἀχιλλεύς
ἐς πόδας ἐκ κεφαλῆς, περὶ δὲ δρατὰ σώματα νήει.
170 ἐν δ' ἐτίθει μέλιτος καὶ ἀλείφατος ἀμφιφορῆας,
πρὸς λέχεα κλίνων· πίσυρας δ' ἐριαύχενας ἵππους
ἐσσυμένως ἐνέβαλλε πυρῆι, μεγάλα στοναχίζων.
ἐννέα τῶι γε ἄνακτι τραπεζῆες κύνες ἦσαν·
καὶ μὲν τῶν ἐνέβαλλε πυρῆι δύο δειροτομήσας,
175 δώδεκα δὲ Τρώων μεγαθύμων υἱέας ἐσθλούς
χαλκῶι δηϊόων· κακὰ δὲ φρεσὶ μήδετο ἔργα.
ἐν δὲ πυρὸς μένος ἧκε σιδήρεον, ὄφρα νέμοιτο.
ὤιμωξέν τ' ἄρ' ἔπειτα φίλον τ' ὀνόμηνεν ἑταῖρον·
"χαῖρέ μοι, ὦ Πάτροκλε, καὶ εἰν Ἀΐδαο δόμοισιν·
180 πάντα γὰρ ἤδη τοι τετελεσμένα, ὥς περ ὑπέστην.

160a ApS 98.33; (κήδ.) H. κ 2461; **160**b sch Ar. Eq. 159; (ταγοί) H. τ 21 **163** (κηδεμ.) id. κ 2460 **164** Macr. Sat. 5.7.9; Nonn. D. 37.44; (ἑκατ.) H. (Cyr.) ε 1276 **165** (–θέσαν) Did ad H 428a[1]; **165**a ApS 157.33 **169**b sch Ar. Pac. 1039c; (δρατά) H. δ 2347; (νήει) id. ν 448 **170** Nonn. D. 37.50; (ἀμφιφ.) H. (Cyr.) α 4139 **171**b Gal. De diff. puls. 4 (viii.715 K.) **175** [Plut.] Hom. 2.145.9 **176**b ib. 190.4

160 κήδεός quidam ante Hdn Ω*: oxyt. Hdn A^{c} A^{m} *b* F^{c} T$^{\lambda}$ R^{c}: parox. A^{a} T$^{\lambda}$ (alterum) Y παρὰ δ' οἵ τ' ἀγοὶ DThr Z (πάρα) A$^{\lambda}$ *b* F T^{a} R^{a} (prob. Wack. Unt. 222): παρὰ δ' οἱ ταγοὶ Ar "καὶ σχεδὸν ἅπαντες" Hdn tt Ω*: alterutrum 9: περι δ ανε̣[ρες(?) 12, quae deinceps **160*a*** [οσσοι κηδ]ε̣μ̣ονες σκεδασον [δ απο λαον απαντα (suppl. Blass) vel fort. σκεδασον [δ α]ιδηλον ομιλ[ον (v. S. West Ptol. Pap. 179 n.170) **162*a*** καπνισ]α̣ν τε κατα κλὶ σί ας κ[αι δειπνον ελοντο (= B 399) add. 12 **163** παρ' αὖθι 9 Ω*, παραῦθι A D Y R: καταυθι 12 (cf. A.R. 2.528, al.; Rengakos 155 sq.) **165** ἐν δὲ πυρῆι ὑπάτηι 9 tt Ω: [. . .] . . ε̣ [.]ρ̣α̣λ̣υ[. . .] 12, quae deinceps **165*a*** μ̣υ̣ρ̣ι̣[ονει]ατα χερσιν αμησα[μενοι κατεθηκαν (suppl. Blass) **169** δρατὰ Ar 9 tt Z Ω: δρετὰ "τὰ πολλὰ τῶν ὑπομνημάτων" **170** δὲ τίθει E R Y (-θη) W **171*a*** abundavit 12 versu uno qui totus periit **172** πυρῆι 9 Ω*: -ρὶ *b* F^{s} Y G.—cf. ad 216 στοναχίζων D^{2} *b* F: στεν- 9 Ω*.—cf. Praef. xxxv **172*ab*** abundavit 12 vv. duobus qui perierunt **174** πυρῆι 9 Ω*: -ρὶ *b* Y W G **178** (φίλον) τ' D C F Y R: δ' 9 Ω*.—cf. ad K 522, Ω 591 ἑταῖρον 9 Ω:] λ̣λ̣[12 (priora perierunt) **180** τετελεσμένα ὥς περ 9 12 1517 A$^{\gamma\rho}$ sch^{hyp} T Y R: τελέω τὰ πάροιθεν (ex 20) 311 Ω*

δώδεκα μὲν Τρώων μεγαθύμων υἱέας ἐσθλούς,
τοὺς ἅμα σοὶ πάντας πῦρ ἐσθίει· Ἕκτορα δ' οὔ τι
δώσω Πριαμίδην πυρὶ δαπτέμεν, ἀλλὰ κύνεσσιν."
ὣς φάτ' ἀπειλήσας· τὸν δ' οὐ κύνες ἀμφεπένοντο,
185 ἀλλὰ κύνας μὲν ἄλαλκε Διὸς θυγάτηρ Ἀφροδίτη
ἤματα καὶ νύκτας, ῥοδόεντι δὲ χρῖεν ἐλαίωι
ἀμβροσίωι, ἵνα μή μιν ἀποδρύφοι ἑλκυστάζων.
τῶι δ' ἐπὶ κυάνεον νέφος ἤγαγε Φοῖβος Ἀπόλλων
οὐρανόθεν πεδίονδε, κάλυψε δὲ χῶρον ἅπαντα,
190 ὅσσον ἐπεῖχε νέκυς, μὴ πρὶν μένος ἠελίοιο
σκήλει' ἀμφὶ περὶ χρόα ἴνεσιν ἠδὲ μέλεσσιν.
οὐδὲ πυρὴ Πατρόκλου ἐκαίετο τεθνηῶτος.
ἔνθ' αὖτ' ἄλλ' ἐνόησε ποδάρκης δῖος Ἀχιλλεύς·
στὰς ἀπάνευθε πυρῆς δοιοῖς ἠρᾶτ' ἀνέμοισιν,
195 Βορρῆι καὶ Ζεφύρωι, καὶ ὑπίσχετο ἱερὰ καλά·
πολλὰ δὲ καὶ σπένδων χρυσέωι δέπαϊ λιτάνευεν
ἐλθέμεν, ὄφρα τάχιστα πυρὶ φλεγεθοίατο νεκροί
ὕλη τε σεύαιτο καήμεναι. ὦκα δὲ Ἶρις
ἀράων ἀΐουσα μετάγγελος ἦλθ' ἀνέμοισιν.

182 (–ἐσθ.) sch Ψ 177b; Philop. in Gen. et corr. CAG xiv(2).280.15; id. in De an. CAG xv.277.29, 282.2 **184** (ἀμφεπ.) H. α 3921 **186**b–7 Arn ad Ω 20–1a^{1}; **186**b id. ad Ξ 172c^{1}; ApS 139.11; Ath. 688d; (ῥοδ.) Poll. 6.105; **187** (ἀποδρ.) H. α 6320; (ἑλκυστ.) ApS 66.30; H. ε 2140 **188** Arn ad Ω 20–1a; (κυάν. ν.) Porph. Hom. 125.9 Sod. **190** (ἐπεῖχε) H. (Cyr.) ε 4367; **190**b–1 Plut. Mor. 658b; **190**b–**1** (σκ.) EtG s.v. σκέλλω; Epm. σ 40; **191** (σκ.) H. σ 940 **195**a cf. Procl. in Remp. i.152.13

181 υἱέας ἐσθλούς 9 12 311 1517 Ω*: νήπια τέκνα Y **182** ἐσθίει 9 311 tt Ω: αμφεπει 12 (cf. Π 124, al.) οὔ τι 9 1517 Ω*: οὔ τοι C: ουχι ss. ουκ[ι 12 **183** δώσω Πριαμίδην 9 Ω: τ]ονδε γαρ ου δωσω 12 δαπτέμεν 9 311 Ω (-άμεν' R, θα- W): καεμεν 12 (cf. A.R. 3.204; Rengakos 156) **183*a*** ωμησ]ταις φαγεειν τοσ[α] γαρ κακ εμησατ A[χ]αι[ο]υς add. 12 **186** ῥοδόεντι 9 12 tt* Z T^{λ} Ω: δροσό- Ath. **191** σκήλει' (vel -λει) 9 Epm. A D T W, -λειε Hsch. Z T^{λ}: -λη(ι) tt* Ω*: σκείλει' Fick **192** Πατρόκλου 9 Ω* W^{s}: -ωι W^{t} ἐκαίετο 9 A D Y R: καί- Ω* τεθνηῶτος A^{s} B^{a} E R Y G: -θνει- 9 E^{s} Ω* **195** Βορρηι 12^{s}, -αι 12^{c}: Βορρέηι W V: Βορέηι 9 T^{λ} Ω*, -αι 12^{a}.—cf. ad I 5 ὑπίσχετο Ω* F^{s}: ὑπέσχ- 9 12 D F R.—cf. ad Υ 84 **195*a*** (= Δ 102, 120) add. 12 **196** ut supra fere Ar 9 Ω (δέπαϊ λιτ- 9 Ω*, ἐλιτ- D: δέπαι ἐλλιτ- Ar H; cf. ad Υ 259): πολλα δ αποσπεν[δ]ων ηρασατο δ[ιος Α]χιλλευς 12 **197** ἐλθέμεν 9 A D O: -εῖν 12 A^{γρ} Ω* ὄφρα 9 Ω: οττι 12.—cf. ad X 129 νεκροί A D Y W: -όν 9 *b* F T R^{r}: -ός R^{a}? H^{c} V, fort. leg. Euphorio (fr. 160 Pow.): νεκ[G **198** ὕλη Ar 9 Ω*: -ην (nov. Did) D^{a}: -ηι 12 τε σεύαιτο Ar 9 12 (σσ-) Z A^{γρ} *h*: τ' ἐσσεύαιτο A A^{λ} T T^{λ} R: -ετο D^{c} Y: -ατο D^{a}? *b* F W G: -οιτο B^{s} F^{s}: (ὕλην) τε σεύαιντο quidam ante Did ωκα δε (Bentley) 12 (cf. N 671, Σ 527, al.): ὠκέα δ' 9 Ω **199** ἀράων 9 Ω (= O 378): ευχωλης 12 ἀΐοῦσα

200 οἳ μὲν ἄρα Ζεφύροιο δυσαέος ἀθρόοι ἔνδον
εἰλαπίνην δαίνυντο· θέουσα δὲ Ἶρις ἐπέστη
βηλῶι ἔπι λιθέωι. τοὶ δ' ὡς ἴδον ὀφθαλμοῖσιν,
πάντες ἀνήϊξαν κάλεόν τέ μιν εἰς ἓ ἕκαστος.
ἣ δ' αὖθ' ἕζεσθαι μὲν ἀνήνατο, εἶπε δὲ μῦθον·
205 "οὐχ ἕδος, εἶμι γὰρ αὖτις ἐπ' Ὠκεανοῖο ῥέεθρα,
Αἰθιόπων ἐς γαῖαν, ὅθι ῥέζουσ' ἑκατόμβας
ἀθανάτοις, ἵνα δὴ καὶ ἐγὼ μεταδαίσομαι ἱρῶν·
ἀλλ' Ἀχιλεὺς Βορέην ἠδὲ Ζέφυρον κελαδεινόν
ἐλθεῖν ἀρᾶται, καὶ ὑπίσχεται ἱερὰ καλά,
210 ὄφρα πυρὴν ὄρσητε καήμεναι, ἧι ἔνι κεῖται
Πάτροκλος, τὸν πάντες ἀναστενάχουσιν Ἀχαιοί."
ἣ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπεβήσετο· τοὶ δ' ὀρέοντο
ἠχῆι θεσπεσίηι, νέφεα κλονέοντε πάροιθεν·
αἶψα δὲ πόντον ἵκανον ἀήμεναι, ὦρτο δὲ κῦμα
215 πνοιῆι ὕπο λιγυρῆι. Τροίην δ' ἐρίβωλον ἱκέσθην,
ἐν δὲ πυρῆι πεσέτην· μέγα δ' ἴαχε θεσπιδαὲς πῦρ.
παννύχιοι δ' ἄρα τοί γε πυρῆς ἄμυδις φλόγ' ἔβαλλον,
φυσῶντες λιγέως· ὃ δὲ πάννυχος ὠκὺς Ἀχιλλεύς
χρυσέου ἐκ κρητῆρος, ἑλὼν δέπας ἀμφικύπελλον,

202–3 Eudoc. 1149–50; **202a** EtG β 25, 105; (βηλῶι) H. (Cyr.) β 562; **203b** ApS 61.19; ApD Pron. 42.16; Hdn i.558.7; sch O 86b; (εἰς ἕ) H. (Cyr.) ε 1104 **204** (ἀνήν.) id. α 5062 **205** ApS 62.18; (οὐχ ἕδος) H. ο 1925 **207** (μεταδ.) H. (Cyr.) μ 976 **209** (ὑπίσχ.) ApS 160.23; H. υ 552; Phot. Lex. s.v. **212** (τοὶ–)–**13** [Plut.] Hom. 2.108.5; **212** (τοὶ–)–**13**a EtG s.v. ὀρώρει **214** (–ἀήμ.) Epm. A 318, π 117; (ἀήμ.) ApS 12.3; H. (Cyr.) α 1510/11 **219 + 221** Procl. in Remp. i.152.20; **220–1** Macr. Sat. 5.7.2; **221** Diomed. GL i.495.20

Schulze Kl. Schr. 345: proparox. 9 Z Ω.—cf. Praef. xx et ad O 378, Π 508 μετάγγελος 9 F Y W: μετ' ἄ- sch^{bT} Ω*.—cf. ad O 144 **202** βηλῶι ἐπὶ λιθέωι 9 tt Ω (ἔπι Wolf): βηλου επι λλ[ιθεου 12 **203** τέ tt Ω: δε 9 **204** αὖθ' Ω*: αὖ 9 Y W δὲ A *b* F G: τε 9 Ω* μύθω Y **205** αὖτις 9 A^{γρ} Ω*: -θις t C F R: -θι A H ῥέεθρα 9 Ω*: ῥεέθρων t: ῥο–άων *b* (cf. Γ 5) **206** γαῖαν Ar 9 Ω: δῆμον "αἱ ἀπὸ τῶν πόλεων" (cf. λ 14, ω 12, Hes. Op. 527) **209** ἐλθεῖν 9 Ω: -έμεν Barnes, cf. ad 197 ὑπίσχεται 9 tt Ω* (-ηται D): -έσ–χετο R **209*a*** (= 195*a*) add. 12 **210** ερσηṭε καιημ̣[ε]ṿα̣[ι 12 ἔνι Ω*: ἐνὶ D F **212** ἀπεβήσετο 9 Ω*: -σατο 12 D Y W τοὶ 9 12 (ex τον) t* Ω: οἳ [Plut.]: τὼ Wecklein SBAW 1908(2).77 **213** ἠχῆι θεσπεσίηι 9 12 t* Ω: πνοιῆι ὕπο λιγυρῆι (ex 215) [Plut.] κλονέοντε πάροιθεν 9 12 (-ντα) Ω: -ντες ὄπισθεν t **214** ἀήμεναι 9 12 Epm. sch^{D} Ω (cf. γ 176): -νοι (Barnes) ApS: utrumque Hsch. ὦρτο 9 12^{2s} Ω: ηλθε 12^{t} **215** ὕπο Barnes: ὑπὸ vel ὑπο 9 Ω*: ὑπαὶ W λλιγυρηι̣ 12 Τρωιην 12 (cf. ad Φ 375) ἱκέσ–θην 9 Ω: ικ[οντο? 12 (cf. ad 216) **216** πυρῆι A^{c} D^{2} F$^{c?}$ T W, πυ]ρ̣αι 12: -ρὶ 9 Ω*.—cf. ad 172 πεσέτην 9 Ω: επεσ̣ο̣ṿ 12 **217** τοί 9 Ω: τωι (sc. τώ?) 12 **218** φυσῶντες 9 12 Ω*: -ντε Brandreth, φυσσώντε (ss. σ) Y **219** ἔχων 12 A^{γρ} Ω*: ἑλὼν 9 t A D F (cf. I 656)

220 οἶνον ἀφυσσόμενος χαμάδις χέε, δεῦε δὲ γαῖαν,
ψυχὴν κικλήσκων Πατροκλῆος δειλοῖο.
ὡς δὲ πατὴρ οὗ παιδὸς ὀδύρεται ὀστέα καίων
νυμφίου, ὅς τε θανὼν δειλοὺς ἀκάχησε τοκῆας,
ὣς Ἀχιλεὺς ἑτάροιο ὀδύρετο ὀστέα καίων,
225 ἑρπύζων παρὰ πυρκαϊήν, ἁδινὰ στοναχίζων.
ἦμος δ' Ἑωσφόρος εἶσι φόως ἐρέων ἐπὶ γαῖαν,
ὅν τε μέτα κροκόπεπλος ὑπεὶρ ἅλα κίδναται Ἠώς,
τῆμος πυρκαϊὴ ἐμαραίνετο, παύσατο δὲ φλόξ·
οἳ δ' ἄνεμοι πάλιν αὖτις ἔβαν οἶκόνδε νέεσθαι
230 Θρηΐκιον κατὰ πόντον· ὃ δ' ἔστενεν οἴδματι θυίων·
Πηλείδης δ' ἀπὸ πυρκαϊῆς ἑτέρωσε λιασθείς
κλίνθη κεκμηώς, ἐπὶ δὲ γλυκὺς ὕπνος ὄρουσεν.
οἳ δ' ἀμφ' Ἀτρείωνα ἀολλέες ἠγερέθοντο·
τῶν μιν ἐπερχομένων ὅμαδος καὶ δοῦπος ἔγειρεν,
235 ἕζετο δ' ὀρθωθεὶς καί σφεας πρὸς μῦθον ἔειπεν·
"Ἀτρείδη τε καὶ ἄλλοι ἀριστῆες Παναχαιῶν,
πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσατ' αἴθοπι οἴνωι
πᾶσαν, ὁπόσσον ἐπέσχε πυρὸς μένος· αὐτὰρ ἔπειτα
ὀστέα Πατρόκλοιο Μενοιτιάδαο λέγωμεν
240 εὖ διαγινώσκοντες. ἀριφραδέα δὲ τέτυκται·

222–3, 223*bc* [Plut.] Cons. Apoll. 117c; **223** H. ν 721 **225** Eudoc. 1759; (ἑρπ.) ApS 77.10; Phot. Lex. ε 1950 **226–7** Porph. Il. 112.12 Schr.; Eudoc. 2323–4; sch β 1; **226** (Ἑωσφ.) H. (Cyr.) ε 7757; Phot. Lex. ε 2538; (εἶσι φ. ἐρ.) sch Χ 318c; **226**b ApS 76.1 **227** al. (ὑπεὶρ ἅλα) H. υ 290; Epm. α 293; (κίδν.) Phot. Lex. κ 704 **228** (ἐμαρ.) H. ε 2268 **230** (Θρ.) Hdn i.397.15; **230**b sch Soph. Ant. 1145 **232** (κλ.) H. κ 2999; (κεκμηκώς) H. (Cyr.) κ 2077 (si huc refert) **240** (ἀριφρ.) ApS 44.8;

220 ἀφυσσόμενος 12 A^s D T Y G: -άμενος 9 t Ω*.—cf. ad Γ 295, Κ 579 **221** ut supra 9 tt Ω: κ̣ικλησκων ψυχην Πα[τ]ρ̣οκ̣[λου τεθ]νηω̣[τος 12 **221*a*** (= 225) add. 12^2s **223** τε 12 t* Ω: ῥα Hsch. **223*ab*** χηρωσεν δ̣[ε γυναικα μυχωι θαλαμοιο νεοιο] | αρητ̣[ο]ν̣ δε τ̣[οκευσι γοον και πενθος εθηκεν] (≈ Ρ 36 sq.) add. 12, **223*b*** etiam t (qui ἄρρητον, cf. ad Ρ 37); **223*c*** μοῦνος τηλύγετον πολλοῖσιν ἐπὶ κτεάτεσσιν (≈ Ι 482) add. t (deest in 12) **224** ὀδύρετο Ω*: ὠδ- (ante ἑτάροιο) C **225** στοναχίζων *b*: στεν- 9 t Ω*.—cf. Praef. xxxv **226** ἦμος δ' 9(?) 12 tt* Ω: ἦμος Porph.: εὖτε δ' Christ cl. ν 93 Ἑωσφόρος 12 tt sch^D Ω (cf. Chantr. I 71–3 et quae monui Hes. Th. p.81): ἀστὴρ Brandreth cl. ν 93 (Χ 26, 317) **227** μέτα T: μετὰ Ω* **230** κατὰ 9 Ω: μετα A^s θυίων t A T: θύων 9 Ω* **231** ἑτέρωσε 9 Ω*: -ωθι R **232** κεκμηὼς 9 Ω*: -ηκὼς (t?) D F **234** ἔγειρεν 9 Ω*: ὄρωρεν C V **235** σφεας 9 Ω (σφέας Y W): σφὰς sch^hyp (διὰ τὸ μέτρον) **236** Ἀτρείδη 1518 Ω*: -εῖδαί F N^γρ.—cf. ad Η 385 ἀριστῆες Παναχαιῶν 9 Ω: ευκνημιδε]ς Αχαιοι 12.—cf. ad Η 385, Λ 149 **237** σβέσατ' 9 Ω*: -σετ' 12 D **240** διαγινώσκοντες Ω*: -γιγν- 9 A W ἀριφραδέα δὲ τέτυκται 9 tt Z Ω: -δεως

ἐν μέσσηι γὰρ ἔκειτο πυρῆι, τοὶ δ' ἄλλοι ἄνευθεν
ἐσχατιῆι καίοντ' ἐπιμὶξ ἵπποι τε καὶ ἄνδρες.
καὶ τὰ μὲν ἐν χρυσέηι φιάληι καὶ δίπλακι δημῶι
θείομεν, εἰς ὅ κεν αὐτὸς ἐγὼν Ἄϊδι †κλεύθωμαι·
245 τύμβον δ' οὐ μάλα πολλὸν ἐγὼ πονέεσθαι ἄνωγα,
ἀλλ' ἐπιεικέα τοῖον· ἔπειτα δὲ καὶ τὸν Ἀχαιοί
εὐρύν θ' ὑψηλόν τε τιθήμεναι, οἵ κεν ἐμεῖο
δεύτεροι ἐν νήεσσι πολυκλήϊσι λίπησθε."
ὣς ἔφαθ', οἳ δ' ἐπίθοντο ποδώκεϊ Πηλείωνι.
250 πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσαν αἴθοπι οἴνωι,
ὅσσον ἐπὶ φλὸξ ἦλθε βαθεῖά τε κάππεσε τέφρη·
κλαίοντες δ' ἑτάροιο ἐνηέος ὀστέα λευκά
ἄλλεγον ἐς χρυσέην φιάλην καὶ δίπλακα δημόν,
ἐν κλισίηισι δὲ θέντες ἑανῶι λιτὶ κάλυψαν·
255 τορνώσαντο δὲ σῆμα θεμείλιά τε προβάλοντο
ἀμφὶ πυρήν· εἶθαρ δὲ χυτὴν ἐπὶ γαῖαν ἔχευαν,
χεύαντες δὲ τὸ σῆμα πάλιν κίον.—αὐτὰρ Ἀχιλλεύς
αὐτοῦ λαὸν ἔρυκε καὶ ἵζανεν εὐρὺν ἀγῶνα.
νηῶν δ' ἔκφερ' ἄεθλα, λέβητάς τε τρίποδάς τε
260 ἵππους θ' ἡμιόνους τε βοῶν τ' ἴφθιμα κάρηνα
ἠδὲ γυναῖκας ἐϋζώνους πολιόν τε σίδηρον.
ἱππεῦσιν μὲν πρῶτα ποδώκεσιν ἀγλά' ἄεθλα

H. (Cyr.) α 7259; EtG α 1559 **244** (κλεύθ.) Hdn ii.1251; H. κ 2934/5 **245** sch H 156a **246** (ἐπιεικ.) ApS 73.3; H. ε 4752 **252** w25 fr. 3.5; (ἐνη.) ApS 69.7 **253** (ἄλλ.) H. (Cyr.) α 3120; (χρ.–) Ath. 501a; (δίπλ. δ.) H. (Cyr.) δ 1940 **254** sch Ω 229–31a¹ **255** Eudoc. 2075; **255**a ApS 154.2; sch ε 249; sch Pind. Ol. 1.14b **256**b sch A.R. 1.1062 **257** (–κίον) sch Υ 145 **258** imit. Nonn. D. 37.104 **259–61** sch γ 274; **259** Plut. Mor. 528b; EtG α 90; **259**a Porph. Il. 269.18, Od. 36.5 Schr.; **260** Eudoc. 18 **262–9** schᴰ I 122; **266**a Ptol ap. [Ammon.] Diff. 477; Hdn

γαρ εκειτο 12 **241** ἄνευθεν 9 12ᶜ Ω: ανωθεν 12ᵃ **242** ἵπποι τε καὶ ἄνδρες 9 Ω: αυτοι τε και ιπποι 12.—cf. ad Λ 525 **243** χρυσέηι 9 Ω: -σηι 12 **244** ἐγὼν 9 12 Ω*, ἐγὼ *b*, εγῶ Y: ἰὼν Aᵛᵖ κλεύθωμαι (vox ignota) Ar tt schᴰ A, ἐκελεύθ- Tᴧ: κλευσωμαι 12: κεύθ- (deprec. Did, agn. Hdn (t)) 9 Z Ω* (cf. 83*a*, γ 16, Soph. Ai. 635, al.; Wack. Unt. 164) **248** δεύτεροι 9 Aᴧ Tᴧ Ω*: -ρον D **251** τε 12 Aˢ D O: δὲ 9 Ω* κάππεσε τέφρη 9 12 Ω: -σεν ὕλη Aᵛᵖ **252** ἐνηέος 9 tt Ω: δαιφρονος 12 **253** ἄλλεγον 9 t Ω (cf. Φ 321): σύλλ- O rr χρυσέην 9 Ω*: -σῆν t R, -σὴν D: -σίην T **254** κλισίηισι 9 t Ω*: -ίῃ(ι) B E Rᵃ W *h* (δ' ἐνθέντες).—cf. ad T 211, 316 λιτὶ Hdn Aᴧ Ω*: λίτι Z, λῖτι W.—cf. ad Σ 352 **255** τε 9 t Aˢ Ω*: δὲ A T **257** primitus ab Ω 4 exceptum esse vidit Grashof **258** αὐτοῦ 9 Ω: -όθι t **259–61** ath. Arph Ar **260** θ' 9 tt Ω*: om. T W **262** ἱππεῦσιν 9 t Ω: ἵπποισιν quidam ap. schᵀ ἄεθλα 9 t Ω*: δῶρα T: ἔθηκε W, mg. ἀέθλια

θῆκε, γυναῖκα ἄγεσθαι ἀμύμονα ἔργ' εἰδυῖαν
καὶ τρίποδ' ὠτώεντα δυωκαιεικοσίμετρον
265 τῶι πρώτωι· ἀτὰρ αὖ τῶι δευτέρωι ἵππον ἔθηκεν
ἑξέτε' ἀδμήτην, βρέφος ἡμίονον κυέουσαν·
αὐτὰρ τῶι τριτάτωι ἄπυρον κατέθηκε λέβητα
καλόν, τέσσερα μέτρα κεχονδότα, λευκὸν ἔτ' αὔτως·
τῶι δὲ τετάρτωι θῆκε δύω χρυσοῖο τάλαντα·
270 πέμπτωι δ' ἀμφίθετον φιάλην ἀπύρωτον ἔθηκεν.
στῆ δ' ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
"Ἀτρείδη τε καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοί,
ἱππῆας τάδ' ἄεθλα δεδεγμένα κεῖτ' ἐν ἀγῶνι.
εἰ μὲν νῦν ἐπὶ ἄλλωι ἀεθλεύοιμεν Ἀχαιοί,
275 ἦ τ' ἂν ἐγὼ τὰ πρῶτα λαβὼν κλισίηνδε φεροίμην·
ἴστε γάρ, ὅσσον ἐμοὶ ἀρετῆι περιβάλλετον ἵπποι.
ἀθάνατοί τε γάρ εἰσι, Ποσειδάων δ' ἔπορ' αὐτούς
πατρὶ ἐμῶι Πηλῆϊ, ὃ δ' αὖτ' ἐμοὶ ἐγγυάλιξεν.
ἀλλ' ἤτοι μὲν ἐγὼ μενέω καὶ μώνυχες ἵπποι·
280 τοίου γὰρ σθένος ἐσθλὸν ἀπώλεσαν ἡνιόχοιο,
ἠπίου, ὅ σφωϊν μάλα πολλάκις ὑγρὸν ἔλαιον
χαιτάων κατέχευε, λοέσσας ὕδατι λευκῶι.

ad B 765b; id. ii.223.7; (κυέ.) H. κ 4432; **267**b Ath. 468d; **268** (κεχ.) Philox. fr. 301 Th.; H. (Cyr.) κ 2405; (λευκ.–) sch B 138; **269**b Poll. 9.55 **270** Ath. 468d; (ἀμφ.–) id. 500f; (ἀμφ.–ἀπύρ.) sch Ψ 243a; (ἀμφ. φι.) ApS 163.11; Hdn ii.906.9; Poll. 6.96; (ἀμφ.) Phot. Lex. α 1330; **270**b ApS 40.34; (ἀπύρ.) H. α 6995 **273** sch Pind. Ol. 1.5b; (δέδ.) ApS 57.12 **276** sch ο 17 **277**a sch [Eur.] Rh. 185; **277b–8** sch Π 867a **280–2** Ael. N.A. 16.24; **281** (ὅ–πολλ.) sch A 336b; (ὑγρ. ἔλ.) ApS 157.9; cf. Plut. Mor. 695e; Anon. Rhet. i.437.4 Sp.; H. υ 50

263 γυναῖκα 9 t Ω: -κά τ' Heyne ἔργ' εἰδυῖαν 9 t Ω, cf. ad I 128, T 245 **266** ἑξέτε' Ptol (teste Hdn; aliter [Ammon.]) 9 D^{2} *b* F R^{a} (cf. B 765): parox. Hdn "ἡ παράδοσις" Z A^{λ} T^{λ} Ω*.—cf. Wack. KS 1147 sq. κυέουσαν 9 Hsch. Z Ω: φορέ- t* **268** τέσσερα Bolling (cf. Praef. xxxv): -αρα 9 t T^{λ} Ω κεχονδότα Fick (cf. ad Ω 192): κεχανδ- 9 tt Z T^{λ} Ω **269** δύω Ω*: δύο 9 tt A *b* T^{λ} W G.—cf. ad Σ 507 **271** ὀρθὸς 9 A^{c} Ω*: -ῶς A^{a} N **272** Ἀτρείδη Ω: -δα r: -εῖδαί 9 *b*.—cf. ad 236 ἐϋκνήμιδες Ἀχαιοί 9 Ω*: ἀριστῆες Παναχαιῶν A^{γρ} D F T: ἀριστῆες εὐκνήμιδες Ἀχαιοί W.—cf. ad 236 **273** om. 9 ἱππῆας Ar t A^{λ} Ω: -εῦσιν quidam ante Arn (cf. 262) δεδεγμένα Ar^{a} tt Z Ω: -χμ- Ar^{b}.—cf. ad Θ 296, I 191 **274** μέν νυν E, νῦν sch^{T} ἐπὶ 9 Ω: ἐπί γ' Heyne **277** δ' ἔπορ' Ω*, -ρεν *b*: δὲ πόρ' D: δὲ πρὸ t^{cod} αὐτοὺς 9 Ω*: -τοῦ t^{cod} (-τώ Bergk): -τὸς B^{a} rr (cf. B 827) ***277ab*** ως τω γ αθανατοι κ̣[αι αγηραοι ουδε εοικεν] | θνητους αθανατοισι [ποδων ταχος αντιφεριζειν] add. 12 (*a* suppl. Blass, *b* S. West) **280** τοίου 9 t Ω: τοῖον 12 (τοιογ) rr σθένος 9 12 t A^{γρ} Ω*: κλέος A *b* T^{λ} W **281** ὅ Ar 12 t* A^{λ} D B^{a} E: ὅς (nov. Did) 9 1519 Ael. D^{s} Ω* σφωϊν Hdn A A^{λ} *b*: σφῶϊ D, -ϊν Ω* πολλάκις 9 12 tt Ω*: -κι 12^{a}? W

τὸν τώ γ' ἑσταότες πενθείετον, οὔδεϊ δέ σφιν
χαῖται ἐρηρέδαται, τὼ δ' ἕστατον ἀχνυμένω κῆρ.
285 ἄλλοι δὲ στέλλεσθε κατὰ στρατόν, ὅς τις Ἀχαιῶν
ἵπποισίν τε πέποιθε καὶ ἅρμασι κολλητοῖσιν."
ὣς φάτο Πηλείδης, ταχέες δ' ἱππῆες ἄγερθεν.
ὦρτο πολὺ πρῶτος μὲν ἄναξ ἀνδρῶν Εὔμηλος,
Ἀδμήτου φίλος υἱός, ὃς ἱπποσύνηι ἐκέκαστο·
290 τῶι δ' ἔπι Τυδείδης ὦρτο κρατερὸς Διομήδης,
ἵππους δὲ Τρωΐους ὕπαγε ζυγόν, οὕς ποτ' ἀπηύρα
Αἰνείαν, ἀτὰρ αὐτὸν ὑπεξεσάωσεν Ἀπόλλων·
τῶι δ' ἄρ' ἔπ' Ἀτρείδης ὦρτο ξανθὸς Μενέλαος
διογενής, ὑπὸ δὲ ζυγὸν ἤγαγεν ὠκέας ἵππους,
295 Αἴθην τὴν Ἀγαμεμνονέην τὸν ἐόν τε Πόδαργον.
τὴν Ἀγαμέμνονι δῶκ' Ἀγχισιάδης Ἐχέπωλος
δῶρ', ἵνα μή οἱ ἕποιθ' ὑπὸ Ἴλιον ἠνεμόεσσαν,
ἀλλ' αὐτοῦ τέρποιτο μένων· μέγα γάρ οἱ ἔδωκεν
Ζεὺς ἄφενος· ναῖεν δ' ὅ γ' ἐν εὐρυχόρωι Σικυῶνι.
300 τὴν τόθ' ὑπὸ ζυγὸν ἦγε, μέγα δρόμου ἱχανόωσαν.
Ἀντίλοχος δὲ τέταρτος ἐΰτριχας ὡπλίσαθ' ἵππους,
Νέστορος ἀγλαὸς υἱὸς ὑπερθύμοιο ἄνακτος
τοῦ Νηληϊάδαο, Πυλοιγενέες δέ οἱ ἵπποι
ὠκύποδες φέρον ἅρμα. πατὴρ δέ οἱ ἄγχι παραστάς
305 μυθεῖτ' εἰς ἀγαθὰ φρονέων νοέοντι καὶ αὐτῶι·
"Ἀντίλοχ', ἤτοι μέν σε νέον περ ἐόντ' ἐφίλησαν

284 (ἐρηρ.) ApS 76.3; H. ε 5783, [5786] **287**b sch Δ 182b, Θ 399b, Ψ 30a; (ἄγερ–θεν) H. (Cyr.) α 450 **291**a Did ad E 461b; Hdn ii.420.19; Epm. τ 37 **295** sch Procl. in Remp. ii.374.6; **295**a Plut. Mor. 767a; (Πόδ.) sch Θ 185b **297–9** (Z. ἄφ.) Plut. Mor. 32f; **297–8** (–μέν.) id. 498b **300** sch Π 148; (ἱχαν.) H. (Cyr.) [α 8825], ι 1137 **301** (ὡπλ.) H. ω 272 **306** (ἤτοι–ἐόντα) ApS 115.25

283–4 (damn. Fick) om. 9, mg. rest. m^{2} **283** ἑσταότες Ω*: -αότε R, -αῶτε F πεν–θείετον Ω* (-θή- F): ποθ- T σφιν D T R G: σφι Ω* **284** ἐρηρέδαται tt Z Ω: -έαται *h*.—cf. ad P 637; v.l. sim. η 86 **285** ἄλλοι δὲ 9 Ω: ἀλλ' ἄγε δὴ M V **287** ἄγερθεν (nov. Did) 9 tt Ω*: ἔγ- Ar^{ab} F *h*.—cf. ad Δ 152, H 434 **288** πρῶτος 9 Ω*: πρότερος *b* **289** Ἀδμήτου 9 Ω*: Ἀδρή⟦σ⟧του D **290** ἔπι G^{a}: ἐπὶ vel ἐπι Ω*.—cf. ad H 163 **291** Τρωΐους T$^{\lambda}$ T: Τρω(ι)οὺς Hdn 9 A$^{\lambda}$ Ω* **293** ἔπ' W: ἐπ' Ω* **296–300** secl. Fick; de Sicyoniis se fortasse in Iliadem insinuantibus cf. ad B 572 **300** τόθ' A$^{\gamma\rho}$ rr: ὅ γ' 9 t Ω (δ' ὅ γ' R) ἱχανόωσαν (agn. sch^{D}) 9 Hsch. A D N$^{\gamma\rho}$: ἰσχ- sch^{D} t* Ω*.—cf. ad P 572 **301** ὡπλίσαθ' 9 t Ω: ὁπλ- rr **303–50** damn. Niese Die Entwickelung d. hom. Poesie (1882) 59 n.2 **303** Πυλοιγενέες 9 A B E G: Πυληγ- Ω* (cf. ad B 54): παλαιγ- quidam ap. sch^{bT} cl. 445 **306** ἐόντ' ἐφίλησαν 9 A$^{\lambda}$ Ω*: ἐόντα, φ- D

Ζεύς τε Ποσειδάων τε, καὶ ἱπποσύνας ἐδίδαξαν
παντοίας· τὼ καί σε διδασκέμεν οὔ τι μάλα χρεώ·
οἶσθα γὰρ εὖ περὶ τέρμαθ' ἑλισσέμεν. ἀλλά τοι ἵπποι
310 βάρδιστοι θείειν· τώ τ' οἴω λοίγι' ἔσεσθαι.
τῶν δ' ἵπποι μὲν ἔασιν ἀφάρτεροι, οὐδὲ μὲν αὐτοί
πλείονα ἴσασιν σέθεν αὐτοῦ μητίσασθαι.
ἀλλ' ἄγε δὴ σύ, φίλος, μῆτιν ἐμβάλλεο θυμῶι
παντοίην, ἵνα μή σε παρεκπροφύγησιν ἄεθλα.
315 μήτι τοι δρυτόμος μέγ' ἀμείνων ἠὲ βίηφι,
μήτι δ' αὖτε κυβερνήτης ἐνὶ οἴνοπι πόντωι
νῆα θοὴν ἰθύνει ἐρεχθομένην ἀνέμοισιν·
μήτι δ' ἡνίοχος περιγίνεται ἡνιόχοιο.
ἄλλος μέν θ' ἵπποισι καὶ ἅρμασιν οἷσι πεποιθώς
320 ἀφραδέως ἐπὶ πολλὸν ἑλίσσεται ἔνθα καὶ ἔνθα,
ἵπποι δὲ πλανόωνται ἀνὰ δρόμον, οὐδὲ κατίσχει·
ὃς δέ κε κέρδεα εἴδηι ἐλαύνων ἥσσονας ἵππους,
αἰεὶ τέρμ' ὁρόων στρέφει ἐγγύθεν, οὐδέ ἑ λήθει
ὅππως τὸ πρῶτον τανύσηι βοέοισιν ἱμᾶσιν,
325 ἀλλ' ἔχει ἀσφαλέως καὶ τὸν προὔχοντα δοκεύει.
σῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδές, οὐδέ σε λήσει·

307b sch N 554–5 **309** (ἀλλά–)–**10**a sch Θ 113; **310**a Arn ad Ψ 304; (βάρδ.) ApS 50.24; H. (Cyr.) β [36], 223; EtG β 41 **311** (–ἀφάρτ.) Porph. Il. 333.4 Schr.; EtG α 1444; (ἀφάρτ.) cf. sch K 537, H. (Cyr.) α 8569; Orio 12.14 **315–18** Polyb. Sard. Fig. iii.107.27 Sp.; Orio Anth. 1.23; **315–17** Cocondr. Trop. iii.242.2 Sp.; **315** Clem. Strom. 6.5.6; Them. Or. 16.207d; **316** (ἐνὶ–) H. (Cyr.) ε 3114; **317** sch ε 83; (ἐρεχθ.) H. ε 5764; **318** Choer. in Thd. i.378.8; (–περιγ.) Hdn ii.7.9; **318**a St. Byz. 693.16; (μήτι) H. (Cyr.) μ 1285; Sophron. 381.27 **326–30** [Alex.] in Soph. el. CAG ii(3).33.13; **326** Eudoc. 2301; **326**a Cic. Att. 4.15.7; ApS 141.7; (ἀριφρ.) H. (Cyr.) α 7260; **327–8** Eudoc. 1854–5; **327** (ξύλ.–ὀργ.) Erot. p.13.23 N.; **328**a sch I 537c; **328**b Hippias Thasius ap. Arist. Soph. el. 166b3, Poet. 1461a23; (καταπ.) H. κ 1368; **329** sch Ψ 340a; Epm. τ 53; **330** (ἐν ξυν.) H. ε 3230; (ξυν.) id. ξ 170; (ξυν. ὁδοῦ) sch B 218b

307 ἐδίδαξαν Zen 9 Ω*: -εν Ar t A Y G **308** τὼ G: τῶ(ι) 9 Ω* καί 9 Ω*: κέ Y: κέν R W **309** τέρμαθ' D B^{c} F R G: -ματ' 9 Ω*, -ματα Z: -μα Bentley **310** βάρδιστοι 9 tt* Z Ω (κάρτ- Y): -αι ApS (nisi 530 respicit).—cf. ad Λ 597; hi plane mares sunt, v. 409, 572 τώ T^{a} R^{a} G: τῶ(ι) 9 Ω* τ' (= τοι, sch^{bT}) Ω*: γ' 9: κ' F *b* **311** οὐδὲ 9 Ω*: οὐ γέ T **312** ἴσσασιν 9 A B E F T **314** παρὲκ r (praestaret πάρεκ) **315** μήτει Them. Z μέγ' ἀμείνων 9 tt* Ω: περιγίνεται Clem. (ex 318) **317** ἐρεχθομένην 9 tt* sch^{AbTD} Ω*: ἐριχθ- Y rr (cf. Procl. Hymn. 7.38): ἐεργ- $sch^{\gamma\rho}$: σπερχ- (sc. ἐπερχ-) Orio **318** περιγίνεται tt Ω: -γιγν- 9 **319** ἄλλος Antigonus 9 T^{λ} Y R^{a} (cf. Λ 636): ἀλλ' ὃς Ptol Hdn Ω* πεποιθώς 9 Ω*: πέποιθεν G, nov. Eust. **322** εἴδηι van Leeuwen: εἰδῆι Ω.—cf. Praef. xxxiii **324** τὸ 636 Ω*: τὸν A *b*

ἕστηκε ξύλον αὖον ὅσον τ' ὄργυι' ὑπὲρ αἴης,
ἢ δρυὸς ἢ πεύκης· τὸ μὲν οὐ καταπύθεται ὄμβρωι·
λᾶε δὲ τοῦ ἑκάτερθεν ἐρηρέδαται δύο λευκώ
330 ἐν ξυνοχῆισιν ὁδοῦ, λεῖος δ' ἱππόδρομος ἀμφίς·
ἥ τεο σῆμα βροτοῖο πάλαι κατατεθνηῶτος
ἢ τό γε νύσσα τέτυκτο ἐπὶ προτέρων ἀνθρώπων·
καὶ νῦν τέρματ' ἔθηκε ποδάρκης δῖος Ἀχιλλεύς.
τῶι σὺ μάλ' ἐγχρίμψας ἐλάαν σχεδὸν ἅρμα καὶ ἵππους,
335 αὐτὸς δὲ κλινθῆναι ἐϋπλέκτωι ἐνὶ δίφρωι
ἦκ' ἐπ' ἀριστερὰ τοῖιν· ἀτὰρ τὸν δεξιὸν ἵππον
κένσαι ὁμοκλήσας, εἶξαί τέ οἱ ἡνία χερσίν,
ἐν νύσσηι δέ τοι ἵππος ἀριστερὸς ἐγχριμφθήτω,
ὡς ἄν τοι πλήμνη γε δοάσσεται ἄκρον ἱκέσθαι
340 κύκλου ποιητοῖο· λίθου δ' ἀλέασθαι ἐπαυρεῖν,
μή πως ἵππους τε τρώσηις κατά θ' ἅρματα ἄξηις·
χάρμα δὲ τοῖς ἄλλοισιν, ἐλεγχείη δὲ σοὶ αὐτῶι
ἔσσεται. ἀλλά, φίλος, φρονέων πεφυλαγμένος εἶναι.
εἰ γάρ κ' ἐν νύσσηι γε παρεξελάσηισθα διώκων,
345 οὐκ ἔσθ' ὅς κέ σ' ἕληισι μετάλμενος οὐδὲ παρέλθοι,

332 (νύσσα) Apio 96.2; ApS 117.6; H. ν 744; Orio 107.22; Phot. Lex. s.v. **334** (ἐγχρ.) H. ε 3455 **335–40** Pl. Ion 537a; **335–7** Xen. Conv. 4.6; **335** (κλινθ.) H. κ 3000; **336b–7a** ApS 46.29; Epm. ν 50; **337a** Hdn i.442.5; EtG s.v. ἠκέστας; Epm. κ 65; (κένσαι) H. (Cyr.) κ 1991, 2222; **338** cf. Max. Tyr. 18.8; (ἐν ν.) H. ε 3224; (ἵππος–) ApS 62.8; (ἐγχρ.) H. ε 362; **339** (δοάσσ.) id. δ 2088; **340b** ApS 71.2 **341** Iul. Or. 3.122d **342b–3** ApS 10.30; **342** (ἐλεγχ.) id. 66.4; H. ε 1957

327 αὖον Hdn A A^λ: αὐ- Ω* ὄργυι' fere Ω (-γυῖ' B F, -υί' *b* T^c): ὀρόγυι' Platt ὑπὲρ αἴης tt Ω (γαίης D): ἐνὶ γαίηι "ἔν τισιν" **328** οὐ tt Ω: οὗ Hippias (Aristotelis testimonia expedivit Wack. KS 1078–80) **329** λευκώ tt* Ω: -οί [Alex.]^vl sch-Ψ^vl **331** τεο Payne Knight: τευ Ω (τε D) κατατεθνηῶτος A^s E F W G: -θνει- E^s F^s Ω* **332–3** pro his ἠὲ σκῖρος ἔην· νῦν αὖ θέτο τέρματ' Ἀχιλλεύς Ar teste sch^T/Eust. (immo Arph? Bolling Ext. Evid. 201) **332** τέτυκτο 1297 Ω: -αι A^a **333** τέρματ' Ω*: τέρμ' *b* **334** ἐγχρίμψας t Z Ω*: -ίψας D F R: -ιφθεὶς *b*, -ιμφθεὶς rr **335** αὐτὸς δὲ κλινθῆναι Xen. Ω: κλινθῆναι δὲ καὶ αὐτὸς Plato ἐϋπλέκτωι ἐνὶ δίφρωι Ω*: -ξέστωι ἐνὶ δίφρωι Plato D: -ξέστου ἐπὶ δίφρου Xen. **336** τοῖϊν tt A^λ Ω: τοῖον (Heyne cl. 246) O^a **337** ὁμοκλ- Ω **338** ἐγχριφθήτω D R G **339** ἄν t^vl Z Ω: μή t^vl **341** ἵππους et κατά θ' Ω: αὐτόν et σύν θ' t.—cf. ad 467 **342** ἐλεγχείη tt* Ω: ἀεικίη ApS^10: ἐλεγχείην Nauck deleto 343 (cf. Γ 51), quo pacto pro χάρμα δὲ requiram χάρματα (plur. sicut Hes. Op. 701; parechesis ἅρματα–χάρματα) δὲ σοὶ Ω*, δέ σοι A T Y G, δε σοι D: δέ τοι N **343** ἔσσεται Ω*, ἔσται t: ἔσσεαι quidam ap. sch^T C **344** παρὲξ A C E F^a (praestaret πάρεξ) **345** παρέλθοι Ω: -η(ι) V rr

οὐδ' εἴ κεν μετόπισθεν Ἀρίονα δῖον ἐλαύνοι,
Ἀδρήστου ταχὺν ἵππον, ὃς ἐκ θεόφιν γένος ἦεν,
ἢ τοὺς Λαομέδοντος, οἳ ἐνθάδε γ' ἔτραφον ἐσθλοί."
ὣς εἰπὼν Νέστωρ Νηλήϊος ἂψ ἐνὶ χώρηι
350 ἕζετ', ἐπεὶ ὧι παιδὶ ἑκάστου πείρατ' ἔειπεν.
Μηριόνης δ' ἄρα πέμπτος ἐΰτριχας ὡπλίσαθ' ἵππους.
ἂν δ' ἔβαν ἐς δίφρους, ἐν δὲ κλήρους ἐβάλοντο·
πάλλ' Ἀχιλεύς, ἐκ δὲ κλῆρος θόρε Νεστορίδαο
Ἀντιλόχου. μετὰ τὸν δ' ἔλαχε κρείων Εὔμηλος·
355 τῶι δ' ἄρ' ἔπ' Ἀτρείδης δουρικλειτὸς Μενέλαος·
τῶι δ' ἔπι Μηριόνης λάχ' ἐλαυνέμεν· ὕστατος αὖτε
Τυδείδης, ὄχ' ἄριστος ἐών, λάχ' ἐλαυνέμεν ἵππους.
στὰν δὲ μεταστοιχεί, σήμηνε δὲ τέρματ' Ἀχιλλεύς
τηλόθεν ἐν λείωι πεδίωι· παρὰ δὲ σκοπὸν εἷσεν
360 ἀντίθεον Φοίνικα, ὀπάονα πατρὸς ἑοῖο,
ὡς μεμνῆιτο δρόμου καὶ ἀληθείην ἀποείποι.
οἳ δ' ἅμα πάντες ἐφ' ἵπποιιν μάστιγας ἄειραν
πέπληγόν θ' ἱμᾶσιν ὁμόκλησάν τ' ἐπέεσσιν
ἐσσυμένως· οἳ δ' ὦκα διέπρησσον πεδίοιο
365 νόσφι νεῶν ταχέως· ὑπὸ δὲ στέρνοισι κονίη
ἵστατ' ἀειρομένη ὥς τε νέφος ἠὲ θύελλα,
χαῖται δὲ ῥώοντο μετὰ πνοιῇις ἀνέμοιο.
ἅρματα δ' ἄλλοτε μὲν χθονὶ πίλνατο πουλυβοτείρηι,

346–7 Paus. 8.25.8; **346–7a** sch [Hes.] Sc. 120 **358** Macr. Sat. 5.7.4; **358a** Hdn ad A 535b, B 777; EtG s.v. στάν; **358b–9** (–πεδ.) Nic ad Ψ 330a; **359** Eudoc. 1516 **361a** EtG s.v. μεμνέωιτο **362** [Ammon.] Diff. 34 **363** Eudoc. 1825; (πέπλ.) H. π 1467; **363b** Epm. π 173 **365b–6a** ApS 102.16 **367** id. 111.33; Eudoc. 934; Phot. Lex. μ 306; **367a** ApS 139.29; (ἐρρώ.) H. ε 6049 **368–72** (ἱππ.) Dio Prus. 32.79; **368–9a** Macr. Sat. 5.13.7; **368** (πίλν.) H. π 2288; **370b–1a** Anon. Fig. iii.159.22 Sp.

346 Ἀρίονα Paus A F^{c} Y (-ωνα) W: Ἀρεί- t* Z (parox.) T^{λ} Ω*.—cf. Pfeiffer ad Call. fr. 223 δῖον 254 tt Ω*: πῶλον Z $G^{\gamma\rho}$ (sc. ἀρείονα) **348** γ' ἔτραφον 254^{c} rr: γ' ἔτρεφον 254^{a}: γ' ἔτραφεν A B E: γ' ἔτρεφεν C: τέτραφεν Ω*: τράφεν T T^{λ}.—cf. ad Φ 279 **351** ὠπλίσαθ' (non ὁπλ-) 254 Ω **352** ἐν δὲ Ω (rem confudit Allen) **354** τον δ'⟦ε⟧έλαχε 254: τὸν δὲ λάχε *h* Ἐΰμηλος r **355** ἔπ' W V: ἐπ' Ω* δουρικλειτὸς Barnes (-ρεικλ- H): -κλιτος 254^{a}: -κλυτὸς 254^{c} Ω (δουρὶ A B^{a} E F T G) **356** ἔπι G: ἐπὶ vel ἐπι Ω* ὕστατος 254 Ω*: -ον C **358** μεταστοιχεί tt* Z T^{λ} Ω*: -χηι Macr.: -χί A^{λ} A R G: -χὸν D.—cf. ad 757 σήμηνε t* Ω*: -αινε Macr. T O **359** εἷσεν 254^{s} t Ω: -αν 254^{t} **361** μεμνῆιτο Bekker (cf. Ω 745): μεμνέωιτο Ptol Hdn t Z A^{λ} Ω*: μεμνόῳτο F: μεμεωδε 13 (in v. 757*c*) δρόμου (nov. Did) t Z Ω: -ους Ar **362** ἅμα t $A^{\gamma\rho}$ F^{a} T G (cf. Soph. El. 711): ἄρα Ω*.—cf. ad B 707 ἵπποιϊν 254 t Ω: -οισι *h* **363** ὁμοκλ- Z: ὁμ- Ω ομοκ]λήσαντες επέεσσι· 254 **367** δὲ ῥώοντο ApS^{139}: δ' ἐρρ- tt* Ω, ερώ- Z

ἄλλοτε δ' ἀΐξασκε μετήορα· τοὶ δ' ἐλατῆρες
370 ἕστασαν ἐν δίφροισι, πάτασσε δὲ θυμὸς ἑκάστου
νίκης ἱεμένων. κέκλοντο δὲ οἷσιν ἕκαστος
ἵπποις· οἳ δ' ἐπέτοντο κονίοντες πεδίοιο.
ἀλλ' ὅτε δὴ πύματον τέλεον δρόμον ὠκέες ἵπποι
ἂψ ἐφ' ἁλὸς πολιῆς, τότε δὴ ἀρετή γε ἑκάστου
375 φαίνετ'· ἄφαρ δ' ἵπποισι τάθη δρόμος· ὦκα δ' ἔπειτα
αἱ Φηρητιάδαο ποδώκεες ἔκφερον ἵπποι,
τὰς δὲ μέτ' ἐξέφερον Διομήδεος ἄρσενες ἵπποι
Τρώϊοι, οὐδέ τι πολλὸν ἄνευθ' ἔσαν, ἀλλὰ μάλ' ἐγγύς.
αἰεὶ γὰρ δίφρου ἐπιβησομένοισιν ἐΐκτην,
380 πνοιῆι δ' Εὐμήλοιο μετάφρενον εὐρέε τ' ὤμω
θέρμετ'· ἐπ' αὐτῶι γὰρ κεφαλὰς καταθέντε πετέσθην.
καί νύ κεν ἢ παρέλασσ' ἤ' ἀμφήριστον ἔθηκεν,
εἰ μὴ Τυδέος υἷι κοτέσσατο Φοῖβος Ἀπόλλων,
ὅς ῥά οἱ ἐκ χειρῶν ἔβαλεν μάστιγα φαεινήν.
385 τοῖο δ' ἀπ' ὀφθαλμῶν χύτο δάκρυα χωομένοιο,
οὕνεκα τὰς μὲν ὅρα ἔτι καὶ πολὺ μάλλον ἰούσας,
οἱ δ' ἑοὶ ἐβλάφθησαν ἄνευ κέντροιο θέοντες.
οὐδ' ἄρ' Ἀθηναίην ἐλεφηράμενος λάθ' Ἀπόλλων
Τυδείδην, μάλα δ' ὦκα μετέσσυτο ποιμένα λαῶν,
390 δῶκε δέ οἱ μάστιγα, μένος δ' ἵπποισιν ἐνῆκεν.
ἢ δὲ μετ' Ἀδμήτου υἱὸν κοτέουσα βεβήκει·
ἵππειόν οἱ ἔαξε θεὰ ζυγόν, αἱ δέ οἱ ἵπποι

373 (–δρόμον) Nonn. D. 37.289; **373a** sch Ψ 353–7 **375** (ὦκα)–**6** EtG α 261 **379–80** (–μετάφρ.) Demetr. Eloc. 210; **380–1** Macr. Sat. 5.13.3; **380** (Εὐμ.) Hdn ad B 847 **382** Gell. 2.26.20; (ἀμφήρ.) H. (Cyr.) α 3940 **387a** ApD Pron. 107.5, Synt. 214.13, 314.9; Hdn ad T 384a; **387b** sch Pind. Ol. 1.33a; (θέοντες) H. (Cyr.) θ 285 **388** sch τ 564; (ἐλεφ.) ApS 66.11; H. ε 2037

372 δὲ πέτοντο *h* T **373** τέλεον δρόμον t Ω*: δρόμον τέλεον R[a]: δρόμον tantum W: δρόμον ἔτρεχον C **374** ἐφ' Ar Ω*: ἀφ' "αἱ πλείους" Didymi A[s] F T G γε Ω*: τε T **376** πο]δωκέε[ς 1297 **377** μέτ' A[λ] G: μετ' vel μετ- Hdn Ω* **378** οὐδέ τι Ω*: οὐδ' ἔτι T: οὐ γὰρ D **379** δίφρου Ω: -ωι t A[s] **380** εὐρέε τ' ὤμω Ω* (= Π 791): ἠδὲ καὶ ὤμους Macr. W (cf. B 265) **382** παρέλασσ' Ω: -σσεν H O V ἤ' Fick: ἢ Ω **386** μάλλον Blass: μᾶ- Ω **387** δ' ἑοὶ Ptol, δὲ οἱ agn. ApD: δέ οἱ Ar A[λ] Ω θέοντες t* Ω: -ουσαι sch-Pind. **389** μετέσσυτο 254 Ω*: διέ- D **390** δ' 254 Ω*: θ' W ἵπποισιν 254 Ω: -οιϊν Eust. ἐνῆικεν A **391** κοτέουσα βεβήκει 254 A[m] Ω*: -ουσ' ἐβεβ- A *b* **392** οἱ ἔαξε C.A.J. Hoffmann Quaest. Hom. (1848) II 93, prob. Wack. KS 1558 sq. (cf. 1541): δέ οἱ ἄξε 254 R V: δέ οἱ ἦξε Ω*: δέ (ϝ') ἔαξε van Gent post Bentley αἱ Ω: οἱ 254 H

ἀμφὶς ὁδοῦ δραμέτην, ῥυμὸς δ' ἐπὶ γαῖαν ἐλύσθη·
αὐτὸς δ' ἐκ δίφροιο παρὰ τροχὸν ἐξεκυλίσθη,
395 ἀγκῶνάς τε περιδρύφθη στόμα τε ῥῖνάς τε,
θρυλίχθη δὲ μέτωπον ἐπ' ὀφρύσι· τὼ δέ οἱ ὄσσε
δακρυόφι πλῆσθεν, θαλερὴ δέ οἱ ἔσκετο φωνή.
Τυδείδης δὲ παρατρέψας ἔχε μώνυχας ἵππους,
πολλὸν τῶν ἄλλων ἐξάλμενος· ἐν γὰρ Ἀθήνη
400 ἵπποις ἧκε μένος καὶ ἐπ' αὐτῶι κῦδος ἔθηκεν.
τῶι δ' ἄρ' ἐπ' Ἀτρείδης εἶχε ξανθὸς Μενέλαος.
Ἀντίλοχος δ' ἵπποισιν ἐκέκλετο πατρὸς ἑοῖο·
"ἔμβητον καὶ σφῶϊ· τιταίνετον ὅττι τάχιστα.
ἤτοι μὲν κείνοισιν ἐριζέμεν οὔ τι κελεύω,
405 Τυδείδεω ἵπποισι δαΐφρονος, οἷσιν Ἀθήνη
νῦν ὤρεξε τάχος καὶ ἐπ' αὐτῶι κῦδος ἔθηκεν·
ἵππους δ' Ἀτρείδαο κιχάνετε, μηδὲ λίπησθον,
καρπαλίμως, μὴ σφῶϊν ἐλεγχείην καταχεύηι
Αἴθη θῆλυς ἐοῦσα. τίη λείπεσθε, φέριστοι;
410 ὧδε γὰρ ἐξερέω, καὶ μὴν τετελεσμένον ἔσται·
οὐ σφῶϊν κομιδὴ παρὰ Νέστορι ποιμένι λαῶν
ἔσσεται, αὐτίκα δ' ὔμμε κατακτενεῖ ὀξέϊ χαλκῶι,
αἴ κ' ἀποκηδήσαντε φερώμεθα χεῖρον ἄεθλον.
ἀλλ' ἐφαμαρτεῖτον καὶ σπεύδετον ὅττι τάχιστα·
415 ταῦτα δ' ἐγὼν αὐτὸς τεχνήσομαι ἠδὲ νοήσω,
στεινωπῶι ἐν ὁδῶι παραδύμεναι, οὐδέ με λήσει."

393a Apio 218.21; ApS 29.3; **393**b Orio 63.28; (ἐλύσθη) ApS 67.4; H. (Cyr.) ε [2111], 2235, η 397 **395** Aristid. Or. 3.468; (περιδρ.) H. π 1647 **396**a ApS 88.21 (ex Apione); Choer. in Thd. ii.154.35; (θρυλ.) H. θ 792; Orio 71.θ 11 **406** (ὤρεξε) H. (Cyr.) ω 320 **408** (μὴ–)–9a sch Θ 113; **409**a Polyb. Soloec. 287.3 Nauck **411** (–Νέστ.) sch Θ 113; **411**a [Ammon.] Diff. 276 **412** al. (ὔμμε) H. υ 185 **413** sch Θ 185b; (ἀποκ.–) EtG α 1035; (ἀποκ.) ApS 39.30; H. (Cyr.) α 6381; Phot. Lex. α 2511; (χεῖρον) H. χ 300 **415** Eudoc. 511; (τεχν.) H. (Cyr.) τ 724

395 (ἀγκῶνάς) τε t Ω: δὲ 254 **396** θρυλίχθη 254 ApS Z T^{λ} Ω*: θρυλλ- tt* F μέτωπον 254 Ω: -πα Choer.: μετ[511: πρόσωπον t* **397** δακρυόφι Wolf: -φιν 254 511 Z Ω ἔσκετο v. ad P 696: ἔσχ- Z Ω* R^{s}: ἔκπεσε R^{t} **399** ἐν A **400** ἔθηκε(ν) Ω*: ἔδωκε *b*.—cf. ad 406, A 2 **401** εἶχε ξανθὸς Μενέλαος Ω,] Μεν̣ελαος 452: δουρικ̣[λ 254 **402** ἑοῖο 13 452 Ω*: ἑῆος D^{c} G^{a} **405–6** ath. Ar: def. sch^{bT} **406** ἔθηκεν 13 452 511 Ω*: ἔδωκεν C.—cf. ad 400 **407** λίπησθον 452 Ω: -σθε 13 **409** τί ἠ A B E T **410** καὶ μὴν (= π 440) 13 Ω (μιν D): καὶ μὲν Christ, prob. Wack. Unt. 21: τὸ δὲ καὶ (= A 212 al.) Bekker (cf. Ψ 672, τ 487 vv.ll.) **411** κομιδὴ 13 tt Z A^{λ} Ω*: -ὴν G: βιοτὴ "ἔν τισι" **412** damn. Agar CR 14 (1900) 4 κατακτενεῖ 13 Ω*: -κτάνει D **414** ἐφαμαρτεῖτον Ar^{a}: ἐφομ- Ar^{b} 13 Z Ω (-ῆτον R).—cf. ad Θ 191, M 412; Praef. xxx

ὣς ἔφαθ'· οἳ δὲ ἄνακτος ὑποδδείσαντες ὁμοκλὴν
μάλλον ἐπεδραμέτην ὀλίγον χρόνον. αἶψα δ' ἔπειτα
στεῖνος ὁδοῦ κοίλης ἴδεν Ἀντίλοχος μενεχάρμης·
420 ῥωγμὸς ἔην γαίης, ἧι χειμέριον ἀλὲν ὕδωρ
ἐξέρρηξεν ὁδοῖο, βάθυνε δὲ χῶρον ἅπαντα.
τῆι ῥ' εἶχεν Μενέλαος ἁματροχιὰς ἀλεείνων·
Ἀντίλοχος δὲ παρατρέψας ἔχε μώνυχας ἵππους
ἐκτὸς ὁδοῦ, ὀλίγον δὲ παρακλίνας ἐδίωκεν.
425 Ἀτρείδης δ' ἔδδεισε καὶ Ἀντιλόχωι ἐγεγώνει·
"Ἀντίλοχ', ἀφραδέως ἱππάζεαι· ἀλλ' ἄνεχ' ἵππους—
στεινωπὸς γὰρ ὁδός, τάχα δ' εὐρυτέρη παρελάσσαι—
μή πως ἀμφοτέρους δηλήσεαι ἅρματι κύρσας."
ὣς ἔφατ'· Ἀντίλοχος δ' ἔτι καὶ πολὺ μάλλον ἔλαυνεν
430 κέντρωι ἐπισπέρχων, ὡς οὐκ ἀϊόντι ἐοικώς.
ὅσσα δὲ δίσκου οὖρα κατωμαδίοιο πέλονται,
ὅν τ' αἰζηὸς ἀφῆκεν ἀνὴρ πειρώμενος ἥβης,
τόσσον ἐπεδραμέτην· αἳ δ' ἠρώησαν ὀπίσσω
Ἀτρείδεω· αὐτὸς γὰρ ἑκὼν μεθέηκεν ἐλαύνειν,
435 μή πως συγκύρσειαν ὁδῶι ἔνι μώνυχες ἵπποι
δίφρους τ' ἀνστρέψειαν ἐϋπλεκέας, κατὰ δ' αὐτοὶ
ἐν κονίηισι πέσοιεν ἐπειγόμενοι περὶ νίκης.

419 (–'Αντ.) Epm. ο 90; **419**a id. τ 68 **420–1** imit. Nonn.D. 37.397–400; **420**a ApS 139.27; Orio 140.7; EtG α 1038, 1165 et s.v. ῥωχμός; (ῥ. ἔην) sch^{bT} Ψ 419b; (ῥ.) H. ρ 557; Phot. Lex. s.v.; **420**b Hdn ad Λ 192a[1]; (ἧι–ἀλέν) EtG α 784; (ἀλέν) sch Φ 262c; H. α 2861; **421**a sch Δ 100c **422** [Ammon.] Diff. 32; Porph. Hom. 15.23 Sod.; **422**a sch N 326b; **422**b ApS 28.1; (ἁματρ.) Poll. 7.116; H. α 3482/3, cf. 7304; EtG α 606 **427**a ApS 146.12; (στειν.) H. σ 1710 **430** (οὐκ–) Lib. Ep. 546.1 (x.510.20 F.); H. (Cyr.) ο 1620; cf. Luc. Dial. 10.18, 36.26 **431** sch θ 190; **431**a Ar ap. Arn/Hdn ad Ψ 523a–c; H. (Cyr.) ο 1426; (οὖρα) H. ο 1821, 1844; **431**b sch O 352; (κατωμ.) cf. Hdn ad κ 169; sch Ψ 500b; H. κ 1882, cf. ω 176 **433**b ApS 84.33; (ἠρώ.) H. η 868

417 ὑποδδείσαντες (nov. Did) 13 Ω*: ὑποδείσ- Ar O: ὁμοκλήσ- C ὁμοκλήν Ω*: ἀπειλὴν C **418** μάλλον Blass: μᾶ- Ω ἐπεδραμέτην D R: ἐπιδρ- 13 Ω*.—cf. ad 433, 447, K 354 **420** ῥωγμὸς ApS Hdn Hsch. Nonn. rr: -χμὸς 13 ApS$^{\lambda}$ tt* Z A$^{\lambda}$ Ω **421** ἅπαντα Ar Ω: ἔνερθεν Arph **422** τῆι (nov. Did) [13] tt Z Ω: ἧι Ar **424** παρακλίνας 13 Ω: -κλινθεὶς A$^{\gamma\rho}$: παρεκκλίνας Eust. rr **425** ἔδδεισε 13 Ω: ἔδει-σε r **427** εὐρυτέρη sch^{bT} D R: -ρηι 13 Ω* παρελάσσαι 13 sch^{bT}: -σσαις E *h*: -σσεις fere Ω* (περ ἐλ- A, πελ- T) **429** μάλλον Blass: μᾶ- Ω **430** οὐκ 13 257 tt* Ω: οὐδ' Luc. ἀϊόντι Schulze Kl. Schr. 345: proparox. 13 Ω.—cf. Praef. xx **432** αιζη-ιος 13, αἰζηιὸς A$^{c?}$ (cf. P 520) **433** ἐπεδραμέτην rr: ἐπιδρ- 13 Ω.—cf. ad 418 αἳ vel αἱ 13 t Ω, [..] 257: τοὶ flagit. sch^{T} (cl. 295) **434** ἐλαύνειν 13^{s} Ω: -ων 13^{t} **435** ἔνι 13 Ω*: ἐνι D G **436** ἀνστρέψειαν 13 Ω (ἀναστρ- T G^{s}): ἀνατρ- O rr, ἀντρ- Ernesti

τὸν καὶ νεικείων προσέφη ξανθὸς Μενέλαος·
"Ἀντίλοχ', οὔ τις σεῖο βροτῶν ὀλοώτερος ἄλλος.
440 ἔρρ', ἐπεὶ οὔ σ' ἔτυμόν γε φάμεν πεπνῦσθαι Ἀχαιοί.
ἀλλ' οὐ μὰν οὐδ' ὧς ἄτερ ὅρκου γ' οἴσε' ἄεθλον."
ὣς εἰπὼν ἵπποισιν ἐκέκλετο φώνησέν τε·
"μή μοι ἐρύκεσθον μηδ' ἕστατον ἀχνυμένω κῆρ·
φθήσονται τούτοισι πόδες καὶ γοῦνα καμόντα
445 ἤ' ὑμῖν· ἄμφω γὰρ ἀτέμβονται νεότητος."
ὣς ἔφαθ'· οἳ δὲ ἄνακτος ὑποδδείσαντες ὀμοκλήν
μάλλον ἐπεδραμέτην, τάχα δέ σφισιν ἄγχι γένοντο.
Ἀργεῖοι δ' ἐν ἀγῶνι καθήμενοι εἰσορόωντο
ἵππους· τοὶ δ' ἐπέτοντο κονίοντες πεδίοιο.
450 πρῶτος δ' Ἰδομενεὺς Κρητῶν ἀγὸς ἐφράσαθ' ἵππους·
ἧστο γὰρ ἐκτὸς ἀγῶνος ὑπέρτατος ἐν περιωπῆι.
τοῖο δ' ἄνευθεν ἐόντος ὀμοκλητῆρος ἀκούσας
ἔγνω, φράσσατο δ' ἵππον ἀριπρεπέα προύχοντα,
ὃς τὸ μὲν ἄλλο τόσον φοίνιξ ἦν, ἐν δὲ μετώπωι
455 λευκὸν σῆμ' ἐτέτυκτο, περίτροχον ἠΰτε μήνη.
στῆ δ' ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
"ὦ φίλοι, Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
οἶος ἐγὼν ἵππους αὐγάζομαι, ἧε καὶ ὑμεῖς;
ἄλλοί μοι δοκέουσι παροίτεροι ἔμμεναι ἵπποι,

445 (ἄμφω–) sch Ψ 303; (ἀτέμβ.) H. α 8046 **448** (–καθήμ.) Porph. Hom. 107.12 Sod. **453** (φρ.–) Epm. α 146 **454** (–ἦν) Arn ad Σ 378a(b); (τὸ μὲν–)–**455**a ApS 164.29; (τὸ μὲν–ἦν) sch X 322b; EtG s.v. Φοίνικες (Philox. fr. 622 Th.); (ἐν δὲ–)–**455** Porph. Hom. 133.9 Sod.; **455** (περίτρ.) H. π 1928; (μήνη) ApS 112.23; H. (Cyr.) μ 1217a; Phot. Lex. μ 400 **458** (ἐγὼν–) EtG α 1560; (αὐγ.) ApS 47.22; H. (Cyr.) α 8226 **459–60** (–ἰνδ.) ApD Synt. 53.6; **459** ib. 55.1; sch A.R. 1.910a; **459**b ApS 128.3; (παροί.) H. π 978; **460** (ἰνδ.) H. (Cyr.) ι [163], 665; Phot. Lex. ι 135

440 γε φάμεν Hdn A A$^{\lambda}$ D *b* G: γε φὰμε[ν 13, γε φαμὲν Ω*: γ' ἔφαμεν rr πεπνῦσθαι T$^{?}$ T$^{\lambda ?}$: -ύσθαι Ω (proparox. G) **441** ὧς 13 F^{a}?: ὡς A, ὣς Ω* γ' 13 257$^{?}$ D T: om. Ω* οἴσε' Payne Knight: -ση(ι) 13 Ω **444** φθήσονται 13 Z Ω* G^{s}: φθί- D B^{s} R^{a} W G^{t} καμόντε 13 **445** ἤ' Fick: η 13 452, ἠ A, ἢ Ω* **446** ὑποδδείσαντες 13 Ω: ὑποδεί- O ὀμοκλήν Ω **447** μάλλον Blass: μᾶ- Ω ἐπεδραμέτην rr: ἐπιδρ- 13 452 Ω.—cf. ad 418 ἄγχι γένοντο (= Θ 117) 13 Ω*: ἄγχ' ἐγ- D **449** damn. Payne Knight τοὶ Ω*: οἳ 13 452 D T δὲ πέτοντο A B E F T **452** ἐόντος Ω*: ἰόντος 13 D ὀμοκλ- Ω ἀκούσας Ω: -ων 13.—cf. ad M 273 **453** προύχοντα 13 t Ω: προέχ- Payne Knight **454** τόσον Ar (t) 13 tt* Z A$^{\lambda}$ Ω (cf. X 322): δέμας ApS (cf. A.R. 4.1645; Rengakos 136 sq.) φοίνιξ Z H: φοῖ- 13 A$^{\lambda}$ Ω **455** σῆμ' ἐτέτυκτο (nov. Did) 13 452^{uv} tt A$^{\lambda}$ Ω*: σῆμα τέτ- Ar F R G **458** ἦε Bekker: ηε 9 13, ἠὲ Ω **459** παροίτεροι 9 13 326 tt Z Ω (παυρότ- D): -αι rr

460 ἄλλος δ' ἡνίοχος ἰνδάλλεται· αἳ δέ που αὐτοῦ
ἔβλαβεν ἐν πεδίωι, αἳ κεῖσέ γε φέρτεραι ἦσαν·
ἤτοι γὰρ τὰς πρῶτα ἴδον περὶ τέρμα βαλούσας,
νῦν δ' οὔ πηι δύναμαι ἰδέειν, πάντηι δέ μοι ὄσσε
Τρωϊκὸν ἂμ πεδίον παπταίνετον εἰσορόωντι·
465 ἠὲ τὸν ἡνίοχον φύγον ἡνία, οὐδ' ἐδυνάσθη
εὖ σχεθέειν περὶ τέρμα, καὶ οὐκ ἐτύχησεν ἑλίξας·
ἔνθά μιν ἐκπεσέειν ὀΐω σύν θ' ἅρματα ἆξαι,
αἳ δ' ἐξηρώησαν, ἐπεὶ μένος ἔλλαβε θυμόν.
ἀλλὰ ἴδεσθε καὶ ὔμμες ἀνασταδόν· οὐ γὰρ ἐγώ γε
470 εὖ διαγινώσκω, δοκέει δέ μοι ἔμμεναι ἀνήρ
Αἰτωλὸς γενεήν, μετὰ δ' Ἀργείοισιν ἀνάσσει,
Τυδέος ἱπποδάμου υἱός, κρατερὸς Διομήδης."
τὸν δ' αἰσχρῶς ἐνένιπεν Ὀϊλῆος ταχὺς Αἴας·
"Ἰδομενεῦ, τί πάρος λαβρεύεαι; αἳ δ' ἔτ' ἄνευθεν
475 ἵπποι ἀερσίποδες πολέος πεδίοιο δίενται.
οὔτε νεώτατός ἐσσι μετ' Ἀργείοισι τοσοῦτον,
οὔτέ τοι ὀξύτατον κεφαλῆς ἐκδέρκεται ὄσσε.
ἀλλ' αἰεὶ μύθοις λαβρεύεαι· οὐδέ τί σε χρή
λαβραγόρην ἔμεναι· πάρα γὰρ καὶ ἀμείνονες ἄλλοι.

461b Epm. κ 149 **462** (περὶ–) H. π 1909; (τέρμα) id. τ 532; Phot. Lex. s.v. **466** (ἑλίξας) H. ε 2100 **468** (ἐξηρ.) ApS 70.11; H. (Cyr.) ε 3878 **469–70** Eudoc. 1143–4 **474** (–λαβρ.) + **478** (οὐδέ–)–**9**a Plut. Mor. 35b; **474** (τί π. λαβρ.) sch Nic. Al. 160; (λαβρ.) ApS 106.15; H. λ 23; **475** Hdn ad M 276c, Σ 162a[1]; (δίενται) ApS 58.32; H. (Cyr.) δ 1600; **477** ApD Synt. 418.5; Eudoc. 869; (–κεφ.) sch[bT] Ψ 479b; **478–9**a Stob. 3.36.7; **478** (–λαβρ.) Arn ad Ψ 479a; (αἰεὶ–)–**479**a [Plut.] Hom. 2.149.3; **479** (λαβραγ.) H. λ 18; Phot. Lex. λ 8; EtG λ 185

461 κεῖσέ Ar t 9 13 A[λ] Ω: κεῖθί Zen φέρτεραι 13 Ω*: -οι 9 326 t T R W **462–4** damn. Kurtz Phil. 36 (1887) 562–4 **462** βαλούσας 9 13 Z A[λ] Ω*: λαβ- 326 t: μολ- W[c] **463** πη(ι) Arph 13 1520 A[s] D F T R G[a]: πω (nov. Did) 9 Ω*.—cf. ad P 643 **464** παπταίνετον (nov. Did) 9 13 (παντ-) Ω, -ετο Z: -εται Ar[ab] **465** ἠὲ Ω: ἦε Hdn (pro interrogativo) φύγον 9 13 Ω*: -εν A.—cf. ad Θ 137, Λ 128 οὐδ' ἐδυνάσθη T G: οὐδὲ δ- Ω* **467** ἔνθά sic Ω praeter T ὀΐω D F R G: οιω 9 13, οἴω Ω* σύν 9 13 Ω*: κατά A[γρ] A[m] F T W G.—cf. ad 341 ἆξαι F W: ἄ- Ω*.—v. Praef. xx **469** ὔμμες 13 A B C F: ὑ- Ω* ἐγώ γε Bekker: ἔγωγε Ω **470** διαγινώσκω 9 t Ω*, -γ⟦ε⟧ιν- 13: -γιγν- W **471** ath. Ar ἀνάσσει 9 Ω*: -ειν G **472** ἱπποδάμου 9 13 Ω: -μοιο rr, item cum παῖς pro υἱὸς *b* **473** ἐνένιπεν Ω*: -ισπεν 9 C F R G: -ειπεν W: ἐνέειπεν T Ὀϊλῆος: cf. ad B 527 **474** πάρος 9 13 tt Ω: τ' ἄρ' (ταρ) ὣς Herwerden (cl. M 409; cf. Σ 6) δ' ἔτ' Doederlein: δέ τ' 9 Ω **475** δίενται Hdn 9 tt Z Ω: -ωνται A[λ] A[s] rr **477** οὔτέ sic Ω ὀξύτατον 9 13 tt Ω: -τερον quidam ap. sch[T] ἐκδέρκεται 9 t* Ω: -ετον ApD *b* **478** μύθοις 9 13 tt Ω*: -οισι Arn (cod. A) D R: -οιο C **479** ath. Ar ἔμεναι 9 13 t* A[λ] Ω* (ἔμμ- *b* R G): τ' ἔμ(μ)- (ex α 385?) Stob. T W

480 ἵπποι δ' αὐταὶ ἔασι παροίτεραι, αἳ τὸ πάρος περ,
Εὐμήλου, ἐν δ' αὐτὸς ἔχων εὔληρα βέβηκεν."
τὸν δὲ χολωσάμενος Κρητῶν ἀγὸς ἀντίον ηὔδα·
"Αἶαν, νείκει ἄριστε, κακοφραδές, ἄλλά τε πάντα
δεύεαι Ἀργείων, ὅ τέ τοι νόος ἐστὶν ἀπηνής.
485 δεῦρό νυν, ἢ τρίποδος περιδώμεθα ἠὲ λέβητος,
ἴστορα δ' Ἀτρείδην Ἀγαμέμνονα θείομεν ἄμφω,
ὁππότεραι πρόσθ' ἵπποι, ἵνα γνώῃς ἀποτίνων."
ὣς ἔφατ'· ὤρνυτο δ' αὐτίκ' Ὀϊλῆος ταχὺς Αἴας
χωόμενος χαλεποῖσιν ἀμείψασθαι ἐπέεσσιν.
490 καί νύ κε δὴ προτέρω ἔτ' ἔρις γένετ' ἀμφοτέροισιν,
εἰ μὴ Ἀχιλλεὺς αὐτὸς ἀνίστατο καὶ φάτο μῦθον·
"μηκέτι νῦν χαλεποῖσιν ἀμείβεσθον ἐπέεσσιν,
Αἶαν Ἰδομενεῦ τε, κακοῖς, ἐπεὶ οὐδὲ ἔοικεν·
καὶ δ' ἄλλωι νεμεσᾶτον, ὅτις τοιαῦτά γε ῥέζοι.
495 ἀλλ' ὑμεῖς ἐν ἀγῶνι καθήμενοι εἰσοράασθε
ἵππους· οἳ δὲ τάχ' αὐτοὶ ἐπειγόμενοι περὶ νίκης
ἐνθάδ' ἐλεύσονται· τότε δὲ γνώσεσθε ἕκαστος

481 (ἐν δ'–) EtG s.v. εὔληρα; (εὔλ.) ApS 79.1; H. ε 6962; Orio 52.14 **483** (–κακ.) Plut. Mor. 35b; (νείκει ἄρ.) H. ν 224 **485** Choer. in Heph. 235.21; (–περιδ.) sch Ar. Ach. 772a, Eq. 791a, Nub. 644; H. (Cyr.) δ 731; Phot. Lex. s.v. περιδεδόσθαι; EtG s.v. περιδώσομαι; **485**a Hdn ad K 105, Φ 428a/b; (δεῦρο) Apio 230.12; (περιδ.) H. π 1642 **486** Porph. Il. 238.29 Schr.; (–'Αγ.) sch K 329; sch A.R. 4.1558; **486**a sch T 258a **489** (ἀμείψ.) H. α 3560 **490** Eudoc. 1432; **490**a sch I 192b **492** Eudoc. 1427; (χαλεπ.) sch Ψ 493 **494** Eudoc. 1428 **497**b ead. 495

480 αὐταὶ *h* T: αὖται 13 A G^{c}: αυται 9: αὖτε Ω*: αὖ ταὶ quidam olim? (Leaf) παροίτεραι 9 Ω*: -οι A D **483** Αἴᾱν A νείκει (nov. Did) 13 Z T^{λ} Ω* (cf. I 54, O 108, Ψ 891, Ω 261): νεῖκος Ar 9 Plut. *h* (cf. Γ 39): νείκη Hsch. F G^{s}: -κε' (Heyne) r ἄλλά sic A *b* F τε 9 13 Ω: δ' ε Z, δὲ O **484** ὅ τε Barnes: ὅτι 9 Ω*: ὅθι W.—cf. ad Π 35 **485** δεῦρό νυν ἢ Hdn 9 13 tt* Ω: εἰ δ' ἄγε νῦν Phot. περιδώμεθα tt* Z^{c} T rr: -μεθον Hdn 9 13 (πέρι δ- contra Hdn) 1520 EtG Phot. Z^{a} A^{λ} Ω*.—cf. Wack. Unt. 55, Synt. I 81 sq.; Chantr. I 478 **486** ἴστορα 13^{m} Ω*: ἵ- 13^{t} D O **487** ὁππότεραι 9 13 A^{λ} Ω: -οι rr (cf. 498) γνώη(ι)ς 655^{a} T^{λ} H (-ηισ') rr (cf. A 302, Ψ 610): γνοί- 9 13 1520 Ω (-ηις A W) ἀποτίνων 9 259 1520 Z Ω: -τείνων 13 O **488** ὤρνυτο 9 13 (om. δ') Ω*: ὄ- R O **490** κε δὴ 9 Eudoc. Ω: κ' ἔτι (ex 526?) 13 t* **491** φάτο μῦθον 9 13 48 259 Ω: κατέρυκε (= 734) $A^{\gamma\rho}$ O rr (cf. A.R. 1.494; Rengakos 137) **492** ἀμείβεσθον 9 13^{2} Ω*: -βεσθαι 13^{a} 48 r: -βεσθε t: -ψασθαι (ex 489) D **493** damn. Heyne Αἶαν 9 13 Ω (Αἴᾱν A, Αἴαν D), def. Hartel Hom. Stud. I 64, Chantr. I 103 sq.: Αἰάν τ' Barnes (cf. A 17, T 400, al.): Αἴας (et fort. Ἰδομενεύς) Wack. KS 1533 sq. κακοῖς 9 13 48 T^{λ} Ω: -ῶς rr: ἄναξ "ἄμεινον" sch^{T} **494** νεμεσᾶτον 9 13 Ω (cf. ζ 286): -σᾶτε t: -σῶιτον La Roche Unt. II 129 n.1 ὅτις 9 13 Ω*: ὅστις t D C T R G ῥέζοι 9 13 t Ω: -ζη 48 H **495** εἰσοράασθε 9 13 48 Ω: -σθον *h* **497** τότε δὲ 9 13 t Ω: τάχα δὲ 435: τ]ạχα δ' ευ 48

ἵππους Ἀργείων, οἳ δεύτεροι οἵ τε πάροιθεν."
ὣς φάτο· Τυδείδης δὲ μάλα σχεδὸν ἦλθε διώκων,
500 μάστι δ' αἰὲν ἔλαυνε κατωμαδόν, οἱ δέ οἱ ἵπποι
ὑψόσ' ἀειρέσθην ῥίμφα πρήσσοντε κέλευθον·
αἰεὶ δ' ἡνίοχον κονίης ῥαθάμιγγες ἔβαλλον,
ἅρματα δὲ χρυσῶι πεπυκασμένα κασσιτέρωι τε
ἵπποις ὠκυπόδεσσιν ἐπέτρεχον· οὐδέ τι πολλή
505 γίνετ' ὀπισσώτρων ἁρματροχιὴ κατόπισθεν
ἐν λεπτῆι κονίηι· τὼ δὲ σπεύδοντε πετέσθην.
στῆ δὲ μέσωι ἐν ἀγῶνι, πολὺς δ' ἀνεκήκιεν ἱδρώς
ἵππων ἔκ τε λόφων καὶ ἀπὸ στέρνοιο χαμᾶζε·
αὐτὸς δ' ἐκ δίφροιο χαμαὶ θόρε παμφανόωντος,
510 κλῖνε δ' ἄρα μάστιγα ποτὶ ζυγόν. οὐδ' ἐμάτησεν
ἴφθιμος Σθένελος, ἀλλ' ἐσσυμένως λάβ' ἄεθλον,
δῶκε δ' ἄγειν ἑτάροισιν ὑπερθύμοισι γυναῖκα
καὶ τρίποδ' ὠτώεντα φέρειν· ὃ δὲ λῦεν ὕφ' ἵππους.
τῶι δ' ἄρ' ἔπ' Ἀντίλοχος Νηλήϊος ἤλασεν ἵππους,
515 κέρδεσιν, οὔ τι τάχει γε, παραφθάμενος Μενέλαον·
ἀλλὰ καὶ ὧς Μενέλαος ἔχ' ἐγγύθεν ὠκέας ἵππους.
ὅσσον δὲ τροχοῦ ἵππος ἀφίσταται, ὅς ῥά τ' ἄνακτα
ἕλκησιν πεδίοιο τιταινόμενος σὺν ὄχεσφιν·
τοῦ μέν τε ψαύουσιν ὀπισσώτρου τρίχες ἄκραι
520 οὐραῖαι, ὃ δέ τ' ἄγχι μάλα τρέχει, οὐδέ τι πολλή
χώρη μεσσηγύς, πολέος πεδίοιο θέοντος·

500a Choer. in Thd. i.378.8; (μάστι) H. μ 355; St. Byz. 693.17; (οἱ δέ–)–**501a** Hdn ad Ψ 387b^{1} **502** sch O 683–4; H. α 1809; Phot. Lex. α 559; **502a** sch N 516–17; (ῥαθ.) H. ρ 37 **503–4** (–ἐπέτρ.) Plut. Mor. 747e; **504** (οὐδέ–)–**6a** Porph. Hom. 16.22 Sod.; EtG α 1202; **504** (οὐδέ–)–**5** [Ammon.] Diff. 32; (–ἁρμ.) ApS 43.16; **505** (ἁρμ.) H. α 7305 **507** Eudoc. 1577; **507b** sch Soph. Ph. 784; Herm. in Pl. Phdr. 183.15 C. **515** (–παραφθ.) sch Ψ 322; (κέρδ.) H. (Cyr.) κ 2309 **519–20** (οὐρ.) sch Pind. Nem. 2.17c

498 τε 9 48 Ω*: τὸ 13 435 R **500** μάστι δ' 9 [13] tt A$^{\lambda}$ A D B E: μάστιγι δ' B^{s} Ω*, -γα δ' C V: μάστιγ' van Leeuwen Mn. 13 (1885) 197 **503** δὲ χρυσῶι 9 13 48 Ω: δ' αὖ χαλκῶι t **504** ἐπέτρεχον Ar 9 48 259 435 t Ω*: -τρεχεν nov. Did: -χραον W:]ον 13 **505** γίνετ' 9 13 tt Z Ω: γίγν- rr ὀπισσώτρων D: ἐπ- 9 13 tt Z Ω*.—cf. Praef. xxxi κατ' ὄπισθεν 435 A G **506** πετέσθην 9 13 48 Ω, -στην 259: πέτεσθον A$^{\gamma\rho}$.—cf. ad N 613 **510** οὐδ' ἐμάτησεν 1 sch$^{D\lambda}$ D^{c} F^{c} G^{a}: οὐδὲ μ- 9 13 435 Ω* **513** δὲ λῦεν (vel λύεν) *h* H: δ' ἔλυεν 1 9 Ω*: δελυεν 13: δ' ἔλαυνεν G: δ' ἔλυσεν Barnes ὕφ' 13^{2} r: ὑφ' 1 9 13 Ω **514** ἔπ' W: ἒπ' A, ἐπ' 1 9 13 Ω* **516** ὧς 13^{2} B^{a} E: ὡς 1 9 13 A: ὣς Ω* **517** δὲ 1 9 13 Ω: τε H.—cf. ad E 770 **518** ἕλκηισιν 9 13^{c} A B^{a} E T G **519** ὀπισσώτρου A: ἐπ- 1 9 1521 t A^{m} Ω*.—cf. ad 505 **520** ουδ'ετι 1521

τόσσον δὴ Μενέλαος ἀμύμονος Ἀντιλόχοιο
λείπετ'· ἀτὰρ τὰ πρῶτα καὶ ἐς δίσκουρα λέλειπτο,
ἀλλά μιν αἶψα κίχανεν, ὀφέλλετο γὰρ μένος ἠΰ
525 ἵππου τῆς Ἀγαμεμνονέης, καλλίτριχος Αἴθης.
εἰ δέ κ' ἔτι προτέρω γένετο δρόμος ἀμφοτέροισιν,
τώ κέν μιν παρέλασσ', οὐδ' ἀμφήριστον ἔθηκεν.
αὐτὰρ Μηριόνης, θεράπων ἐῢς Ἰδομενῆος,
λείπετ' ἀγακλῆος Μενελάου δουρὸς ἐρωήν·
530 βάρδιστοι μὲν γάρ οἱ ἔσαν καλλίτριχες ἵπποι,
ἥκιστος δ' ἦν αὐτὸς ἐλαυνέμεν ἅρμ' ἐν ἀγῶνι.
υἱὸς δ' Ἀδμήτοιο πανύστατος ἤλυθεν ἄλλων,
ἕλκων ἅρματα καλά, ἐλαύνων πρόσσοθεν ἵππους.
τὸν δὲ ἰδὼν ᾤκτιρε ποδάρκης δῖος Ἀχιλλεύς,
535 στὰς δ' ἄρ' ἐν Ἀργείοις ἔπεα πτερόεντ' ἀγόρευεν·
"λοῖσθος ἀνὴρ ὥριστος ἐλαύνει μώνυχας ἵππους.
ἀλλ' ἄγε δή οἱ δῶμεν ἀέθλιον, ὡς ἐπιεικές,
δεύτερ'· ἀτὰρ τὰ πρῶτα φερέσθω Τυδέος υἱός."
ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπήινεον, ὡς ἐκέλευεν.
540 καί νύ κέ οἱ πόρεν ἵππον, ἐπήινησαν γὰρ Ἀχαιοί,
εἰ μὴ ἄρ' Ἀντίλοχος, μεγαθύμου Νέστορος υἱός,

523 (δίσκουρα) ApS 59.13; H. δ 1973 531 (-ἐλ.) ApS 83.7; (ἥκ.) H. (Cyr.) η 298 536 Aristid. Or. 3.467; Synes. Aegypt. 2.2 (Opusc. 117.13 T.); cf. Choric. 81.17, 195.5, 15; EtG λ 140; 536a ApS 109.3; (λοῖσθος) H. (Cyr.) λ 1245 539 (οἱ δ' ἐπήιν.) Alex. Rhet. iii.3.7 Sp.

523 δίσκουρα Ar Ptol 'plerique' Hdn 1 9 13[2a] tt Z A[λ] Ω*: δισκοῦρα 13[2c], δίσκ' οὖρα quidam ap. sch[bT] (cl. 431): δισκουρα 1521: δίσκου οὖρα R O λελιπ[το 1521, cf. Praef. xxxii 526 δέ κ' ἔτι 9 13 425 1522 Ω: δ' ἔτι καὶ Kampmann De usu conditionalium enunciationum Homerico (1862) 36 527 τώ rr: τῶ(ι) 435 513 Ω οὐδ' Ar 9 13 655 Ω: ἤ (= 382) Zen 529 ἀγακλῆος 9 435 513 1522 Z Ω: -κλεῖος Naber Qu. Hom. 85.—cf. ad Π 738 530 βάρδιστοι 13 435 1522 Ω: -αι 9 Z rr οἱ 9 48 513 Ω (om. R): τοι 13 531 ἥκιστος Ar Hdn 13 Z A A[λ] D B E F[c] T[λ] G[c]: ἤκ- Ω*: ωκ- 48[s] 532 ηλθεν ελαυνων 1522 533 πρόσσοθεν Ar Hdn sch[D] 9 13 1522 Ω, προσ[435: ὠκέας Zen: μώνυχας (ex 536) rr: πρόσθ' ἔθεν Grashof Über d. Fuhrwerk bei Hom. u. Hes. (1846) 23: πρὸ ἔθεν Herwerden RPh 2 (1878) 195 534 ᾤκτιρε Nauck: -ειρε 9 13 48 435 513 1522 Ω 535 δ' ἄρ ἐν Ἀργείοις 13 435 513 1522 A F G: -οισιν 9: δ' ἐν Ἀργείοις Ω* (-οισιν W): δ]' εν Αχαιοισιν 48 (= X 377; coniecerat Nauck) ἀγόρευε(ν) 9 13 1522 Ω*: (-ντα) προσηύδα D T R G 536 ἐλαύνει 9 13 435 1522 tt Ω: -ειν Bentley 537 ἀέθλιον 9 48 1522 Ω: -ια (Bothe) r 538*ab* τὰ τρίτα δ' Ἀντίλοχος, τέτρατα ξανθὸς Μενέλαος,| πέμπτα δὲ Μηριόνης θεράπων ἐῢς Ἰδομενῆος add. quidam ante Ar 539 ὡς ἐκέλευε(ν) 13 48 Ω* (cf. Δ 380): ἠδὲ κέλευον 9 A[γρ], ἠδ' ἐκ- 1522 R (cf. Θ 398): ὡς ἐκέλευον W 540 κέ οἱ [513] rr: κέν οἱ [9] 1523 Ω: κε δὴ O ἐπή(ι)νησαν 9 Ω*: -νεσαν D: -νεσσαν R Ἀχαιοί 9 1522 Ω: οἱ ἄλλοι A[γρ].—cf. ad Φ 4

Πηλείδην Ἀχιλῆα δίκηι ἠμείψατ' ἀναστάς·
"ὦ Ἀχιλεῦ, μάλα τοι κεχολώσομαι, αἴ κε τελέσσηις
τοῦτο ἔπος· μέλλεις γὰρ ἀφαιρήσεσθαι ἄεθλον,
545 τὰ φρονέων, ὅτι οἱ βλάβεν ἅρματα καὶ ταχέ' ἵππω
αὐτός τ' ἐσθλὸς ἐών. ἀλλ' ὤφελεν ἀθανάτοισιν
εὔχεσθαι· τώ κ' οὔ τι πανύστατος ἦλθε διώκων.
εἰ δέ μιν οἰκτίρεις καί τοι φίλος ἔπλετο θυμῶι,
ἔστι τοι ἐν κλισίηι χρυσὸς πολύς, ἔστι δὲ χαλκός
550 καὶ πρόβατ', εἶσι δέ τοι δμωιαὶ καὶ μώνυχες ἵπποι·
τῶν οἱ ἔπειτ' ἀνελὼν δόμεναι καὶ μέζον ἄεθλον,
ἠὲ καὶ αὐτίκα νῦν, ἵνα σ' αἰνήσωσιν Ἀχαιοί.
τὴν δ' ἐγὼ οὐ δώσω· περὶ δ' αὐτῆς πειρηθήτω
ἀνδρῶν ὅς κ' ἐθέλησιν ἐμοὶ χείρεσσι μάχεσθαι."
555 ὣς φάτο· μείδησεν δὲ ποδάρκης δῖος Ἀχιλλεύς,
χαίρων Ἀντιλόχωι, ὅτι οἱ φίλος ἦεν ἑταῖρος,
καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα·
"Ἀντίλοχ', εἰ μὲν δή με κελεύεις οἴκοθεν ἄλλο
Εὐμήλωι ἐπιδοῦναι, ἐγὼ δέ κε καὶ τὸ τελέσσω.
560 δώσω οἱ θώρηκα, τὸν Ἀστεροπαῖον ἀπηύρων,
χάλκεον, ὧι πέρι χεῦμα φαεινοῦ κασσιτέροιο
ἀμφιδεδίνηται· πολέος δέ οἱ ἄξιος ἔσται."
ἦ ῥα, καὶ Αὐτομέδοντι φίλωι ἐκέλευσεν ἑταίρωι
564 οἰσέμεναι κλισίηθεν· ὃ δ' ᾤχετο καί οἱ ἔνεικεν.
566 τοῖσι δὲ καὶ Μενέλαος ἀνίστατο θυμὸν ἀχεύων,
Ἀντιλόχωι ἄμοτον κεχολωμένος· ἐν δ' ἄρα κῆρυξ
χερσὶ σκῆπτρον ἔθηκε, σιωπῆσαί τ' ἐκέλευσεν

545 (βλάβεν) H. β 647 **546** (ὤφ.) id. ω 490 **549** sch Ψ 157c **551** (μ. ἄεθ.) ApS 11.14 **560–2** Macr. Sat. 5.7.3; **561–2a** sch[h94] Φ 163 (v.92.18 E.); **562a** H. α 3980 **564a** sch Ψ 259

546 τ' 9 1523 Ω: δ' 48 **547** τῶι κ' Bentley (cf. σ 402; τώ dedi): τῶ(ι) κεν *h* C T R W: τό κεν 9 13 48 513 1523 Ω* ἦλθε διώκων 9 13 Ω*: ἤλυθεν ἄλλων (ex 532) D **548** οἰκτίρεις Nauck: -είρεις 9 13 513 1523 Ω φίλος 'omnes' Didymi 9 A B[s] E[s] F T: -ον (nov. Did) Ω*: -ονσ' C.—cf. ad Π 450 **549** ἔστι (τοι) 1523 Ω*: ἐστί 13 A B E W G, ẹστί 513 **550** εἶσι dedi (v. Praef. xx): ἐισι 13, εἰσὶ 9 Ω τοι 9 13[2] Ω*: οἱ 13 513 D **551** μέζον Blass: μεῖζον Ar (ap. ApS) 9 13 Ω: μείζον' olim alii **561** πέρι quidam ante Hdn W: περὶ vel περι Ptol 'plerique' 9 A[λ] Ω*: περίχευμα Z **562** ἄξιος 9 1521 F[c] *h* R: -ον t Ω* (ex θ 405?) **565** Εὐμήλωι δ' ἐν χερσὶ τίθει· ὃ δὲ δέξατο χαίρων (cf. 624, 797) add. D (om. ἐν) F *h* (χειρὶ) R[m] G: deest in 9 13 1521 Ω* **567** κήρυξ 9 Z[c] B[c] E[c]: κῆ- Z[a] Ω* **568** χερσὶ 9 13 1521 Z A[γρ] F T R G: χειρὶ Ω*.—cf. ad K 328 τε κέλευσεν 9 D T G

Ἀργείους. ὃ δ' ἔπειτα μετηύδα ἰσόθεος φώς·
570 "Ἀντίλοχε, πρόσθεν πεπνυμένε, ποῖον ἔρεξας;
ἤισχυνας μὲν ἐμὴν ἀρετήν, βλάψας δέ μοι ἵππους,
τοὺς σοὺς πρόσθε βαλών, οἵ τοι πολὺ χείρονες ἦσαν.
ἀλλ' ἄγετ', Ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
ἐς μέσον ἀμφοτέροισι δικάσσατε, μηδ' ἐπ' ἀρωγῆι,
575 μή ποτέ τις εἴπησιν Ἀχαιῶν χαλκοχιτώνων,
'Ἀντίλοχον ψεύδεσσι βιησάμενος Μενέλαος
οἴχεται ἵππον ἄγων, ὅτι οἱ πολὺ χείρονες ἦσαν
ἵπποι, αὐτὸς δὲ κρέσσων ἀρετῆι τε βίηι τε.'
εἰ δ' ἄγ' ἐγὼν αὐτὸς δικάσω, καί μ' οὔ τινά φημι
580 ἄλλον ἐπιπλήξειν Δαναῶν· ἰθεῖα γὰρ ἔσται.
Ἀντίλοχ', εἰ δ' ἄγε δεῦρο, διοτρεφές, ἣ θέμις ἐστίν,
στὰς ἵππων προπάροιθε καὶ ἅρματος, αὐτὰρ ἱμάσθλην
χερσὶν ἔχε ῥαδινήν, ἧι περ τὸ πρόσθεν ἔλαυνες·
ἵππων ἁψάμενος γαιήοχον Ἐννοσίγαιον
585 ὄμνυθι, μὴ μὲν ἑκὼν τὸ ἐμὸν δόλωι ἅρμα πεδῆσαι."
τὸν δ' αὖτ' Ἀντίλοχος πεπνυμένος ἀντίον ηὔδα·
"ἄνσχεο νῦν· πολλὸν γὰρ ἐγώ γε νεώτερός εἰμι
σεῖο, ἄναξ Μενέλαε, σὺ δὲ πρότερος καὶ ἀρείων.
οἶσθ' οἷαι νέου ἀνδρὸς ὑπερβασίαι τελέθουσιν·
590 κραιπνότερος μὲν γάρ τε νόος, λεπτὴ δέ τε μῆτις.
τώ τοι ἐπιτλήτω κραδίη· ἵππον δέ τοι αὐτός
δώσω, τὴν ἀρόμην. εἰ καί νύ κεν οἴκοθεν ἄλλο
μέζον ἐπαιτήσειας, ἄφαρ κέ τοι αὐτίκα δοῦναι
βουλοίμην ἢ σοί γε, διοτρεφές, ἤματα πάντα

570–1 Plut. Mor. 32a **574**a H. ε 6264, cf. 6262; (μηδ'–) id. μ 1149 **579** (ἐγὼν αὐ.) id. ε 376 **580** (ἐπιπλ.) id. ε 5069; (ἰθεῖα) id. ε 796, ι 388 **583** (ῥαδ.) id. ρ 26 **584–5** Paus. 7.21.8 **587** (ἄνσχεο) ApS 45.19; H. α 7975 **590** (κραιπ.) H. κ 3930 **592**b sch Ψ 591–2 **594–5** Eudoc. 2133/5; **595**a sch A 562–3; H. ε 1405

572 ἦσαν Ω (cf. 577): εισιν 9 **574** δικάσσατε 9 1522 Z Ω*: -ετε D R W **578** δὲ 9 Ω*: τε 1522 T κρέσσων Blass: κρεί- 9 1522 Ω **581** ath. Ar εἰ δ' 9 H: αἲ δ' 1522 fere Ω*: ὦδ' W, ὧδ' G^{c} ἣ D B^{a} E G^{a}: ἡ 9 13 A D: ἦ Ω*.—cf. ad B 73 **583** ἔχε 9 13 1522 A^{λ} T^{s} Ω*: ἔχον T, -ων Eust.^{λ} rr ῥραδινὴν W ἔλαυνες 9 Ω: ελαυνεις 1522 **584** ἵππων 9 t Ω: -ων δ' 1522 r **585** ὄμνυθι 9 13 t Ω: -υε 1522 μὴ μὲν 9 13 1522 Ω: μηδὲν t τὸ ἐμὸν 9 13 1522 t Ω: τοὐμὸν Bentley.—cf. ad Θ 360, I 654, Λ 608; Praef. xxxv **587** ἄνσχεο Ar 9 1522 ApS^{cod} (sed inter voces ab ἀσ- incipientes) T^{λ} Ω*: ἄσσχ- DSid: ἄνχ- Z: α]ϲχεό [13], ἄσχεο t* W: ἴσχ- A^{γρ}.—cf. Praef. xxvi ἐγώ γε Bekker: ἔγωγε Ω **591** τώ G: τῶ Ω* **593** μέζον Blass: μεῖ- [13] Ω ἐπαιτήσειας sch^{bT} Z T^{λ} *b* F^{c} R: ἀπ- Nic (cod. A) 13 Ω* **594** ἢ 13 Ω: γαρ 1524

595 ἐκ θυμοῦ πεσέειν καὶ δαίμοσιν εἶναι ἀλιτρός."
ἦ ῥα, καὶ ἵππον ἄγων μεγαθύμου Νέστορος υἱός
ἐν χείρεσσι τίθει Μενελάου. τοῖο δὲ θυμός
ἰάνθη, ὡς εἴ τε περὶ σταχύεσσιν ἐέρσηι
ληΐου ἀλδήσκοντος, ὅτε φρίσσωσιν ἄρουραι·
600 ὣς ἄρα τοι, Μενέλαε, μετὰ φρεσὶ θυμὸς ἰάνθη.
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
"Ἀντίλοχε, νῦν μέν τοι ἐγὼν ὑποείξομαι αὐτός
χωόμενος, ἐπεὶ οὔ τι παρήορος οὐδ' ἀεσίφρων
ἦσθα πάρος, νῦν αὖτε νόον νίκησε νεοίη.
605 δεύτερον αὖτ' ἀλέασθαι ἀμείνονας ἠπεροπεύειν.
οὐ γάρ κέν με τάχ' ἄλλος ἀνὴρ παρέπεισεν Ἀχαιῶν·
ἀλλὰ σὺ γὰρ δὴ πόλλ' ἔπαθες καὶ πόλλ' ἐμόγησας,
σός τε πατὴρ ἀγαθὸς καὶ ἀδελφεός, εἵνεκ' ἐμεῖο.
τώ τοι λισσομένωι ἐπιπείσομαι, ἠδὲ καὶ ἵππον
610 δώσω ἐμήν περ ἐοῦσαν, ἵνα γνώωσι καὶ οἵδε,
ὡς ἐμὸς οὔ ποτε θυμὸς ὑπερφίαλος καὶ ἀπηνής."
ἦ ῥα, καὶ Ἀντιλόχοιο Νοήμονι δῶκεν ἑταίρωι
ἵππον ἄγειν· ὃ δ' ἔπειτα λέβηθ' ἕλε παμφανόωντα·
Μηριόνης δ' ἀνάειρε δύω χρυσοῖο τάλαντα
615 τέτρατος, ὡς ἔλασεν. πέμπτον δ' ὑπελείπετ' ἄεθλον
ἀμφίθετος φιάλη· τὴν Νέστορι δῶκεν Ἀχιλλεύς
Ἀργείων ἀν' ἀγῶνα φέρων, καὶ ἔειπε παραστάς·
"τῆ νυν, καὶ σοὶ τοῦτο, γέρον, κειμήλιον ἔστω,
Πατρόκλοιο τάφου μνῆμ' ἔμμεναι· οὐ γὰρ ἔτ' αὐτόν

597–9a EtG α 414/15; **597** (τοῖο–)–**8** (ἰά.) Epm. α 305; **598–9a** sch A.R. 3.1019–21; **598** al. (ἰάνθη) Plut. Mor. 454d; **599a** Hdn ad A 532a; EtG α 537 (e Methodio); (ἀλδ.) H. (Cyr.) α 2808 **602** (ὑποείξ.) H. υ 628 **603** (ἐπεὶ–) ApS 128.13; (παρή.) H. π 911 **604** (νεοίη) ApS 115.30; H. (Cyr.) ν 327 **611** Eudoc. 194 **614** (ἀνάειρε) H. (Cyr.) α 4291 **616** ApS 25.10; **616a** H. α 4021

598 ἐέρσηι sch^{bT} B E (ἑ-) T: -η 13 Z Ω* (ἑ- C) et ita leg. A.R. 3.1019–21 **599** φρίσσωσιν 13 D T: -ουσιν Z Ω* **600** τοι 13 A^{s} T V (cf. Δ 146, H 104, Π 787): σοὶ vel σοι Ω* (cf. P 679; minus ad rem P 702) **602** τοι Ω: κεν 13 **603** ἀεσίφρων 13 1522 t Z Ω: cf. ad Υ 183 **604** νεοίη Ar Hdn 13 1522 tt Z A$^{\lambda}$ Ω: νόημα Antim (quem νέον pro νόον legisse ci. Heyne).—cf. Wack. Unt. 242 sq. **605** δεύτερον 13 Ω: ὕστερον 1521$^{?}$ A$^{\gamma\rho}$ T$^{\gamma\rho}$: βέλτερον *h* **607** πόλλ' ἔπαθες καὶ πόλλ' ἐμόγησας 13 Ω: πολλὰ π- N$^{\gamma\rho}$ O, πολλὰ μόγ- O.—cf. ad I 492 **609** τώ G: τῶ[[ι]] 13, τῶ Ω* ἐπιπείσομαι 13 Ω: -θομαι T **610** οἶδε A D B^{a} E T^{a} **614** δύω 13 O: δύο Ω.—cf. ad 269 **615** ὑπελείπετ' 13 1525 Ω*: ὑπολ- G **616** ἀμφίθετος φιάλη 13 t* A$^{\lambda}$ Ω: -τον -λην ApS **618** νυν Platt: νῦν 13 Ω

620 ὄψε' ἐν Ἀργείοισι. δίδωμι δέ τοι τόδ' ἄεθλον
αὔτως· οὐ γὰρ πύξ γε μαχήσεαι, οὐδὲ παλαίσεις,
οὐδέ τ' ἀκοντιστὺν ἐσδύσεαι, οὐδὲ πόδεσσιν
θεύσεαι· ἤδη γὰρ χαλεπὸν κατὰ γῆρας ἐπείγει."
ὣς εἰπὼν ἐν χερσὶ τίθει· ὃ δὲ δέξατο χαίρων,
625 καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
"ναὶ δὴ ταῦτά γε πάντα, τέκος, κατὰ μοῖραν ἔειπες·
οὐ γὰρ ἔτ' ἔμπεδα γυῖα, φίλος, πόδες, οὐδέ τι χεῖρες
{ὤμων ἀμφοτέρωθεν ἐπαΐσσονται ἐλαφραί}.
εἴθ' ὣς ἡβώοιμι βίη τέ μοι ἔμπεδος εἴη,
630 ὡς ὁπότε κρείοντ' Ἀμαρυγκέα θάπτον Ἐπειοί
Βουπρασίωι, παῖδες δ' ἔθεσαν βασιλῆος ἄεθλα.
ἔνθ' οὔ τίς μοι ὁμοῖος ἀνὴρ γένετ', οὔτ' ἄρ' Ἐπειῶν
οὔτ' αὐτῶν Πυλίων οὔτ' Αἰτωλῶν μεγαθύμων.
πὺξ μὲν ἐνίκησα Κλυτομήδεα, Ἤνοπος υἱόν,
635 Ἀγκαῖον δὲ πάληι Πλευρώνιον, ὅς μοι ἀνέστη,
Ἴφικλον δὲ πόδεσσι παρέδραμον ἐσθλὸν ἐόντα,
δουρὶ δ' ὑπειρέβαλον Φυλῆά τε καὶ Πολύδωρον.
οἴοισίν μ' ἵπποισι παρήλασαν Ἀκτορίωνε,
πλήθει πρόσθε βαλόντες, ἀγασσάμενοι περὶ νίκης,

620b–3 (θεύσ.) Plut. Mor. 639c; **621** (οὐ–μαχ.) sch Ψ 626; **622** (ἀκοντ.) H. α 2487; **623** (θεύσ.) H. (Cyr.) θ 432 **627–8** Eudoc. 706–7 **630–1** (Βουπ.) Strab. 8.3.8; **630** (Ἀμαρ.) H. (Cyr.) α 3466 **634–7** Aristid. Or. 28.37; 'Trypho i' Trop. iii.191.8 Sp.; **634**a + **636** 'Trypho ii' Trop. praef. (CQ 15.236); **634** Plut. Mor. 639c; (–Κλ.) sch Θ 93a^{1}; **634**a Hdn ii.223.3; sch Pind. Ol. 7.163b; **635** (–Πλευρ.) sch Θ 93a^{1}, Ψ 633; **637** (–Φυλῆά τε) sch Ψ 886c **639**a Hdn ad E 856a; Porph. Il. 264.23 Schr.; H. π 2544; (ἀγασσ.) H. (Cyr.) α 337

620 ὄψε' Brandreth post Payne Knight: ὄψηι 13 A D: -ει Ω*.—cf. Praef. xxii τοι 13 Ω (om. C): σοι t **622** οὐδ' ἔτ' (Monro) 13? ἐσδύσεαι Ar "σχεδὸν ἅπασαι" 13? Ω*: ἐνδ- (deprec. Ar) t Z A^{λ} A T^{λ} T: ὑποδ- D: ἀποδ- R **623** ἐπείγει 13 A D R: ἱκάνει $A^{\gamma\rho}$ *b h*: ὀπάζει $A^{\gamma\rho}$ A^{m} T: ἔπεισι(ν) $A^{\gamma\rho}$ F W G.—cf. ad Δ 321, Θ 103 **624** εἰπών *Ϝ*' van Leeuwen δὲ δέξατο B E T W: δ' ἐδ- Ω* **626** (≈ A 286, al.) om. 13^{a} V, ignorasse videtur Ar (cf. Arn ad 627 ὅτι ἀπὸ τοῦ γὰρ ἦρκται) **627** φίλος, πόδες 13 t Ω*: φίλοι πόδες C O: ποδῶν, φίλος Düntzer cl. N 512 οὐδέ τι t Ω* F^{s},]τι 13: οὐδ' ἔτι r: οὐδέ τε F W: οὐδέ τοι G **628** susp. Franke ἐπαΐσσονται 13 t T^{λ} Ω*: ἀπ- *h* W (cf. Hes. Th. 150 = 671; Emped. B 29.1) **629** τέ Ω*: δέ *b* R.—cf. ad H 157, Λ 670 **631** δ' Ω*: τ' T δὲ θέσαν *h* **632** ούτάρ 1525, οὔτ' ἄρ Ω*: οὐ γὰρ D G **634** ἐνίκησα tt A^{λ} Ω*: νίκ- T Ἤνοπος 1525 Ω* (ἤν- A): Οἴν- tt* C T R: Φαίν- 'Trypho'.—cf. ad Ξ 444 **635** Ἀγκαῖον tt* sch^{bT} A^{λ} Ω: Ἀλκ- Aristid. πάληι (nov. Did) tt* A^{λ} Ω (cf. θ 206): -ην Ar H^{a} **639** πλήθει (non -εϊ) Hdn (t) Z A^{λ} Ω βαλόντες 13 tt Z A^{λ} Ω: -ε (Nauck) T^{a}? ἀγασσάμενοι 13 Z Ω: -μένω "ἔν τισι"

640 οὕνεκα δὴ τὰ μέγιστα παρ' αὐτόθι λείπετ' ἄεθλα.
οἳ δ' ἄρ' ἔσαν δίδυμοι· ὃ μὲν ἔμπεδον ἡνιόχευεν,
ἔμπεδον ἡνιόχευ', ὃ δ' ἄρα μάστιγι κέλευεν.
ὥς ποτ' ἔον· νῦν αὖτε νεώτεροι ἀντιοώντων
ἔργων τοιούτων. ἐμὲ δὲ χρὴ γήραϊ λυγρῶι
645 πείθεσθαι· τότε δ' αὖτε μετέπρεπον ἡρώεσσιν.
ἀλλ' ἴθι, καὶ σὸν ἑταῖρον ἀέθλοισι κτερέϊζε.
τοῦτο δ' ἐγὼ πρόφρων δέχομαι, χαίρει δέ μοι ἦτορ,
ὥς με' ἀεὶ μέμνηαι ἐνηέος, οὐδέ σε λήθω
τιμῆς ἧς τέ μ' ἔοικε τετιμῆσθαι μετ' Ἀχαιοῖς.
650 σοὶ δὲ θεοὶ τῶνδ' ἀντὶ χάριν μενοεικέα δοῖεν."
ὣς φάτο· Πηλείδης δὲ πολὺν καθ' ὅμιλον Ἀχαιῶν
ὤιχετ', ἐπεὶ πάντ' αἶνον ἐπέκλυε Νηλείδαο.
αὐτὰρ ὃ πυγμαχίης ἀλεγεινῆς θῆκεν ἄεθλα·
ἡμίονον ταλαεργὸν ἄγων κατέδησ' ἐν ἀγῶνι
655 ἑξέτε' ἀδμήτην, ἥ τ' ἀλγίστη δαμάσασθαι·
τῶι δ' ἄρα νικηθέντι τίθει δέπας ἀμφικύπελλον.
στῆ δ' ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
"Ἀτρείδη τε καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοί,
ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὤ περ ἀρίστω,
660 πὺξ μάλ' ἀνασχομένω πεπληγέμεν. ὧι δέ κ' Ἀπόλλων
δώηι καμμονίην, γνώωσι δὲ πάντες Ἀχαιοί,
ἡμίονον ταλαεργὸν ἄγων κλισίηνδε νεέσθω·
αὐτὰρ ὁ νικηθεὶς δέπας οἴσεται ἀμφικύπελλον."
ὣς ἔφατ'· ὤρνυτο δ' αὐτίκ' ἀνὴρ ἠΰς τε μέγας τε

640 (λείπετ' ἄ.) H. λ 539 **641** Porph. Il. 172.22 Schr.; **641a** ib. 264.24; (δίδ.) H. δ 1503 **643** Choer. in Ps. 43.13; (–ἔον) Epm. ε 157; (ἀντιο.) H. (Cyr.) α [5414], 5445 **647–8** Eudoc. 1320–1; **648–9** w25 fr. 3.3 (lacera); **648a** Epm. α 303; **649** ApS 152.35 **650** Apio 221.6; Eudoc. 1323 **654** (ταλ.) H. τ 45 **655a** sch Ψ 654b; (ἀλγ.) H. α 2802 **659–61a** Plut. Mor. 724b; **661** (καμμ.) ib. 22c **663** (οἴσ.) H. ο 394; Phot. Lex. s.v.

640 αὐτόθι (nov. Did) 13 C *h*: -όφι Ar Z (-ῶφί) Ω*.—cf. ad M 302 **643** ἔον t* sch[T] Ω: ἔην Choer. rr **648** με' fere Payne Knight: μευ 13 tt A[λ] Ω (μεῦ A[a] D) αἰεὶ 13[2s] w25 T T[λ]; cf. ad M 211 μέμνηαι r Eust. 1319.22: -ησαι 13 t* A[λ] Ω Eust. 1321.56: -ηται Epm.—cf. ad O 18; Φ 442; Chantr. I 474 sq. ἐνηέος 13 Eudoc. Ω: -έως rr **649** Ἀχαιοῖς 13 Ω: -ῶν Z: -ούς t rr **650** τῶνδ' 13 Apio Ω: τοῦδ' t* **652–719** deest D **653** ἄεθλα 13 Ω*: -ον *b* F **655** ἑξέτε' *b h*: parox. 13 Ω*.—cf. ad 266 **657** Ἀργείοισιν 9 13[2c] Ω: ανθρωποισιν 13[a] **658** Ἀτρείδη 13 Ω: -εῖδαι 9 *b* ἐϋκνήμιδες Ἀχαιοί 9 13 (-μειδες) Ω*: ἀριστῆες Παναχαιῶν R.—cf. ad 236 **659** ὤ περ fere 9 13 t Ω*: ὥσπερ A T[a] **661** δώιη(ι) 13 A B E F T G **662** νεέσθω A[γρ] F R G: φερέσθω 9 13 Ω* **664** ὤρνυτο 9 13 Ω*: ὄρν- R

665 εἰδὼς πυγμαχίης, υἱὸς Πανοπῆος Ἐπειός,
ἅψατο δ' ἡμιόνου ταλαεργοῦ φώνησέν τε·
"ἄσσον ἴτω, ὅς τις δέπας οἴσεται ἀμφικύπελλον·
ἡμίονον δ' οὔ φημί τιν' ἀξέμεν ἄλλον Ἀχαιῶν
πυγμῆι νικήσαντ', ἐπεὶ εὔχομαι εἶναι ἄριστος.
670 ἦ οὐχ ἅλις, ὅττι μάχης ἐπιδεύομαι; οὐδ' ἄρα πως ἦν
ἐν πάντεσσ' ἔργοισι δαήμονα φῶτα γενέσθαι.
ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται·
ἀντικρὺ χρόα τε ῥήξω σύν τ' ὀστέ' ἀράξω.
κηδεμόνες δέ οἱ ἐνθάδ' ἀολλέες αὖθι μενόντων,
675 οἵ κέ μιν ἐξοίσουσιν ἐμῆις ὑπὸ χερσὶ δαμέντα."
ὣς ἔφαθ'· οἳ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῆι.
Εὐρύαλος δέ οἱ οἶος ἀνίστατο, ἰσόθεος φώς,
Μηκιστῆος υἱὸς Ταλαϊονίδαο ἄνακτος,
ὅς ποτε Θήβασδ' ἦλθε δεδουπότος Οἰδιπόδαο
680 ἐς τάφον· ἔνθα δὲ πάντας ἐνίκα Καδμείωνας.
τὸν μὲν Τυδείδης δουρικλυτὸς ἀμφεπονεῖτο
θαρσύνων ἔπεσιν, μέγα δ' αὐτῶι βούλετο νίκην·
ζῶμα δέ οἱ πρῶτον παρακάββαλεν, αὐτὰρ ἔπειτα
δῶκεν ἱμάντας ἐϋτμήτους βοὸς ἀγραύλοιο.
685 τὼ δὲ ζωσαμένω βήτην ἐς μέσσον ἀγῶνα,
ἄντα δ' ἀνασχομένω χερσὶ στιβαρῆισιν ἅμ' ἄμφω
σύν ῥ' ἔπεσον, σὺν δέ σφι βαρεῖαι χεῖρες ἔμιχθεν.

666 (–ταλ.) ApS 85.19; Choer. in Thd. ii.81.21; Epm. ο 13; **666**a sch Π 9a^{1}; EtG α 124; Choer. in Thd. ii.40.16, 45.12, 50.28, 111.19 et 25, 145.9, 200.22 **667–8** (–ἀξ.) Aristid. Or. 28.38 **670** (–ἐπιδ.) Plut. Mor. 543f; Procl. in Remp. ii.317.18 **672–3** Aristid. Or. 28.38; **673** ApS 32.7; (–ῥήξω) Plut. Mor. 543f **675** Aristid. Or. 28.38 **678–9** sch λ 275; **679**b Arn/sch Ν 426ab; ApS 60.12; Hdn ii.796.15; sch Π 822b; (δεδουπ.) H. (Cyr.) δ 408 **680** (–ἐνίκα) sch Ψ 619 **683** (–παρακ.) ApS 81.22; (ζῶμα) Apio 240.1 **684** H. ι 612; (–βοός) ApS 91.10 **685–6** Macr. Sat. 5.7.5; **685** D.H. Ant. 7.72.3

666 ἅψατο 9 13 tt* Ω: ἧψ- sch-Π rr.—cf. Praef. xxvii ἡμιόνου ταλαεργοῦ 9 13 tt* Ω: -νων -γῶν Choer. (octies) Epm.^{vl} **667** ἄσσον A T: ἆ- Ω* **670–1** damn. Franke ἦ οὐχ ἅλις non aptum videtur ἢ A^{λ} B^{x} C E^{x} F^{x} T R G^{c} **672** τὸ δὲ καὶ Ω*: καὶ μὴν 9 t $A^{\gamma\rho}$ T W, και μιν 679.—cf. ad 410 **673** τ' 9 679 t* Ω*: δ' (ex M 384?) *b* G: om. ApS **674** αὖθι om. *b* **678** Μηκιστῆος r^{c}: -έος T G O: -έως 9 13 t Ω*.—cf. ad B 566; Praef. xxxiv **679** Θήβασδ' (-ας δ') Ar 9 t A^{λ} Ω*: -ας (nov. Did) 13 T^{λ} R G **681** δουρὶ κλυτὸς A B^{a} E F W G^{a} **682** μέγα 9 1402 Ω (cf. 300): μάλα 13 (cf. K 229, Λ 782, O 51) **683** παρακάββαλεν 9 (-μβ-) 13 1402 t Z Ω (-μβ- E F T R W): περι- V **684** ἐϋτμήτους 9 13 1402 t* Ω*: εὐδμή- R, -δημή- Hsch.^{cod}.—cf. ad H 304

δεινὸς δὲ χρόμαδος γενύων γένετ', ἔρρεε δ' ἱδρώς
πάντοθεν ἐκ μελέων. ἐπὶ δ' ὤρνυτο δῖος Ἐπειός,
690 κόψε δὲ παπτήναντα παρήϊον· οὐδ' ἄρ' ἔτι δήν
ἑστήκειν, αὐτοῦ γὰρ ὑπήριπε φαίδιμα γυῖα.
ὡς δ' ὅθ' ὑπὸ φρικὸς Βορέω ἀναπάλλεται ἰχθύς
θίν' ἐν φυκιόεντι, μέλαν δέ ἑ κῦμ' ἐκάλυψεν,
ὣς πληγεὶς ἀνέπαλτ'. αὐτὰρ μεγάθυμος Ἐπειός
695 χερσὶ λαβὼν ὤρθωσε· φίλοι δ' ἀμφέσταν ἑταῖροι,
οἵ μιν ἄγον δι' ἀγῶνος ἐφελκομένοισι πόδεσσιν,
αἷμα παχὺ πτύοντα, κάρη βάλλονθ' ἑτέρωσε·
κὰδ δ' ἀλλοφρονέοντα μετὰ σφίσιν εἷσαν ἄγοντες,
αὐτοὶ δ' οἰχόμενοι κόμισαν δέπας ἀμφικύπελλον.
700 Πηλείδης δ' αἶψ' ἄλλα κατὰ τρίτα θῆκεν ἄεθλα
δεικνύμενος Δαναοῖσι, παλαιμοσύνης ἀλεγεινῆς,
τῶι μὲν νικήσαντι μέγαν τρίποδ' ἐμπυριβήτην·
τὸν δὲ δυωδεκάβοιον ἐνὶ σφίσι τῖον Ἀχαιοί·
ἀνδρὶ δὲ νικηθέντι γυναῖκ' ἐς μέσσον ἔθηκεν,
705 πολλὰ δ' ἐπίστατο ἔργα, τίον δέ ἑ τεσσεράβοιον.
στῆ δ' ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
"ὄρνυσθ', οἳ καὶ τούτου ἀέθλου πειρήσεσθον."
ὣς ἔφατ'· ὦρτο δ' ἔπειτα μέγας Τελαμώνιος Αἴας,

688 (–γέν.) ApS 168.28; **688**a EtG s.v. χρόμαδος **690** (παρή.) H. π 898; (οὐδ'–)–**691** Choer. in Thd. ii.84.12 **692–3** Porph. Hom. 40.18 Sod.; **692** ib. 45.21; sch^{h94} Φ 126 (v.87.33 E., lacera); **693** (θινὶ φυκ.) cf. sch Ar. Vesp. 696b; (φυκ.) H. φ 962; **693**b Arn ad E 83; Porph. Il. 58.2 Schr.; sch I 124a, γ 6 **694**a sch^{h130} T 351; **694**b–**5**a Aristid. Or. 28.39; **695** (φίλοι ἑτ.) Serv. Aen. 5.468 **697**a H. α 1940 **698** (ἀλλοφρ.) H. (Cyr.) α 3161 **701**b + **700** (θῆκεν ἄ.) ApS 11.3; **701**a sch I 196b **702** (τρίπ.–) cf. Arn ad Ψ 267, Poll. 9.68 **703** ApS 147.19; (δυωδ.) id. 60.29; H. δ 2700

688 γενε[ ]τειρε γαρ 1402 (ex Φ 51) **689** ὤρνυτο 9 13 1402 Ω, ὠρυτο Z: ὄρν- rr δῖος 13 1402 Ω*: θεῖος 9 G **691** ἑστήκειν Ar 9 A T: εἱ- t *b* F R G: εἱστήκει 13 W.—cf. ad Ξ 412, P 133; Praef. xxvi υπειρεφε 1402 **692** ὑπὸ φρικὸς 9 13 (φρ[[ε]]ι-) 1402 tt Ω: ὑπαὶ ῥιπῆς quidam ap. sch^{T} (cf. O 171, T 358) ἰχθύς 9 A^{a} T Y W G: -ῦς Ω* **693** ἐν 9 13 1402 Ω*: ἐνὶ R: ἐπὶ t sch^{T} G μέλαν 9 13 1402 tt A^{γρ} Ω*: μέγα A rr δέ 9 tt* A *b*: τέ 13 1402 Porph. sch-I A^{γρ} Ω* κῦμ' ἐκάλυψεν 13 1402 Porph.^{40} Ω*: κῦμα κ- 9 tt* T W G (-ύψας) **694** αὐτὰρ 9 13 1402 t^{vl} Ω*: ἀτὰρ t^{vl} W.—cf. ad Δ 542 **695** χερσὶ 9 13^{2} Ω: χειρὶ 13^{a} t ἀμφέσταν 9 13 1402 Ω*: -ασαν *b* Y G **697** βάλλονθ' 9 13 1402 Ω*: βά–λονθ' C Y, βαλόνθ' A^{γρ} (βᾱ-) O V **698** ἀλλοφρονέοντα Hdn Ω*: ἄλλο φρ- Z A^{λ} Y (ἄλλω) G **701** Δαναοῖσι 9 13^{a} 1402 t Ω: λαοῖσι 13^{c} A^{s} παλαιμοσύνης Ar (teste Eust. 1325.1, 1587.40) 13 1402 rr: παλαισμ- 9 t Ω.—vv.ll. sim. θ 103, 126, Tyrt. 12.2 **705** δ' 9 13 Ω*: τ Y τεσσεράβοιον Bolling (cf. Praef. xxxv): τεσσαρά- 9 13 Ω **707** πειρήσεσθον 1402 Ω*: -ασθον R: -εσθε 13 C G.—cf. ad 753

ἂν δ' Ὀδυσεὺς πολύμητις ἀνίστατο, κέρδεα εἰδώς.
710 ζωσαμένω δ' ἄρα τώ γε βάτην ἐς μέσσον ἀγῶνα,
ἀγκὰς δ' ἀλλήλων λαβέτην χερσὶ στιβαρῇσιν,
ὡς ὅτ' ἀμείβοντες τούς τε κλυτὸς ἤραρε τέκτων
δώματος ὑψηλοῖο, βίας ἀνέμων ἀλεείνων.
τετρίγει δ' ἄρα νῶτα θρασειάων ἀπὸ χειρῶν
715 ἑλκόμενα στερεῶς· κατὰ δὲ νότιος ῥέεν ἱδρώς,
πυκναὶ δὲ σμώδιγγες ἀνὰ πλευράς τε καὶ ὤμους
αἵματι φοινικόεσσαι ἀνέδραμον· οἳ δὲ μάλ' αἰεί
νίκης ἱέσθην τρίποδος πέρι ποιητοῖο.
οὔτ' Ὀδυσεὺς δύνατο σφῆλαι οὔδει τε πελάσσαι,
720 οὔτ' Αἴας δύνατο, κρατερὴ δ' ἔχεν ἲς Ὀδυσῆος.
ἀλλ' ὅτε δή ῥ' ἀνίαζον ἐϋκνήμιδες Ἀχαιοί,
δὴ τότε μιν προσέειπε μέγας Τελαμώνιος Αἴας·
"διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
ἤ μ' ἀνάειρ', ἢ ἐγὼ σέ· τὰ δ' αὖ Διὶ πάντα μελήσει."
725 ὣς εἰπὼν ἀνάειρε· δόλου δ' οὐ λήθετ' Ὀδυσσεύς·
κόψ' ὄπιθεν κώληπα τυχών, ὑπέλυσε δὲ γυῖα,
κὰδ δ' ἔπεσ' ἐξοπίσω· ἐπὶ δὲ στήθεσσιν Ὀδυσσεύς
κάππεσε. λαοὶ δ' αὖ θηέοντό τε θάμβησάν τε.
δεύτερος αὖτ' ἀνάειρε πολυτλὰς δῖος Ὀδυσσεύς·

711 ApS 5.9; Eudoc. 2076; (–λαβ.) sch Ψ 635a **712** (ἀμείβ.) Elias in Categ. CAG xviii(1).242.16; 712b(?) Ammon. in Porph. Isag. CAG iv(3).9.13; Philop. in Nicom. Isag. prooem.; David in Porph. Isag. CAG xviii(2).46.8; [Elias] in Porph. Isag. 17.5 **714** (τετρ.) H. τ 648; Phot. Lex. s.v. **715b** Orio 108.15 **716a** ApS 143.20; (σμώδ.) H. σ 1296; Phot. Lex. s.v. **717a** sch Π 159b **718b** sch Ψ 741a **719** (σφ.) H. σ 2893 **724a** Sen. De ira 1.20.8; ApS 10.21; ApD Pron. 40.28, Synt. 175.8, 176.10; Hdn ad I 614a[1]; Suet. Calig. 22; Luc. Dial. 77.21.1, cf. sch p.262.6 R.; Dio Cass. 59.28.6; Porph. Il. 238.12 Schr.; (ἦμ' ἀν.) Charax in AB 1154 **726** Genesius Reg. 4 (PG 109.1104b); (–τυχών) sch Nic. Th. 424; EtG s.v. κώληψ; (κώλ.) ApS 106.9; H. κ 4814; Phot. Lex. κ 1301

709 ἂν vel ἀν 9 13 Ω (= 755): τῶι Brandreth (cf. 635, 677) **711** ἀλλήλων 9 13 1402 tt A[λ] T[λ] Ω: -λους rr: -λω Nauck **712** ὡς Nic 9 13[2] A[c] F[γρ] *b*: ὡς δ' 13 1402 T[λ] Ω* τούς τε κλυτὸς 9 13 679 Ω: †ἐπεὶ σοφὸς tt, cf. Eust. 1023.14 **713** (= Π 213, nunc minus aptum) susp. Nauck **714** τετρίγει fere 9 13 tt Ω*: -γη Y **718** πέρι 13 rr: περὶ vel περι Ptol Hdn 9 A[λ] Ω **720** denuo adest D **721** ἐϋκνήμιδες Ἀχαιοί quidam ante Ar 9 13 (-μειδες) 45 T[λ] D F[a] R W G[s] (cf. δ 460): -δας -ούς Ar sch[bT] Z Ω* **724** ἤ μ' lectio ante ApD vulgata 9 Ω* (cf. Φ 226): ἦμ' (= ἢ ἔμ') Habro ap. ApD Hdn (t) Charax 13[2] D O ἐγὼ σὲ 9 13[a]? Ω*: ἐγώ σε A D *b* T Y (εγω̃) **725** δ' 9 13 45 Ω*: τ' A V **727** ἔπεσ' A V: ἔβαλ' 9 13 1402 A[γρ] Ω*.—vv.ll. sim. δ 508, ζ 116 **728** θηέοντό van Leeuwen: -εῦντό 9 13 45 Ω (-εῦτό A)

730 κίνησεν δ' ἄρα τυτθὸν ἀπὸ χθονός, οὐδ' ἔτ' ἄειρεν.
ἐν δὲ γόνυ γνάμψεν, ἐπὶ δὲ χθονὶ κάππεσον ἄμφω
πλησίοι ἀλλήλοισι, μιάνθησαν δὲ κονίηι.
καί νύ κε τὸ τρίτον αὖτις ἀναΐξαντ' ἐπάλαιον,
εἰ μὴ Ἀχιλλεὺς αὐτὸς ἀνίστατο καὶ κατέρυκεν·
735 "μηκέτ' ἐρείδεσθον, μηδὲ τρίβεσθε κακοῖσιν.
νίκη δ' ἀμφοτέροισιν· ἀέθλια δ' ἶσ' ἀνελόντες
ἔρχεσθ', ὄφρα καὶ ἄλλοι ἀεθλεύωσιν Ἀχαιοί."
ὣς ἔφαθ'· οἳ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο,
καί ῥ' ἀπομορξαμένω κονίην δύσαντο χιτῶνας.
740 Πηλείδης δ' αἶψ' ἄλλα τίθει ταχυτῆτος ἄεθλα,
ἀργύρεον κρητῆρα τετυγμένον· ἓξ δ' ἄρα μέτρα
χάνδανεν, αὐτὰρ κάλλει ἐνίκα πᾶσαν ἐπ' αἶαν
πολλόν, ἐπεὶ Σιδόνες πολυδαίδαλοι εὖ ἤσκησαν.
Φοίνικες δ' ἄγον ἄνδρες ἐπ' ἠεροειδέα πόντον,
745 στῆσαν δ' ἐν λιμένεσσι, Θόαντι δὲ δῶρον ἔδωκαν·
υἷος δὲ Πριάμοιο Λυκάονος ὦνον ἔδωκεν
Πατρόκλωι ἥρωϊ Ἰησονίδης Εὔνηος.
καὶ τὸν Ἀχιλλεὺς θῆκεν ἀέθλιον οὗ ἑτάροιο,
ὅς τις ἐλαφρότατος ποσσὶ κραιπνοῖσι πέλοιτο.
750 δευτέρωι αὖ βοῦν θῆκε μέγαν καὶ πίονα δημῶι·
ἡμιτάλαντον δὲ χρυσοῦ λοισθήϊ' ἔθηκεν.
στῆ δ' ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·

734 (κατέρ.) H. κ 1682 **736b** [Ammon.] Diff. 14 **739** (ἀπομ.) H. (Cyr.) α 6479 **740** (ταχυτ.) H. τ 291 **741** (κρητ. τετ.) ApD Adv. 136.17 **742** (χάνδ.) cf. H. χ 156; (κάλλει–)–**744a** Strab. 1.2.33; **743** (–πολυδ.) EtG s.v. σινδών; (ἐπεὶ–) Choer. in Thd. i.275.18, 281.7; **744** (ἠερο.) ApS 82.27; H. η 193 **746** Choer. in Ps. 173.2

730 οὐδ' ἔτ' N, ουδ'ετ Y: οὐδέ τ' (9 13) Ω **731** ἐν 'ceteri omnes' ante Hdn Ω: ἓν Leptines γνάμψεν 9 13 Ω*: γνάψεν A[λ]: κάμψεν D R W:]μψεν 1402 ἐπὶ δὲ 9 13 Ω*: ἐπὶ Y R: και επι 45 **732** πλησίοι 9 1402 Ω*: -ον 13 D.—cf. ad Z 245 **733** ἀναΐξαντε πάλαιον (9) F T Y (-τες) R W G **735** ἐρείδεσθον 9 13 A F[a] G: ἐρίδ- sch[bT]? T[λ] Ω* (cf. ad 792): ἐρίζ- W V **736** δ' ἶσ' 13[2] Ω, δ' εισ 9 13[a]: πόσσ' t (confuso I 124, 266, 269) ανέλόντες 13[2] **737** ἀεθλεύωσιν 9 13 Ω*: -σωσιν D T R W[?] **738** ἠδ' ἐπίθοντο 9 Ω*: ἠδεπ- 13 D: ἠδὲ π- rr **739** ἀπομορξαμένω 9 Ω*: -άμενοι 13 t (-μαρ-) D T δύσαντο 9 13 1526 Ω (λύ- T) (cf. Σ 376): -σοντο Cobet Misc. crit. 285, 363 χιτῶνας 9 Ω*: -να D **740** ἄλλα τίθει 9 13 Ω: ἄλλ' ἐτ- r ταχυτῆτος 9 13[2] 1526 Ω: proparox. 13[a] ***744a*** <Λῆμνον ἐς ἠγαθέην ...> desidero; an fuit **745** δ' ἐν Λήμνωι, βασιλῆϊ δὲ? **746** υἷος Ω*: υἱος 9, υἱὸς t A[a] T[a] W G[c] **748** ἀέθλιον 9 13 1526 Ω: -ια Bekker **750** καὶ 9 13 1526 Ω: κατὰ A[γρ] **751** λοισθήϊ' sch[T] A[c] (cf. 785): -ῆϊ (deprec. sch[T]) 9 13[?] 1526 T[λ] A[m] Ω*

"ὄρνυσθ', οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε."
ὣς ἔφατ'· ὤρνυτο δ' αὐτίκ' Ὀϊλῆος ταχὺς Αἴας,
755 ἂν δ' Ὀδυσεὺς πολύμητις, ἔπειτα δὲ Νέστορος υἱός
Ἀντίλοχος· ὃ γὰρ αὖτε νέους ποσὶ πάντας ἐνίκα.
στὰν δὲ μεταστοιχεί, σήμηνε δὲ τέρματ' Ἀχιλλεύς.
τοῖσι δ' ἀπὸ νύσσης τέτατο δρόμος· ὦκα δ' ἔπειτα
ἔκφερ' Ὀϊλιάδης. ἐπὶ δ' ὤρνυτο δῖος Ὀδυσσεύς
760 ἄγχι μάλ', ὡς ὅτε τίς τε γυναικὸς ἐϋζώνοιο
στήθεός ἐστι κανών, ὅν τ' εὖ μάλα χειρὶ τανύσσηι
πηνίον ἐξέλκουσα πάρεκ μίτον, ἀγχόθι δ' ἴσχει
στήθεος· ὣς Ὀδυσεὺς θέεν ἐγγύθεν, αὐτὰρ ὄπισθεν
ἴχνια τύπτε πόδεσσι πάρος κόνιν ἀμφιχυθῆναι·
765 κὰδ δ' ἄρα οἱ κεφαλῆς χέ' ἀϋτμένα δῖος Ὀδυσσεύς
αἰεὶ ῥίμφα θέων. ἴαχον δ' ἔπι πάντες Ἀχαιοί
νίκης ἱεμένωι, μάλα δὲ σπεύδοντι κέλευον.
ἀλλ' ὅτε δὴ πύματον τέλεον δρόμον, αὐτίκ' Ὀδυσσεύς
ηὔχετ' Ἀθηναίηι γλαυκώπιδι ὃν κατὰ θυμόν·
770 "κλῦθι, θεά, ἀγαθή μοι ἐπίρροθος ἐλθὲ ποδοῖιν."
ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε Παλλὰς Ἀθήνη,
γυῖα δ' ἔθηκεν ἐλαφρά, πόδας καὶ χεῖρας ὕπερθεν.
ἀλλ' ὅτε δὴ τάχ' ἔμελλον ἐπαΐξεσθαι ἄεθλον,
ἔνθ' Αἴας μὲν ὄλισθε θέων, βλάψεν γὰρ Ἀθήνη,
775 τῆι ῥα βοῶν κέχυτ' ὄνθος ἀποκταμένων ἐριμύκων,

759b–62 (–μίτον) Polyb. Sard. Fig. iii.106.28 Sp.; **760–1** imit. Nonn. D. 37.630–2; **761** (κανών) H. κ 681; **762** (–μίτ.) imit. Nonn. D. 24.313; **762a** sch Ar. Ran. 578b; (πην.) H. π 2212; Phot. Lex. s.v.; (πάρεκ μ.) H. π 796 **764** Macr. Sat. 5.13.4; Nonn. D. 37.634 **765** (ἀϋτμ.) H. α 8396 **770** Eudoc. 843 **774** (βλ.–) Aristid. Or. 3.469 **775** (βοῶν ὄνθ.) Poll. 5.91; (ὄνθ.) H. (Cyr.) ο 887; Phot. Lex. s.v.; (ἐριμ.) H. (Cyr.) ε 5856

753 πειρήσεσθε Ar 9 Ω (-σαισθε D[a]): -σεσθον Zen 13 (ex 707) **754** ὤρνυτο 9 13 Ω: ὄρν- M **757** (= 358) ath. Ar μεταστοιχεί 13 Z Ω*: -χί 9 A[λ] A T[λ] T G.—cf. ad 358 **757a–c** (= 359–61) add. 13[2m] **759** ἔκφερ' Ar 9 13 Ω (cf. 376 sq.): ἔκθορ' Zen ὁ Ἰλιάδης (Zen? cf. ad B 527) D[c] ὤρνυτο 9 13 Ω*: ὄρν- t T R W Ὀδυσσεὺς 9 13[2] t Ω*: Επειος 13[a]: Ἀχιλλεὺς G **761** ἐστι 9 13 t Ω: ἄγχι Thiersch χειρὶ 13 t (cf. Nonn.) *b h*: χερσὶ 9 Ω* **762** πάρεκ dedi (cf. Praef. xix): παρεκ vel παρὲκ 9 13 Ω*: παρ' ἐκ G ἴσχηι Wecklein SBAW 1908(2).65 **764** τύπτε πόδεσσι 9 13 t* Z Ω: ποσσιν ετυπτε Macr. **765** οἱ 1 9 13 A[γρ] Ω*: ἐκ A rr **766** ἔπι 13: ἐπὶ vel ἐπι 9 Ω, επει 1 **767** om. R νίκης 1 9 13 Ω*: -ην D *h* ἱεμένωι 9 Ω*: ἱέμενοι 1 13 A[γρ] D F[γρ] W: -μένων agn. Eust. **769** ηὔχετ' Fick: εὔχ- 1 9 13 Ω **772** (= E 122) ath. Ar cum non addita celeritate vicerit Vlixes sed Aiace impedito **773** ἔμελλον 1 9 Ω: -εν 13 ἐπαΐξεσθαι 13 *h* F W: -ασθαι 1 9 Ω*

οὓς ἐπὶ Πατρόκλωι πέφνεν πόδας ὠκὺς Ἀχιλλεύς·
ἐν δ' ὄνθου βοέου πλῆτο στόμα τε ῥῖνάς τε·
κρητῆρ' αὖτ' ἀνάειρε πολύτλας δῖος Ὀδυσσεύς,
ὡς ἦλθε φθάμενος. ὃ δὲ βοῦν ἕλε φαίδιμος Αἴας·
780 στῆ δὲ κέρας μετὰ χερσὶν ἔχων βοὸς ἀγραύλοιο,
ὄνθον ἀποπτύων, μετὰ δ' Ἀργείοισιν ἔειπεν·
"ὢ πόποι, ἦ μ' ἔβλαψε θεὰ πόδας, ἣ τὸ πάρος περ
μήτηρ ὣς Ὀδυσῆϊ παρίσταται ἠδ' ἐπαρήγει."
ὣς ἔφαθ'· οἳ δ' ἄρα πάντες ἐπ' αὐτῶι ἡδὺ γέλασσαν.
785 Ἀντίλοχος δ' ἄρα δὴ λοισθήϊον ἔκφερ' ἄεθλον
μειδιόων, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
"εἰδόσιν ὔμμ' ἐρέω πᾶσιν, φίλοι, ὡς ἔτι καὶ νῦν
ἀθάνατοι τιμῶσι παλαιοτέρους ἀνθρώπους.
Αἴας μὲν γὰρ ἐμεῖ' ὀλίγον προγενέστερός ἐστιν,
790 οὗτος δὲ προτέρης γενεῆς προτέρων τ' ἀνθρώπων·
ὠμογέροντα δέ μίν φασ' ἔμμεναι. ἀργαλέον δέ
ποσσὶν †ἐριδήσασθαι† Ἀχαιοῖς, εἰ μὴ Ἀχιλλεῖ."
ὣς φάτο, κύδηνεν δὲ ποδώκεα Πηλείωνα.
τὸν δ' Ἀχιλεὺς μύθοισιν ἀμειβόμενος προσέειπεν·
795 "Ἀντίλοχ', οὐ μέν τοι μέλεος εἰρήσεται αἶνος,
ἀλλά τοι ἡμιτάλαντον ἐγὼ χρυσοῦ ἐπιθήσω."
ὣς εἰπὼν ἐν χερσὶ τίθει, ὃ δὲ δέξατο χαίρων.
αὐτὰρ Πηλείδης κατὰ μὲν δολιχόσκιον ἔγχος

777a ApS 121.16 **781**a id. ib.; (ὄνθ.) H. (Cyr.) ο 886 **782** (ἦ μ'–)–**3** (–παρίστ.) sch Ψ 405–6b; **783** sch Pind. Nem. 3.1a **785**b sch Ψ 751 **788**a sch Ψ 796 **790** Porph. Hom. 66.25 Sod. **791** (ὠμογ.) ApS 171.7; H. ω 196 **792** (ἐριδ. Ἀχ.) Philox. fr. 301 Th.; (ἐριδ.) H. ε 5817 **793** (κύδ.) ApS 105.1; H. κ 4411 **795** ApS 14.10; Choer. in Ps. 114.21; (οὐ–) sch Soph. Tr. 888; (μέλ.) H. (Cyr.) μ 678; Phot. Lex. μ 230; (εἰρ.) H. (Cyr.) ε 1034 **796** Poll. 9.54; (ἡμιτάλ. χρ.) Philostr. Imag. 2.7

777 ἐν δ' 9 t Ω*: ἔνθ' R W G.—cf. ad Ω 122 ῥῖνάς 1 Ω*: -ές 9 F G **781** ὄνθον 9 13 tt Ω*: -ου W, agn. Eust. **782** ὢ A D T: ὣ Ω* πόποι 9 Ω: φιλοι· 13 **785** δὴ 13^{s} Ω: οἱ 9 rr: om. 13^{a} **787** ὔμμ' D E F^{a} R W G **788** τιμῶσι 9 13 t Ω: τίουσι van Leeuwen post Fick **789** ἐμεῖ' 13 Ω*: ἐμοὶ F^{a} R: ἐμεῦ V **790** τ' 13 t Ω*: δ' G: om. D **792** ἐριδήσασθαι 13 tt T^{λ} Ω*: ἐρηδ- G: ἐριδδ- Z A^{m} D (-σεσθαι) T: ἐριζ- "ἔν τισι τῶν ὑπομνημάτων": ἐρειδ- Doederlein.—formae inauditae omnes; haud male ποσσὶν δηρίσασθαι Naber, possis etiam πόσσ' ἔριδ‹α στ›ήσασθαι, quamquam tempus praesens exspectatur.—varia tentaverunt viri docti (ἐριζέμεναι Brandreth, -εσθαι Lange, πόσσ' ἐριδαίνεσθαι Menrad, etc.) ut deinceps ἄλλοις, εἰ μὴ Ἀχιλῆϊ legi possit (de ἄλλοις cf. Wack. KS 1820) Ἀχιλλεῖ 13 T^{λ} Ω* (-ιλεῖ C): Ἀχιλλῆι (διὰ τοῦ η̄) sch^{T}: Ἀχιλῆϊ (Nauck) T R.—cf. ad Ξ 115, Ω 61 **797** δὲ δέξατο T *h*: δ' ἐδ- Ω* **798–883** damn. Lehrs De Aristarchi stud. $Hom.^{3}$ 429 sq., 434

θῆκ' ἐς ἀγῶνα φέρων, κατὰ δ' ἀσπίδα καὶ τρυφάλειαν,
800 τεύχεα Σαρπήδοντος, ἅ μιν Πάτροκλος ἀπηύρα.
στῆ δ' ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
"ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὥ περ ἀρίστω,
τεύχεα ἑσσαμένω, ταμεσίχροα χαλκὸν ἑλόντε,
ἀλλήλων προπάροιθεν ὁμίλου πειρηθῆναι.
805 ὁππότερός κε φθῇσιν ὀρεξάμενος χρόα καλόν,
{ψαύσηι δ' ἐνδίνων διά τ' ἔντεα καὶ μέλαν αἷμα,}
τῶι μὲν ἐγὼ δώσω τόδε φάσγανον ἀργυρόηλον,
καλὸν Θρηΐκιον· τὸ μὲν Ἀστεροπαῖον ἀπηύρων·
τεύχεα δ' ἀμφότεροι ξυνήϊα ταῦτα φερέσθων,
810 καί σφιν δαῖτ' ἀγαθὴν παραθήσομεν ἐν κλισίηισιν."
ὣς ἔφατ'· ὦρτο δ' ἔπειτα μέγας Τελαμώνιος Αἴας,
ἂν δ' ἄρα Τυδείδης ὦρτο κρατερὸς Διομήδης.
οἳ δ' ἐπεὶ οὖν ἑκάτερθεν ὁμίλου θωρήχθησαν,
ἐς μέσον ἀμφοτέρω συνίτην μεμαῶτε μάχεσθαι,
815 δεινὸν δερκομένω· θάμβος δ' ἔχε πάντας Ἀχαιούς.
ἀλλ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
τρὶς μὲν ἐπήϊξαν, τρὶς δὲ σχεδὸν ὡρμήθησαν.
ἔνθ' Αἴας μὲν ἔπειτα κατ' ἀσπίδα πάντοσ' ἐΐσην
νύξ', οὐδὲ χρό' ἵκανεν· ἔρυτο γὰρ ἔνδοθι θώρηξ·
820 Τυδείδης δ' ἄρ' ἔπειτα ὑπὲρ σάκεος μεγάλοιο
αἰὲν ἐπ' αὐχένι κῦρε φαεινοῦ δουρὸς ἀκωκῆι.

800a ApS 140.20 805a Arn ad Ψ 824–5b; (φθ. ὀρ.) Epm. φ 43 806 Arn ad K 298b; 806a Orio 52.16; Melet. Nat. hom. PG 64.1232d; EtG s.v. ἔνδινα; (διά τ' ἐνδ.) sch Ψ 846; (ἐνδ.) ApS 68.30; H. ε 2799 808a sch^{h94} Φ 163 (v.92.17 E.) 810 (–παραθ.) sch Ψ 802–4a; 810a sch Ω 69a^{1} 821a sch Ω 530; (κῦρε) H. κ 4665

803 ἑλόντε 13 1527 Ω*: -όντες Nic (cod. A) T: -όντων D: -έσθαι frustra Düntzer 804 non habuit Nic, om. 13 1527 A^{a} D T^{a} W G^{a}; cf. Apthorp 128–33 ἀλλήλων A^{ms} *b* F^{c} T^{m}: -ω F^{a} R G^{m}: -ους A^{mt} 805–6 ut supra fere Ar 13 1527 1528 tt Z Ω: ὁππότερός κε(ν) πρόσθεν (πρῶτος Eust.) ἐπιγράψας χρόα καλόν | φθήηι ἐπευξάμενος διά τ' ἔντεα καὶ φόνον ἀνδρός (-ῶν T) Arph testibus T Eust. 805 φθῇ(ι)σιν 13 1527 t* Ω: φθήηι Epm. (cf. Arph supra).—cf. Chantr. I 43 806 ath. Ar ψαύσηι 13 tt* A$^{\lambda}$ Ω*: -σει A: ψαύει Orio: ψαῦσαι Melet. δ' tt A$^{\lambda}$ Ω: τ 13 ἐνδίνων Arn Hdn tt* Z A$^{\lambda}$ Ω: ἐνδεί- 13 ApS 809 δ' 13 Ω*: τ' R G 810 ath. Ar παραθήσομεν ἐν 13 1527 Ω*: -σομαι ἐν F R G (cf. ο 506^{vl}): -σομ' ἐν W, ἐνὶ B^{c} 814 ἀμφοτέρω [13] A W: -ρων Ω*.—cf. ad E 156, Z 122, Υ 159 815 δερκομένω 13$^{?}$ Ω*: -όμενοι (= Γ 342) A^{γρ} D F ἔχε 13$^{?}$ 1527 Ω (cf. Γ 342, Δ 79, Ω 482): ἕλε N^{γρ} πάντας Ἀχαιούς 13 1527 Ω*: (-εν) εἰσορόωντας (= ll.cc.) A^{γρ} T W 816 ἰόντες 13 Ω: -ε r.—cf. ad E 630, Z 121 817 damn. Heyne 818 πάντοσ' ἐΐσην 13$^{2?}$ B E: -οσε ἴσην Ω* (-οσ' ἴ- T^{a}) 821 κῦρε 13 tt Z A$^{\lambda}$ Ω: κύρσε T$^{\lambda}$ ἀκωκῆι 13^{2} D^{2} F R^{c} G: -ή R^{a} W: -ήν 13^{a} Ω*

καὶ τότε δή ῥ' Αἴαντι περιδδείσαντες Ἀχαιοί
παυσαμένους ἐκέλευσαν ἀέθλια ἶσ' ἀνελέσθαι.
αὐτὰρ Τυδείδηι δῶκεν μέγα φάσγανον ἥρως
825 σὺν κολεῶι τε φέρων καὶ ἐϋτμήτωι τελαμῶνι.
αὐτὰρ Πηλείδης θῆκεν σόλον αὐτοχόωνον,
ὃν πρὶν μὲν ῥίπτασκε μέγα σθένος Ἠετίωνος·
ἀλλ' ἤτοι τὸν ἔπεφνε ποδάρκης δῖος Ἀχιλλεύς,
τὸν δ' ἄγετ' ἐν νήεσσι σὺν ἄλλοισι κτεάτεσσιν.
830 στῆ δ' ὀρθὸς καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
"ὄρνυσθ', οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε.
εἴ οἱ καὶ μάλα πολλὸν ἀπόπροθι πίονες ἀγροί,
ἕξει μιν καὶ πέντε περιπλομένους ἐνιαυτούς
χρεώμενος· οὐ μὲν γάρ οἱ ἀτεμβόμενός γε σιδήρου
835 ποιμὴν οὐδ' ἀροτὴρ εἶσ' ἐς πόλιν, ἀλλὰ παρέξει."
ὣς ἔφατ'· ὦρτο δ' ἔπειτα μενεπτόλεμος Πολυποίτης,
ἂν δὲ Λεοντῆος κρατερὸν μένος ἀντιθέοιο,
ἂν δ' Αἴας Τελαμωνιάδης καὶ δῖος Ἐπειός.
ἑξείης δ' ἵσταντο, σόλον δ' ἕλε δῖος Ἐπειός,
840 ἧκε δὲ δινήσας· γέλασαν δ' ἔπι πάντες Ἀχαιοί.
δεύτερος αὖτ' ἀφέηκε Λεοντεὺς ὄζος Ἄρηος·
τὸ τρίτον αὖτ' ἔρριψε μέγας Τελαμώνιος Αἴας
χειρὸς ἄπο στιβαρῆς, καὶ ὑπέρβαλε σήματα πάντων.
ἀλλ' ὅτε δὴ σόλον εἷλε μενεπτόλεμος Πολυποίτης,
845 ὅσσον τίς τ' ἔρριψε καλαύροπα βουκόλος ἀνήρ,
ἣ δὲ ἑλισσομένη πέτεται διὰ βοῦς ἀγελαίας,

822 sch Ξ 404–6; **822**b–**3**a sch Ψ 821a^{1}; **823**b Arn ad Ψ 824–5a^{1} **826** (–σόλ.) + **827**a sch θ 190 (Eratosth. 241 F 5); **826** (σόλον αὐτοχ.) ApS 143.26; [Ammon.] Diff. 132; sch δ 626; Nonn. D. 37.667; EtG s.v. δίσκος; (σόλον) H. σ 1328; Orio 147.34; Phot. Lex. s.v.; (αὐτοχ.) ApS 48.6; H. (Cyr.) α 8496 **834** (χρεώ.) H. χ 702; **834**b–**5**a sch Ψ 826c; **835** (ἀροτήρ) H. (Cyr.) α 7372 **840** (διν.) id. δ 1856 **845**b sch A.R. 4.974; (καλαύρ.) ApS 94.22; H. (Cyr.) κ 420; St. Byz. 47.11; cf. Phot. Lex. κ 109; (βουκ.) H. (Cyr.) β 910

822 περιδδείσαντες t* Ω: περιδεί- sch-Ψ O **823** ἀνελέσθαι Ω*: ἀνάγοντες D **824–5** ath. Arph Ar **825** κουλεῶι D O ἐϋτμήτωι Ω: εϋ ιμ- 13: ἐϋδμ- sch^{T} (ubi ἐϋκμ- van der Valk I 535).—cf. ad 684 **827** ὂν [13] 1529 t Ω*: τὸν T N G ῥίπ–τασκε 13 (ρ⟦ε⟧ί-) Z Ω: -πτεσκε van Leeuwen: -ψασκε Fick.—cf. ad O 23 **828** ἔπε–φνε 13 Ω: πέφνε rr (*h*?) **835** παρἕξει A **840** ἔπι 13 B^{a}?: επι 28, ἐπὶ vel ἐπι Ω **841** δεύτερος 13 28 Ω: -ον rr (cf. 842) αφ]έηκε 13 **843** ath. Ar ἄπο Wolf: απο 13 28, ἀπὸ A$^{\lambda}$ Ω πάντων 13 28 Ω* G^{s}: -ντα *h* W G (cf. θ 192^{vl}) **844** δὴ 13 28 A$^{\lambda}$ A^{s} Ω*: μεν A^{t} **845** ὅσσόν A **846** δε 13, δ' W: δέ θ' B F^{c} G, δέ τ' 1528 Ω*, δε]. 1529

τόσσον παντὸς ἀγῶνος ὑπέρπτατο· τοὶ δ' ἐβόησαν.
ἀνστάντες δ' ἕταροι Πολυποίταο κρατεροῖο
νῆας ἔπι γλαφυρὰς ἔφερον βασιλῆος ἄεθλον.
850 αὐτὰρ ὃ τοξευτῆισι τίθει ἰόεντα σίδηρον·
κὰδ δ' ἐτίθει δέκα μὲν πελέκεας, δέκα δ' ἡμιπέλεκκα.
ἱστὸν δ' ἔστησεν νηὸς κυανοπρώιροιο
τηλοῦ ἐπὶ ψαμάθοις, ἐκ δὲ τρήρωνα πέλειαν
λεπτῆι μηρίνθωι δῆσεν ποδός, ἧς ἄρ' ἀνώγει
855 τοξεύειν· "ὃς μέν κε βάληι τρήρωνα πέλειαν,
πάντας ἀειράμενος πελέκεας οἶκόνδε φερέσθω·
ὃς δέ κε μηρίνθοιο τύχηι, ὄρνιθος ἁμαρτών,
ἥσσων γὰρ δὴ κεῖνος, ὃ δ' οἴσεται ἡμιπέλεκκα."
ὣς ἔφατ'· ὦρτο δ' ἔπειτα βίη Τεύκροιο ἄνακτος,
860 ἂν δ' ἄρα Μηριόνης, θεράπων ἐῢς Ἰδομενῆος.
κλήρους δ' ἐν κυνέηι χαλκήρεϊ πάλλον ἑλόντες,
Τεῦκρος δὲ πρῶτος κλήρωι λάχεν. αὐτίκα δ' ἰόν
863 ἧκεν ἐπικρατέως· οὐδ' ἠπείλησεν ἄνακτι.
865 ὄρνιθος μὲν ἅμαρτε· μέγηρε γάρ οἱ τό γ' Ἀπόλλων·
αὐτὰρ ὃ μήρινθον βάλε πὰρ πόδα, τῆι δέδετ' ὄρνις,
ἀντικρὺ δ' ἀπὸ μήρινθον τάμε πικρὸς ὀϊστός.
ἣ μὲν ἔπειτ' ἤϊξε πρὸς οὐρανόν, ἣ δὲ παρείθη
μήρινθος ποτὶ γαῖαν· ἀτὰρ κελάδησαν Ἀχαιοί.

850 Macr. Sat. 5.7.6; (ἰό. σίδ.) ApS 91.23; (ἰό.) H. ι 747 **851** (ἡμιπέλ.) sch N 612b; H. (Cyr.) η 514, 516; Phot. Lex. η 172 **854** (μηρ.) Ath. 25d; H. μ 1254; Orio 98.19; cf. Phot. Lex. μ 413 **862–3a** Porph. Il. 266.10 Schr.; **863b** sch[D] Θ 150; sch θ 383; EtG α 997, 1002; (ἠπείλ.) H. (Cyr.) η 670 **865b** Hdn ad Ξ 171b; (μέγ.) H. ε 2328, μ 500

847 υπ]ερπτ[α]το 28: ὑπέρβαλε 13 Ω (ex 843? v.l. sim. θ 192) δ' ἐβόησαν 28 Ω*: δεβ- 13, δὲ β- G **848** ἀνστάντες 13[2s] 1529 Ω: αστ- 13[a].— cf. Praef. xxvi **849** ἔπι Wolf: ἐπὶ vel ἐπι 13 Ω **850** τοξευτῆισι 13 Z A[λ] Ω: -τῆρσι t r.—cf. ad Λ 325, M 41 **851** πελέκεας 13 Z A[λ] Ω: -κυς Christ **852** δὲ στῆσεν *h* κυανοπρώ(ι)ροιο 13 Ω: cf. ad O 693 **853** ἐπὶ 13 Ω*: ὑπὸ D ψαμάθοις 13 Ω: -ου V.—cf. ad A 486 **854–Ω** 85 folia exciderunt a D (suppl. m. rec.; non cito) **854** ποδός Ar 13 Ω: πόδα "κατ' ἔνια" ἧς ἄρ' Ar[a] 13[c] Ω*: ἣν ἂρ *b* F[c]: ἧαρ 13[a]: ὡς γὰρ Ar[b] *h*: ἧς γὰρ A[γρ] W **856** πελέκεας 9 13 Z Ω: -κυς Christ οἶκόνδε vel -ον δὲ 13 Ω*: κλισίηνδε (= 275, 662) 9 A[γρ] *h* F R W **861** πάλλον 9 13 Ω: βάλλον Düntzer.—cf. ad Γ 316 **863** οὐδ'–ἄνακτι post 872 conceptum; fort. primitus καί ῥ' ὄρνιθος μὲν ἅμαρ–τεν, | αὐτὰρ ὃ μήρινθον κτλ. **864** (= 873) add. Ω*: deest in 9 13 T R N **865** et μέγηρε et ἐμέγηρε Hsch. γάρ οἱ 9 13 t Ω: δέ οἱ Heyne: (-εν) γὰρ Hermann Orphica 779.—v. quae adnotavi ad Hes. Op. 526 τό γ' 9 13 Ω*: τότ' t A F[c]?: τῷδ' R **866** om. B[a] C[a] **869** ποτὶ [13] Ω: προτι 9

870 σπερχόμενος δ' ἄρα Μηριόνης ἐξείρυσε χειρός
τόξον· ἀτὰρ δὴ ὀϊστὸν ἔχεν πάλαι, †ὡς ἴθυνεν†·
αὐτίκα δ' ἠπείλησεν ἑκηβόλωι Ἀπόλλωνι,
ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην.
ὕψι δ' ὑπαὶ νεφέων ἴδετο τρήρωνα πέλειαν·
875 τῆι ῥ' ὅ γε δινεύουσαν ὑπὸ πτερύγος βάλε μέσσην.
ἀντικρὺ δὲ διῆλθε βέλος· τὸ μὲν ἂψ ἐπὶ γαίηι
πρόσθεν Μηριόναο πάγη ποδός· αὐτὰρ ἡ ὄρνις
{ἱστῶι ἐφεζομένη νηὸς κυανοπρώιροιο}
αὐχέν' ἀπεκρέμασεν, σὺν δὲ πτερὰ πυκνὰ λίασθεν,
880 ὠκὺς δ' ἐκ μελέων θυμὸς πτάτο, τῆλε δ' ἀπ' αὐτοῦ
κάππεσε· λαοὶ δ' αὖ θηέοντό τε θάμβησάν τε.
ἂν δ' ἄρα Μηριόνης πελέκεας δέκα πάντας ἄειρεν,
Τεῦκρος δ' ἡμιπέλεκκα φέρεν κοίλας ἐπὶ νῆας.
αὐτὰρ Πηλείδης κατὰ μὲν δολιχόσκιον ἔγχος,
885 κὰδ δὲ λέβητ' ἄπυρον, βοὸς ἄξιον, ἀνθεμόεντα
θῆκ' ἐς ἀγῶνα φέρων· καί ῥ' ἥμονες ἄνδρες ἀνέσταν,
ἂν μὲν ἄρ' Ἀτρείδης, εὐρὺ κρείων Ἀγαμέμνων,
ἂν δ' ἄρα Μηριόνης, θεράπων ἐῢς Ἰδομενῆος.
τοῖσι δὲ καὶ μετέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
890 "Ἀτρείδη, ἴδμεν γὰρ ὅσον προβέβηκας ἁπάντων
ἠδ' ὅσσον δυνάμι τε καὶ ἥμασιν ἔπλε' ἄριστος·

870–1 Porph. Il. 266.22 Schr., cf. 266.11 **872** ApS 38.4 **874** Eudoc. 452; **874**a Epm. υ 34; **874**b sch^{G} Φ 493e **879**b Epm. λ 33; (λί.) H. ε 2060 **880** (πτάτο) H. (Cyr.) π 4178, 4184 **883** ApS 84.4 **885** Ath. 501b; (ἀνθεμ.) ApS 35.4; H. (Cyr.) α 5115 **886**b Did ad Ψ 287a; Epm. ε 98; (ἥμ.) ApS 84.10; Plut. Mor. 675a; H. (Cyr.) η 543; Orio 72.1 **891** ApS 84.10; (–ἥμ.) Epm. ε 98; **891**b Hdn ad Ψ 886ab; (ἥμ.) H. η 427

870–1 ἐξείρυσε χειρός | τόξον· ἀτὰρ δὴ ὀϊστὸν Ar 9 13 t Ω: ἐξείλετο Τεύκρου | τόξον· χερσὶ δ' ὀϊστὸν Antim: ἐπεθήκατ' ὀϊστόν | τόξωι· ἐν γὰρ χερσὶν 𝔐 εχον 13^{a} ὡς ἰθύνοι Voss ad Hymn. Cer. 273 cl. ε 255: malim ὧι ῥ' ἴθυνεν **874** ὑπαὶ 13 tt Ω: ὑπὸ 9 rr.—cf. ad O 625, Π 375 ἴδετο 9 Eudoc. F^{a} R W G: ἴδε δὲ 13^{a} t*: εἶδε Ω*, ἶδε 13^{2} **875** τῆι ῥ' 9 13 Ω: τὴν sch^{hyp} πτερύγος Ar (teste Eust.) 13^{2} A A^{mc} B E T: proparox. A^{ma} Ω*.—cf. ad B 316 βάλε 13 Ω*: λάβε 9 C (ex B 316?) μέσσην 9 13^{2} Ω* B^{s} E^{s} F^{2s}: -ον 13: -ης *b* F: -ηγύ W **876** ἐπὶ 9 13 Ω (cf. Z 313): ἐνὶ Nauck (cf. K 374, Λ 378, al.) **877** αὐτὰρ ἡ 9 13 Ω (ἡ om. *b* F^{c}): αὐτίκα δ' Nauck **878** susp. Nauck κυανοπρώροιο 9 13 453 Ω: cf. ad 852 **879** λίασθεν (nov. Did) 9 453 t* T^{λ} Ω: -άσθη 13 (-ηι) T^{λ} alterum: utrumque Z: -ασσεν Ar Hsch. (ἐλί-): -άσθην 𝔐 (teste A, cf. Δ 146: -άσθη teste T) **880** ὠκὺς δ' ἐκ Ar 9 Ω: ὦκα δ' ἀπὸ exspectaveris cl. N 671 sq. = Π 606 sq. **881** θηέοντό van Leeuwen: -εῦντό 9 453 Ω **882** πελέκεας 9 453 Ω: cf. ad 851 **886** ῥ' ἥμονες Ar Hdn 453 tt Z Ω: ῥήμ- quidam ante Ar: ρημ- 9.—cf. ad 891 **891** δυνάμι Bekker: -μει 9 t* A^{λ} Ω: -μις Epm.^{cod} ἥμασιν Hdn 9 tt Z Ω (ἤ- G): ρημ- 453 (cf. ad 886) ἔπλε'

ἀλλὰ σὺ μὲν τόδ' ἄεθλον ἔχων κοίλας ἐπὶ νῆας
ἔρχε', ἀτὰρ δόρυ Μηριόνηι ἥρωϊ πόρωμεν,
εἰ σύ γε σῶι θυμῶι ἐθέλοις· κέλομαι γὰρ ἐγώ γε."
895 ὣς ἔφατ'· οὐδ' ἀπίθησεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
δῶκε δὲ Μηριόνηι δόρυ χάλκεον· αὐτὰρ ὅ γ' ἥρως
Ταλθυβίωι κήρυκι δίδου περικαλλὲς ἄεθλον.

Ω λῦτο δ' ἀγών, λαοὶ δὲ θοὰς ἐπὶ νῆας ἕκαστοι
ἐσκίδναντ' ἰέναι. τοὶ μὲν δόρποιο μέδοντο
ὕπνου τε γλυκεροῦ ταρπήμεναι· αὐτὰρ Ἀχιλλεύς
κλαῖε φίλου ἑτάρου μεμνημένος, οὐδέ μιν ὕπνος
5 ἥιρει πανδαμάτωρ, ἀλλ' ἐστρέφετ' ἔνθα καὶ ἔνθα
Πατρόκλου ποθέων ἀνδροτῆτά τε καὶ μένος ἠΰ,
ἠδ' ὁπόσα τολύπευσε σὺν αὐτῶι καὶ πάθεν ἄλγεα,
ἀνδρῶν τε πτολέμους ἀλεγεινά τε κύματα πείρων.
τῶν μιμνησκόμενος θαλερὸν κατὰ δάκρυον εἶβεν,
10 ἄλλοτ' ἐπὶ πλευρὰς κατακείμενος, ἄλλοτε δ' αὖτε
ὕπτιος, ἄλλοτε δὲ πρηνής· τοτὲ δ' ὀρθὸς ἀναστάς
δινεύεσκ' ἀλύων παρὰ θῖν' ἁλός. οὐδέ μιν Ἠώς
φαινομένη λήθεσκεν ὑπεὶρ ἅλα τ' ἠϊόνας τε·
ἀλλ' ὅ γ' ἐπεὶ ζεύξειεν ὑφ' ἅρμασιν ὠκέας ἵππους,

894 Eudoc. 1593 **Ω 1–2a** ApS 6.6; **1a** Nonn. D. 38.1; (λῦτο δ' ἀγών) Porph. Hom. 107.15 Sod.; EtG λ 154; (ἀγών) Apio 212.12; (λαοὶ–)–**2a** Prisc. Inst. 18.203; **2** (μέδ.) H. (Cyr.) μ 519 **3** (ταρπ.) ApS 149.24; H. τ 200 **4** (ἑτ. μεμν.) Arn ad Ω 6–9a[1]; (οὐ–δέ–)–**5a** Porph. Il. 22.7, Od. 49.3 Schr.; **5** (πανδαμ.) sch K 2b, Ξ 275–7; H. π 321; Phot. Lex. s.v.; **5b** Arn ad Ω 6–9a[1]; cf. Epict. 4.10.31 **6** sch Heph. 325.20; (ποθ.) Nic ad Ω 7–8; (ἀνδρ., μένος) Arn ad Ω 6–9a[1] **7** (–πάθον) sch Ξ 86; (τολ.) ApS 153.22; H. τ [1093], 1102 **8** (πείρων) ApS 129.22 **9** (μιμν.) Arn ad Ω 6–9a[1]; (θαλ.) sch T 323a[1] **10–12** Pl. Resp. 388a; (ἐπὶ πλ. κατακ., ὕπτιος, πρηνής, ἀλύων) Procl. in Remp. i.123.10; **10–11** (–πρ.) Charito 6.1.8; **10–11** (ὕπτ.) Eus. P.E. 13.14.8 (e Platone); **10a** Arn ad Ω 6–9a[1]; **12** (ἀλύων) Apio 216.20; ApS 23.25 **13b** Epm. ε 184, π 183

Payne Knight: -ευ 9 13 453 tt Z Ω **893** ἔρχε' Payne Knight: -ευ 9 Ω **894** ἐθέλοις t Ω*: -εις 9 C F T R.—cf. ad P 489 ἐγώ γε A[m]: ἔγωγε 9 Ω **Ω 1** λῦτο 657 A[λ] T[λ] Ω: λύτο Z rr, fort. melius, cf. ad Δ 155; Chantr. I 103 θοὰς 9 656 tt Ω: θεας 13 (fueratne θοας ss. ε, sc. ἑὰς?): ἑὴν ἐπὶ νῆα ἕκαστος Heyne cl. T 277, Ψ 3 **6–9** ath. Arph Ar, quos vituperat sch[bT] **6** ἀνδροτῆτα 9 13 (ανανδ-) 656 tt Ω: ἁδρ- G[c].—cf. ad Π 857, X 363 **7** τολύπευσε 9 tt Ω*, τ[ο]λυπεῦσε 13: -ευε F ἄλγεα Ar 9 13 Ω*: -η R W (cf. ad H 207, X 322): ἔργα "αἱ δημώδεις" 656 **8** (= θ 183, ν 91, 264) suspectus πτολέμους 9 13 1530 A F W G: πολ- Ω* πείρων Ar Hdn Ω: perisp. Pamph Z **9** μιμνησκόμενος 9 657 t Ω: μεμν- 13 **10** πλευρας 9 13, -ρὰς Ω*: -ρᾶς R: -ρὰ T **11** δὲ 13 1530 tt Ω*: δὴ 9 A: om. R τοτὲ *b* T: τότε Z Ω* **12** δινεύεσκ' 9 13 657 Z A[λ] Ω: πλωΐζεσκ' Plato u.v., quod nemodum expedivit παρὰ 9 13 Ω: ἐπὶ t οὐδέ μιν ἠώς 9 13 656 Ω: ἀτρυγέτοιο Plato citationem absolvens

15 Ἕκτορα δ' ἕλκεσθαι δησάσκετο δίφρου ὄπισθεν·
τρὶς δ' ἐρύσας περὶ σῆμα Μενοιτιάδαο θανόντος
αὖτις ἐνὶ κλισίηι παυέσκετο, τὸν δέ τ' ἔασκεν
ἐν κόνι ἐκτανύσας προπρηνέα. τοῖο δ' Ἀπόλλων
πᾶσαν ἀεικείην ἄπεχε χροΐ, φῶτ' ἐλεαίρων
20 καὶ τεθνηότα περ, περὶ δ' αἰγίδι πάντα κάλυπτεν
χρυσείηι, ἵνα μή μιν ἀποδρύφοι ἑλκυστάζων.
ὣς ὃ μὲν Ἕκτορα δῖον ἀείκιζεν μενεαίνων·
τὸν δ' ἐλεαίρεσκον μάκαρες θεοὶ εἰσορόωντες,
κλέψαι δ' ὀτρύνεσκον ἐΰσκοπον Ἀργειφόντην.
25 ἔνθ' ἄλλοις μὲν πᾶσιν ἑήνδανεν, οὐδέ ποθ' Ἥρηι
οὐδὲ Ποσειδάων' οὐδὲ γλαυκώπιδι κούρηι,
ἀλλ' ἔχον, ὥς σφιν πρῶτον ἀπήχθετο Ἴλιος ἱρὴ
καὶ Πρίαμος καὶ λαὸς Ἀλεξάνδρου ἕνεκ' ἄτης
{ὃς νείκεσσε θεάς, ὅτε οἱ μέσσαυλον ἵκοντο,
30 τὴν δ' ἤινησ', ἥ οἱ πόρε μαχλοσύνην ἀλεγεινήν}.
ἀλλ' ὅτε δή ῥ' ἐκ τοῖο δυωδεκάτη γένετ' ἠώς,
καὶ τότ' ἄρ' ἀθανάτοισι μετηύδα Φοῖβος Ἀπόλλων·
"σχέτλιοί ἐστε, θεοί, δηλήμονες. οὔ νύ ποθ' ὔμιν

17 (τὸν δὲ–) Hdn ad E 256b[1] **18** (τοῖο–)–**19** (–χροΐ) Porph. Il. 334.3 Schr.; **19** Arn ad Ω 20–1a[1]; ApS 10.7; (ἄπεχε χρ.) H. α 6104, cf. 6106 **20b–1** (χρ.) sch Θ 43b **22** ApS 10.6 **23** sch[bT] Ω 23 **24** (ἐΰσκ.) ApS 79.27 **25** (ἑήνδ.) Hdn ad N 543a[1] **26** al. (γλ. κ.) [Lib.] Progymn. 12.24.4 (viii.528.2 F.) **29–30** [Plut.] Hom. 1.6; **29** sch[h89] P 112 (iv.315.9 E., lacerum); **29a** Arn ad H 161a; sch Eur. Tro. 975; (μέσσ.) H. (Cyr.) μ 899, 938; **30** (–μαχλ.) Hdn ad N 29b; (μαχλ.) ApS 110.9; H. μ 434; Phot. Lex. μ 154 **31** sch Ω 23 **33** (δηλ.) ApS 58.14

17 αὖτις 9 13 Ω*: -θις 657 C τὸν δέ τ' 9 W: τόνδε δ' Ar Hdn 13 656 t sch[hyp] A[λ] Ω*: τὸν δὲ *h* ἔασκεν 9 13 656 Ω: δέασκεν 'vinciebat' deprec. Ar: ἐάασκεν Grashof: fort. εἴασκεν (E 802, Λ 125, Υ 408) **18–21** damn. Düntzer **19** ἀεικείην Arn (t) 9 13 657 1530 Ω*: -κίην tt* R **20–1** ath. Ar **20** τεθνηότα 1530 A[λ] A[s] B E F G: -θνειό- 9 657 A[λ] E[s] Ω*, -θνειῶ- Y: -θνιο- 13 περι γ' Y αἰγίδι 9 13 (-τι) t Ω*: -δα Ar[ab] T[a] T[s] (quo recepto παντὶ flagit. Leaf) κάλυπτε(ν) 9 13 656 Ω*: -ψε t[vl] A[yp] W: -πτει t[vl] **21** χρυσείηι 657 t Ω: -σείην Ar[ab] T[s], -σιην 13 **23–30** ath. quidam ap. sch[bT], **24–30** ipse scholii auctor (qui Ar consentire dicit; cf. Arn ad 109a[1]), **25–30** Ar teste Arn **25** ενθ αλλοις μεν` α'παντες επευφημησαν Αχαιοι· 13 (de A 22, 376 somniatus) ἑήνδανεν (sive ἑ-) t Ω* (cf. γ 143): ἑάνδ- Hoffmann post Bentley, prob. Wack. KS 1559: εκύδανεν Y **26** Ποσειδάων' Ω*, -ωνι 13 (Ποσι-) A[s] F T W: -ονῖ N[yp]: -ων Y **28–30** damn. Bentley **28** ἄτης T[λ] Ω*: ἀρχῆς Ar 13 A[yp] W.—cf. ad Γ 100, Z 356 **29–30** ath. quidam ap. [Plut.] et sch-Eur., damn. Bekker **30** ἤ(ι)νησ' 13 657 tt Z A[λ] Ω*: -νεσ' *b*, -νεσσ' rr πόρε μαχλοσύνην ἀλεγεινήν Ar 13 tt Z Ω (ἐρατεινήν rr): κεχαρισμένα δῶρ' ὀνόμηνεν Arph "τινὲς τῶν πολιτικῶν" **33** οὔ νύ A[λ] A[yp] Ω*: ουνε 13: οὐδέ A G[c?] ποθ' A[λ] Ω: και 13 ὔμιν Hdn A[yp] T Y W G, ὑμιν A: ὔμμιν F O: ὑμῖν A[λ] *b* R: υμιν 13

Ἕκτωρ μηρί' ἔκηε βοῶν αἰγῶν τε τελείων;
35 τὸν νῦν οὐκ ἔτλητε νέκυν περ ἐόντα σαῶσαι
ἧι τ' ἀλόχωι ἰδέειν καὶ μητέρι καὶ τέκεϊ ὧι
καὶ πατέρι Πριάμωι λαοῖσί τε, τοί κέ μιν ὦκα
ἐν πυρὶ κήαιεν καὶ ἐπὶ κτέρεα κτερίσαιεν·
ἀλλ' ὀλοῶι Ἀχιλῆϊ, θεοί, βούλεσθ' ἐπαρήγειν,
40 ὧι οὔτ' ἄρ' φρένες εἰσὶν ἐναίσιμοι οὔτε νόημα
γναμπτὸν ἐνὶ στήθεσσι, λέων δ' ὣς ἄγρια οἶδεν,
ὅς τ' ἐπεὶ ἂρ μεγάληι τε βίηι καὶ ἀγήνορι θυμῶι
εἴξας εἶσ' ἐπὶ μῆλα βροτῶν, ἵνα δαῖτα λάβησιν.
ὣς Ἀχιλεὺς ἔλεον μὲν ἀπώλεσεν, οὐδέ οἱ αἰδώς
45 {γίνεται, ἥ τ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησιν}.
μέλλει μέν πού τις καὶ φίλτερον ἄλλον ὀλέσσαι,
ἠὲ κασίγνητον ὁμογάστριον ἠὲ καὶ υἱόν,
ἀλλ' ἤτοι κλαύσας καὶ ὀδυράμενος μεθέηκεν·
τλητὸν γὰρ Μοῖραι θυμὸν θέσαν ἀνθρώποισιν·
50 αὐτὰρ ὅ γ' Ἕκτορα δῖον, ἐπεὶ φίλον ἦτορ ἀπηύρα,
ἵππων ἐξάπτων περὶ σῆμ' ἑτάροιο φίλοιο
ἕλκει. οὐ μέν οἱ τό γε κάλλιον οὐδέ τ' ἄμεινον·
μὴ ἀγαθῶι περ ἐόντι νεμεσσηθέωμέν οἱ ἡμεῖς.
{κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων.}"

38 (ἐπὶ κτ.) H. ε 4906; (κτέρεα) ApS 104.25 **39** sch Ω 55; Porph. Hom. 102.10 Sod. **40–1** Eudoc. 329–30; **40** sch Ω 157c; (φρ.–) Eudoc. 1703; (ἐναίσ.) H. ε 2618; **41** (γν.) id. γ 708; **41b** Paus. 3.19.8 **44–5** Stob. 3.32.6; (αἰδώς, ἥ τ'–) Plut. Mor. 529d; Clem. Strom. 6.9.5; sch Eur. Hipp. 385; (αἰδώς, ἥ τ'–σίν.) Olymp. in Gorg. 66.21, 157.1; **45** (ἥ τ'–) Orio 32.4; Elias in Categ. CAG xviii(1).111.15; (ἥ τ'–σίν.) cf. Plut. Mor. 124b; Clem. Protr. 96.2; (σίν.) H. (Cyr.) σ 689 **46–9** Stob. 4.56.2; **47** Eudoc. 1966; **48–9** [Plut.] Hom. 2.189.1; **49** sch Eur. Or. 4 **52** (ἕλκει) H. (Cyr.) ε 2127 **53** Eudoc. 1839 **54** Arist. Rh. 1380b29; [Iustin.] Cohort. ad Gr. 30; Sext. Math. 1.273; Porph. Il. 334.8 Schr.;

38 κτερίσαιεν Ar Ω* (cf. Chantr. I 465): -ίσειαν (nov. Did, qui A 42 confert) F T^λ Y R: -εουσιν 13 **40** ὧ(ι) 13 t* Ω: τῶ (Eudoc.) rr ἐναίσιμοι οὔτε Ω: εναισιμα ουδε 13 **41** γναμπτὸν 13 tt Z Ω: γναπτ- T^λ **42–5** damn. Leaf **43** εἴξας Nic Ω: εἴξησ' ci. Nic **45** sq(q). obelos appingit 656 **45** ath. Ar tamquam ex Hesiodo (Op. 318) invectum (contra iudicavit Plut. ad Hes. l.c. = fr. 45 S.): def. Macleod γίνεται 13 t A^λ Ω: γίγν- rr ἠδ' Hdn 13 Ω: ἢ δ' quidam ante Hdn cl. Eur. Hipp. 385 sq., item Elias A^λ **46** ἄλλον 13 t Ω: -ος Doederlein cl. X 106 **48** ὀδυράμενος A *b* W: -όμενος 13 tt A^m Ω* **52** μέν Christ (cf. η 159), prob. Wack. Unt. 21: μήν 13 Ω (μίν Y) **53** "ἀθετοῦσι" sch^bT νεμεσσηθέωμέν οἱ Ar: -θῶμέν οἱ (nov. Did) 13 t Ω,]ω̣μεν οι 656: -θείομεν Hermann, -θήομεν Wack. KS 1541 (antea μή ϝ' van Leeuwen), contra dixit Meister 161 sq. **54** damn. Koechly (v. 52 male intellexit auctor); novit Aeschylus (fr. 266 R.) γὰρ 13 tt* T^λ Ω: μὲν Clem.

55 τὸν δὲ χολωσαμένη προσέφη λευκώλενος Ἥρη·
"εἴη κεν καὶ τοῦτο τεὸν ἔπος, Ἀργυρότοξε,
εἰ δὴ ὁμὴν Ἀχιλῆϊ καὶ Ἕκτορι θήσετε τιμήν.
Ἕκτωρ μὲν θνητός τε γυναῖκά τε θήσατο μαζόν,
αὐτὰρ Ἀχιλλεύς ἐστι θεᾶς γόνος, ἣν ἐγὼ αὐτή
60 θρέψα τε καὶ ἀτίτηλα καὶ ἀνδρὶ πόρον παράκοιτιν,
Πηλέϊ, ὃς περὶ κῆρι φίλος γένετ' ἀθανάτοισιν·
πάντες δ' ἀντιάασθε, θεοί, γάμου. ἐν δὲ σὺ τοῖσιν
δαίνυ' ἔχων φόρμιγγα, κακῶν ἕταρ', αἰὲν ἄπιστε."
τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
65 "Ἥρη, μὴ δὴ πάμπαν ἀποσκύδμαινε θεοῖσιν.
οὐ μὲν γὰρ τιμή γε μί' ἔσσεται· ἀλλὰ καὶ Ἕκτωρ
φίλτατος ἔσκε θεοῖσι βροτῶν οἳ ἐν Ἰλίωι εἰσίν.
ὣς γὰρ ἐμοί γ', ἐπεὶ οὔ τι φίλων ἡμάρτανε δώρων·
οὐ γάρ μοί ποτε βωμὸς ἐδεύετο δαιτὸς ἐΐσης,
70 λοιβῆς τε κνίσης τε· τὸ γὰρ λάχομεν γέρας ἡμεῖς.
ἀλλ' ἤτοι κλέψαι μὲν ἐάσομεν, οὐδέ πηι ἔστιν
λάθρηι Ἀχιλλῆος, θρασὺν Ἕκτορα, ἦ γάρ οἱ αἰεί
μήτηρ παρμέμβλωκεν ὁμῶς νύκτας τε καὶ ἦμαρ·
ἀλλ' εἴ τις καλέσειε θεῶν Θέτιν ἄσσον ἐμεῖο,

Stob. 4.57.1; sch Soph. Ant. 1030; Elias Proleg. phil. CAG xviii(1).16.7; (–ἀεικ.) Clem. Protr. 51.6; **54**a sch Ψ 24a; (κωφ. γαῖαν) sch Ξ 16d; **54**b sch A 341b; (ἀεικ.) H. α 1278 **56** (–ἔπος) sch H 445, 450 **57** (ὁμήν) H. ο 707 **58** Ath. 396f; **58**b Arn ad Z 479–80a^{2}, Φ 37–8c; Lesb. Fig. 12; EtG α 134 (Philox. fr. 33 Th.); id. s.v. παρθένος; Choer. in Thd. i.112.25, 380.27; (τε θήσ.) H. τ 330; (θήσ. μ.) sch Ξ 219b; (θήσ.) ApS 88.4; H. ε 668, θ 549 **60** (ἀτίτ.) H. (Cyr.) α 8102; **60**b sch Σ 432b; Porph. Il. 225.21 Schr. **62** (–γάμου θεοί) sch Pind. Pyth. 3.165 **63** (αἰὲν ἄπ.) sch (Porph.) B 14 **65** (ἀποσκ.) ApS 39.29; H. (Cyr.) α 6639; Orio 28.3 **66** Aristid. Or. 3.612 **71** cf. Eudoc. 2088; (–ἐάσ.) Arn ad Ω 109a^{1} **74** (–Θέτιν) Hdn ad I 262a; Nic ad I 46–7a^{1}

58 μὲν 13 A^{λ} Ω: γὰρ t et θήσατο et ἐθήσ- Hsch. **59** γόνος 13 Ω*: γένος Y rr: πάϊς quidam ap. sch^{T} **60** θρέψά A *b* F T W **61** Πηλέϊ 13^{2}? V rr: -λεῖ 13^{a}? Ω: -λῆ' Barnes.—cf. ad Ξ 115, Ψ 792 πέρι r **62–3** damn. Koechly Hektors Lösung (1859) 11 sq.; fort. resp. Aesch. fr. 350 R. **62** ἀντιάασθε t Ω: -άατε Z V P θεοὶ γάμου 13 Ω: γάμου θεοί t **63** δαίνυ' fere 13 Ω*: -νυσ' B^{c} G **64** δ' ἀπαμειβόμενος 13 Ω: δὲ μέγ' ὀχθήσας quidam ap. sch^{T}.—cf. ad 138, A 560 **66** ἀλλὰ καὶ Ἕκτωρ 13 Ω: οὐδ' ἠβαιόν t **68** ἐμοίγ' Stephanus, εμοὶ γ' Y: ἔμοιγ' Ω* **71–3** ath. Ar, obelos appingit 656 **71** ἐάσομεν Ar 13 tt sch^{D} Ω: ἀμήχανον Antim **72** θρασὺν Ἕκτο–ρα 13 Ω: νέκυν Ἕκτορος mavult sch^{T} ἦ Hdn Ω* T^{s}?: ἧ Y G: η 13: ἡ sive ἣ quidam ante Hdn A^{λ}T: εὖ "κατ' ἔνια" (volueruntne εὖτε γὰρ αἰεί vel ἠΰτε γάρ οἱ? cf. sch 73a) **73** νύκτάς A W **74** θεῶν Hdn 260 A^{λ} Ω*: θέων quidam ante Hdn T^{s} (cf. K 54, M 343) ἀσσον A^{λ} A, ἅ- Y W$^{?}$: ἆ- Ω*

75 ὄφρα τί οἱ εἴπω πυκινὸν ἔπος, ὥς κεν Ἀχιλλεύς
δώρων ἐκ Πριάμοιο λάχηι ἀπό θ' Ἕκτορα λύσηι."
ὣς ἔφατ'· ὦρτο δὲ Ἶρις ἀελλόπος ἀγγελέουσα.
μεσσηγὺς δὲ Σάμου τε καὶ Ἴμβρου παιπαλοέσσης
ἔνθορε μείλανι πόντωι· ἐπεστονάχησε δὲ λίμνη·
80 ἣ δὲ μολυβδαίνηι ἰκέλη ἐς βυσσὸν ὄρουσεν,
ἥ τε κατ' ἀγραύλοιο βοὸς κέρας ἐμβεβαυῖα
ἔρχεται ὠμηστῆισιν ἐπ' ἰχθύσι κῆρα φέρουσα.
ηὗρε δ' ἐνὶ σπῆϊ γλαφυρῶι Θέτιν· ἀμφὶ δ' ἄρ' ἄλλαι
εἵαθ' ὁμηγερέες ἅλιαι θεαί, ἣ δ' ἐνὶ μέσσηις
85 κλαῖε μόρον οὗ παιδὸς ἀμύμονος, ὅς οἱ ἔμελλεν
φθείσεσθ' ἐν Τροίηι ἐριβώλακι, τηλόθι πάτρης.
ἀγχοῦ δ' ἱσταμένη προσέφη πόδας ὠκέα Ἶρις·
"ὄρσο, Θέτι· καλέει Ζεὺς ἄφθιτα μήδεα εἰδώς."
τὴν δ' ἠμείβετ' ἔπειτα θεὰ Θέτις ἀργυρόπεζα·
90 "τίπτε με κεῖνος ἄνωγε μέγας θεός; αἰδέομαι δέ
μίσγεσθ' ἀθανάτοισιν· ἔχω δ' ἄχε' ἄκριτα θυμῶι.
εἶμι μέν, οὐδ' ἅλιον ἔπος ἔσσεται, ὅττί κεν εἴπηι."
ὣς ἄρα φωνήσασα κάλυμμ' ἕλε δῖα θεάων
κυάνεον· τοῦ δ' οὔ τι μελάντερον ἔπλετο ἔσθος·

78 sch Z 133; Strab. 10.2.17; (–Ἴμβρ.) id. 8.3.6 **79a** sch γ 6; sch A.R. 1.922 (ex Eudoxo, fr. 305 Lass.); (μείλ. π.) sch Hes. Op. 151b; (μείλ.) cf. [Plut.] Hom. 2.11.4; H. μ 588 **80–2** Pl. Ion 538d; Plut. Mor. 976f; **80** Choer. in Heph. 198.4; (–ἰκ.) ApS 113.19; Hdn i.551.29; (μολυβδ. ἰκ.) sch ε 51; (μολυβδ.) cf. Ael. Dion. μ 23; H. (Cyr.) μ 1589; Phot. Lex. μ 511; (βυσσ.) ApS 53.19; cf. H. β 1342; EtG β 296; **81** (βοὸς κ.) ApS 52.18; H. β 808; (κέρ.) id. κ 2278 **83–4a** Hdn ad O 10a; **83a** Choer. in Thd. i.378.12 **85** Eudoc. 2170; (οἱ ἔμ.) Arn ad Ω 86 **88** (ἄφθ. μήδεα) cf. Hclt. Alleg. 2.5 **90** Eudoc. 248; (–θεός) Nic ad Ψ 802–7; sch^{h} Γ 410–11; sch Ar. Nub. 195b; Herm. in Pl. Phdr. 139.27 C. **92** w40 b 12; Eudoc. 265 **94** (–μελ.) sch A 528c; (ἔσθος) ApS 77.24; H. ε 6210; Phot.

75 ὄφρά A Y **78** δὲ 13 Ω: τε Strabo utroque loco: om. t* Σάμου τε 13 t* Ω: -μοιο Strabo utroque loco A^{s} T^{λ} (cf. N 33): -μου 260 **79** Μείλανι sch-A.R. (Eudox.) sch^{T}/Eust. ἐπεστονάχησε B E Y, -ισε C: -ισσε G: -στενάχησε Ω*, -ισε 1531 R W: -στεναχιζε 13 **80** μολυβδαίνηι tt Z Ω*: μολι- $T^{\lambda a}$ T R βυσσὸν Hdn 13 260 tt* Z (parox.) A^{λ} Ω*: βυθὸν R: πυθμέν' $Plato^{vl}$ ὄρουσεν 13 1531 tt* Ω: ἵκανεν Plato **81** ἐμβεβαυῖα 1531 t* Ω: ἐμμεμ- Plato Z $A^{γρ}$ R **82** ὠμηστῆισιν cf. ad Λ 454 ἐπ' 260 t* A^{λ} Ω: (-σι) μετ' Plato κῆρα Ar t* A^{λ} Ω: πῆμα Plato "ἔνιαι τῶν κατὰ πόλεις" **83** ηὗρε Fick: εὗ- 13 tt Ω (-ρεν δ' ἐν Choer. *b* T) σπῆϊ tt Ω (cf. Σ 402): σπέεϊ Payne Knight δ' ἂρ A *b*: δέ τ' t $A^{γρ}$ Ω*, δ' ἔτ' G: δε Y (δέϝ' Brandreth) **84** εἵαθ' Arph Hdn Ω*: εἴ- Ar A^{λ} C N G.—cf. ad O 10 **85** οἱ Ar 1532 tt Ω: τάχ' Rhi **86** ath. Ar denuo adest D φθείσεσθ' ἐν G: φθί- 656 A^{λ} Ω*: φθίσθαι ἐνὶ rr (= I 246) **88** paullo aliter Hymn. Cer. 321 καλέει σε πατὴρ Ζεὺς ἄφθιτα εἰδώς **90** τίπτέ sic A C F R W G **91** μίσγεσθ' Ω*: μίγεσθ' G: μίγνυσθ' Y **92** ὅττί sic A **94** δ' t A^{λ} Ω: τ'

95 βῆ δ' ἰέναι, πρόσθεν δὲ ποδήνεμος ὠκέα Ἶρις
ἡγεῖτ'· ἀμφὶ δ' ἄρά σφι λιάζετο κῦμα θαλάσσης.
ἀκτὴν δ' εἰσαναβᾶσαι ἐς οὐρανὸν ἀϊχθήτην·
ηὗρον δ' εὐρύοπα Κρονίδην, περὶ δ' ἄλλοι ἅπαντες
εἵαθ' ὁμηγερέες μάκαρες θεοὶ αἰὲν ἐόντες.
100 ἣ δ' ἄρα πὰρ Διὶ πατρὶ καθέζετο, εἶξε δ' Ἀθήνη·
Ἥρη δὲ χρύσεον καλὸν δέπας ἐν χερὶ θῆκεν
καί ῥ' εὔφρην' ἐπέεσσι· Θέτις δ' ὤρεξε πιοῦσα.
τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
"ἤλυθες Οὔλυμπόνδε, θεὰ Θέτι, κηδομένη περ,
105 πένθος ἄλαστον ἔχουσα μετὰ φρεσίν· οἶδα καὶ αὐτός.
ἀλλὰ καὶ ὧς ἐρέω, τοῦ σ' εἵνεκα δεῦρο κάλεσσα.
ἐννῆμαρ δὴ νεῖκος ἐν ἀθανάτοισιν ὄρωρεν
Ἕκτορος ἀμφὶ νέκυι καὶ Ἀχιλλῆϊ πτολιπόρθωι.
κλέψαι δ' ὀτρύνουσιν ἐΰσκοπον Ἀργειφόντην·
110 αὐτὰρ ἐγὼ τόδε κῦδος Ἀχιλλῆϊ προτιάπτω,
αἰδῶ καὶ φιλότητα τεὴν μετόπισθε φυλάσσων.
αἶψα μάλ' ἐς στρατὸν ἐλθὲ καὶ υἱέϊ σῶι ἐπίτειλον·
σκύζεσθαί οἱ εἰπὲ θεούς, ἐμὲ δ' ἔξοχα πάντων
ἀθανάτων κεχολῶσθαι, ὅτι φρεσὶ μαινομένηισιν
115 Ἕκτορ' ἔχει παρὰ νηυσὶ κορωνίσιν οὐδ' ἀπέλυσεν,
αἴ κέν πως ἐμέ τε δείσηι ἀπό θ' Ἕκτορα λύσηι.
αὐτὰρ ἐγὼ Πριάμωι μεγαλήτορι Ἶριν ἐφήσω,

Lex. ε 1996 **96** (–κῦμα) Hdn ad M 471a; (ἀμφὶ δ'–) EtG α 481; (ἀμφὶ–λιάζ.) Epm. λ 33; (]φι λιάζ.) H. φ 485; (λιάζ.) ApS 66.15; H. (Cyr.) λ 920 **97b** Arn ad Ω 104, 121; (ἀϊχθ.) H. (Cyr.) α 2190; H. η 276 **100** (εἶξε δέ) id. ε 982 **104** (–Θέτι) + **105a** EtG α 408; **104** (–Θέτι) Arn ad Ω 97a/c; **105** Eudoc. 2195; **105a** Epm. α 284, λ 40, π 115; (ἄλαστον) ApS 22.29; H. (Cyr.) α 2780 **107** sch Ω 31 **108a** sch Heph. 318.18 **110b** Epm. ad A 3d[1]; (προτ.) H. π 3986 **111** Eudoc. 1113 **112** (ἐπίτ.) H. (Cyr.) ε 5303, 5339 **113** (–θεούς) EtG α 1175; (σκύζ.) ApS 143.2; H. σ 1147 **117** (ἐφήσω) cf. eund. ε 7384

Doederlein **96** ἄρά sic A G **97** εἰσαναβᾶσαι (nov. Did) A[λ] Ω (cf. Σ 68): ἐξανα- Ar "καὶ αἱ πλείους" rr ἀϊχθήτην tt T[λ] Ω: et ἠϊ- Hsch. **98** ηὗρον Fick: εὗ- 658 Ω **99** εἵαθ' C N (consulto is quidem, cf. ad 84) **102** εὔφρην' Ω: ηὔ- r **105** ἄλαστον Ω: ἀλαστὸν Philox. (fr. 429 Th.) **106** ὧς B E T[a]: ὥς 13 A D Y: ὣς B[s] Ω* τοῦ Ω, τọ. 13 (cf. KG II 438 sq.; Chantr. II 293): τεῦ (praestaret τέο) Otto Beitr. z. Lehre v. Relativum bei Hom. II (1864) 17 σ' 13 Ω*: γ' D δεῦρο κάλεσσα 13 Ω: δευρ' ἐκ- 658 r **107–11** damn. Payne Knight **108** Ἕκτορος Ar 13 t A[λ] Ω: -ρι? Leaf νέκυϊ A[λ] Ω **109** ὀτρύνουσιν 𝔐ℵ 13[?]: -εσκον (= 24) Ar A[λ] Ω **110** προτιάπτω Apollodorus Aretades Neoteles DThr A, -άπτω 658 Hsch. A[λ] Ω*: προϊά- Zen Ar (ἐν τοῖς πρὸς Κομανόν) t* *h*.—cf. ad Z 487 **111** τεὴν Ω: ἑὴν t[cod] **116** om. Y, damn. Koechly δδείσῃ rr

λύσασθαι φίλον υἱὸν ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν,
δῶρα δ' Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνῃ."
120 ὣς ἔφατ'· οὐδ' ἀπίθησε θεὰ Θέτις ἀργυρόπεζα,
βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀΐξασα,
ἷξεν δ' ἐς κλισίην οὗ υἱέος· ἐν δ' ἄρα τόν γε
ηὗρ' ἀδινὰ στενάχοντα· φίλοι δ' ἀμφ' αὐτὸν ἑταῖροι
ἐσσυμένως ἐπένοντο καὶ ἐντύνοντ' ἄριστον·
125 τοῖσι δ' ὄϊς λάσιος μέγας ἐν κλισίηι ἱέρευτο.
ἣ δὲ μάλ' ἄγχ' αὐτοῖο καθέζετο πότνια μήτηρ,
χειρί τέ μιν κατέρεξεν, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
"τέκνον ἐμόν, τέο μέχρις ὀδυρόμενος καὶ ἀχεύων
σὴν ἔδεαι κραδίην, μεμνημένος οὔτέ τι σίτου
130 οὔτ' εὐνῆς; ἀγαθὸν δὲ γυναικί περ ἐν φιλότητι
μίσγεσθ'· οὐ γάρ μοι δηρὸν βέε', ἀλλά τοι ἤδη
ἄγχι παρέστηκεν θάνατος καὶ μοῖρα κραταιή.
ἀλλ' ἐμέθεν ξύνες ὦκα· Διὸς δέ τοι ἄγγελός εἰμι·
σκύζεσθαί τοί φησι θεούς, ἓε δ' ἔξοχα πάντων
135 ἀθανάτων κεχολῶσθαι, ὅτι φρεσὶ μαινομένῃσιν
Ἕκτορ' ἔχεις παρὰ νηυσὶ κορωνίσιν οὐδ' ἀπέλυσας.
ἀλλ' ἄγε δὴ λῦσον, νεκροῖο δὲ δέξαι ἄποινα."
τὴν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·

118 Porph. Il. 269.6 Schr. **119** (ἰήνῃ) H. (Cyr.) ι 371 **122** (υἱέος) H. υ 126 **124** Ath. 11c; (ἐπέν.) H. (Cyr.) ε 4414; (ἐντύν.) id. ε 3419; (ἄρ.) ApS 44.9; H. α 7252; EtG α 1176 **125a** Hdn ad Γ 198a; Epm. ο 65; (ὄϊς) H. (Cyr.) ο 390; Phot. Lex. s.v.; (λάσ.) H. (Cyr.) λ 370 **128–9a** [Plut.] Hom. 2.154.1; **128** Stob. 4.56.23; (τέο–)–**129a** [Plut.] Hom. 2.130.1; **128** (τέο–) ApS 151.6; H. τ 488; (τέο–ὀδυρ.) Epm. τ 62; **129** (ἔδ.) H. ε 418; (οὐδέ τι σ.) Arn ad Ω 130–2a **130** (εὐνῆς) cf. Arist. E.N. 1118b11; (ἀγαθὸν–)–**131** (μίσγ.) [D.H.] Ars 9.4; **131** (οὐ–βέῃι) EtG β 161; Epm. β 31 **133** Eudoc. 227 **134** (ἓε–)–**5a** ApS 62.22; (ἓε δέ) H. ε 553

119 (= 147) om. 13 **122** ἷξεν Ω*: ι- Y, ἵ- G^{r}, ἴ- A B^{c} F^{a} δ' ἐς 13 1531 Ω (cf. 160): δὲ Brandreth ἐν δ' A^{γρ} Ω*: ἔνθ' 13 A D Y.—cf. ad Ψ 777 **123** ηυ̣ρ̣ 13: εὗρ' 13^{2s} 1531 Ω **124** εντυνοντ(') 13 (ut π 2 codd. plerique): -οντο Ω ἄριστον (= π 2) 13^{2} tt Ω: -στα 13^{a} r: ἀ(ϝ)έριστον Christ **125** om. Y G^{a}, damn. Düntzer: hab. 13 1531 tt Ω* κλισίηι Ar Ω: -ῃς (nov. Did) 13 ἱέρευτο 13 Z Ω (cf. Chantr. I 422): ἵρ- Franke **126** καθέζετο (= A 360) Ω: παρέζ- 13 r **128** ἐμόν–**131** μίσγεσθ' om. Y **129** οὔτέ τι *b* F^{c} T^{λ} T R, οὔτε τι D, οὐτέ τι G: ούτ' ε[τι 14: οὐδέ τι Ar^{uv} A F^{a}: οὐδέ τε W **130–2** ath. Ar **130** οὔτ' A^{λ} Ω*: οὐδ' D **131** βέε' Menrad: βέῃ(ι) 13 14 tt Ω (βαίῃ C R): βίῃ V.—cf. ad Π 852 **133** ξύνές 13^{2} 14^{2} **134** τοί dedi: σοί 13, σοι 14 A^{λ} Ω ἓε sic Ar Callistr Hdn fere Ω*, ἕε 14: ἐμὲ W (ex 113) **137** δὲ δέξαι 13 14^{c} Ω: δε δεξε 14^{a}: δέδεξο Z.—cf. ad Z 46 **138** δ' ἀπαμειβόμενος 13 14 Ω: δὲ μέγ' ὀχθήσας quidam ap. sch^{T}.—cf. ad 64

"τῆιδ' εἴη ὃς ἄποινα φέροι καὶ νεκρὸν ἄγοιτο,
140 εἰ δὴ πρόφρονι θυμῶι Ὀλύμπιος αὐτὸς ἀνώγει."
ὣς οἵ γ' ἐν νηῶν ἀγύρι μήτηρ τε καὶ υἱός
πολλὰ πρὸς ἀλλήλους ἔπεα πτερόεντ' ἀγόρευον·
Ἶριν δ' ὤτρυνε Κρονίδης εἰς Ἴλιον ἱρήν·
"βάσκ' ἴθι, Ἶρι ταχεῖα, λιποῦσ' ἕδος Οὐλύμποιο
145 ἄγγειλον Πριάμωι μεγαλήτορι Ἴλιον εἴσω
λύσασθαι φίλον υἱὸν ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν,
δῶρα δ' Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνηι,
οἶον, μηδέ τις ἄλλος ἅμα Τρώων ἴτω ἀνήρ.
κῆρυξ τίς οἱ ἕποιτο γεραίτερος, ὅς κ' ἰθύνοι
150 ἡμιόνους καὶ ἄμαξαν ἐΰτροχον, ἤ κε καὶ αὖτις
νεκρὸν ἄγοι προτὶ ἄστυ, τὸν ἔκτανε δῖος Ἀχιλλεύς.
μηδέ τί οἱ θάνατος μελέτω φρεσὶ μηδέ τι τάρβος·
τοῖον γάρ οἱ πομπὸν ὀπάσσομεν Ἀργειφόντην,
ὃς ἄξει, εἵως κεν ἄγων Ἀχιλῆϊ πελάσσηι.
155 αὐτὰρ ἐπὴν ἀγάγησιν ἔσω κλισίην Ἀχιλῆος,
οὔτ' αὐτὸς κτενέει ἀπό τ' ἄλλους πάντας ἐρύξει·
οὔτε γάρ ἐστ' ἄφρων οὔτ' ἄσκοπος οὔτ' ἀλιτήμων,
ἀλλὰ μάλ' ἐνδυκέως ἱκέτεω πεφιδήσεται ἀνδρός."
ὣς ἔφατ'· ὦρτο δὲ Ἶρις ἀελλόπος ἀγγελέουσα.
160 ἶξεν δ' ἐς Πριάμοιο, κίχεν δ' ἐνοπήν τε γόον τε·
παῖδες μὲν πατέρ' ἀμφὶ καθήμενοι ἔνδοθεν αὐλῆς
δάκρυσιν εἵματ' ἔφυρον, ὁ δ' ἐν μέσσοισι γεραιός
ἐντυπὰς ἐν χλαίνηι κεκαλυμμένος· ἀμφὶ δὲ πολλή

139 (–φέρ.) sch δ 229 **141** (–ἀγ.) sch Hes. Th. 91b; (ἀγ.) H. α 862 **151** Arn ad E 795b **152** (τάρβ.) H. τ 186; Phot. Lex. s.v. **153** (πομπ.) id. **157–8** Eudoc. 827–8; **157** ApS 22.26; **157**a EtG α 478; **157**b Orio 32.8; (ἄσκ.) ApS 45.18; H. α 7713; (ἀλιτ.) H. (Cyr.) α 3062 **162** (ἔφυρον) id. ε 7556; Phot. Lex. ε 2479 **163**a ApS 69.24; H. ε 3425; (ἀμφὶ–)–**164** (–αὐχ.) sch Σ 23b; **164** (κόπρος) Apio 244.7

139 ut supra 13 14 Z (δίη) Ω (φέρει R): τῆι εἴη, ὃς δῶρα φέρει A^γρ (cf. I 515): item cum ἄποινα t εἴη "ἀντὶ τοῦ ἴοι" sch^bT contra Zopyrum; quod si ita esset, praestaret ῑ̈η, cf. Schwyzer 674; Chantr. I 284 sq.—εἴη· C Y, edd. plerique, at cf. Ξ 107, P 640, ξ 496 ἄγοιτο 14 Ω N^γρ: ἄρ- *h* **140** 'ante 139 collocandus?' Nauck ἀνώγει 13 14 Ω*: -οι D **141–2** om. Y **141** ἀγύρι 14 Z: -ρει 13 14² tt Ω.—cf. ad Π 661 **143** ὤτρυ-νε 14 Ω: ὄ- N **144** βάσκ' ἴθι, cf. ad B 8 **148** οἶον Ar 14 Ω: -ος (cum versu sequente?) nov. Did.—cf. ad 177 **149** κήρυξ B^c G: κῆ- Ω* ἰθύνοι Ω*: -ει D C^a R W: -η rr **150** ἤ κε A^γρ D T *h* (cf. ζ 37): ἢ δὲ A^c N^γρ: ἠδὲ 14 Ω*.—cf. ad 179 **154** ὃς 14 Ω* (cf. X 236): ὅσ σ' D W (ex 183): ὅς Ϝ' Brandreth cl. 183 (ὅς σφ' iam Barnes) εἵως 14 Ω: εἶος Brandreth, ἦος Nauck **160** ἶξεν Ω*: ι- Y, ἵ- A B^c G δ' ἐς 14 Ω*: δὲ D.—cf. ad 122 **163** ἐν 14 tt Z A^λ Ω: ἧι quidam ap. sch^T

κόπρος ἔην κεφαλῆι τε καὶ αὐχένι τοῖο γέροντος,
165 τήν ῥα κυλινδόμενος καταμήσατο χερσὶν ἑῆισιν.
θυγατέρες δ' ἀνὰ δώματ' ἰδὲ νυοὶ ὠδύροντο,
τῶν μιμνησκόμεναι, οἳ δὴ πολέες τε καὶ ἐσθλοί
χερσὶν ὕπ' Ἀργείων κέατο ψυχὰς ὀλέσαντες.
στῆ δὲ παρὰ Πρίαμον Διὸς ἄγγελος ἠδὲ προσηύδα
170 τυτθὸν φθεγξαμένη· τὸν δὲ τρόμος ἔλλαβε γυῖα·
"θάρσει, Δαρδανίδη Πρίαμε, φρεσί, μηδέ τι τάρβει.
οὐ μὲν γάρ τοι ἐγὼ κακὸν ὀσσομένη τόδ' ἱκάνω,
ἀλλ' ἀγαθὰ φρονέουσα· Διὸς δέ τοι ἄγγελός εἰμι,
ὅς σε' ἄνευθεν ἐὼν μέγα κήδεται ἠδ' ἐλεαίρει.
175 λύσασθαί σ' ἐκέλευεν Ὀλύμπιος Ἕκτορα δῖον,
δῶρα δ' Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνηι,
οἶον, μηδέ τις ἄλλος ἅμα Τρώων ἴτω ἀνήρ.
κῆρυξ τίς τοι ἕποιτο γεραίτερος, ὅς κ' ἰθύνοι
ἡμιόνους καὶ ἄμαξαν ἐΰτροχον, ἤ κε καὶ αὖτις
180 νεκρὸν ἄγοι προτὶ ἄστυ, τὸν ἔκτανε δῖος Ἀχιλλεύς.
μηδέ τί τοι θάνατος μελέτω φρεσὶ μηδέ τι τάρβος·
τοῖος γάρ τοι πομπὸς ἅμ' ἕψεται Ἀργειφόντης,
ὅς σ' ἄξει, εἵως κεν ἄγων Ἀχιλῆϊ πελάσσηι.
αὐτὰρ ἐπὴν ἀγάγησιν ἔσω κλισίην Ἀχιλῆος,
185 οὔτ' αὐτὸς κτενέει ἀπό τ' ἄλλους πάντας ἐρύξει·
οὔτε γάρ ἐστ' ἄφρων οὔτ' ἄσκοπος οὔτ' ἀλιτήμων,
ἀλλὰ μάλ' ἐνδυκέως ἱκέτεω πεφιδήσεται ἀνδρός."
ἣ μὲν ἄρ' ὣς εἰποῦσ' ἀπέβη πόδας ὠκέα Ἶρις·
αὐτὰρ ὅ γ' υἷας ἄμαξαν ἐΰτροχον ἡμιονείην

165 (καταμ.) ApS 97.5; H. κ 1265 **166** Eudoc. 782; (ἰδὲ ν.) H. (Cyr.) ι 176; (νυοί) id. ν 736 **169a** sch ρ 414 **170–1** Eudoc. 225–6 **172–3a** Porph. Hom. 97.13 Sod. **181–2a** sch B 103; **181** Eudoc. 794; **182** (πομπός) H. π 2967

164 κεφαλῆι τε καὶ αὐχένι 13 14 t Ω* (-ηφι καὶ Y) T^s: -λήν ... -να T^t **165** καταμήσατο t* Ω*: κατεμ- 13 14 ApS A Y R W ἑῆισι(ν) 13 14 Ω*: φίληισι A^γρ W (cf. ε 482) **166** δώματ' 13 14 t Ω*: δῶμα τ' F^a, δῶμα R W **168** ὕπ' Barnes: ὑπ' 13 Ω **170** om. W: hab. 13 14 361 t Ω* **171** τι 13 14 Ω*: τε Y **172** ὀσσομένη 13 Ω: [α]ỵτωμενη 1545 **173** ἀγαθὰ 14 t Ω (cf. α 43 < Z 162): α[γ]αṿα 1545 **174** σε' Fick post Payne Knight: σευ 13 Ω*, σεῦ 14 A^λ A T^λ T **175** λύσεσθαί A^s, [λ]υσεστᾳ[ι] 1545 σ' ἐκέλευεν 14 T, σε κ- [13] 1545 A: σ' ἐκέλευσεν Ω*, σε κ- B E Y.—cf. ad B 28 **177** οἶον 14 Ω: -ος· 13.—cf. ad 148 **178** κήρυξ D B^c G: κῆ- Ω* τοι 14 1533 Ω: οι 13 (ex 149) **179** ἤ κε 13 A^s D T: ἤ τε *h*: ἢ δὲ A: ἠδὲ Ω*: ηε 14.—cf. ad 150 **181** τάρβος (= 152) 13 14 Ω* R^γρ: -βει R (ex 171): θυμῶι | τάρβει Eudoc.: καταθύμιος ἔστω pro altero hemistichio t* (ex K 383) **182** τοῖος 1533 Ω*: ηὒς Y **183** σ' 14 1533 Ω*: om. D O (ex 154) εἵως 14 1533 Ω (ὥς D): εἷος Brandreth, ἦος Nauck

190 ὁπλίσαι ἠνώγει, πείρινθα δὲ δῆσαι ἐπ᾽ αὐτῆς.
αὐτὸς δ᾽ ἐς θάλαμον κατεβήσετο κηώεντα
κέδρινον ὑψόροφον, ὃς γλήνεα πολλὰ κεχόνδει.
ἐς δ᾽ ἄλοχον Ἑκάβην ἐκαλέσσατο φώνησέν τε·
"δαιμονίη, Διόθεν μοι Ὀλύμπιος ἄγγελος ἦλθεν,
195 λύσασθαι φίλον υἱὸν ἰόντ᾽ ἐπὶ νῆας Ἀχαιῶν,
δῶρα δ᾽ Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνηι.
ἀλλ᾽ ἄγε μοι τόδε εἰπέ, τί τοι φρεσὶν εἴδεται εἶναι;
αἰνῶς γάρ μ᾽ αὐτόν γε μένος καὶ θυμὸς ἄνωγεν
κεῖσ᾽ ἰέναι ἐπὶ νῆας ἔσω στρατὸν εὐρὺν Ἀχαιῶν."
200 ὣς φάτο· κώκυσεν δὲ γυνὴ καὶ ἀμείβετο μύθωι·
"ὤι μοι, πῆι δή τοι φρένες οἴχονθ᾽, ἧις τὸ πάρος περ
ἔκλε᾽ ἐπ᾽ ἀνθρώπους ξείνους ἠδ᾽ οἷσιν ἀνάσσεις;
πῶς ἐθέλεις ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν οἶος,
ἀνδρὸς ἐς ὀφθαλμούς, ὅς τοι πολέας τε καὶ ἐσθλούς
205 υἱέας ἐξενάριξε; σιδήρειόν νύ τοι ἦτορ.
εἰ γάρ σ᾽ αἱρήσει καὶ ἐσόψεται ὀφθαλμοῖσιν,
ὠμηστὴς καὶ ἄπιστος ἀνὴρ ὅ γε, οὔ σ᾽ ἐλεήσει
οὐδέ τί σ᾽ αἰδέσεται. νῦν δὲ κλαίωμεν ἄνευθεν
ἥμενοι ἐν μεγάρωι· τῶι δ᾽ ὥς ποθι Μοῖρα κραταιή

190 (ὁπλ.) H. (Cyr.) ο 1035; (πείρ.) ApS 129.18; H. π 2347, cf. 1256; Orio 126.29; Phot. Lex. s.v. **192** ApS 154.29; **192**a Epm. α 175; **192**b ApS 54.32; Porph. Hom. 50.8 Sod.; sch Ξ 183bc; sch Arat. 316 (bis); (γλ.) H. γ 631; (κεχ.) ApS 65.21; H. ε 1375 **197–8** Eudoc. 598, 601 **202** (ἔκλεο) ApS 65.22; H. ε 1482 **203** w5 (lacerum) **205**b [Plut.] Hom. 2.20.3 **207** Eudoc. 1467; (–ἀνήρ) Epm. ω 18; **207**a sch X 67c; (ὠμ.) H. ω 189 **208**a sch^{h} A 331

190 ἐπ᾽ 13 14 Ω: ἀπ᾽ *b* **191** κατεβήσετο 14 Ω*: -σατο 13 D E Y R **192** ὑψόροφον 13 14 1533 tt (-ψιρ- ApS) Ω: υψερεφη versus additicius Z-288*a* γλήνεα 13 tt Z Ω: -νη Z-288*a* κεχ]όνδει 13 (coniecerat Fick, cf. Wack. KS 825): κεχάνδει Ar (testibus A^{s} T) 14 tt (ἐκεχ- ApS^{65} Hsch. sch-Ξ^{vl}) Z A^{λ} T^{λ} Ω*: κεχάνδη Ar (teste sch^{A}) 14^{s} *b* F: κεκεύθει 𝕸 Z-288*a* **198** ἄνωγε(ν) Ar O: ἀνώγει (nov. Did) 13 14 Ω: ἱκάνει t **200** ἀμείβετο (nov. Did) 13 14 Ω: ἀνήρετο Ar (A T: ἀνείρ- Cobet) **201** ὤι Ω*: ὤ 14 1533 F Y R περ 13 14 T^{λ} Ω: γε A^{s}.—cf. ad N 465 **202** ἔκλε᾽ Hdn 1533^{c} tt (-εο) Z (-εο) A^{λ} Ω (-εο A^{s}, ἔκλαι᾽ G): ἐκλέ᾽ Ptol 13 14 (cf. ad Φ 74): ηκλε 1533^{a}: κλεύε᾽ Fick, κλείε᾽(αι) van Leeuwen ἀνάσσεις 14 Ω: ἀνασσες 13 **203** οἶος 13 w5 Ω*: αυτὸς Y **205** ἐξενάριξε 13 14 1533 A^{λ} Ω (-ζε W): †ἐξήναξε (ἐξήλασσε Erbse) quidam ap. sch^{T} qui interpr. τῆς ἀρχῆς ἐξέβαλεν σιδήρειόν νύ τοι 14 t Ω*: -ος δέ οἱ D **205***a* ἀθάνατοι ποίησαν Ὀλύμπια δώματ᾽ ἔχοντες (sic A: οἳ οὐρανὸν εὐρὺν ἔχουσιν T) add. quidam ante Ar **206** om., pro **208–16** κακτανεει δε σε ηὔτ᾽ ἐμὸν τεκος Ε‹κ›τορα διον praebet Y **207** ὅ γε 14 A^{s} D T: ὅδε t Ω* οὔ σ᾽ Nic 14^{a} Ω: σ ουκ (Heyne) 14^{c}: οὐκ ἐλεήμων t **209** ποθι Ω: ποτε 14

210 γεινομένωι ἐπένησε λίνωι, ὅτε μιν τέκον αὐτή,
ἀργίποδας κύνας ἆσαι ἑῶν ἀπάνευθε τοκήων
ἀνδρὶ πάρα κρατερῶι, τοῦ ἐγὼ μέσον ἧπαρ ἔχοιμι
ἐσθέμεναι προσφῦσα· τότ' ἄντιτα ἔργα γένοιτο
παιδὸς ἐμοῦ, ἐπεὶ οὔ ἑ κακιζόμενόν γε κατέκτα,
215 ἀλλὰ πρὸ Τρώων καὶ Τρωϊάδων βαθυκόλπων
ἑσταότ', οὔτε φόβου μεμνημένον οὔτ' ἀλεωρῆς."
τὴν δ' αὖτε προσέειπε γέρων Πρίαμος θεοειδής·
"μή μ' ἐθέλοντ' ἰέναι κατερύκανε, μηδέ μοι αὐτή
ὄρνις ἐν μεγάροισι κακὸς πέλε'· οὐδέ με πείσεις.
220 εἰ μὲν γάρ τίς μ' ἄλλος ἐπιχθονίων ἐκέλευεν,
ἤ' οἳ μάντιές εἰσι θυοσκόοι ἤ' ἱερῆες,
ψεῦδός κεν φαῖμεν καὶ νοσφιζοίμεθα μάλλον·
νῦν δ', αὐτὸς γὰρ ἄκουσα θεοῦ καὶ ἐσέδρακον ἄντην,
εἶμι, καὶ οὐχ ἅλιον ἔπος ἔσσεται. εἰ δέ μοι αἶσα
225 τεθνάμεναι παρὰ νηυσὶν Ἀχαιῶν χαλκοχιτώνων,
βούλομαι· αὐτίκα γάρ με κατακτείνειεν Ἀχιλλεύς
ἀγκὰς ἑλόντ' ἐμὸν υἱόν, ἐπὴν γόου ἐξ ἔρον εἵην."
ἦ, καὶ φωριαμῶν ἐπιθήματα κάλ' ἀνόειγεν.

211 (ἀργίπ. κ.) Porph. Hom. 13.17 Sod.; (ἑῶν) H. ε 7740 **212**a sch A 25, Ω 214b; **212**b–**13**a Plut. Mor. 170d; Gal. Plac. Hipp. et Plat. 3.7.27; **212** (τοῦ–ἧπαρ) sch Δ 35; **213**a sch X 346–8; (προσφ.) H. π 3936; (ἄντ.) id. α 5484 **214** (ἐπεὶ–) Epm. κ 145 **216** (οὔτε φ.–) EtG s.v. ἐλπωρά; (ἀλε.) H. (Cyr.) α 2915 **218** (μηδέ–)–**19** (ὄρν.) sch A.R. 1.304 **220–3** Eudoc. 399–402; **220–1** Porph. Il. 5.9 Schr.; **221** ib. 271.18, 272.23, 273.17; (θυοσκ.) Orio 73.16, 102.21; Phot. Lex. θ 273; **223** (ἐσέδρ.–) Epm. δ 26 **228** Epm. η 21; (φωρ.) Hdn ii.21.1; H. φ 1114; Orio 162.15; **228**b Epm. α 267

210 γεινομένωι 13^{2s} 14 [1533] A^{λ} Ω*: γιν- 13^{t} T (γῑν-) τέκον αὐτή 14 Ω: τε]ḳε ṃ[η]ṭηρ̣ 13 (ex Υ 128) **212** πάρα Wolf: παρὰ vel παρα 13 14 Ω **213** ἄντιτα (cf. ρ 51 = 60) Ptol "καὶ οἱ πλείους" Hdn 13 14 t sch^{D} A^{λ} Ω: ἂν τιτὰ Callistr Apollodorus **214–16** damn. Koechly **214** ἑ Ar 13 14^{s} Z Ω: τι "αἱ κοιναί" 14: om. t **215** πρὸ Ar A^{λ} Ω*: πρὸς (nov. Did) 13 14 D T^{λc} W G (ex X 514?) **218** κατερύκανε 13 14 Ω*: -κακε D^{c} R G^{c} **219–348** deest D **219** ὀρνῑς 13 (falso opinor, cf. ad M 218; KB I 481) ἐν μεγάροισι rr, ϊ ἐν μεγάροις G (ϊ falso loco insertum): ἐνὶ μμεγ- 13 14 B^{a} C E W, ἐνὶ μεγ- Ω* κακὸς 13 14 Z Ω*: -ὸν A^{s}: -ὴ F *h* πέλε' Payne Knight: -ευ 13 14 Ω: -ε Wack. Unt. 164 sq. cl. A.R. 1.304 μηδ' ὄρνῑς ἀεικελίη πέλε νηΐ (cf. Rengakos 28) **220–7** pro his εἶμι και ουχ αλιος Νεφεληγερεταο εφετμή Υ **220** ἐκέλευε(ν) 13 14 t* Ω*: -ευσεν Eudoc. W O **221** ἢ οἳ 13 14 tt* A^{λ} Ω (ἤ' Fick): οἷοι (nov. Eust.) O V: τῶν οἳ Porph.$^{271.273}$ θυοσκόοι 13 14 tt* A^{λ} Ω*: -σκόποι Eudoc. Phot. F^{a}.—v.l. sim. [Eur.] Rh. 68 ἤ' Fick: ἢ 13 14 A, ἢ Ω* **222** μάλλον Blass: μᾶ- Ω **223** ἐσέδρακον 13 14 tt Ω: ἔδρ- A^{m} **224** ἅλιον ἔπος 13 14 Ω (cf. 92): ἀλίη ὁδὸς (= β 273) agn. Eust. **228** φωριαμῶν Ar Hdn (ad loc.) 13^{2} A^{λ} Ω, -μόν Z: parox. Hdn (t) 13^{a} ἀνόειγε Fick: ἀνέω(ι)γεν 13 14 tt Z Ω.—cf. Praef. xxxiii

ἔνθεν δώδεκα μὲν περικαλλέας ἔξελε πέπλους,
230 δώδεκα δ' ἁπλοΐδας χλαίνας, τόσσους δὲ τάπητας,
τόσσα δὲ φάρεα λευκά, τόσους δ' ἐπὶ τοῖσι χιτῶνας,
{χρυσοῦ δὲ στήσας ἔφερεν δέκα πάντα τάλαντα,}
ἐκ δὲ δύ' αἴθωνας τρίποδας, πίσυρας δὲ λέβητας,
ἐκ δὲ δέπας περικαλλές, ὅ οἱ Θρῆικες πόρον ἄνδρες
235 ἐξεσίην ἐλθόντι, μέγα κτέρας· οὐδέ νυ τοῦ περ
φείσατ' ἐνὶ μεγάροις ὁ γέρων, περὶ δ' ἤθελε θυμῶι
λύσασθαι φίλον υἱόν. ὃ δὲ Τρῶας μὲν ἅπαντας
αἰθούσης ἀπέεργεν ἔπεσσ' αἰσχροῖσιν ἐνίσσων·
"ἔρρετε, λωβητῆρες, ἐλεγχέες· οὔ νυ καὶ ὑμῖν
240 οἴκοι ἔνεστι γόος, ὅτι μ' ἤλθετε κηδήσοντες;
ἦ †οὔνεσθ'†, ὅτι μοι Κρονίδης Ζεὺς ἄλγε' ἔδωκεν,
παῖδ' ὀλέσαι τὸν ἄριστον; ἀτὰρ γνώσεσθε καὶ ὔμμες·
ῥηΐτεροι γὰρ μάλλον Ἀχαιοῖσιν δὴ ἔσεσθε
κείνου τεθνηῶτος ἐναιρέμεν. αὐτὰρ ἐγώ γε,
245 πρὶν ἀλαπαζομένην τε πόλιν κεραϊζομένην τε
ὀφθαλμοῖσιν ἰδεῖν, βαίην δόμον Ἄϊδος εἴσω."
ἦ, καὶ σκηπανίωι δίεπ' ἀνέρας· οἳ δ' ἴσαν ἔξω
σπερχομένοιο γέροντος. ὃ δ' υἱάσιν οἷσιν ὁμόκλα,
νεικείων Ἕλενόν τε Πάριν τ' Ἀγάθωνά τε δῖον

229 (δώδ. πέπλους)–**30** (–χλ.) Hclt. Alleg. 59.5; **230**a Poll. 7.47; (ἁπλ.) ApS 38.31; H. α 6233 **234** (δέπ. περικ.) Ath. 11.781c; **234**b–**5**a EtG s.v. ἐξαίσια; **235** (ἐξεσ.) ApS 70.7; H. ε 3766 **238** (αἰθ.) id. α 1881; (ἀπέ.) id. α 5878 **239–40** Plut. Mor. 462c; **239** (ἔρρ.) H. ε 6020; (λωβ.) id. λ 1489; **240** (γόος) H. (Cyr.) γ 841; (κηδ.) Phot. Lex. κ 653 **241** (–Κρ.) ApS 124.24; (οὔν.) H. ο [1743], 1789, 1795 **243** ApD Synt. 82.11; Epm. π 34; (–'Αχ.) ApD Synt. 165.9; **243**a id. Coni. 226.9 **248**b Epm. ο 96, 98 **249** (–Πάρ.) Arn

231 λευκά 14 A *b* T: καλά (= ω 277) 13 Ω* **232** (≈ T 247) damn. Christ **234** Θρῆ(ι)κες 13 14 Ω (-ήϊ- *b* T): Θρέϊ- fere Payne Knight **235** ἐξέσίην Ar Nicias Hdn 13 A$^{m\lambda}$ A C F^{c}, contra Neoptolemum **236** μμεγάροις 13^{a} 14 B^{a} C E W πὲρι 13, περὶ Ω*: πέρι R W.—cf. ad Φ 65 **238** αἰθουσσης 13 14 A T G ἐνίσσων 14 1535^{t} Ω: -σπων 13 rr: -πτων 1535^{s} Eust.—cf. ad Γ 438 **239** ἐλεγχέες 13 14 1535 t Ω: proparox. Z: ἐλέγχεα Ahrens.—v. ad Δ 242 **240** οἴκοι 13 14 (οἶ-) t Ω: -ωι Düntzer ἔνεστι Ω: επ̣εστι 13: ἐστὶ 14 t N$^{\gamma\rho}$ V ὅτι t Ω: ὅ τε 13 14 T^{a} κηδήσοντες 13^{s} 14 t* Ω: -σαντες 13^{t} Phot. **241** ἦ 13$^{?}$ A$^{\lambda}$ Ω*: η 14, ἦ A$^{\lambda}$ (alterum) F T$^{\lambda}$ T R G οὔνεσθ' (nov. Did) Arn 14^{a} t* A$^{\lambda}$ Ω: όυνοσ[θ]' 13 (flagitaverat Buttmann Ausf. Sprachl. II 257): utrumque Hsch., qui etiam †οὐλιᾶσθαι: ὀνόσασθ' Ar^{ab} (agn. ApS) Z (-σθαι) T T$^{\lambda}$ N$^{\gamma\rho}$: ονοσθ' 14^{c}: ὤνησθ' Fick: exspectaveris ἦ ‹τι› ὄνοσθ' vel sim. (cf. ρ 378) ὁτε 14^{a} ἔδωκε(ν) 13 14 Ω*: ἔθηκε(ν) 1535$^{?}$ A^{s} T.—cf. ad A 2 **242** ὀλέσαι 13 14 Ω: -σας (van Leeuwen) r ὔμμες 14 Ω*: ὕμμες E T R W G **243** μάλλον Blass: μᾶ- Ω **244** τεθνηῶτος 1 A^{s} W G: -θνηι- B^{a} E: -θνει- 14 E^{s} Ω* ἐγώ γε Bekker: ἔγωγε Ω **247** δίεπ' Ar "καὶ οἱ πλείους" Hdn 14: δί' ἐπ' quidam ap. sch^{T} **248** ὁμόκλα 14 Z Ω

250 Πάμμονά τ' Ἀντίφονόν τε βοὴν ἀγαθόν τε Πολίτην
Δηΐφοβόν τε καὶ Ἱππόθοον καὶ Δῖον ἀγαυόν.
ἐννέα τοῖς ὁ γεραιὸς ὁμοκλήσας ἐκέλευσεν·
"σπεύσατέ μοι, κακὰ τέκνα, κατηφόνες. αἴθ' ἅμα πάντες
Ἕκτορος ὠφέλετ' ἀντὶ θοῇς ἐπὶ νηυσὶ πεφάσθαι.
255 ὤι μοι ἐγὼ πανάποτμος, ἐπεὶ τέκον υἷας ἀρίστους
Τροίηι ἐν εὐρείηι, τῶν δ' οὔ τινά φημι λελεῖφθαι,
Μήστορά τ' ἀντίθεον καὶ Τρωΐλον ἱππιοχάρμην
Ἕκτορά θ', ὃς θεὸς ἔσκε μετ' ἀνδράσιν, οὐδὲ ἐώικει
ἀνδρός γε θνητοῦ πάϊς ἔμμεναι, ἀλλὰ θεοῖο.
260 τοὺς μὲν ἀπώλεσ' ἄρης, τὰ δ' ἐλέγχεα πάντα λέλειπται,
ψεῦσταί τ' ὀρχησταί τε, χοροιτυπίηισιν ἄριστοι,
ἀρνῶν ἠδ' ἐρίφων ἐπιδήμιοι ἁρπακτῆρες.
οὐκ ἂν δή μοι ἄμαξαν ἐφοπλίσσαιτε τάχιστα,
ταῦτά τε πάντ' ἐπιθεῖτε, ἵνα πρήσσωμεν ὁδοῖο;"
265 ὣς ἔφαθ'· οἱ δ' ἄρα πατρὸς ὑποδδείσαντες ὁμοκλήν
ἐκ μὲν ἄμαξαν ἄειραν ἐΰτροχον ἡμιονείην
καλὴν πρωτοπαγέα, πείρινθα δὲ δῆσαν ἐπ' αὐτῆς,
κὰδ δ' ἀπὸ πασσαλόφι ζυγὸν ἥιρεον ἡμιόνειον
πύξινον ὀμφαλόεν, εὖ οἰήκεσσιν ἀρηρός·

ad Ω 25–30 250a Hdn ii.734.7; 250b sch N 533–4 253 (–κατηφ.) [Plut.] Hom. 2.183.4; (κατηφ.) ApS 96.26; H. κ 1796; Phot. Lex. κ 474; EtG s.v.; (αἴθ'–)–254a sch Ω 499a; 254 'Trypho ii' Trop. 6.2 (CQ 15.240); 254a sch A 415b; (πεφ.) ApS 131.2; H. π 2098 255–6a Epm. γ 31; 255 (πανάπ.) H. π 312; 256a Hdn ad A 129c 257a Choer. in Thd. i.300.36; Epm. ε 98; (ἱππιοχ.) ApS 92.9; H. ι 808 258 (οὐδὲ–)–9 Arist. E.N. 1145a21; Plut. Mor. 717e; Them. Or. 13.169a; Eudoc. 355–6, 525–6; Heliod. in Eth. CAG xix(2).135.15 260a ApS 41.13; 260b sch I 522a 261 Dio Prus. 15.4 (parod.); Iul. Misop. 349a; Eudoc. 1620; 261a Hdn ad Δ 235a[1]; sch N 637b; 261b sch Γ 393b, Υ 39a 262 Ath. 9c; Eudoc. 126; 262b sch Υ 38 267 (πρ.) ApS 135.7 269 (ὀμφ.)

250 Πάμμονά 1 14 T[A] Ω (item Apollod. 3.12.5, Q.S. 6.317, al.; cf. Hdt. 7.183.3): Πάμο- Cobet Misc. crit. 413 cl. Δ 433 (ubi v. app.) Ἀντίφονόν 1 14[c] Ω: Αμφι- 14[a] 251 Δηΐφοβον τε Πάριν τε καὶ Ιππόθοον Z Δῖον ἀγαυόν intell. plerique, cf. Pherec. 3 F 137, Hyg. Fab. 90.1: δῖον Ἀγ- F W O: ambigebat Ar 252 ὁμοκλήσας 14 Ω ἐκέλευσε(ν) 1 14 1535 F T O: -ευε(ν) Ω* 253 κατηφόνες Ar Hdn 1 14 tt Z A[A] Ω: -φέες Crates r 254 ἄντι C 255 ὤι Ω*: ὤ 13 F R: ὦ 14 256 (= 494) damn. Payne Knight τῶν δ' 14 Ω (= 494): τῶν? Nauck 258 οὐδὲ 14[c] tt* Ω: ουτε 14[a]: οὐ γὰρ Aristot.[vl] Them. Eudoc.[355] ἐώ(ι)κει 14 tt* Ω (cf. ad B 58): ἔοικεν Them. 259 πάϊς Ω*: παῖς 13 T, παις 14 260 λελ[ι]πται 13; cf. Praef. xxxii 265 πατρὸς 14 Ω*: παντες 13: πάντες πατρὸς F ὑποδδείσαντες 13 14 Ω*: ὑποδεί- C[a] ὁμοκλὴν 14 Ω 267 πρωτοπαγέα 13 14[a] t T[A] Ω*: -γῆ 14[c] *b h* 268 πασσαλόφι R W[a]: -φιν 13 14 T[A] Ω* ἡμιόνειον 13 14 Ω*: -νοιϊν T 269 om. Zen ὀμφαλόεν 13 14 Z A[A] T[A] Ω*: -εντ' t R G: -ειν Hermann Orph. 705, cf. Pfeiffer ad Call. fr. 186.20; Rengakos 86

270 ἐκ δ' ἔφερον ζυγόδεσμον ἅμα ζυγῶι ἐννεάπηχυ.
καὶ τὸ μὲν εὖ κατέθηκαν ἐϋξέστωι ἐπὶ ῥυμῶι,
πέζηι ἔπι πρώτηι, ἐπὶ δὲ κρίκον ἕστορι βάλλον,
τρὶς δ' ἑκάτερθεν ἔδησαν ἐπ' ὀμφαλόν, αὐτὰρ ἔπειτα
ἑξείης κατέδησαν, ὑπὸ γλωχῖνα δ' ἔκαμψαν.
275 ἐκ θαλάμου δὲ φέροντες ἐϋξέστης ἐπ' ἀπήνης
νήεον Ἑκτορέης κεφαλῆς ἀπερείσι' ἄποινα,
ζεῦξαν δ' ἡμιόνους κρατερώνυχας ἐντεσιεργούς,
τούς ῥά ποτε Πριάμωι Μυσοὶ δόσαν ἀγλαὰ δῶρα.
ἵππους δὲ Πριάμωι ὕπαγον ζυγόν, οὓς ὁ γεραιός
280 αὐτὸς ἔχων ἀτίταλλεν ἐϋξέστηι ἐπὶ φάτνηι.
τὼ μὲν ζευγνύσθην ἐν δώμασιν ὑψηλοῖσιν
κῆρυξ καὶ Πρίαμος, πυκινὰ φρεσὶ μήδε' ἔχοντες.
ἀγχίμολον δέ σφ' ἦλθ' Ἑκάβη τετιηότι θυμῶι,
οἶνον ἔχουσ' ἐν χειρὶ μελίφρονα δεξιτερῆφι,
285 χρυσέωι ἐν δέπαϊ, ὄφρα λείψαντε κιοίτην.
στῆ δ' ἵππων προπάροιθεν, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
"τῆ, σπεῖσον Διὶ πατρί, καὶ εὔχεο οἴκαδ' ἱκέσθαι
ἂψ ἐκ δυσμενέων ἀνδρῶν, ἐπεὶ ἄρ σέ γε θυμός
ὀτρύνει ἐπὶ νῆας, ἐμεῖο μὲν οὐκ ἐθελούσης.
290 ἀλλ' εὔχεο σύ γ' ἔπειτα κελαινεφέϊ Κρονίωνι
Ἰδαίωι, ὅς τε Τροίην κατὰ πᾶσαν ὁρᾶται,

H. ο 841; **269**b ApS 119.1 **270** Choer. in Ps. 76.25; (ζυγόδ.) ApS 81.8; H. ζ 192; Phot. Lex. ζ 56 **272**a sch Λ 629a^{1}; Epm. π 115, 155; (πέζηι) ApS 129.10; cf. H. π 1207; (κρ.) cf. Poll. 1.94; (ἕστ.) ApS 77.32; H. ε 6419 **273** (ὀμφ.) Orio 115.18 **274** (ὑπὸ γλ.) H. υ 586; (γλ.) ApS 55.5; cf. Poll. 2.88; H. γ 698 **277** (ἐντεσ.) ApS 68.8; H. (Cyr.) ε 3352, 3355 **280** (ἐϋξ.) id. ε 7033 **281**a Arn ad Ω 282 **282**b ApS 166.25 **290–1** sch^{D} E 422 (ex Apollod. 244 F 353)

270 ἐννεάπηχυ 14 Ω*: -υν t C **272** ἔπι rr: ἐπὶ vel ἐπι 13 14 Z A$^{\lambda}$ Ω*: ἐνὶ W G ἐπὶ (δὲ) 13 14 Ω*: περι T ἕστορι Hdn 13 14 tt Z A$^{\lambda}$ Ω: ἕκτ- quidam ap. sch^{D}, cf. Hsch. ε 1750 **274** δ' ἔκαμψαν Ω*: δε γνάμψαν 14, δ' ἔγν- Z A^{a} A^{s} *b* W **275** ἐϋξέστης 14 Ω (cf. 590): -ου *h*.—cf. ad 280; v.l. sim. ζ 75 **277** δ' 14 Ω*: θ' *b* ἐντεσιεργοὺς 14 t* A$^{\lambda}$ Ω*: -έργους Z: -ουργοὺς F R W: utrumque Hsch. **278** τούς 13 14 Ω: τάς Bothe cl. 325 **279** Πριάμωι 14 Ω*: Τρω(ι)οὺς *b* (ex Ψ 291).—opponitur Priamus praeconi qui mulos reget ὕπαγον 14 Ω: -γε 13 (ex Ψ 291) ζυγὸν 14 Z Ω*: -ῶ R V: om. W **280** ἐϋξέστη(ι) t A *b* T: -ω(ι) 14 Ω*.—cf. ad 275 **282** κήρυξ B^{s} G^{a}: κῆ- A$^{\lambda}$ Ω* πυκινὰ 14 Ω*: πυκνὰ t T ἔχοντες 14 261 Ω*: -τε A^{c}: (-τι t aliter deflexa oratione) **283** ἀγχίμολον 14 Z Ω*: -ος T **285** χρυσέωι ἐν δέπαϊ 9 14 Ω: χρυσείωι δ- sch^{hyp} (= γ 41): ἐν δέπαϊ χρυσέωι Heyne (= ο 149^{vl}, υ 261) **286** τ' ἔφατ' ἔκ τ' ὀνόμαζε(ν) 14 261 Ω (cf. Ξ 297): τέ μιν αντίον ηυδα 9 **287** τῆι 14^{c} G **290** εὔχεο sic 9 14 t Ω κελαὶνεφέει 14

αἴτει δ' οἰωνόν, ταχὺν ἄγγελον, ὅς τέ οἱ αὐτῶι
φίλτατος οἰωνῶν καί ἑο κράτος ἐστὶ μέγιστον,
δεξιόν, ὄφρα μιν αὐτὸς ἐν ὀφθαλμοῖσι νοήσας
295 τῶι πίσυνος ἐπὶ νῆας ἴηις Δαναῶν ταχυπώλων.
εἰ δέ τοι οὐ δώσει ἑὸν ἄγγελον εὐρύοπα Ζεύς,
οὐκ ἂν ἐγώ γέ σ' ἔπειτα ἐποτρύνουσα κελοίμην
νῆας ἔπ' Ἀργείων ἰέναι, μάλα περ μεμαῶτα."
τὴν δ' ἀπαμειβόμενος προσέφη Πρίαμος θεοειδής·
300 "ὦ γύναι, οὐ μέν τοι τόδ' ἐφιεμένηι ἀπιθήσω·
ἐσθλὸν γὰρ Διὶ χεῖρας ἀνασχέμεν, αἴ κ' ἐλεήσηι."
ἦ ῥα, καὶ ἀμφίπολον ταμίην ὤτρυν' ὁ γεραιός
χερσὶν ὕδωρ ἐπιχεῦαι ἀκήρατον· ἣ δὲ παρέστη
χέρνιβον ἀμφίπολος πρόχοόν θ' ἅμα χερσὶν ἔχουσα.
305 νιψάμενος δὲ κύπελλον ἐδέξατο ἧς ἀλόχοιο.
ηὔχετ' ἔπειτα στὰς μέσωι ἕρκεϊ, λεῖβε δὲ οἶνον
οὐρανὸν εἰσανιδών, καὶ φωνήσας ἔπος ηὔδα·
"Ζεῦ πάτερ Ἴδηθεν μεδέων, κύδιστε μέγιστε,
δός μ' ἐς Ἀχιλλῆος φίλον ἐλθεῖν ἠδ' ἐλεεινόν.
310 πέμψον δ' οἰωνόν, ταχὺν ἄγγελον, ὅς τέ τοι αὐτῶι
φίλτατος οἰωνῶν καί ἑο κράτος ἐστὶ μέγιστον,
δεξιόν, ὄφρα μιν αὐτὸς ἐν ὀφθαλμοῖσι νοήσας

292 (–ἄγγ.) ApD Pron. 48.3, Synt. 213.6; (ὅς τε–)–**293**a sch Aesch. Cho. 258; **293**b ApS 78.22; Hdn ad O 165 **296** (–ἄγγ.) ApD Synt. 213.11 **300–1** Eudoc. 1251–2; **301** ead. 1562; (ἀνασχ.) H. α 4628 **302–4** Ath. 408c; **302** (ταμ.) H. τ 104; **303** (ἀκήρ.) ApS 18.21; **304** Poll. 10.90; sch α 136; (χέρν.) Apio 102.28; ApS 167.18; Poll. 2.149 **306–7** Eudoc. 1394–5

292 ταχὺν (nov. ApD) 9 A^{λ} Ω (cf. ο 526): ἑὸν 14 t sch^{T} $A^{\gamma\rho}$ (ex 296): τεὸν A^{s}.—cf. ad 310 **293** ἑο C^{c}?: εὑ Ar 9 14 tt Z Ω* (εὗ B W, εὑ E, εὗ T G): οὗ Zen: οἱ C^{a} F^{c} *h* R.—cf. ad 311 μέγιστον 9 14 Z $A^{\gamma\rho}$ Ω*: μάλιστα A *b*.—cf. ad 311 **294** ὄφρά 14 A B E F T W G **295** Δαναῶν ταχυπώλων 9 14 Ω: χαίρων ἐνὶ θυμῶι (= α 311) $A^{\gamma\rho}$ **296** τοι 9 t Ω: σοι 14 ἑὸν 9 14 t Ω*: τεὸν C **297** ἐγώ γέ Bekker: εγωγέ 9, ἔγωγέ 14 Ω **298** ἔπ' W: ἐπ' 9 14 Ω* **300** τόδ' 9 14 Ω*: τό γ' A^{s} T: τάδ' t *b* ἐφιεμένηι 9 14^{2m} t Z Ω: αφείεμεν ουδ 14^{t} **302** ὤτρυν' 9 14 tt Ω*: ὄ- G post h.v. deficit W **304** ath. Ar χέρνιβον Ar 9 14 659 tt* Z A^{λ} Ω*: -βα 𝔐?: -βα δ' Poll. Y (= α 136): -βά τ' Bentley πρόχοόν θ' ἅμα Ar 9 14 tt* Ω*: πρόχοόν τ' ἐν Poll.: ταμίη μετὰ 𝔐: ταμίη φέρε Y **306** ηὔχετ' t^{cod}: εὔ- 9 14 659 A^{λ} Ω στὰς 9 14 A^{λ} Ω (om. R, post μέσωι Eust.): ἀναστὰς t^{cod} (om. ἔπειτα): ἀνστὰς van Leeuwen.—cf. ad Π 231 ἕρκεϊ sic 9 14^{2} Z T^{λ} Ω **309** ἐλθεῖν 9 14 T^{λ} Ω (= ζ 327): -έμεναι r, -έμεν Payne Knight **310** ταχὺν 9 14 Ω: ἑὸν $A^{\gamma\rho}$ r.—cf. ad 292, 296 αγγελον αισιον αμμι Y (omissis 311–12) τέ τοι fere Fick (cf. 292): τε σοὶ 14 (σοῖ) Ω*, τέ σοι 9 R **311** ἑο dedi: εὑ fere 9 14 Ω* (εὗ B, εὗ G): οἱ C^{s} F^{c} R: οὗ rr.—cf. ad 293 μέγιστον 9 14 $A^{\gamma\rho}$ Ω*: μάλιστα A.—cf. ad 293 **312** (= 294) om. F ὄφρά 14 A *b* T G

τῶι πίσυνος ἐπὶ νῆας ἴω Δαναῶν ταχυπώλων."
ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε μητίετα Ζεύς,
315 αὐτίκα δ' αἰετὸν ἧκε, τελειότατον πετεηνῶν,
μόρφνον θηρητῆρ', ὃν καὶ πέρκνον καλέουσιν.
ὅσση δ' ὑψορόφοιο θύρη θαλάμοιο τέτυκται
ἀνέρος ἀφνειοῖο, ἔϋ κληῗσ' ἀραρυῖα,
τόσσ' ἄρα τοῦ ἑκάτερθεν ἔσαν πτερά· εἴσατο δέ σφιν
320 δεξιὸς ἀΐξας διὰ ἄστεος. οἳ δὲ ἰδόντες
γήθησαν, καὶ πᾶσιν ἐνὶ φρεσὶ θυμὸς ἰάνθη.
σπερχόμενος δ' ὁ γέρων ξεστοῦ ἐπεβήσετο δίφρου,
ἐκ δ' ἔλασε προθύροιο καὶ αἰθούσης ἐριδούπου.
πρόσθε μὲν ἡμίονοι εἶλκον τετράκυκλον ἀπήνην,
325 τὰς Ἰδαῖος ἔλαυνε δαΐφρων· αὐτὰρ ὄπισθεν
ἵπποι, τοὺς ὁ γέρων ἐφέπων μάστιγι κέλευεν
καρπαλίμως κατὰ ἄστυ. φίλοι δ' ἅμα πάντες ἕποντο
πόλλ' ὀλοφυρόμενοι, ὡς εἰ θάνατόνδε κιόντα.
οἳ δ' ἐπεὶ οὖν πόλιος κατέβαν, πεδίον δ' ἀφίκοντο,
330 οἳ μὲν ἄρ' ἄψορροι προτὶ Ἴλιον ἀπονέοντο
παῖδες καὶ γαμβροί· τὼ δ' οὐ λάθον εὐρύοπα Ζῆν
ἐς πεδίον προφανέντε, ἰδὼν δ' ἐλέησε γέροντα,
αἶψα δ' ἄρ' Ἑρμείαν υἱὸν φίλον ἀντίον ηὔδα·

316 (μόρφνον θ., πέρκ.) Porph. Il. 275.14 Schr.; (μόρφ.) Arist. Hist. an. 618b25; ApS 113.28; H. (Cyr.) μ 1694; Orio 103.9; Phot. Lex. μ 542; (πέρκ.) ApS 130.12; H. π 1972; cf. Phot. Lex. s.v. **318b** ApS 100.11; H. ε 6924; (ἐϋκλήϊς) Hdn ad N 175b **324** EtG α 1008; (ἡμ.–) sch Ω 189 **325** (–δαΐφ.) sch Ω 278a **327–8** Homerocento ap. Iren. c.Haer. 1.9.4 et Epiphan. Panar. 31.29.8; Eudoc. 1734–5 **329** (–κατέβ.) sch E 26 **332** (προφ.) H. π 4059

316 μόρφνον Hdn (καὶ οὕτως ἔχει ἡ ἀνάγνωσις) 14 Hsch.^{cod} Phot.$^{Z(ac)}$ A^{λ} T^{λ} Ω*: -φνὸν tt* Z B^{c} F R^{a} G πέρκνον Ar 14: -κνὸν Ptol "ἡ παράδοσις" Hdn tt Z Ω **318** ἔϋ (sive ἐῢ) κληῗσ' (noluit Ar) Trypho ApS, εὐκληίσ' $T^{γρ}$: ἐϋκλήϊς Ar Ptol Hdn 14^{c} Hsch. (-ήεις) A^{λ} A *b*: -ηὶς 9 C^{c} F^{c} G, -ῆϊς F^{a} R, -ήηις T, -ειης 14^{a} **319** σφιν 14 660 T^{λ} Ω*: σφι 9 F **320** διὰ 14, δι' $A^{γρ}$ T (cf. β 154): ὑπὲρ 9 Ω* αστεος εξεφααν θη Y (omisso 321) **322** γέρων ξεστοῦ 9 14 660 $A^{γρ}$ Ω*: γεραιὸς ἑοῦ A Y (cf. Θ 44, N 26) ἐπεβήσετο 9 660 Ω*: -σατο 14 Y N **323** ἔλασε 14 Ω*: -σεν 9 R αἰθούσσης 14 660 A **324** εἶλκον van Leeuwen: ἕλκ- 9 14 660 tt Ω **326** τοὺς 9 14 Ω*: τὰς R **327** κατὰ 9 14 660 Eudoc. Ω: ἀνὰ t* rr **328** πόλλ' 9 14 261 Eudoc. Ω: οἴκτρ' t* rr (θάνατόν)δε vel δὲ 9^{s} 14 660 tt Ω*: τὲ 9^{t}: γε T R G **329** οὖν 1 9 14 Ω (cf. 349): ἐκ t (= ω 205) πόλιος 1 9 14 660 t A^{m} Ω*: -εος A^{λ} A **330** ἄψορροι Nic 9 14 660 Ω (= Γ 313): -ον 1 προτὶ 9 14 660 A^{m} Ω*: ποτὶ 1 A Y **331** Ζην 14^{a} 660: Ζην' 1 R O: Ζη 9^{a}: Ζῆ|ν' (Arph) Ar 9^{2} 14^{c} Ω*.—cf. ad Θ 206, Ξ 265 **332** προφανέντε Ar 1 9 14 660 t A^{λ} Ω: καταβάντε ⁑ ἐλέησε γέροντα 1 9 14 660 Ω: γεροντ' ε]λ̣εησεν. 1536

"Ἑρμεία, σοὶ γάρ τε μάλιστά γε φίλτατόν ἐστιν
335 ἀνδρὶ ἑταιρίσσαι, καί τ' ἔκλυες ὧι κ' ἐθέληισθα·
βάσκ' ἴθι, καὶ Πρίαμον κοίλας ἐπὶ νῆας Ἀχαιῶν
ὣς ἄγαγ', ὡς μήτ' ἄρ τις ἴδηι μήτ' ἄρ τε νοήσηι
τῶν ἄλλων Δαναῶν, πρὶν Πηλείωνάδ' ἱκέσθαι."
ὣς ἔφατ'· οὐδ' ἀπίθησε διάκτορος Ἀργειφόντης.
340 αὐτίκ' ἔπειθ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα
ἀμβρόσια χρύσεια, τά μιν φέρον ἠμὲν ἐφ' ὑγρήν
ἠδ' ἐπ' ἀπείρονα γαῖαν ἅμα πνοιῆις ἀνέμοιο·
εἵλετο δὲ ῥάβδον, τῆι τ' ἀνδρῶν ὄμματα θέλγει
ὧν ἐθέληι, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει·
345 τὴν μετὰ χερσὶν ἔχων πέτετο κρατὺς Ἀργειφόντης.
αἶψα δ' ἄρα Τροίην τε καὶ Ἑλλήσποντον ἵκανεν·
βῆ δ' ἰέναι κούρωι αἰσυιητῆρι ἐοικώς
πρῶτον ὑπηνήτηι, τοῦ περ χαριεστάτη ἥβη.
οἳ δ' ἐπεὶ οὖν μέγα σῆμα πάρεξ Ἴλοιο ἔλασσαν,
350 στῆσαν ἄρ' ἡμιόνους τε καὶ ἵππους, ὄφρα πίοιεν,
ἐν ποταμῶι· δὴ γὰρ καὶ ἐπὶ κνέφας ἤλυθε γαῖαν.
τὸν δ' ἐξ ἀγχιμόλοιο ἰδὼν ἐφράσσατο κῆρυξ
Ἑρμείαν, ποτὶ δὲ Πρίαμον φάτο φώνησέν τε·
"φράζεο, Δαρδανίδη· φραδέος νόου ἔργα τέτυκται.
355 ἄνδρ' ὁρόω, τάχα δ' ἄμμε διαρραίσεσθαι ὀΐω.
ἀλλ' ἄγε δὴ φεύγωμεν ἐφ' ἵππων, ἤ μιν ἔπειτα

335a ApS 78.10; sch Ω 679–81; (ἑταιρ.) H. (Cyr.) ε 4436 **339–45** Macr. Sat. 5.6.12; **340** Eudoc. 448; **343–4** sch Pind. Ol. 9.50b; **343** Macr. Sat. 1.17.22; **343**b–**4** Corn. 22.11 L.; sch κ 238; **343**b Chrysipp. (SVF iii.193.5) ap. EtG/Gud s.v. ἐπικυνεῖν; (θέλγει) H. θ 207 **347** (κούρωι–) cf. Eudoc. 429; (αἰσυ.) H. α 2139; EtG α 248; **347**b–**8** ApS 16.8 (ex Apione); **348** Clem. Paed. 3.23.2; cf. Ael. V.H. 10.18; Them. Or. 13.164d; Iul. Or. 7.230a; **348**a H. π 4170; (ὑπην.–) cf. Pl. Prot. 309b; ApS 159.22/5; (ὑπην.) cf. Luc. Dial. 30.11; Phot. Lex. s.v. **352** ApS 5.27; Eudoc. 430; (–ἰδών) sch Π 820 **354**b ApS 165.6; Epm. α 269; (φρ. νόου ἔ.) Hdn ad E 9b; (φραδ.) H. φ 821

334 φίλτατόν 9 14 660 1536 Ω: -τερον 1 **335** τ' ἔκλυες 1 14 660 Ω: εκλυες 9: τε κλύες (pro -εις!) quidam ap. sch^{T} κ' ἐθέλη(ι)σθα 1 9 Ω*: κε θ- 14 C **341** φέρον Ar 1 9 14 660 t Ω (= α 97, ε 45): -εν nov. Did: φ[ερ̣]ν 84: -ει Naber Qu. Hom. 109.—cf. ad E 739 **344** (= ε 48, ω 4) om. 14 in fine columnae, mg. rest. m^{2} ὧν 9 tt Ω: των 14 ἐθέληι "αἱ κοιναί" 9 Corn. A: -ει Ar 14^{m} tt* Ω* **346** ἄρα 9 14 660 A T G^{a}: ἆρ ἐς A^{γρ} Ω* τε 9 14 660 Ω*: om. *b* **347** αἰσυιητῆρι Hsch., -τορι 14^{a}: αἰσυη- (nov. Did) 9 tt* sch^{D} A F T^{λ} T^{γρ} R G: αισυμη- 14^{c}: αισυμ̣[660: αἰσυμνη- Ar Eudoc. EtG Z A^{λ} *b* T G^{s}.—cf. ad B 793, N 427 **348** τοῦ 9 14 660 tt* Ω: οὗ ApS$^{16.8}$ **349** denuo adest D ἐπεὶ οὖν 9 14 660 Ω*: ὅτε δὴ Y πάρεξ Z O V: παρεξ 9 14 D, παρὲξ Ω*.—cf. Praef. xix **352** κήρυξ B^{s} G^{c}: κῆ- Ω*

γούνων ἁψάμενοι λιτανεύσομεν, αἴ κ' ἐλεήσηι."
ὣς φάτο· σὺν δὲ γέροντι νόος χύτο, δείδιε δ' αἰνῶς,
ὀρθαὶ δὲ τρίχες ἔσταν ἐπὶ γναμπτοῖσι μέλεσσιν,
360 στῆ δὲ ταφών. αὐτὸς δ' Ἐριούνιος ἐγγύθεν ἐλθών
χεῖρα γέροντος ἑλὼν ἐξείρετο καὶ προσέειπεν·
"πῆι, πάτερ, ὧδ' ἵππους τε καὶ ἡμιόνους ἰθύνεις
νύκτα δι' ἀμβροσίην, ὅτε θ' εὕδουσι βροτοὶ ἄλλοι;
οὐδὲ σύ γ' ἔδδεισας μένεα πνείοντας Ἀχαιούς,
365 οἵ τοι δυσμενέες καὶ ἀνάρσιοι ἐγγὺς ἔασιν;
τῶν εἴ τίς σε ἴδοιτο θοὴν διὰ νύκτα μέλαιναν
τοσσάδ' ὀνείατ' ἄγοντα, τίς ἂν δή τοι νόος εἴη;
οὔτ' αὐτὸς νέος ἐσσί, γέρων δέ τοι οὗτος ὀπηδεῖ,
ἄνδρ' ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνηι.
370 ἀλλ' ἐγὼ οὐδέν σε ῥέξω κακά, καὶ δέ κεν ἄλλον
σεῖ' ἀπαλεξήσαιμι· φίλωι δέ σε πατρὶ ἐΐσκω."
τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
"οὕτω πηι τάδε γ' ἐστί, φίλον τέκος, ὡς ἀγορεύεις.
ἀλλ' ἔτι τις καὶ ἐμεῖο θεῶν ὑπερέσχεθε χεῖρα,
375 ὅς μοι τοιόνδ' ἧκεν ὁδοιπόρον ἀντιβολῆσαι
αἴσιον, οἷος δὴ σὺ δέμας καὶ εἶδος ἀγητός,
πέπνυσαί τε νόωι· μακάρων δ' ἔξεσσι τοκήων."
τὸν δ' αὖτε προσέειπε διάκτορος Ἀργειφόντης·
"ναὶ δὴ ταῦτά γε πάντα, γέρον, κατὰ μοῖραν ἔειπες.

358–9 [Plut.] Hom. 2.131.3; **359** Eudoc. 245 **363** w5; Homerocento in A.P. 9.381.7; **363**a sch Ω 444a **365** Eudoc. 1585; (ἀνάρσ.) ApS 32.10; H. α 4562; EtG α 1551 **367** (ὀνεί.) ApS 121.13 **368**b Philox. fr. 568 Th. **369** 'Isoc.' ap. Gnom. Vat. 360; Cic. Att. 2.9.3; Erot. p.6.14 N.; Suet. Claud. 42; Gal. Praecogn. 5.8 p.96.4 Nutton; Ael. H.A. 5.39; Dio Cass. 60.16.7; w5 (lacerum); w40 b 1 **370** (–κακ.) ApD Pron. 50.13; (οὐδέν–κακ.) ApS 94.18 **371**b sch Ω 433–4 **376** (αἴσ.) H. (Cyr.) α 2115; (οἷος–)–**377** [Plut.] Hom. 2.138.1; **376** (εἶδος ἀγ.) sch Γ 39c; **377** (πεπν.) H. π 1476

359 om. Y ἐπὶ 14 A T: ἐνὶ 9 660 tt A^{s} Ω*.—v.l. sim. ν 398, 430 **361** ἐξείρετο 9 14 Ω*: ἐξήρ- *b* F **363** εὕδουσιν 9 14 w5 D **364** ἔδδεισας 9 14 660 Ω: ἔδει- r **365** οἵ 14 660 Ω: ου 9 **367** τόσσαδ' A^{a} D T R ἄγοντα 9 14 660 A^{λ} Ω*: ἔχ- (agn. Eust.) G rr **369** (= π 72, φ 133) damn. Heyne ἀπαμύνασθαι 9 14^{a} 660 Suet. Dio Ω* A^{s}: -εσθαι Cic. Z B G: α̣π̣α̣[84: ἐπαμύνασθαι 14^{c} tt* A F T^{λ}, επαμ[υν̣ σ]θαι w5 χαλεπήνηι 9 14^{s} tt Ω: -αινη 14^{t} **370** οὐδέν Ar 9 14 660 tt sch^{D} T^{λ} Ω*: οὐδ' ἄν *b* κακά Ar 9 14^{a} A T^{λ} T: -όν 14^{c} tt $A^{\gamma\rho}$ Ω* καὶ δέ 9 14 Ω*: εἰ δέ $A^{\gamma\rho}$ G: ἠδέ rr **371** σεῖ' Fick: σεῦ 9 14 660 Ω **373** πη(ι) Ar 14 660 Ω*: δὴ "ἔν τισι" 9 Y P **374** ἔτι 9 14 660 $A^{\gamma\rho}$ A^{m} Ω*: εἴ A *b* F χεῖρα 9 14 Ω*: -ας D **376** αἴσιον 9 14^{s} 660 A^{λ} Ω: -ος 14^{t} δέμας 9 312 t A^{λ} Ω $O^{\gamma\rho}$: μέγας 14 O εἶδος ἀγητός 9 14 312 tt Ω*: ἀτειρέα φωνήν *b* (ex Ν 45, Ρ 555, Χ 227) **377** τε 9 14 84 660 Ω: δὲ t νόωι 9 14 84 312 t Ω*: -ον G **379** ἔειπες 9 Ω*: -ας 14 C R G

380 ἀλλ᾽ ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
ἠέ πηι ἐκπέμπεις κειμήλια πολλὰ καὶ ἐσθλά
ἄνδρας ἐς ἀλλοδαπούς, ἵνα τοι τάδε περ σόα μίμνηι,
ἦ᾽ ἤδη πάντες καταλείπετε Ἴλιον ἱρήν
δειδιότες· τοῖος γὰρ ἀνὴρ ὤριστος ὄλωλεν,
385 σὸς πάϊς· οὐ μὲν γάρ τι μάχης ἐπεδεύετ᾽ Ἀχαιῶν."
τὸν δ᾽ ἠμείβετ᾽ ἔπειτα γέρων Πρίαμος θεοειδής·
"τίς δὲ σύ ἐσσι, φέριστε, τέων δ᾽ ἔξεσσι τοκήων;
ὥς μοι καλὰ τὸν οἶτον ἀπότμου παιδὸς ἔνισπες."
τὸν δ᾽ αὖτε προσέειπε διάκτορος Ἀργειφόντης·
390 "πειρᾶι ἐμεῖο, γεραιέ, καὶ εἴρεαι Ἕκτορα δῖον.
τὸν μὲν ἐγὼ μάλα πολλὰ μάχηι ἔνι κυδιανείρηι
ὀφθαλμοῖσιν ὄπωπα, καὶ εὖτ᾽ ἐπὶ νηυσὶν ἐλάσσας
Ἀργείους κτείνεσκε δαΐζων ὀξέϊ χαλκῶι.
ἡμεῖς δ᾽ ἑσταότες θαυμάζομεν· οὐ γὰρ Ἀχιλλεύς
395 εἴα μάρνασθαι, κεχολωμένος Ἀτρείωνι.
τοῦ γὰρ ἐγὼ θεράπων, μία δ᾽ ἤγαγε νηῦς εὐεργής·
Μυρμιδόνων δ᾽ ἔξειμι, πατὴρ δέ μοί ἐστι Πολύκτωρ.
ἀφνειὸς μὲν ὅ γ᾽ ἐστι, γέρων δὲ δὴ ὡς σύ περ ὧδε·
ἓξ δέ οἱ υἷες ἔασιν, ἐγὼ δέ οἱ ἕβδομός εἰμι·
400 τῶν μέτα παλλόμενος κλήρωι λάχον ἐνθάδ᾽ ἕπεσθαι.
νῦν δ᾽ ἦλθον πεδίονδ᾽ ἀπὸ νηῶν· ἠῶθεν γάρ
θήσονται περὶ ἄστυ μάχην ἑλίκωπες Ἀχαιοί.

381–2 EtG α 532 **385** (ἐπιδ.) H. ε 4712 **387**b sch Nic. Al. 2; Epm. ε 103; (τέων δέ) H. τ 727; (τέων) ApS 151.21 **388** Epm. ω 5; **388**a id. κ 144; (ἀπότμ.) H. (Cyr.) α 6729 **390**a Hdn ad Ξ 199a^{1}, λ 221 **397**a Epm. ε 103

381 πολλὰ 9 14 t Ω*: καλὰ C **382** τοι τάδε περ 9 t *b* (= ν 364 cod. unus): περ τάδε τοι 14 312 Ω (= ν 364 plerique) **383** ἦ᾽ dedi, ἦ 14: ἠ A, ἢ Ω* καταλείπετε 9 14 312 Ω*: κατελ- *b*: καταλείπεται D: -ψετε A^{s} rr **385** damn. Payne Knight πάϊς 9 D *b* F: παῖς Ω*, παις 14 ἐπεδεύετ᾽ 9 1540 sch^{bT} T *b*: ἐπιδ- 14 t Ω* **387** τοκήων 9 14 tt Ω: ανθ]ρωπων 13 **388** ὥς 9^{s} tt A$^{\lambda}$ Ω*: ὅς 9 14 F R G: utrum 84 incertum **390** πειρᾶ(ι) 9 14^{s} 84 tt Z Ω: -ρε 14^{t}: -ρα᾽ Payne Knight, cf. Leaf.—cf. ad Φ 459; Chantr. I 57 **391** πολλὰ 9 84 312 1540 Ω: πάγχυ 14 ἔνι B E: ἐνὶ vel ἐνι 14 Ω* **392** νηυσὶν ἐλάσ–σας 9 Ω (νῆας *b*): -σι πελ- 14 **396** γὰρ 9 84 1538 Ω: μεν 14 (cf. 391) hunc v. del., **396*ab***]ṭα[,]λ[(prope medios versus) minoribus litteris add. 312 **397** δέ μοι 9 1540 Ω*: δ᾽ ἐμός 14 D **398** ὅ γ᾽ A^{s} Ω*: ὅδ᾽ 9 14 84 1540 A D G **399** (ἓξ δέ) οἱ 9 14 84 Ω: τῶι A$^{\gamma\rho}$.—cf. ad Π 801 (ἐγὼ δέ) οἱ 9 14 1540^{a} Ω*: τοι 1540^{c} D *b* G **400** τῶν Hdn 9 14 84 Ω: an τοῖς? cf. ad N 700, Φ 458 μέτα Hdn A$^{\lambda}$ Ω*: μετὰ, G, μετα- 9 14 Z D (prob. Leaf) τοῖσι δὲ πρῶτον ὑπηνήτης quidam ap. sch^{T} (cf. 348) ἕπεσθαι 9 14^{c} Ω*: απ- 14^{a}: ἱκέσθαι *b* **403** ἀσχαλόωσι 9 Ω: ἀσχάλλουσι Z οἵδε 9 Ω* (οἷδε A^{s} D^{c} B^{a} E T^{a}): οἵ γε 14 A^{s} R G

ἀσχαλόωσι γὰρ οἵδε καθήμενοι, οὐδὲ δύνανται
ἴσχειν ἐσσυμένους πολέμου βασιλῆες Ἀχαιῶν."
405 τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
"εἰ μὲν δὴ θεράπων Πηληϊάδεω Ἀχιλῆος
εἶς, ἄγε δή μοι πᾶσαν ἀληθείην κατάλεξον,
ἠ' ἔτι πὰρ νήεσσιν ἐμὸς πάϊς, ἦέ μιν ἤδη
ἧισι κυσὶν μελεϊστὶ ταμὼν προύθηκεν Ἀχιλλεύς."
410 τὸν δ' αὖτε προσέειπε διάκτορος Ἀργειφόντης·
"ὦ γέρον, οὔ πω τόν γε κύνες φάγον οὐδ' οἰωνοί,
ἀλλ' ἔτι κεῖνος κεῖται Ἀχιλλῆος παρὰ νηῒ
αὔτως ἐν κλισίηισι. δυωδεκάτη δέ οἱ ἤδη
κειμένωι, οὐδέ τί οἱ χρὼς σήπεται, οὐδέ μιν εὐλαί
415 ἔσθουσ', αἵ ῥά τε φῶτας ἀρηϊφάτους κατέδουσιν.
ἦ μέν μιν περὶ σῆμα ἑοῦ ἑτάροιο φίλοιο
ἕλκει ἀκηδέστως, ἠὼς ὅτε δῖα φανήηι,
οὐδέ μιν αἰσχύνει· θηοῖό κεν αὐτὸς ἐπελθών,
οἷον ἐερσήεις κεῖται, περὶ δ' αἷμα νένιπται,
420 οὐδέ ποθι μιαρός· σὺν δ' ἕλκεα πάντα μέμυκεν,
ὅσσ' ἐτύπη· πολέες γὰρ ἐν αὐτῶι χαλκὸν ἔλασσαν.
ὥς τοι κήδονται μάκαρες θεοὶ υἷος ἑῆος
καὶ νέκυός περ ἐόντος, ἐπεί σφι φίλος περὶ κῆρι."
ὣς φάτο· γήθησεν δ' ὁ γέρων, καὶ ἀμείβετο μύθωι·
425 "ὦ τέκος, ἦ ῥ' ἀγαθὸν καὶ ἐναίσιμα δῶρα διδοῦναι

409 (μελ.) H. (Cyr.) μ 677, [724] **413**b–**14** (κειμ.) sch Ω 31; **414** (οὐδέ–)–**15** Eudoc. 2037–8; **414** (χρὼς σήπ.) sch N 191e **416–17**a + **418**a Porph. Il. 334.5 Schr.; **417** sch Ω 16; **417**a ApS 19.12; **418** (αἰσχ.) H. α 2157; **418**b–**19** Arn ad Ω 20–1a^{1}; **419** (–κεῖται) ApS 63.1; (ἐερσ.) H. ε 584 **420** (μι.) id. μ 1315 **421** (πολέες–) sch Υ 269 **425** Hdn ii.931.17; Eudoc. 1114; (διδ.) sch ν 358

405–504 deest A **407** εἷς Ω*, εἵς D: εἰς 14 B^{c} C: εις 9: ἧς R: ἔσσ' Payne Knight: εἰ δ' Lange (De formula Homerica εἰ δ' ἄγε commentatio [1873] 20) cl. δ 831 sq. et ad ellipsin verbi δ 206; possis etiam v. 406 εἰ μὲν δή ‹εἰς› **408** ἢ Ω*, η 9 (ἠ' dedi): ἦ 14 *b h* F T^{x}: εἰ sch^{hyp} G ἦέ 14 T: ἠέ Ω*, ηε 9 **411** πω 9 14 Ω*: τοι D N^{γρ}: τι R.—cf. ad Π 707 τόν γε 9 14 Ω: τόνδε *h* κύνες φάγον οὐδ' 9 14 1540 Ω*: φάγον κῦνες ἤδ' G **413** αὔτως (vel αὔ-) 9 14 Ω* G^{γρ}: οὔ- G V οἱ 9 t Ω: τοι 14 ἤδη 14 sch^{hyp} O^{a}: ἤδε 13 *h* R G, ἦδε D (cf. Φ 81): ἠὼς 9 t sch^{hyp} Ω* **414** ουδ'ἔτι 14 **417** φανήηι 9 14 Ω*: -είη 13 (-ηι·) C E F R G^{x}.—cf. ad T 375, X 73 **418** θηοῖό Ar^{ab} 9 14 T^{γρ} G: θει- (nov. Did) Z Ω* (θείοιό sch^{Tγρ} D T^{λ} T) ἐπελθών 9 13 14^{c} Ω: απ- 14^{a} **419** ἐερσήεις 9 14 (ἐέ-) tt Ω* (ἐε- B^{a} C): ἐρσ- E, ἑρσ- G, ερσ- Z **421** ἐν F T *h* (cf. Υ 259): ἐπ' 9 13 14 t Ω* **422** ἑῆος (vel ἐ-) 9 13 14^{t} Ω: ἑοῖο rr, τεοῖο 14^{2m} **423** teste sch^{T} ἀθετεῖται (sc. ab Ar) et προηθέτητο (-ετεῖτο cod.; sc. ab Arph?) **425** διδοῦναι Arph (cui displicebat) 9 13 14 tt Z T^{λ} Ω*: -δῶναι quidam ante Hdn: -δόναι D C^{a} E^{a} (prob. Eust. cl. M 208)

ἀθανάτοις, ἐπεὶ οὔ ποτ' ἐμὸς πάϊς, εἴ ποτ' ἔην γε,
λήθετ' ἐνὶ μεγάροισι θεῶν οἳ Ὄλυμπον ἔχουσιν·
τῶν οἱ ἀπεμνήσαντο καὶ ἐν θανάτοιό περ αἴσηι.
ἀλλ' ἄγε δὴ τόδε δέξαι ἐμέο πάρα καλὸν ἄλεισον,
430 αὐτόν τε ῥῦσαι, πέμψον δέ με σύν γε θεοῖσιν,
ὄφρα κεν ἐς κλισίην Πηληϊάδεω ἀφίκωμαι."
τὸν δ' αὖτε προσέειπε διάκτορος Ἀργειφόντης·
"πειρᾶι ἐμεῖο, γεραιέ, νεωτέρου, οὐδέ με πείσεις,
ὅς με κέλεαι σέο δῶρα πάρεξ Ἀχιλῆα δέχεσθαι.
435 τὸν μὲν ἐγὼ δείδοικα καὶ αἰδέομαι περὶ κῆρι
συλεύειν, μή μοί τι κακὸν μετόπισθε γένηται.
σοὶ δ' ἂν ἐγὼ πομπὸς καί κε κλυτὸν Ἄργος ἱκοίμην
ἐνδυκέως ἐν νηῒ θοῆι ἢ πεζὸς ἁμαρτέων·
οὐκ ἄν τίς τοι πομπὸν ὀνοσσάμενος μαχέσαιτο."
440 ἦ, καὶ ἀναΐξας Ἐριούνιος ἅρμα καὶ ἵππους
καρπαλίμως μάστιγα καὶ ἡνία λάζετο χερσίν,
ἐν δ' ἔπνευσ' ἵπποισι καὶ ἡμιόνοις μένος ἠΰ.
ἀλλ' ὅτε δὴ πύργους τε νεῶν καὶ τάφρον ἵκοντο—
οἳ δὲ νέον περὶ δόρπα φυλακτῆρες πονέοντο—
445 τοῖσι δ' ἐφ' ὕπνον ἔχευε διάκτορος Ἀργειφόντης
πᾶσιν, ἄφαρ δ' ὤειξε πύλας καὶ ἀπῶσεν ὀχῆας,
ἐς δ' ἄγαγε Πρίαμόν τε καὶ ἀγλαὰ δῶρ' ἐπ' ἀπήνης.
ἀλλ' ὅτε δὴ κλισίην Πηληϊάδεω ἀφίκοντο
ὑψηλήν—τὴν Μυρμιδόνες ποίησαν ἄνακτι

435 Eudoc. 405 **436** ead. 2089 **439** (ὀνοσσ.) ApS 121.17 **445** Porph. Il. 22.6 Schr. **446** (ἄφαρ–) Eudoc. 1987

426 πάϊς 14 Ω: παῖς 13 **427** μμεγάροισι 13 14 B^{a} C E^{c} **428** τῶν 9 quidam ap. sch^{bT} *b* (cf. CEG 177.9): τῶ(ι) 13 14 Ω*, τώ G O ἀπεμνήσαντο Ω* (cf. Hes. Th. 503, CEG l.c.): απομν- 14: ἐπεμν- 9 13 Z T *b* R (-ατο) **429** δέξαι 9 14 Ω: -ξο V P ἐμέο dedi: ἐμεῦ 9 14 Ω **430** τε 9 13 14^{c} Ω*: δε 14^{a}: γε G **431** ὄφρά 14^{2} *b* F R G **433** πειρᾶι 9 13 14 Ω, πείρα Z: cf. ad 390 **434** κέλεαι Bentley (cf. δ 812, ε 174; με del. Christ, cf. M 235, Σ 286): -λη(ι) 9 13 14 Z T^{λ} Ω (item κ 337 codd.).—cf. ad B 367, N 818 πάρεξ 14 O V: παρεξ 9 D T, -ὲξ Ω* **435** περὶ 9 14 Ω: πέρι rr **436** συλεύειν 9 14^{2m} (-ει) t Z Ω: μωμεῦειν (sic) 14^{t} γένηται 9 13 Ω*: -οιτο 14 t D R **437** δ' ἂν 9 Ω: μεν 14 (ex 435) **438** ἁμαρτέων Bolling (cf. Praef. xxx): ὁμ- 9 14 Z Ω **439** οὐκ ἄν 14^{c} Ω*: οὐδ' ἀν Y: οὔ κέν 9 14^{a} Z D V.—cf. ad M 465, N 289 **440** ἀναΐξας *b* F^{c} T^{λ} T: εν- 9: ἐπ- 14 Ω* **441** λάζετο 9 14 Ω: -υτο Nauck (cf. ad E 840, Θ 389) **442** ἵπποισι 9 14 Ω*: -οις τε D **446** ὤειξε Fick: ὤϊξε 9 14 t Z T^{λ} Ω (ώιϊ- D).—cf. Praef. xxxiii πύλας 9 13 14 Ω*: θύρας t *b* T^{λ} ὀχῆας 9 14 t Z Ω* (= Φ 537): ὀχ[G: -ῆα T^{λ} T M (cf. N 124; Parm. B1.16).—cf. ad 566 **449–52** pro his ὑψηλὴν· μεγάλη δ' αυλὴ αμφὶς διέεργε Y

450 δοῦρ' ἐλάτης κέρσαντες, ἀτὰρ καθύπερθεν ἔρεψαν
λαχνήεντ' ὄροφον λειμωνόθεν ἀμήσαντες·
ἀμφὶ δέ οἱ μεγάλην αὐλὴν ποίησαν ἄνακτι
σταυροῖσιν πυκινοῖσι· θύρην δ' ἔχε μοῦνος ἐπιβλὴς
εἰλάτινος, τὸν τρεῖς μὲν ἐπιρρήσσεσκον Ἀχαιοί,
455 τρεῖς δ' ἀνοείγεσκον μεγάλην κληῗδα θυράων,
τῶν ἄλλων, Ἀχιλεὺς δ' ἄρ' ἐπιρρήσσεσκε καὶ οἶος—
δή ῥα τόθ' Ἑρμείας ἐριούνιος ὦιξε γέροντι,
ἐς δ' ἄγαγε κλυτὰ δῶρα ποδώκεϊ Πηλείωνι.
ἐξ ἵππων δ' ἀπέβαινεν ἐπὶ χθόνα φώνησέν τε·
460 "ὦ γέρον, ἤτοι ἐγὼ θεὸς ἄμβροτος εἰλήλουθα,
Ἑρμείας· σοὶ γάρ με πατὴρ ἅμα πομπὸν ὄπασσεν.
ἀλλ' ἤτοι μὲν ἐγὼ πάλιν εἴσομαι, οὐδ' Ἀχιλῆος
ὀφθαλμοὺς εἴσειμι· νεμεσσητὸν δέ κεν εἴη,
ἀθάνατον θεὸν ὧδε βροτοὺς ἀγαπαζέμεν ἄντην.
465 τύνη δ' εἰσελθὼν λαβὲ γούνατα Πηλείωνος.
{καί μιν ὑπὲρ πατρὸς καὶ μητέρος ἠϋκόμοιο
λίσσεο καὶ τέκεος, ἵνα οἱ σὺν θυμὸν ὀρίνῃς.}"
ὣς ἄρα φωνήσας ἀπέβη πρὸς μακρὸν Ὄλυμπον
Ἑρμείας. Πρίαμος δ' ἐξ ἵππων ἆλτο χαμᾶζε,
470 Ἰδαῖον δὲ κατ' αὖθι λίπεν· ὃ δὲ μίμνεν ἐρύκων
ἵππους ἡμιόνους τε. γέρων δ' ἰθὺς κίεν οἴκου,

450b–1 EtG α 646; **451** sch Eur. Or. 147; **451a** H. λ 456; (ὄρ.) Poll. 10.170 **453b–5a** ApS 72.17; **453** (ἐπιβλ.) Philox. fr. 549 Th.; H. ε 4642; EtG s.v.; **454** (τὸν–)–**5a** sch Soph. O.R. 1241; **454** (τρεῖς–) Did ad Ω 566b; (ἐπιρρ.) ApS 74.1; H. ε 5121/3; **455b** id. μ 460 **457** (ὦιξε) Hdn palimps. in Reitz. Gesch. 302.4 **460** Eudoc. 2255; (ἄμβρ.) H. (Cyr.) α 3528 **464** Eudoc. 1290 **465–7** [D.H.] Ars 9.15; **466** (–μητ.) + **467** (λίσσ.) sch X 338; **467** (λίσσ.) H. λ 1122 **469b** ApS 69.31

450 καθ' ὕπερθεν 13^{2} D E F^{a} **451** ὄροφον 14 Z Ω: ὀροφὸν quidam ap. sch^{T} **452** ἄνακτι 9 13 14 Ω* (= 449): ἐρυμνήν Z D **453** θύρην 9 13 14 Z Ω: -ας t ἐπιβλής Ptol Hdn 14 1541? Z Ω: parox. Ar (ap. EtG et Eust.) **454** τρεῖς 9^{c} 13^{2} 14^{a} tt* Ω*: τρὶς 9^{a} 13^{a} 14^{c} (τρῖς) ApS D^{x} ἐπιρρήσ(σ)εσκον (nov. Did) 9 13 tt* Z T^{λ} Ω: ἐπιρή- Ar, επειρή- 14^{c}: ἐπερή- 14^{a} ApS^{72} Ἀχαιοί 9 14 tt Ω*: -ῶν D T **455** τρεῖς 9 14^{a} t* sch^{bT} Ω: τρῖς 14^{c} ApS ἀνοείγεσκον Fick: ἀναοίγ- 9 14 tt Ω.—cf. Praef. xxxiii **456** ἐπιρρήσ(σ)εσκε 9 T^{λ} Ω*: -ήσασκε T^{λ} (alterum) G: ἐπερρήσεσκε R: επιρήσεσκε (Ar) 13, επειρή- 14 **457** ὦ(ι)ξε 9 13 Ω*, ὤϊϊξε D: οἶξε Y **459** χθόνα 9 13 14 Ω* (cf. Γ 265, Λ 619): χθονὶ F Y R G **461** ὄπασσε(ν) 9 13 14 Ω*: επεμψεν Y **464** damn. Düntzer **465** λαβὲ (Bekker) Y: λάβε Ω* **466–7** damn. Kammer (**465–7** iam Düntzer); cf. ad T 326–37 **469** ἐξ 9 13 14^{a} t Ω: αφ 14^{c} ἄλτο G: ἆ- T^{λ} Ω*: ἆ- C R: ᾶ- 14^{2}: α- 9 13 Y: βαῖνε (cf. 459) mavult sch^{T} utpote de sene **470** δὲ μίμνεν 14 F T Y: δ' ἔμι- 9 13 Ω* **471** ἵππους 13 14 F R G: -ους θ' 9 Ω* (ex Ψ 260? cf. ad 576)

τῆι ῥ' Ἀχιλεὺς ἵζεσκε διίφιλος, ἐν δέ μιν αὐτόν
ηὗρ'· ἕταροι δ' ἀπάνευθε καθείατο· τὼ δὲ δύ' οἴω,
ἥρως Αὐτομέδων τε καὶ Ἄλκιμος ὄζος Ἄρηος,
475 ποίπνυον παρέοντε. νέον δ' ἀπέληγεν ἐδωδῆς
ἔσθων καὶ πίνων· ἔτι καὶ παρέκειτο τράπεζα.
τοὺς δ' ἔλαθ' εἰσελθὼν Πρίαμος μέγας, ἄγχι δ' ἄρα στάς
χερσὶν Ἀχιλλῆος λάβε γούνατα καὶ κύσε χεῖρας
δεινὰς ἀνδροφόνους, αἵ οἱ πολέας κτάνον υἷας.
480 ὡς δ' ὅτ' ἂν ἄνδρ' ἄτη πυκινὴ λάβηι, ὅς τ' ἐνὶ πάτρηι
φῶτα κατακτείνας ἄλλων ἐξίκετο δῆμον,
ἀνδρὸς ἐς ἀφνειοῦ, θάμβος δ' ἔχει εἰσορόωντας,
ὣς Ἀχιλεὺς θάμβησεν ἰδὼν Πρίαμον θεοειδέα,
θάμβησαν δὲ καὶ ἄλλοι, ἐς ἀλλήλους δὲ ἴδοντο.
485 τὸν καὶ λισσόμενος Πρίαμος πρὸς μῦθον ἔειπεν·
"μνῆσαι πατρὸς σοῖο, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
τηλίκου ὥς περ ἐγών, ὀλοῶι ἐπὶ γήραος οὐδῶι.
καὶ μέν που κεῖνον περιναιέται ἀμφὶς ἐόντες
τείρουσ', οὐδέ τίς ἐστιν ἀρὴν καὶ λοιγὸν ἀμῦναι.
490 ἀλλ' ἤτοι κεῖνός γε σέθεν ζώοντος ἀκούων
χαίρει τ' ἐν θυμῶι ἐπί τ' ἔλπεται ἤματα πάντα
ὄψεσθαι φίλον υἱὸν ἀπὸ Τροίηθεν ἰόντα·

474 (–Ἄλκ.) Strab. 8.5.3 **475**b Arn ad Ω 628a; Hdn i.488.1 **476** Ath. 12b; Eudoc. 1481; **476**a Choer. in Thd. ii.48.6; (ἔσθων) H. (Cyr.) ε 6212 **484** Eudoc. 720, cf. 921, 981 **486–7** Hclt. Alleg. 59.6; **486** D.H. Comp. 34; [D.H.] Ars 9.15; ApS 140.34; [Ammon.] Diff. 167; w35 fr. 1.10 (lacerum); Apsin. Rhet. i.399.3 Sp.; Prisc. Inst. 18.160, 241; **486**a sch X 420, Ω 371, α 413; ApS 143.30; ApD Pron. 108.13, Synt. 223.17; [Ammon.] Diff. 445; H. σ 326; Polyb. Soloec. 286.19 Nauck; **487** (τηλ.) ApS 152.27

472 ἐν 9 13 Ω: αν 14 **473** ηὗρ' Fick: εὗρ' 9 13 14 1542 Ω καθείατο (nov. Did) 9 13 (-εἵ-) 14 (-εἱ-) Ω*: -ήατο Ar *b* τὼ Ω*, τω 9 14: τῶ(ι) 13 F^{a} T^{c} **474** ἥρως 9 13 14 1542 t Ω: an ἥρω'(ε)? cf. ad Θ 114 τε καὶ 9 13 14 t Ω: καὶ V: fort. ἠδ', cf. ad 574 ὄζος 9 13 14^{c} Ω: υιος 14^{a} **476** ath. Ar, cui adversatus πίνων ἔτι, interpungere iubet Ath. **479** ἀνδροφόνους 9 13 14 1542 Ω: παιδοφ- 14^{2m} (cf. 506) **480** ἐνὶ 9 14 Z Ω*: ἐπι D **481** ἄλλων 9 14 Ω*: -ον R **482** ἔχει Ω*: -εν 9 14 G V (ex Γ 342, Δ 79) εἰ-σορόωντας 14 Ω: -α 9 **483** θεοειδέα 9 14 Ω*: -δῆ C G **486** μνῆσαι 14 1541 1542 w35 tt* T$^{\lambda}$ Ω*: μνήσαιο ApS utroque loco, -σεο [Ammon.]^{445} Prisc.^{241} R σοῖο Ar ApS Hclt. [Ammon.] D T$^{\lambda}$ Y: ἑοῖο M rr haud male: σεῖο Zen 14 1541 w35 tt* Ω*: utrumque Hsch. Polyb.—cf. ad Ξ 118, Σ 335 **487** ὥς περ 14 1541 sch^{T} Ω: οἷος t **488** ἐόντες 14 Ω: -ος 1543 Z quidam ap. sch^{bT} **489** ἄρην Z καὶ λοιγὸν 14 1541 Ω sch^{hyp}: ἀπὸ οἴκου *h* (cf. β 59) **491** ἐπί τ' Ω: επει τ' 14: ἐπεὶ Z **492** Τροίηθεν ἰόντα Ω*: -θε μολόντα 14 (-θεν 14^{c}) 1541 F^{a} Y *h* (-ῶντα N)

αὐτὰρ ἐγὼ πανάποτμος, ἐπεὶ τέκον υἷας ἀρίστους
Τροίηι ἐν εὐρείηι, τῶν δ' οὔ τινά φημι λελεῖφθαι.
495 πεντήκοντά μοι ἦσαν, ὅτ' ἤλυθον υἷες Ἀχαιῶν·
ἐννεακαίδεκα μέν μοι ἰῆς ἐκ νηδύος ἦσαν,
τοὺς δ' ἄλλους μοι ἔτικτον ἐνὶ μεγάροισι γυναῖκες.
τῶν μὲν πολλῶν θοῦρος Ἄρης ὑπὸ γούνατ' ἔλυσεν·
ὃς δέ μοι οἶος ἔην, εἴρυτο δὲ ἄστυ καὶ αὐτούς,
500 τὸν σὺ πρώιην κτεῖνας ἀμυνόμενον περὶ πάτρης,
Ἕκτορα. τοῦ νῦν εἵνεχ' ἱκάνω νῆας Ἀχαιῶν,
λυσόμενος παρὰ σεῖο, φέρω δ' ἀπερείσι' ἄποινα.
ἀλλ' αἰδεῖο θεούς, Ἀχιλεῦ, αὐτόν τ' ἐλέησον,
μνησάμενος σοῦ πατρός· ἐγὼ δ' ἐλεεινότερός περ,
505 ἔτλην δ' οἷ' οὔ πώ τις ἐπιχθόνιος βροτὸς ἄλλος,
ἀνδρὸς παιδοφόνοιο ποτὶ στόμα χεῖρ' ὀρέγεσθαι."
ὣς φάτο· τῶι δ' ἄρα πατρὸς ὑφ' ἵμερον ὦρσε γόοιο,
ἁψάμενος δ' ἄρα χειρὸς ἀπώσατο ἦκα γέροντα.
τὼ δὲ μνησαμένω, ὃ μὲν Ἕκτορος ἀνδροφόνοιο
510 κλαῖ' ἁδινὰ προπάροιθε ποδῶν Ἀχιλῆος ἐλυσθείς,
αὐτὰρ Ἀχιλλεὺς κλαῖεν ἑὸν πατέρ', ἄλλοτε δ' αὖτε
Πάτροκλον· τῶν δὲ στοναχὴ κατὰ δώματ' ὀρώρει.
αὐτὰρ ἐπεί ῥα γόοιο τετάρπετο δῖος Ἀχιλλεύς
καί οἱ ἀπὸ πραπίδων ἦλθ' ἵμερος ἠδ' ἀπὸ γυίων,
515 αὐτίκ' ἀπὸ θρόνου ὦρτο, γέροντα δὲ χειρὸς ἀνίστη,
οἰκτίρων πολιόν τε κάρη πολιόν τε γένειον,

493 Eudoc. 2178 **495–7** (–μεγ.) Arn ad Λ 692a; **496–7** Ath. 556c; **496** Porph. Il. 148.22 Schr.; sch Eur. Hec. 421; (ἐννεακ.) sch Theoc. 15.139; **496**b Arn ad Φ 95 **499** ApD Pron. 78.19 **503**a sch^{h} A 331c **505** Eudoc. 656 **510** (ἐλ.) H. (Cyr.) ε 2109, 2232 **511** (–πατ.) ApD Pron. 106.25 **513–14** Chrysipp. SVF iii.118.24; **513**a Arn ad Ω 514a; (τετ.) H. τ 581; **514** (ἀπὸ πρ.–) sch Γ 34 **515** (ἀνίστη) H. (Cyr.) α 5217

494 (= 256) del. Koechly **496** ἐννέα καὶ δέκα divisim Pamph: coniunctim Hdn (cf. K 495, 561) 14 T^{λ} Ω **497** μμεγάροισι 14 B^{a} C E **499** αὐτοὺς 14 t Ω (cf. Ξ 47, ι 40): -ὸς V P.—cf. ad Ξ 145, Ψ 277 **500** πρώιην B E: πρώην 14 Ω*.—cf. ad E 832 κτεινες 14 **502** φέρω δ' 14 Ω*: -ων τ D **503** αἰδεῖο 13 14 Ω*: -οῖο E Y **504** σοῦ 13 14 Ω: οὗ Brugman Ein Problem 48 **505** denuo adest A βροτὸς 14^{2} t Ω: γενετ 14^{a} **506** χεῖρ' ὀρέγεσθαι 14 Z Ω (χείρ' Leaf, i.e. χειρὶ): et χεῖρας ὀρέξαι Eust. **508** ἁψάμενος 13 14 Ω*: -ον Y^{c} **510** ἁδινὰ 14 B^{a} T^{x}: ἀ- Ω* **512** στοναχὴ Ar 14 A^{λ} Ω: στεν- Zen 13.—cf. Hansen ad CEG 587.5 **513** ut supra 13 tt* Z Ω: ἀλλ' ὅτε δὴ κλαίων τε κυλινδόμενός τ' ἐκορέσθη Chrysipp. (cf. δ 541 = κ 499) **514** ath. Ar DThr **515** αὐτίκ' ἀπὸ 14 Ω: αυτικα δ εκ 13 ἀνίστη t Ω*: -έστη 14 R **516** οἰκτίρων Nauck: -είρ- 13 14 Ω

καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
"ἆ δείλ', ἦ δὴ πολλὰ κάκ' ἄνσχεο σὸν κατὰ θυμόν.
{πῶς ἔτλης ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν οἶος,
520 ἀνδρὸς ἐς ὀφθαλμούς, ὅς τοι πολέας τε καὶ ἐσθλοὺς
υἱέας ἐξενάριξα; σιδήρειόν νύ τοι ἦτορ.}
ἀλλ' ἄγε δὴ κατ' ἄρ' ἕζε' ἐπὶ θρόνου, ἄλγεα δ' ἔμπης
ἐν θυμῶι κατακεῖσθαι ἐάσομεν ἀχνύμενοί περ·
οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο.
525 ὡς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσιν,
ζώειν ἀχνυμένους· αὐτοὶ δέ τ' ἀκηδέες εἰσίν.
δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει
δώρων οἷα δίδωσι, κακῶν, ἕτερος δὲ ἐάων.
ὧι μέν κ' ἀμμείξας δώηι Ζεὺς τερπικέραυνος,
530 ἄλλοτε μέν τε κακῶι ὅ γε κύρεται, ἄλλοτε δ' ἐσθλῶι·
ὧι δέ κε τῶν λυγρῶν δώηι, λωβητὸν ἔθηκεν,
καί ἑ κακὴ βούβρωστις ἐπὶ χθόνα δῖαν ἐλαύνει,
φοιτᾶι δ' οὔτε θεοῖσι τετιμένος οὔτε βροτοῖσιν.

518 Eudoc. 793 **520b** sch Ω 498a **522–33** [Plut.] Cons. Apoll. 105c; **524** sch Soph. El. 137; sch A.R. 1.296b; (–πέλ.) ib. 1.862a; (πρῆξις) H. π 3272; **525–6** Plut. Mor. 20e; Stob. 4.56.13; **525–6a** [Pl.] Axioch. 367d; Plut. Mor. 22b; Stob. 4.34.45; **525** (ἐπεκλ.) H. (Cyr.) ε 4374; **526** (ἀκηδ.) H. α 2361; **527–32** (**529** et **531** paraphr.) Pl. Resp. 379d (exscripsit Eus. P.E. 13.3.12–13); **527–30** sch Pind. Pyth. 3.141a; **527** (πίθοι–)–**30** (**529** paraphr.) Theodoret. Graec. aff. cur. 5.35 (e Platone); **527–8** P. Derveni xxvi 6 (tamquam Orphei); Plut. Mor. 24a; Porph. Il. 53.20 Schr.; Synes. Aegypt. 2.6 (Opusc. 126.3 T.); cf. Them. Or. 6.79c, 19.228d (e Platone); Procl. in Remp. i.96.14; **527** Max. Tyr. 34.3; Favor. De fortuna 26 p.260.34 Bar.; sch Hes. Op. 94a; sch Pind. Pyth. 5.74a; Choer. in Thd. i.398.18; Epm. ε 92, κ 168; (–κατακ.) Hdn ii.268.12; EtG s.v. εἴαται; **527a** sch Soph. Tr. 126; Porph. Od. 72.10 Schr.; **527b** cf. Plut. Mor. 473b; (ἐν Δ. οὔδει) Aristid. Or. 2.177; **528**

518 ἆ 13 14 t Ω*: ὦ C ἤδη 14 D ἄνσχεο Ar 14 661 t Ω*: ἀνάσχ- C[a] F: ἄσχ- (nov. Did) 13 *h* G[a].—cf. ad 549; Praef. xxvi **519–21** (≈ 203–5; cf. 563–7) damn. Koechly Hektors Lösung (1859) 15; **519–20** om. 13, mg. rest. m[2] **521** ἐξενάριξα 14[c] 661 Ω: -ξε 14[a] rr (= 205) νύ τοι 14 661 Ω*: δέ οἱ D (cf. ad 205) **522** ἕζε' Fick post Payne Knight: -ευ Ar 14 661 t Ω: ἵζευ deprec. Ar **524** πρῆξις 14 661 tt T[A] Ω*: τ' ἄνυσις A[γρ] T, cf. sch[bT] (et δ 544) **526** ἀχνυμένους Stob.[56] Ω*: -οις 14 tt* A D T Y **527** κατακείαται 14 (ex -αθε) 661 tt* Z Ω: -κηαται P. Derveni **528** ut supra fere 14 661 1544 tt* Ω: κηρῶν ἔμπλειοι, ὃ μὲν ἐσθλῶν, αὐτὰρ ὃ δειλῶν Plato quique eum sequuntur (Plut. Theodoret. Eus. Them. Procl.) διδοῦσι P. Derveni sch-Pind. δὲ 14 tt* Ω: δε τ (Bentley) P. Derveni, δε[̣] 1544 ἐάων R G: ε- A, ἑ- 14 Ω* **529** κ' αμμείξας 14[c] (καμμ- 14[a]): κ' ἀμμί- [Plut.] A T, καμμί- tt* Z Ω*: κ' α]νμι- 661 δώιη(ι) 661 A E F N **530** ὅ γε κύρεται 14 661 1544 tt* Z Ω: ἐπιμίσγεται sch-Pind. **531** δώη(ι) C T R: δώιη(ι) Ω*: δοίη D λωβητὸν ἔθηκε(ν) 14 661[s] 1544 tt sch[D] Ω: Ζευς τε[ρπικεραυνος (ex 529) 661[t]

ὣς μὲν καὶ Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα
535 ἐκ γενετῆς· πάντας γὰρ ἐπ' ἀνθρώπους ἐκέκαστο
ὄλβωι τε πλούτωι τε, ἄνασσε δὲ Μυρμιδόνεσσιν,
καί οἱ θνητῶι ἐόντι θεὰν ποίησαν ἄκοιτιν·
ἀλλ' ἐπὶ καὶ τῶι θῆκε θεὸς κακόν, ὅττί οἱ οὔ τι
παίδων ἐν μεγάροισι γονὴ γένετο κρειόντων,
540 ἀλλ' ἕνα παῖδα τέκεν παναώριον· οὐδέ νυ τόν γε
γηράσκοντα κομίζω, ἐπεὶ μάλα τηλόθι πάτρης
ἧμαι ἐνὶ Τροίηι, σέ τε κήδων ἠδὲ σὰ τέκνα.
καὶ σέ, γέρον, τὸ πρὶν μὲν ἀκούομεν ὄλβιον εἶναι·
ὅσσον Λέσβος ἄνω, Μάκαρος ἕδος, ἐντὸς ἐέργει
545 καὶ Φρυγίη καθύπερθε καὶ Ἑλλήσποντος ἀπείρων,
τῶν σε, γέρον, πλούτωι τε καὶ υἱάσι φασὶ κεκάσθαι.
αὐτὰρ ἐπεί τοι πῆμα τόδ' ἤγαγον Οὐρανίωνες,
αἰεί τοι περὶ ἄστυ μάχαι τ' ἀνδροκτασίαι τε.
ἄνσχεο, μηδ' ἀλίαστον ὀδύρεο σὸν κατὰ θυμόν·
550 οὐ γάρ τι πρήξεις ἀκαχήμενος υἷος ἑῆος,
οὐδέ μιν ἀνστήσεις, πρὶν καὶ κακὸν ἄλλο πάθηισθα."
τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
"μή πώ μ' ἐς θρόνον ἵζε, διοτρεφές, ὄφρα κεν Ἕκτωρ
κεῖται ἐνὶ κλισίηισιν ἀκηδής, ἀλλὰ τάχιστα

Porph. Antr. 29; cf. Plut. Mor. 600c; (ἐάων) H. (Cyr.) ε 50; **531** (λωβ.) id. λ 1490; **532** ApS 62.23; **532**a Hdn i.558.1; Epm. α 268; (βούβρ.) H. β 881; EtG β 197; **533** (φοιτ.) H. φ 718; Phot. Lex. s.v. **534–5** (ἐκ γ.) + **538–41**a Procl. in Remp. i.99.27; **540** (–παν.) ApS 127.13; Epm. χ 14; (παν.) H. π 318; **541**a id. γ 524 **542** sch^{h129} A 56; Epm. η 33; (–κή–δων) sch O 10b; **542**a sch B 255a, Δ 412d; **542**b ApS 98.29; Epm. ad A 56a^{2}; (κήδ.) H. κ 2472 **543–5** Strab. 13.1.7; **543** sch Ω 765a^{1}; **544–5** Dio Prus. 33.19, 74.13; Iul. Or. 2.73d; **544** Plut. Mor. 603d; (Μάκ. ἕδος) cf. Strab. 8.3.31 **548** (ἀνδροκτ.) H. (Cyr.) α 4754 **549–51** Chrysipp. (SVF iii.129.3) ap. Gal. Plac. Hipp. et Plat. 4.6.40; Stob. 4.56.1; **549** Eudoc. 903; **550** (ἀκαχ.) EtG α 303; **551**b sch A.R. 1.297a **553** (–διοτρ.) Hdn ad Υ 464a^{1}; **553**a Epm. ο 9b **554** (ἀκηδ.) EtG α 319; (ἀλλὰ–)–**557** + **559**a + **560** (–γέρον) Hdn ad Θ 557a; **555** (σὺ–) Choer. in Thd. ii.248.34; **556** (ἀπόν.) H. α 6492; **557**

535 ἐπ' 14^{s} 661 Ω: ες 14^{t} **537** ποιησατ 14^{a} **538** ὅττί sic A, ὁτ'τί 14^{2} οὔ τι 14 t Ω: οὔ τις Doederlein **540** παῖδα τέκε(ν) tt* Ω: παῖδ' ἔτεκεν 14 ApS παναώριον Hdn post alios, A: -ώ̈ρ- alii olim **541** κομίζω 14 tt Ω: -ζει Z V P **544** ἄνω Ar 14 tt* Z A$^{\lambda}$ Ω: ἔσω Iul. Μάκαρος 14^{t} tt* A$^{\lambda}$ Ω (= Hymn. Ap. 37): -ος τ' T^{s}: Μακάρων 14^{s} Dio^{33} Plut. Iul.^{vl} Z V P ἕδος 14 tt* Z A$^{\lambda}$ Ω: πόλις Strab. **546** τῶν Ar *b* F T$^{\lambda}$ T^{s}: τῶ(ι) (nov. Did) 14 A D T R, τῷ G **548** del. Koechly Hektors Lösung (1859) 15 **549** ἄνσχεο 14 tt* Ω*: ἄσχ- F^{a} *b* G^{a}: ἴσχ- Stob.—cf. ad 518 **550** υἷος ἑῆος Ar 14 t* Ω: υἷος ἑοῖο Zen rr, τεοῖο 14^{2m}: υἱέος αἰνῶς Stob.—cf. ad 422, A 393 **553** πώ μ' tt A O (sine accentu Ptol Hdn (t)) (cf. A 106, 542, X 9, al.): μέ πω 14 1544 Ω* (cf. Ψ 73) ὄφρά 14 A *b* F T G **554** κεῖται 1544 Ω*: κῆ- 14 D^{x} T.—cf. ad T 32

555 λῦσον, ἵν' ὀφθαλμοῖσιν ἴδω· σὺ δὲ δέξαι ἄποινα
πολλά, τά τοι φέρομεν. σὺ δὲ τῶνδ' ἀπόναιο, καὶ ἔλθοις
557 σὴν ἐς πατρίδα γαῖαν, ἐπεί με πρῶτον ἔασας."
559 τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
560 "μηκέτι νῦν μ' ἐρέθιζε, γέρον. νοέω δὲ καὶ αὐτός
Ἕκτορά τοι λῦσαι· Διόθεν δέ μοι ἄγγελος ἦλθεν
μήτηρ, ἥ μ' ἔτεκεν, θυγάτηρ ἁλίοιο γέροντος.
καὶ δὲ σὲ γινώσκω, Πρίαμε, φρεσίν, οὐδέ με λήθεις,
ὅττι θεῶν τίς σ' ἦγε θοὰς ἐπὶ νῆας Ἀχαιῶν·
565 οὐ γάρ κε τλαίη βροτὸς ἐλθέμεν, οὐδὲ μάλ' ἡβῶν,
ἐς στρατόν· οὔτε γὰρ ἂν φυλακοὺς λάθοι, οὐδέ κ' ὀχῆα
ῥεῖα μετοχλίσσειε θυράων ἡμετεράων.
τὼ νῦν μή μοι μᾶλλον ἐν ἄλγεσι θυμὸν ὀρίνῃς,
μή σε, γέρον, οὐδ' αὐτὸν ἐνὶ κλισίῃσιν ἐάσω
570 καὶ ἱκέτην περ ἐόντα, Διὸς δ' ἀλίτωμαι ἐφετμάς."
ὣς ἔφατ'· ἔδδεισεν δ' ὁ γέρων καὶ ἐπείθετο μύθωι.
Πηλείδης δ' οἴκοιο λέων ὣς ἆλτο θύραζε,
οὐκ οἶος· ἅμα τῶι γε δύω θεράποντες ἕποντο,
ἥρως Αὐτομέδων ἠδ' Ἄλκιμος, οὕς ῥα μάλιστα
575 τῖ' Ἀχιλεὺς ἑτάρων μετὰ Πάτροκλόν γε θανόντα·
οἳ τόθ' ὑπὸ ζυγόφιν λύον ἵππους ἡμιόνους τε,
ἐς δ' ἄγαγον κήρυκα καλήτορα τοῖο γέροντος,
κὰδ δ' ἐπὶ δίφρου εἷσαν· ἐϋσσώτρου δ' ἀπ' ἀπήνης

(με–) EtG s.v. ἐνηής; **558** Eudoc. 883; **560–1** + **569–70** Plut. Mor. 31a; **561** (λῦσαι) H. λ 1436; **565–7** Eudoc. 2097–9; 570 (ἀλίτ.) H. (Cyr.) α 3068 **574** (οὕς ῥα) H. (Cyr.) ο 1877 **577** (καλήτ.) ApS 94.27; H. κ 437

555 δέξαι 14 t* Ω: -ξο Choer. **556–7** ath. Ar **556** των 14^{a} **557** πρῶτον ἔασας Trypho Hdn 14 Z A^{λ} A^{s} Ω* (cf. 569, 684): πρῶτον ἕασας Did Hermapias EtG A: πρῶτ' ἐλέησας DSid **558** αὐτόν τε ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο add. 14^{2m} t Ω* G^{m}: ignoraverunt Ar Trypho DSid Did Hermapias Hdn, deest in 14^{t} 1544 D T G^{a} V: ουτος ο στιχος ουχ ευρεθη ἐν τωι παλαιωι A^{m}.—cf. ad Υ 312 **563** γινώσκω 13 Ω: γειν- 14 **565** κε Ar A T: κεν (nov. Did) 13 14 t Ω* **566** οὔτε 13 14 A^{γρ} V: οὔτι *h*: οὐδὲ t A^{λ} Ω φυλακοὺς Ar Hdn 13 sch^{D} A^{λ} A T^{λ} T^{s}: φυλάκους 14^{2m} quidam ap. sch^{T} Ω*: φύλακας 14^{t} t *b h* κ' 14 (ex χ) t A^{s} Ω*: τ' 13 A: γ' D ὀχῆα Ar (cl. 453) 14 t A T R: -ας (nov. Did) 13 Ω*: ὀ[G.—cf. ad 446 **567** μετοχλίσ(σ)ειε 13 14 t A^{c} Ω*: -χλήσ- A^{a} D T^{a} θυράων 14 t Ω: πυλ- 13 **568** τὼ r: τῶ(ι) Ω μάλλον Y: μᾶ- Ω* ἐν ἄλγεσι 13 14 Ω: ἐνὶ φρεσὶ A^{γρ} ὀρίνῃς 13 (-ρει-) 14^{2m} Ω: ορεινοις 14^{t} **570** καὶ 14 t Ω: an οὐδ'? **571** ἔφατ' ἔδδεισεν 14 Ω: φατο ρ]ιγησεν 13 (cf. Γ 259) **572** ἄλτο A^{a}? r: ἆ- Ω*, ᾶ- 14^{2}: ἇ- C Y R **574** possis et hic ἥρω' (cf. ad 474) ἠδ' 13 (τε ss. 13^{2}) 14 Ω*: τε καὶ (= 474) F *h* R G.—cf. ad Γ 227 **576** ἵππους 13 14 Ω*: -ους θ' T.—cf. ad 471 **578** δίφρου 14 Ω*: -ον *b* ἐϋσσώτρου 13 14 sch^{T} Z A^{γρ} A^{m} D T^{λ} T (cf. [Hes.] Sc.

ἤιρεον Ἑκτορέης κεφαλῆς ἀπερείσι' ἄποινα.
580 κὰδ δ' ἔλιπον δύο φάρε' ἐΰννητόν τε χιτῶνα,
ὄφρα νέκυν πυκάσας δοίη οἶκόνδε φέρεσθαι.
δμωιὰς δ' ἐκκαλέσας λοῦσαι κέλετ' ἀμφί τ' ἀλεῖψαι,
νόσφιν ἀειράσας, ὡς μὴ Πρίαμος ἴδοι υἱόν,
μὴ ὃ μὲν ἀχνυμένηι κραδίηι χόλον οὐκ ἐρύσαιτο
585 παῖδα ἰδών, Ἀχιλῆϊ δ' ὀρινθείη φίλον ἦτορ
{καί ἑ κατακτείνειε, Διὸς δ' ἀλίτηται ἐφετμάς}.
τὸν δ' ἐπεὶ οὖν δμωιαὶ λοῦσαν καὶ χρῖσαν ἐλαίωι,
ἀμφὶ δέ μιν φᾶρος καλὸν βάλον ἠδὲ χιτῶνα,
αὐτὸς τόν γ' Ἀχιλεὺς λεχέων ἐπέθηκεν ἀείρας,
590 σὺν δ' ἕταροι ἤειραν ἐϋξέστην ἐπ' ἀπήνην.
ὤιμωξέν τ' ἄρ' ἔπειτα, φίλον τ' ὀνόμηνεν ἑταῖρον·
"μή μοι, Πάτροκλε, σκυδμαινέμεν, αἴ κε πύθηαι
εἰν Ἄϊδός περ ἐών, ὅτι Ἕκτορα δῖον ἔλυσα
πατρὶ φίλωι, ἐπεὶ οὔ μοι ἀεικέα δῶκεν ἄποινα.
595 σοὶ δ' αὖ ἐγὼ καὶ τῶνδ' ἀποδάσσομαι, ὅσσ' ἐπέοικεν."
ἦ ῥα, καὶ ἐς κλισίην πάλιν ἤιε δῖος Ἀχιλλεύς,
ἕζετο δ' ἐν κλισμῶι πολυδαιδάλωι, ἔνθεν ἀνέστη,
τοίχου τοῦ ἑτέρου, ποτὶ δὲ Πρίαμον φάτο μῦθον·
"υἱὸς μὲν δή τοι λέλυται, γέρον, ὡς ἐκέλευες,
600 κεῖται δ' ἐν λεχέεσσ'· ἅμα δ' ἠοῖ φαινομένηφιν
ὄψεαι αὐτὸς ἄγων. νῦν δὲ μνησώμεθα δόρπου.
καὶ γάρ τ' ἠΰκομος Νιόβη ἐμνήσατο σίτου,

580 (ἐΰνν.) id. ε 7014 **582** (ἀλεῖψαι) id. α 2851 **584–6** Plut. Mor. 31b; **584** (ἐρύσ.) H. ε 6105; **586** EtG α 483 **587–9** Procl. in Remp. i.151.13; **587** (–λοῦσαν) sch ζ 221; **588** Eudoc. 2033 **590** (ἤειραν) sch Ω 579b; (ἐπ' ἀπ.) H. (Cyr.) ε 4205 **592** (σκυδμ.) cf. H. σ 1145, Orion. 142.16 **602–4** Diog. Sinop. (fr. 268 Mü.) ap. Philon. Quod omnis probus 122 (vi.35.7 C.–W.); Stob. 4.56.3; **602** Luc. Dial. 40.24; w5; (ἠΰκ. N.) sch B 467, Σ 484b; (σίτου) Phot. Lex. s.v.; **603** ApS 152.5; **604** Plut. Mor. 170c

273): ἐϋξέστου 13ˢ Ω* (cf. 275, 590) ἀπ' 13 (αποπ[) Ω*: ἐπ' 14 Eᵃ O: om. R **581** δοίη 14 Aˢ *b* R G: δώ(ι)η(ι) Ω* **583** ἴδοι 14 Ω*: -η(ι) *b* T **584** χόλον Ar 14 t Z Aᵏ Ω: κότον Rhi u.v. ("ἔν τισι" A, †ἐανοὶ T [Ῥιανὸς Heyne], qui †κόλον, οἳ δὲ κόπον): γόον Hdn (schᵇ), "ἄμεινον" (schᵀ) οὐκ ἐρύσαιτο Ar 14 tt Z Aᵏ Ω: οὐ κατερύκοι idem qui κότον (Rhi u.v.) **586** damn. Leaf (584–6 iam Payne Knight); cf. 570 **587** χρῖσαν 14 (χρεῖ-) Ω: ἔχρισαν t **589** γ' 14 t Ω*: δ' Y: τ' T **590** ἐϋξέστηι ἀπ' ἀπήνηι Aˢ **591** (φίλον) τ' D *b* R: δ' 14 Ω*.—cf. ad K 522, Ψ 178 **594–5** ath. Ar: def. quidam ap. schᵇᵀ **595** ὅσσ' 14² Ω*: ὡς 14ᵃ *b*.—cf. ad Ψ 50 **599** ἐκέλευες 14 Ω*: -ευσας Aᵛᵖ T: σὺ κελεύεις D *b* (cf. 669) **601** αὐτὸς 13 14 Tᵏ Ω: -ὸν Aˢ **602** σίτου 14 (σεί- 14ᵃ) w5 tt Z Ω*: δόρπου C (ex 601)

τῆι περ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο,
ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡβώοντες.
605 τοὺς μὲν Ἀπόλλων πέφνεν ἀπ' ἀργυρέοιο βιοῖο
χωόμενος Νιόβηι, τὰς δ' Ἄρτεμις ἰοχέαιρα,
οὕνεκ' ἄρα Λητοῖ ἰσάσκετο καλλιπαρήωι·
φῆ δοιὼ τεκέειν, ἣ δ' αὐτὴ γείνατο πολλούς·
τὼ δ' ἄρα καὶ δοιώ περ ἐόντ' ἀπὸ πάντας ὄλεσσαν.
610 οἳ μὲν ἄρ' ἐννῆμαρ κέατ' ἐν φόνωι, οὐδέ τις ἦεν
κατθάψαι· λαοὺς δὲ λίθους ποίησε Κρονίων.
τοὺς δ' ἄρα τῆι δεκάτηι θάψαν θεοὶ οὐρανίωνες,
ἣ δ' ἄρα σίτου μνήσατ', ἐπεὶ κάμε δάκρυ χέουσα.
νῦν δέ που ἐν πέτρηισιν, ἐν οὔρεσιν οἰοπόλοισιν,
615 ἐν Σιπύλωι, ὅθι φασὶ θεάων ἔμμεναι εὐνάς
νυμφάων, αἵ τ' ἀμφ' Ἀκελήσιον ἐρρώσαντο,
ἔνθα λίθος περ ἐοῦσα θεῶν ἐκ κήδεα πέσσει.
ἀλλ' ἄγε δὴ καὶ νῶϊ μεδώμεθα, δῖε γεραιέ,
σίτου. ἔπειτά κεν αὖτε φίλον παῖδα κλαίοισθα,
620 Ἴλιον εἰσαγαγών· πολυδάκρυτος δέ τοι ἔσται."
ἦ, καὶ ἀναΐξας ὄϊν ἄργυφον ὠκὺς Ἀχιλλεύς
σφάξ'· ἕταροι δ' ἔδερόν τε καὶ ἄμφεπον εὖ κατὰ κόσμον.
μίστυλλόν τ' ἄρ' ἐπισταμένως πεῖράν τ' ὀβελοῖσιν
ὤπτησάν τε περιφραδέως, ἐρύσαντό τε πάντα.
625 Αὐτομέδων δ' ἄρα σῖτον ἑλὼν ἐπένειμε τραπέζηι
καλοῖς ἐν κανέοισιν· ἀτὰρ κρέα νεῖμεν Ἀχιλλεύς·
οἳ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
ἤτοι Δαρδανίδης Πρίαμος θαύμαζ' Ἀχιλῆα,
630 ὅσσος ἔην οἷός τε· θεοῖσι γὰρ ἄντα ἐώικει·

605–6 [Plut.] Hom. 2.202.4; **605** (πέφνεν) H. π 2117 **609** Paus. 2.21.10 **613**a Arn ad Ω 614–17a **615** sch Soph. El. 151; cf. Aristid. Or. 17.3 **616** (ἀμφ'–) Arn ad Ω 614–17a; (Ἀχελ.) Paus. 8.38.10; (ἐρρ.) Philox. fr. 4 Th.; H. ε 6051 **617**b Arn ad Ω 614–17a(b) **621** (ἀναΐ.–ἄργ.) Plut. Mor. 704a; (ἄργ.) EtG α 1128 **630** Eudoc.

603 τῆι 13 14 tt Ω: ἧι *h* περ 13 14 tt* Ω: καὶ ApS (ex κ 5) μμεγάροισιν 14 B[a] C E ὄλοντο 14 tt* Ω: λίποντο ApS **604** υἱέες 13 14 tt Ω: -εῖς A[γρ] T[γρ] (Did) ἡβώων–τες F[a] R **608** δ' οἴω D ἣ (vel ἡ) 13 14 Ω: ἳ Wack. Unt. 167 sq. cl. Soph. fr. 471; Homerum hanc formam novisse negat Hdn ad X 410 **611** καθθάψαι 14 rr **614–17** ath. Arph Ar, fort. recte **616** Ἀχελήσιον quidam ap. sch[T], -ήϊον agn. sch[AD] A[s] (Ἀκελ- praetuli, cf. Hellan. 4 F 112; Hdn ap. St. Byz. 58.12; Choer. in Thd. i.166.5): Ἀχελώϊον Ar 14 tt sch[ADbT] Ω **619** κλαίοισθα 14 Ω*: -ησθα R.—cf. Chantr. I 470 **622** σφάξ' Ω: -ζ' 14 V P δ' ἔδερόν 14 Ω*: δὲ δέρον D R **630** ἐώικει 14 t Ω: cf. ad B 58

αὐτὰρ ὃ Δαρδανίδην Πρίαμον θαύμαζεν Ἀχιλλεὺς
εἰσορόων ὄψιν τ' ἀγαθὴν καὶ μῦθον ἀκούων.
αὐτὰρ ἐπεὶ τάρπησαν ἐς ἀλλήλους ὁρόωντες,
τὸν πρότερος προσέειπε γέρων Πρίαμος θεοειδής·
635 "λέξον νῦν με τάχιστα, διοτρεφές, ὄφρα καὶ ἤδη
ὕπνωι ὕπο γλυκερῶι ταρπώμεθα κοιμηθέντε.
οὐ γάρ πω μύσαν ὄσσε ὑπὸ βλεφάροισιν ἐμοῖσιν,
ἐξ οὗ σῇς ὑπὸ χερσὶν ἐμὸς πάϊς ὤλεσε θυμόν,
ἀλλ' αἰεὶ στενάχω καὶ κήδεα μυρία πέσσω,
640 αὐλῆς ἐν χόρτοισι κυλινδόμενος κατὰ κόπρον.
νῦν δὴ καὶ σίτου πασάμην καὶ αἴθοπα οἶνον
λαυκανίης καθέηκα· πάρος γε μὲν οὔ τι πεπάσμην."
ἦ ῥ'· Ἀχιλεὺς δ' ἑτάροισιν ἰδὲ δμωιῇσι κέλευσεν
δέμνι' ὑπ' αἰθούσηι θέμεναι καὶ ῥήγεα καλὰ
645 πορφύρε' ἐμβαλέειν, στορέσαι τ' ἐφύπερθε τάπητας,
χλαίνας τ' ἐνθέμεναι οὔλας καθύπερθεν ἕσασθαι.
αἳ δ' ἴσαν ἐκ μεγάροιο δάος μετὰ χερσὶν ἔχουσαι,
αἶψα δ' ἄρα στόρεσαν δοιὼ λέχε' ἐγκονέουσαι.
τὸν δ' ἐπικερτομέων προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
650 "ἐκτὸς μὲν δὴ λέξο, γέρον φίλε, μή τις Ἀχαιῶν

408; **630**a Plut. Aemil. 1.2 **632** Eudoc. 2281; (–ἀγ.) sch Λ 1; (ὄψιν–μῦθον) sch B 217b **633** Eudoc. 2251; (τάρπ.) H. τ 201 **635**a ApS 107.29; sch T 398b; Epm. λ 39 **637** + **639** Eudoc. 1005–6; **637** Latine vertit Ninnius Crassus fr. 2 p.107 Court.; (μύσαν) H. μ 1931 **639** Choer. in Thd. ii.155.3 **640** Ath. 189f; sch Ω 164b; sch Pind. Ol. 13.62b; **640**a cf. EtG s.v. χόρτος αὐλῆς **641** (–πασ.) Ath. 23f **642**a Plut. Mor. 698e **644** (δέμν.) ApS 57.28; **644–6** (ῥήγ., πορφ., τ' ἐφύπ., χλ. οὔλας) Clem. Paed. 2.77.1 **647**b Porph. Hom. 53.17 Sod.; (δάος) H. (Cyr.) δ 241 **648** (ἐστόρ.) H. ε 6420 **650** (–φίλε) Epm. λ 39; **650**a Porph. Il. 277.17 Schr.

631 ὃ (ὁ) 13 14 Ω*: om. F[a] T R G.—cf. ad Γ 18 **633** ὁρόωντες 14 t Ω: -ντε Ahrens **635** νῦν 14 tt* Ω*: δή sch-T *b* ὄφρά C E F T καὶ 14 A D R G: κεν Ω* **636** ὕπο (Wolf) A[a]?: ὑπὸ vel ὑπο 13 14 A[λ] Ω ταρπώμεθα (nov. Ar) 14 A[λ] A[s] T[λ] Ω*: παυσώ- Ar A T V.—v.l. ead. δ 295, ψ 255 κοιμηθέντε 14 D (sc. Priamus et praeco; cf. ad 673): -ντες Ω* (-ντ[G).—v.l. ead. δ 295, ψ 255 **637** ὑπὸ 13 14 Ω*, ὕπο 13[2]: ἐπὶ t *b* **638** πάϊς Ω*: παῖς Y R, παις 14 **639** κήδεα 14 Eudoc. Ω: ἄλγεα t* **640** om. Y, del. Payne Knight κατὰ 14 tt Ω*: περὶ D **641** καὶ (αἴθοπα) 13 14 Ω (cf. 570, Ο 290): ἠδ' Brandreth (cf. η 295) **642** λαυκανίης 14[a] Z Ω*: λευκ- 14[2] t (-ην) D C[s] F.—cf. ad Χ 325 καθέηκα 14 Ω*: μεθέ- *b*: . . θεηκα 13: ἐσέθηκα t **643** κέλευσε(ν) 13 14 Ω* (= Ι 658): ἔειπε G **644** αἰθούσῃ(ι) 13 14[2] A D[s] G **646** καθ' ὕπερθεν 14 A D G εσεσθ[αι 13, α ss. m[2] **648** ἄρα στόρεσαν Ar 513? A T (cf. η 340 = ψ 291): ἂρ ἐστ- (nov. Did) 13 14 t Ω* **650** ἐκτὸς 14 tt Ω: ἐντὸς 513 r λέξο 13[c?] 14 tt Ω*: -ον 13[a]? D F[c] R

ἐνθάδ' ἐπέλθησιν βουληφόρος, οἵ τέ μοι αἰεί
βουλὰς βουλεύουσι παρήμενοι, ἣ θέμις ἐστίν.
τῶν εἴ τίς σε ἴδοιτο θοὴν διὰ νύκτα μέλαιναν,
αὐτίκ' ἂν ἐξείποι Ἀγαμέμνονι ποιμένι λαῶν,
655 καί κεν ἀνάβλησις λύσιος νεκροῖο γένοιτο.
ἀλλ' ἄγε μοι τόδε εἰπὲ καὶ ἀτρεκέως κατάλεξον,
ποσσῆμαρ μέμονας κτερεϊζέμεν Ἕκτορα δῖον,
ὄφρα τέως αὐτός τε μένω καὶ λαὸν ἐρύκω."
τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
660 "εἰ μὲν δή μ' ἐθέλεις τελέσαι τάφον Ἕκτορι δίωι,
ὧδέ κέ μοι ῥέζων, Ἀχιλεῦ, κεχαρισμένα θείης.
οἶσθα γάρ, ὡς κατὰ ἄστυ ἐέλμεθα, τηλόθι δ' ὕλη
ἀξέμεν ἐξ ὄρεος· μάλα δὲ Τρῶες δεδίασιν·
ἐννῆμαρ μέν κ' αὐτὸν ἐνὶ μεγάροις γοάοιμεν,
665 τῆι δεκάτηι δέ κε θάπτοιμεν δαινυῖτό τε λαός,
ἑνδεκάτηι δέ κε τύμβον ἐπ' αὐτῶι ποιήσαιμεν,
τῆι δὲ δυωδεκάτηι πτολεμίξομεν, εἴ περ ἀνάγκη."
τὸν δ' αὖτε προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
"ἔσται τοι καὶ ταῦτα, γέρον Πρίαμ', ὡς σὺ κελεύεις·
670 σχήσω γὰρ πόλεμον τόσσον χρόνον, ὅσσον ἄνωγας."
ὣς ἄρα φωνήσας ἐπὶ καρπῶι χεῖρα γέροντος
ἔλλαβε δεξιτερήν, μή πως δείσει' ἐνὶ θυμῶι.
οἳ μὲν ἄρ' ἐν προδόμωι δόμου αὐτόθι κοιμήσαντο
κήρυξ καὶ Πρίαμος, πυκινὰ φρεσὶ μήδε' ἔχοντες·

651 Epm. o 111; (οἵ τε–) id. μ 77 **654** (–Ἀγ.) sch^{T} Z 58–9b **657** Iul. Or. 2.61d **658** (–μέν.) ApS 151.34; (τέως) H. τ 730 **662** (ἐελμ.) id. η 172 **667** Iul. Or. 2.61d

651–4 pro his ελθὼν ενθάδ' ἴδοιτο θοὴν διὰ νυκτα μέλαιναν Y **652** βουλεύουσι 14 Ω*: -σουσι G παρἥμενοι 14 ἡ 14 A D T^{a}, ἣ B^{a} E: ἧ(ι) Ω*.—cf. ad B 73 **654** αὐτίκ' ἂν 13 14^{2m} 513 Ω: -κα δ' 14^{t}: -κα t **655** γένοιτο 14 D F^{a} Y R: -ηται Ω*: ἐσεῖται C **656** κατάλεξον 14 Ω: ἀγόρευσον *b*.—cf. ad K 384 **657** ποσσῆμαρ Hdn Z A$^{\lambda}$ (ποσῆ-) Ω*: πόσσ' ἦ- 14^{2} 513 D R^{a} N **658** τε μένω 14 513 Ω: μενέω t **661** ῥέζων 14 513 Ω: -ξας V P **662–3** damn. Düntzer; post 778–84 pactos inserti videntur **662** ὕλην 14^{a} A^{a}? **663** δὲ (nov. Did) 14 513 Ω*: γὰρ Ar F^{a} *b* **664** μμεγάροις 14 513 B^{a} C E γοάοιμεν T$^{\lambda}$ Ω*: γοόωμεν 14, sc. -όωιμεν: (-σι) γοοιμεν D (ss. ά) **665** δαινυῖτό Hermann: -νῦτό Philox Hdn A N: δαίνυτό 14 513 Z T$^{\lambda}$ Ω* (-ῦτό *b*).—cf. ad Π 99 **667** πτολεμίξομεν 14 t^{vl} (-ζομεν) A D B E F (-ζομεν): πολ- 513 t^{vl} (-ζομεν) Ω*:]ξομεν G ἀνάγκηι A **669** ἔσταί *b* **670** πόλεμον τόσσον 14 513 Ω*: τόσσον πόλεμον A^{a} F Y G **672** δεξιτερὴν Z Ω: -ῆι 14 513 δείσει' (vel -σει) 13 14 513 (-σι') Ω*: -ση(ι) *b* F R G$^{?}$ **673** οἳ 13 14 513 Ω*: τὼ *b* F^{c} αὐτόθι 13 513 Ω: -του 14: -τίκα V **674** κήρυξ 513 B^{c} O: κῆ- Ω* ἔχοντες 14 Ω: -ντε Ahrens.—cf. ad 282

675 αὐτὰρ Ἀχιλλεὺς ηὗδε μυχῶι κλισίης εὐπήκτου,
τῶι δὲ Βρισηῒς παρελέξατο καλλιπάρηος.
ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταί
ηὗδον παννύχιοι, μαλακῶι δεδμημένοι ὕπνωι,
ἀλλ' οὐχ Ἑρμείαν ἐριούνιον ὕπνος ἔμαρπτεν
680 ὁρμαίνοντ' ἀνὰ θυμόν, ὅπως Πρίαμον βασιλῆα
νηῶν ἐκπέμψειε λαθὼν ἱεροὺς πυλαωρούς.
στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς καί μιν πρὸς μῦθον ἔειπεν·
"ὦ γέρον, οὔ νύ τι σοί γε μέλει κακόν, οἷον ἔθ' εὕδεις
ἀνδράσιν ἐν δηίοισιν, ἐπεί σ' εἴασεν Ἀχιλλεύς.
685 καὶ νῦν μὲν φίλον υἱὸν ἐλύσαο, πολλὰ δ' ἔδωκας·
σεῖο δέ κε ζωοῦ καὶ τρὶς τόσα δοῖεν ἄποινα
παῖδές τοι μετόπισθε λελειμμένοι, αἴ κ' Ἀγαμέμνων
γνώηι σ' Ἀτρείδης, γνώωσι δὲ πάντες Ἀχαιοί."
ὣς ἔφατ'· ἔδδεισεν δ' ὁ γέρων, κήρυκα δ' ἀνίστη.
690 τοῖσιν δ' Ἑρμείας ζεῦξ' ἵππους ἡμιόνους τε,
ῥίμφα δ' ἄρ' αὐτὸς ἔλαυνε κατὰ στρατόν· οὐδέ τις ἔγνω.
692 ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐϋρρεῖος ποταμοῖο,
694 Ἑρμείας μὲν ἔπειτ' ἀπέβη πρὸς μακρὸν Ὄλυμπον·
695 Ἠὼς δὲ κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν·
οἳ δ' εἰς ἄστυ ἔλων οἰμωγῆι τε στοναχῆι τε
ἵππους, ἡμίονοι δὲ νέκυν φέρον. οὐδέ τις ἄλλος
ἔγνω πρόσθ' ἀνδρῶν καλλιζώνων τε γυναικῶν,
ἀλλ' ἄρα Κασσάνδρη, ἰκέλη χρυσῆι Ἀφροδίτηι,
700 Πέργαμον εἰσαναβᾶσα φίλον πατέρ' εἰσενόησεν
ἑσταότ' ἐν δίφρωι κήρυκά τε ἀστυβοώτην·

677–9 Gal. Protr. 11.2 (parod.) **684**b Hdn ad Z 355a^{1} **686** [Ammon.] Diff. 445 **696** (ἔλων) ApS 67.6; H. ε 2246 **698** Eudoc. 1452 **700** (Πέργ.) ApS 130.16 **701** (ἀστυβ.) id. 45.31; EtG α 1317

675 ηὗδε Fick: εὗ- 14 Ω ἐϋπήκτου A *b* Y (cf. ad B 661, I 144, 286, 663, Ω 769) **676** δὲ 13^{a} 14 A^{m} Ω*: δ' ἄρα 13^{2} 513 A O: δ' ἂρ rr **677** ἄλλοι 13 14 t Ω: cf. ad B 1, K 1 **678** ηυδον 13 14^{a}: εὗ- 13^{s} 14^{2} t Ω **679** Ἑρμείαν 14 513 Ω: -ην rr **681** πυλαωρούς 14 513 Ω: -αοὺρους· 13.—cf. ad Φ 530 **683** γε μέλει 14 Ω*: μέλλει T κακὸν 14 Ω*: -οῦ Y ἔθ' 13 14 Ω*: αρ Y **686** κε A^{a} Y: κεν 14 t Ω* **687** παῖδες, τοὶ 14 A T G μετ' 14^{2} A F^{a} λελιμμένοι· 14; cf. Praef. xxxii κ' 13^{s} 14 Ω: γ 13^{t} **688** γνώη(ι) 14 A^{s} D T Y R: γνοίη Ω* **689** ἔδδεισε(ν) sic 14 Ω ανΐστη· 13, ανίστη· 14 **692** ἷξον C^{a} E F^{c} Y R: ἵ- 14 Ω* **693** (= Ξ 434, Φ 2) add. *b* M V: deest in 13 14 Ω* **696** στοναχῆι 14^{s} Ω: στεν- 14^{t}.—cf. ad 512 **697** φέρον 14 A^{γρ} Ω*: ἄγον 13 A G.—cf. ad O 743 **699** Κασσάνδρη 13 Ω: Κασά- N.—cf. ad N 366 χρυσῆ(ι) 13 14 262 Ω* (-σὴ D): -σεη 13^{c}? Y.—cf. Praef. xxxvi sq. **701** ἑσταότ' (nov. Did) 13 14 T^{λ} Ω*: -αῶτ' F: -εῶτ' Ar 262 D *h*: periit G

τὸν δ' ἄρ' ἐφ' ἡμιόνων ἴδε κείμενον ἐν λεχέεσσιν.
κώκυσέν τ' ἄρ' ἔπειτα γέγωνέ τε πᾶν κατὰ ἄστυ·
"ὄψεσθε, Τρῶες καὶ Τρωιάδες, Ἕκτορ' ἰόντες,
705 εἴ ποτε καὶ ζώοντι μάχης ἐκ νοστήσαντι
χαίρετ', ἐπεὶ μέγα χάρμα πόλει τ' ἦν παντί τε δήμωι."
ὣς ἔφατ'· οὐδέ τις αὐτόθ' ἐνὶ πτόλεϊ λίπετ' ἀνήρ
οὐδὲ γυνή· πάντας γὰρ ἀάσχετον ἵκετο πένθος·
ἀγχοῦ δὲ ξύμβληντο πυλάων νεκρὸν ἄγοντι.
710 πρῶται τόν γ' ἄλοχός τε φίλη καὶ πότνια μήτηρ
τιλλέσθην, ἐπ' ἄμαξαν ἐΰτροχον ἀΐξασαι,
ἁπτόμεναι κεφαλῆς· κλαίων δ' ἀμφίσταθ' ὅμιλος.
καί νύ κε δὴ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
Ἕκτορα δάκρυ χέοντες ὀδύροντο πρὸ πυλάων,
715 εἰ μὴ ἄρ' ἐκ δίφροιο γέρων λαοῖσι μετηύδα·
"εἴξατέ μοι οὐρεῦσι διελθέμεν· αὐτὰρ ἔπειτα
ἄσεσθε κλαυθμοῖο, ἐπὴν ἀγάγωμι δόμονδε."
ὣς ἔφαθ'· οἱ δὲ διέστησαν καὶ εἶξαν ἀπήνηι.
οἱ δ' ἐπεὶ εἰσάγαγον κλυτὰ δώματα, τὸν μὲν ἔπειτα
720 τρητοῖς ἐν λεχέεσσι θέσαν, παρὰ δ' εἷσαν ἀοιδούς
θρήνων ἐξάρχους, οἵ τε στονόεσσαν ἀοιδήν
οἱ μὲν ἄρ' ἐθρήνεον, ἐπὶ δὲ στενάχοντο γυναῖκες.
τῆισιν δ' Ἀνδρομάχη λευκώλενος ἦρχε γόοιο,
Ἕκτορος ἱπποδάμοιο κάρη μετὰ χερσὶν ἔχουσα·

703b sch Pind. Ol. 3.17e **704** (–Τρωιάδες) Hdn ii.818.27 **707** (οὐδέ–)–**8** Eudoc. 2068–9 **711**a Hdn ad Σ 487; cf. H. τ [353], [734], [835] **717**a sch Φ 70a; **717**b Epm. α 316 **719** (τὸν μὲν–)–**21** EtG α 952; **720** (παρὰ–)–1a sch Eur. Pho. 1499; (ἀοιδ.)–**721**a [Plut.] Hom. 2.147.4; (ἀοιδ.) H. (Cyr.) α 5663; **721** Philop. in Gen. et corr. CAG xiv(2).22.5 **724** Matro Supp. Hell. 534.31 (parod.)

702 ἡμιόνων 13 262 Ω: -νω 14 **703** τε 14 262 t Ω*: δὲ 13 G **704** Ἕκτορ' ἰόντες 14 262 Ω: -ρα διο[ν 13 **705** ζώοντι 14^{c} 262 Ω*: -οντε 14^{a}: ζώωντι A:]τι 13 **706** πόλει (nov. Did) 13 14 262 Ω: πόλι Ar (teste sch^{h}): an -ηι?—cf. ad E 686 **707** οὐδέ τις αὐτόθ' 14 262$^{?}$ t Ω: ουδ αρα δ]η τις 13 πτόλεϊ (vel -ει) 13 14 t Ω (πό- E T): -λϊï rr: -λιε 262 (πτόλι ἐλλίπετ' Fick post Bothe) **708** ἀάσχετον 13 14 262 t Z Ω (ἄσχ- E^{a}, ῥα ἄσχ- T): cf. ad E 892 **710** τόν 13 14 Ω*: τῶν T: τῶ F: τοῦ r **711** ἐπ' ἄμαξαν 13 14 Hdn (t) A D B E T Y (ἐπ' ἄμ-): ἐφ' ἄμ- Ω*.—cf. ad 782; Praef. xvii **717** ἄσεσθε 14^{2s} A^{s} Ω*: -εσθαι 14^{t}: -ασθε A *h* R: -ασθαι t T ἀγάγωμι t D Y: -οιμι 13 14 Ω* δόμονδε (vel δέ) 13 14 Ω: πόλιν δέ t A^{γρ} post h.v. deficit E **721** damn. Heyne; versum post hunc excidisse ci. Friedländer θρήνων [Plut.] Philop. B^{s} C Y: -ους 13 14 tt* Ω* ἐξάρχους 14 tt T^{λ} Ω*: -ουσ' A (ss. ι, sc. -ουσι) B^{a} C G, -ουσ[[ι]]' F στονόεσσαν 13 14 tt Ω: στονάχησαν vel. sim.? Leaf **722** ἂρ ἐθρήνεον 13 14 Ω*: δὴ θρ- A^{γρ} D V δ' ἐστενάχοντο R **723** τῆισιν fere 14 Ω: τοῖσι(ν) A^{γρ} *h*.—cf. ad 747, 761 **724** ἱπποδάμοιο

725 “ἆνερ, ἀπ’ αἰῶνος νέος ὤλεο, κὰδ δέ με χήρην
λείπεις ἐν μεγάροισι· πάϊς δ’ ἔτι νήπιος αὔτως,
ὃν τέκομεν σύ τ’ ἐγώ τε δυσάμμοροι, οὐδέ μιν οἴω
ἥβην ἵξεσθαι· πρὶν γὰρ πόλις ἥδε κατ’ ἄκρης
πέρσεται· ἦ γὰρ ὄλωλας ἐπίσκοπος, ὅς τέ μιν αὐτήν
730 ῥύσκε’, ἔχες δ’ ἀλόχους κεδνὰς καὶ νήπια τέκνα.
αἳ δ’ ἤτοι τάχα νηυσὶν ὀχήσονται γλαφυρῇισιν,
καὶ μὲν ἐγὼ μετὰ τῇισι· σὺ δ’ αὖ, τέκος, ἠ’ ἐμοὶ αὐτῆι
ἕψεαι, ἔνθά κεν ἔργα ἀεικέα ἐργάζοιο
ἀθλεύων πρὸ ἄνακτος ἀμειλίχου, ἤ τις Ἀχαιῶν
735 ῥίψει χειρὸς ἑλὼν ἀπὸ πύργου, λυγρὸν ὄλεθρον,
χωόμενος, ὧι δή που ἀδελφεὸν ἔκτανεν Ἕκτωρ
ἢ πατέρ’ ἠὲ καὶ υἱόν, ἐπεὶ μάλα πολλοὶ Ἀχαιῶν
Ἕκτορος ἐν παλάμηισιν ὀδὰξ ἕλον ἄσπετον οὖδας.
οὐ γὰρ μείλιχος ἔσκε πατὴρ τεὸς ἐν δαῒ λυγρῆι·
740 τὼ καί μιν λαοὶ μὲν ὀδύρονται κατὰ ἄστυ,
ἀρητὸν δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκας,
Ἕκτορ. ἐμοὶ δὲ μάλιστα λελείψεται ἄλγεα λυγρά·
οὐ γάρ μοι θνήισκων λεχέων ἐκ χεῖρας ὄρεξας,
οὐδέ τί μοι εἶπες πυκινὸν ἔπος, οὗ τέ κεν αἰεί

725–6a imit. Nonn. D. 40.113–14; **725** w5 (lacerum); (–ὤλεο) ApS 17.12; sch A 473b[1], α 1 (p.6.20 Ludw.); sch Soph. Tr. 550; Porph. Il. 259.11 Schr.; H. α 2216; Simpl. in De caelo CAG vii.288.14; Olymp. in Phd. 63.24; (ἆνερ) H. α 4940 **730** (ἔχες–) sch Z 402–3a; (ἔχες δ’ ἀλ.) sch E 492a **732** (ἠ’ ἐμοὶ–)–**3** (ἕψ.) ApD Pron. 45.29; **733** (ἕψ.) ApS 80.25; H. ε 7697 **734** (–ἀμειλ.) Porph. Il. 116.23 Schr.; **734**a sch P 667b; Phot. Lex. s.v. πρό; Epm. α 247; (ἀθλ.) H. (Cyr.) α 1246, 1596; (πρὸς ἄν.) sch Z 456a; (ἤ τις–)–**735** (–πύργ.) sch Eur. Andr. 10; **735** (–πύργ.) sch T 126 **736** sch X 371a[1] **740–1** Eudoc. 313–14; **741** sch Ω 739 **742** (ἐμοὶ–) Eudoc. 2058 **743–5** [Plut.] Hom. 2.188.1; **744–5** (μεμν.) [Plut.] Cons. Apoll. 117b

13 14 262 t sch^{hyp} D R: ἀνδοφόνοιο Ω*.—cf. ad I 351 **725** νέος Ar 13 14 262 tt* Ω: -ον Zen: πάρος Olymp. δέ με 14 Ω*: δ’ έμε A, δ’ ἐμὲ r **726** λείπεις ἐν 13 14 262 Ω*: λείπες ἐνὶ D: κάλλιπες ἐν Nonn. δ’ ἔτι 14 A^{γρ} D F, δέ τι R G: δέ τε Ω* αὔτως (vel αὔ-) 14 262$^{?}$ Ω*: οὔ- G **728** ἦδε A B^{a} T^{a} **729** αὐτὴν 14 262 Ω: -ός Platt **730** ῥύσκε’ Barnes: -ευ 14 262 Z Ω (-ες R) **731** δ’ ἤτοι r: δή τοι 14 Ω ὀχή–σονται 14 262 Z (οχίσ-) A D F: οἰχ- Ω* **732** ἠ’ Fick: ἢ 14 Ω: ἠδ’ t **733** ἔνθά 14 Ω **734** ἀθλεύων 14 262 Phot. Epm. Ω*: ἀεθλ- tt* Z B C T^{λ} G: utrumque Hsch. πρὸ 14 262 tt* Z Ω: πρὸς sch-Z **735** ἑλὼν 14 t* A^{λ} Ω: ἔχων sch-T: πελων Z **736** ὧι t A^{c} B C: ὧ(ι) τινι 14 262 Ω* **737** ἠὲ καὶ υἱὸν ἐπεὶ 262 Ω: η και υϊον· η και 14 **739** δαῒ 14 (δὰϊ) Ω*: parox. 13 A G **740** τὼ G: τῶ(ι) Ω* καί 14 262 Ω*: κέν t B C κατὰ 13 14^{2s} 262 t Ω: περι 14^{t} **741** ἀρητὸν 14 262 tt sch^{bTD} A$^{c?}$ B F T: ἄρητον Z A^{a}? D (-όν τε): ἄρρητον C R G.—v. ad P 37 **744** ουδ’ ἐτι 14^{2} εἶπες 14 262 Ω: -ας tt

745 μεμνήιμην νύκτας τε καὶ ἤματα δάκρυ χέουσα."
ὣς ἔφατο κλαίουσ', ἐπὶ δὲ στενάχοντο γυναῖκες.
τῇσιν δ' αὖθ' Ἑκάβη ἀδινοῦ ἐξῆρχε γόοιο·
"Ἕκτορ, ἐμῶι θυμῶι πάντων πολὺ φίλτατε παίδων,
ἦ μέν μοι ζωός περ ἐὼν φίλος ἦσθα θεοῖσιν,
750 οἳ δ' ἄρα σεο κήδοντο καὶ ἐν θανάτοιό περ αἴσηι.
ἄλλους μὲν γὰρ παῖδας ἐμοὺς πόδας ὠκὺς Ἀχιλλεύς
πέρνασχ', ὅν τιν' ἕλεσκε, πέρην ἁλὸς ἀτρυγέτοιο,
ἐς Σάμον ἔς τ' Ἴμβρον καὶ Λῆμνον ἀμιχθαλόεσσαν·
σέο δ' ἐπεὶ ἐξέλετο ψυχὴν ταναήκεϊ χαλκῶι,
755 πολλὰ ῥυστάζεσκεν ἑοῦ περὶ σῆμ' ἑτάροιο
Πατρόκλου, τὸν ἔπεφνες—ἀνέστησεν δέ μιν οὐδ' ὧς—
νῦν δέ μοι ἑρσήεις καὶ πρόσφατος ἐν μεγάροισιν
κεῖσαι, τῶι ἴκελος ὅν τ' ἀργυρότοξος Ἀπόλλων
οἷς ἀγανοῖσι βέλεσσιν ἐποιχόμενος καταπέφνηι."
760 ὣς ἔφατο κλαίουσα, γόον δ' ἀλίαστον ὄρινεν.
τῇσι δ' ἔπειθ' Ἑλένη τριτάτη ἐξῆρχε γόοιο·
"Ἕκτορ, ἐμῶι θυμῶι δαέρων πολὺ φίλτατε πάντων·
{ἦ μέν μοι πόσις ἐστὶν Ἀλέξανδρος θεοειδής,
ὅς μ' ἄγαγε Τροίηνδ'· ὡς πρὶν ὤφελλον ὀλέσθαι·}

751a ApD Pron. 40.9 **752**a, **753** Strab. 10.2.17; **753** ApS 27.15; (–Λῆμν.) sch A.R. 1.923–4; **753**b EtG α 656 ex Orione (Philox. fr. 236 Th.); (Λ. ἀμ.) sch Soph. Ph. 215; (ἀμ.) H. (Cyr.) α 2188, 3683, μ 1482 **754** (–ψυχ.) ApD Pron. 40.7, Synt. 198.7, 218.9; Hdn i 555.16 **755** (ῥυστ.) cf. H. ε 6118, Phot. Lex. ε 1980 **757** (ἑρσ.) H. (Cyr.) ε 6060; Phot. Lex. ε 1970 **762** (–δαέρ.) sch Heph. 319.7; (δαέρ.) H. (Cyr.) δ 31 **764**b Porph. Il. 59.4 Schr.

745 μεμνήιμην $R^{c?}$ Eust.: -ήμην 14 Ω νύκτάς A R **747** τῇσιν 14 262 Ω*: τοῖσι(ν) D *h*.—cf. ad 723, 761 **748** ἐμῶ(ι) 14^{c} Ω: ομοι 14^{a} πολὺ 14 Ω*: περι D **749** μοι 14 Ω: καὶ Doederlein **750** οἳ δ' Ω: ἧδ' 14 σεο dedi: σεῦ 14 Ω **752** ὅν τιν' ἕλεσκε 14 Ω: ὅν τιν' ἑλέηισι (sc. ἕλησι) $A^{γρ}$: ὅν κε λάβοι t **753** ἀμιχθαλόεσσαν 14 tt* Z $A^{λ}$ Ω (= Hymn. Ap. 36): μιχθ- Antim: utrumque Hsch. (et αἰχθ-) **754** deficit D σέο dedi: σεῦ 14 tt Ω: σοὶ van Leeuwen (cf. Z 234, I 377^{vl}, T 137^{vl}) εξἕλετο 14 **756** ὦς· 14: ὡς A, ὥς Ω* **757** μοι ἑρσήεις 13 (-ηις) 14 Z B^{a} C G: μοι ἐρσ- Ω*: μ' ἐερσ- van Leeuwen (cf. 419) **758** κεῖαι Wack. Unt. 170 τ' 13 14 Z $A^{λ}$ Ω*: om. B C F^{c} **759** ἀγανοῖσι βέλεσσιν 13 14 $A^{γρ}$ $T^{λ}$ R G: -οῖς βελέεσσιν A (-οῖσ⟦ι⟧) Ω*: utrumque Z.—v.l. sim. ε 124; cf. A 42, N 555; La Roche Unt. I 83 καταπέφνηι 14 $A^{γρ}$ *h* R: -έπεφνεν Z Ω* (= γ 280 al.) **760** ὄρινε(ν) Ω: ἔγειρε 14 M: ἔθηκε N **761** τῇ(ι)σι 14 Ω (-σιν G): τοῖσι P.—cf. ad 723, 747 ἔπειθ' 14 Ω*: αὖθ' F R G (ex 747) **762** δαέρων 14 tt Ω (cf. 769): δαρ- Brandreth: δαίρ- Fick: fort. δαιρῶν (< *δαιϜρῶν, cf. Schwyzer 266; Chantr. I 216 et DEG) post h.v. deficit G; manent iam A B C F T R **763–4** seclusi **764** ἄγαγε Ω*, -γεν 14: -γ' ἐς B C F^{c} Τροίηνδ' 14 Ω*: -ην B C ὤφελλον ὀλέσθαι Ar 14 t (ὄφελον) Ω*: ὤφελλ' ἀπολ- (= H 390, nov. Did) A^{m} F (ὤφελ') $T^{λ}$ R (ὄφ-)

765 ἤδη γὰρ νῦν μοι τόδ' ἐεικοστὸν ἔτος ἐστίν
ἐξ οὗ κεῖθεν ἔβην καὶ ἐμῆς ἀπελήλυθα πάτρης,
ἀλλ' οὔ πω σέ' ἄκουσα κακὸν ἔπος οὐδ' ἀσύφηλον,
ἀλλ' εἴ τίς με καὶ ἄλλος ἐνὶ μεγάροισιν ἐνίπτοι
δαέρων ἢ γαλόων ἠ' εἰνατέρων εὐπέπλων
770 ἢ ἑκυρή—ἑκυρὸς δὲ πατὴρ ὣς ἤπιος αἰεί—
ἀλλὰ σὺ τόν γ' ἐπέεσσι παραιφάμενος κατέρυκες
σῆι τ' ἀγανοφροσύνηι καὶ σοῖς ἀγανοῖς ἐπέεσσιν.
τὼ σέ θ' ἅμα κλαίω καὶ ἔμ' ἄμμορον ἀχνυμένη κῆρ·
οὐ γάρ τίς μοι ἔτ' ἄλλος ἐνὶ Τροίηι εὐρείηι
775 ἤπιος οὐδὲ φίλος, πάντες δέ με πεφρίκασιν."
ὣς ἔφατο κλαίουσ', ἐπὶ δ' ἔστενε δῆμος ἀπείρων.
λαοῖσιν δ' ὁ γέρων Πρίαμος μετὰ μῦθον ἔειπεν·
"ἄξετε νῦν, Τρῶες, ξύλα ἄστυδε. μηδέ τι θυμῶι
δείσητ' Ἀργείων πυκινὸν λόχον· ἦ γὰρ Ἀχιλλεύς
780 πέμπων μ' ὧδ' ἐπέτελλε μελαινάων ἀπὸ νηῶν,
μὴ πρὶν πημανέειν, πρὶν δωδεκάτη μόληι ἠώς."
ὣς ἔφαθ'· οἱ δ' ὑπ' ἀμάξηισιν βόας ἡμιόνους τε
ζεύγνυσαν, αἶψα δ' ἔπειτα πρὸ ἄστεος ἠγερέθοντο.
ἐννῆμαρ μὲν τοί γε ἀγίνεον ἄσπετον ὕλην·
785 ἀλλ' ὅτε δὴ δεκάτη ἐφάνη φαεσίμβροτος ἠώς,
καὶ τότ' ἄρ' ἐξέφερον θρασὺν Ἕκτορα δάκρυ χέοντες,
ἐν δὲ πυρῆι ὑπάτηι νεκρὸν θέσαν, ἐν δ' ἔβαλον πῦρ.

765 Epm. (unde sch^{G}) A 260, η 11 **767** (–ἔπος) sch Γ 50 **769**a sch Heph. 287.30, 319.2 **770** (ἑκυρή, ἑκυρός) ApS 65.28; H. ε 1781–2; (ἑκυρὸς–) sch Ω 248c^{1}; (ἤπ.) Phot. Lex. η 216 **773** Porph. Il. 59.5 Schr. **775**b sch A 325b **782** (οἱ δ' ὑπ' ἀμ.) Hdn ad Σ 487 **784** (ἀγίν.) ApS 6.8; H. α 414 **785** (φαεσ.) ApS 161.10; H. φ 29

765–6 damn. Welcker Der epische Cyclus II 265 **765** νῦν μοι 14 tt Z Ω*: μοι νῦν B C R τόδ' ἐεικοστὸν A$^{c?}$: τόδε εἰκ- Z A$^{\lambda}$ T$^{\lambda}$ Ω*: τοδεεικ- 14 **766** κεῖθεν 14 Ω: ἐκ- Z **767** πω 14^{c} t T$^{\lambda}$ Ω: πως 14^{a} σε' Fick, σέ' van Leeuwen: σεῦ 14 t T$^{\lambda}$ Ω **768** μμε–γάροισιν 14 B^{a} C ἐνίπτοι 14 Z Ω*: -σποι T R: -σσοι A$^{\gamma\rho}$.—cf. ad 238, Γ 438 **769** δα–έρων 14 (δᾱέ-) tt Ω*: ἢ δαέ- T.—v. ad 762 ἠ' Fick: ἡ 14 A, ἢ Ω* ἐϋπέπλων B C R (cf. ad E 424, Z 378, 383, Ω 675) **770** damn. Westphal αἰεὶ 14^{t} Ω*: ἦεν t *h*, εἶεν A$^{\gamma\rho}$: ηες 14^{2m}: εἴη R **772** damn. Heyne **773** τὼ (τώ) rr: τῶ(ι) Ω ἔμ' ἄμμορον 14 t Ω: ἐμὸν μόρον quidam ap. sch^{T}.—cf. ad Z 408 **774** τις μοι Ω: μοι τις 14 **776** δ' ἔστενε 14 A^{m} Ω*: δὲ στένε A^{c} T **777** δ' ὁ 14 Ω: δὲ *h* **778** ἄξετε 14 Ω*: -ατε 14^{s} F **781** πημανέειν Ω: πημαίνειν Z **782** ὑπ' ἀμάξηισιν 14 t Ω*: ὑφ' ἀμ- C F^{a} R.—cf. ad 711 **783** ζεύ–γνυσαν 14 Ω*: -υον T *h* **784** τοί γε 14^{2s} Ω: δη σφιν 14^{t} **785** φαεσίμβροτος Z Ω*: ῥοδοδάκτυλος 14 A$^{\gamma\rho}$ F^{a} T (= Z 175, verum hic ex 788) **787** ἐν δ' ἔβαλον πῦρ 14 Ω: ἀχνύμενοι κῆρ A$^{\gamma\rho}$ (ex Ψ 165)

ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος Ἠώς,
789 τῆμος ἄρ' ἀμφὶ πυρὴν κλυτοῦ Ἕκτορος ἤγρετο λαός·
791 πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσαν αἴθοπι οἴνωι
πᾶσαν, ὁπόσσον ἐπέσχε πυρὸς μένος· αὐτὰρ ἔπειτα
ὀστέα λευκὰ λέγοντο κασίγνητοί θ' ἕταροί τε
μυρόμενοι, θαλερὸν δὲ κατείβετο δάκρυ παρειῶν.
795 καὶ τά γε χρυσείην ἐς λάρνακα θῆκαν ἑλόντες,
πορφυρέοις πέπλοισι καλύψαντες μαλακοῖσιν·
αἶψα δ' ἄρ' ἐς κοίλην κάπετον θέσαν, αὐτὰρ ὕπερθεν
πυκνοῖσιν λάεσσι κατεστόρεσαν μεγάλοισιν.
ῥίμφα δὲ σῆμ' ἔχεαν—περὶ δὲ σκοποὶ εἵατο πάντηι,
800 μὴ πρὶν ἐφορμηθεῖεν ἐϋκνήμιδες Ἀχαιοί—
χεύαντες δὲ τὸ σῆμα πάλιν κίον. αὐτὰρ ἔπειτα
εὖ συναγειρόμενοι δαίνυντ' ἐρικυδέα δαῖτα
δώμασιν ἐν Πριάμοιο, διοτρεφέος βασιλῆος.
ὣς οἵ γ' ἀμφίεπον τάφον Ἕκτορος ἱπποδάμοιο.

794 (κατείβ.) id. κ 1578 **795** (–θῆκαν) Arn ad Ψ 92a **796** (–καλ.) sch Ω 229–31a[1] **797** (ἐς κ. κάπ.) cf. Philostr. Vit. Ap. 4.11; (κάπ.) cf. H. (Cyr.) ε 698 **801** sch Ψ 29b[1] **804** ApS 149.30; Hdn ii.941.20; (ἀμφί.) H. (Cyr.) α 4011

788 exspectaveris δ' ἑνδεκάτη ἐφάνη **789** (susp. Leaf) om. T πυρὴν Ω (= H 434): -ῆ`ι´ 14 κλυτοῦ 14^{2s} Ω: κριτος (= H 434) 14^{t} ἤγρετο Voss: ἔγρ- 14 Ω.—cf. ad H 434 **790** αὐτὰρ ἐπεί ῥ' ἤγερθεν ὁμηγερέες τ' ἐγένοντο (= β 9 al.) add. Ω*: deest in 14 A T Y **793** ὄστεα proparox. quidam ante Hdn λευκὰ λέγοντο Z Ω: λευκ' ελ- 14: λεύκ' ἀλ- $M^{γρ}$ θ' ἕταροί τε 14 Ω (θ' om. F, τε ἕτ- R): τε ἔται τε Brandreth cl. Π 456 **796** καλύψαντες 14 t Ω: καθάψ- quidam ap. sch^{T} **798** κατεστόρεσαν Ω: καταστ- 14 **799** ἔχεαν 14 Ω*: -ον T **802** συναγειρόμενοι Ω* sch^{hyp}: τ' ἀναγ- F: συναγειράμενοι 14 A^{s} R: διαγ- *h* **804** (om. Y) susp. Christ, damn. Fick Ἕκτορος ἱπποδάμοιο 14 tt Ω: ἦλθε δ' Ἀμαζών | Ἄρηος θυγάτηρ μεγαλήτορος ἀνδροφόνοιο quidam ap. sch^{T}: ηλθε δ Αμαζω̣[ν] | οτρηρ[η] θυγατηρ ευειδης Πενθεσι̣λ‹ε›ια 104 (col. xxii fin. post narrationem de origine belli Troiani; Ὀτρήρ[η‹ς›] Croenert) = Aethiopidis fr. 1 Bern., fr. spur. D.; possis Ἄρηος ‹κρατεροῦ› μεγαλήτορος ἀνδροφόνοιο | ὀτρηρὴ θυγάτηρ, εὐειδὴς Πενθεσίλεια, vel Ὀτρήρης θυγάτηρ μεγαλήτορος ἀνδροφόνοιο | Ἄρηός ‹τε θεοῦ›, εὐειδὴς Πενθεσίλεια

INDEX NOMINVM

Stellula (*) notantur variae lectiones, cancellis [ ] loci spurii